# The Septuagint (LXX)

## Alfred Rahlfs

(With Morphological Data)

Sun 27th Feb, 2005
http://www.bibles.org.uk

# Tables of Morphological Symbols

| Noun/Article | Case | Gender | Number | Type |
|---|---|---|---|---|
| **n/d** | **n** nominative<br>**g** genitive<br>**d** dative<br>**a** accusative<br>**v** vocative | **m** masculine<br>**f** feminine<br>**n** neuter | **s** singular<br>**p** plural | **c** common<br>**p** proper |

| Pronoun | Type | Case | Gender | Number |
|---|---|---|---|---|
| **r** | **p** personal<br>**r** relative<br>**d** demonstrative<br>**q** interrogative<br>**i** indefinite<br>**t** intensive<br>**x** reflexive<br>**e** reciprocal | **n** nominative<br>**g** genitive<br>**d** dative<br>**a** accusative<br>**v** vocative | **m** masculine<br>**f** feminine<br>**n** neuter | **s** singular<br>**p** plural |

| Participle | Tense | Voice | Case | Gender | Number |
|---|---|---|---|---|---|
| **vp** | **p** present<br>**f** future<br>**a** aorist<br>**i** imperfect<br>**x** perfect<br>**y** pluperfect<br>**z** future perf | **a** active<br>**m** middle<br>**p** passive<br>**e** mid/pass. | **n** nominative<br>**g** genitive<br>**d** dative<br>**a** accusative<br>**v** vocative | **m** masc.<br>**f** fem.<br>**n** neut. | **s** sing.<br>**p** plur. |

| Infinitive | Tense | Voice |
|---|---|---|
| **vn** | **p** present<br>**f** future<br>**a** aorist<br>**i** imperfect<br>**x** perfect<br>**y** pluperfect<br>**z** future perf | **a** active<br>**m** middle<br>**p** passive<br>**e** mid/passive |

Adverb **b**

Particle **x**

| Verb | Mood | Tense | Voice | Person | Number |
|---|---|---|---|---|---|
| **v** | **i** indicative<br>**d** imperative<br>**s** subjunctive<br>**o** optative | **p** present<br>**f** future<br>**a** aorist<br>**i** imperfect<br>**x** perfect<br>**y** pluperfect<br>**z** future perf | **a** active<br>**m** middle<br>**p** passive<br>**e** mid/passive | **1** 1st<br>**2** 2nd<br>**3** 3rd | **s** singular<br>**p** plural |

| Adjective | Case | Gender | Number | Degree |
|---|---|---|---|---|
| **a** | **n** nominative<br>**g** genitive<br>**d** dative<br>**a** accusative<br>**v** vocative | **m** masculine<br>**f** feminine<br>**n** neuter | **s** singular<br>**p** plural | **c** comparative<br>**s** superlative<br>**n** none |

| Conjunction | Type |
|---|---|
| **c** | **s** subordinate<br>**c** coordinate |

Indeclinable noun **t**

Interjection **i**

| Preposition | Case |
|---|---|
| **q** | **g** genitive<br>**d** dative<br>**a** accusative<br>**p** indeterminate |

| Particle or Disjunctive Particle | Type |
|---|---|
| **x** | **i** interrogative<br>**n** negative<br>**o** negative |

| Indeclinable | Type |
|---|---|
| **t** | **a** Aramaic word<br>**h** Hebrew word<br>**p** proper noun<br>**n** numeral<br>**l** letter<br>**o** other noun |

# The Books of the Septuagint

# ΓΕΝΕΣΙΣ

Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἡ δὲ γῆ **1**, 2
ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου,
καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. καὶ εἶπεν ὁ θεός 3
Γενηθήτω φῶς. καὶ ἐγένετο φῶς. καὶ εἶδεν ὁ θεὸς τὸ φῶς ὅτι κα- 4
λόν. καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον
τοῦ σκότους. καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος 5
ἐκάλεσεν νύκτα. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα
μία. Καὶ εἶπεν ὁ θεός Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος 6
καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο
οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ θεὸς 7
ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ
μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. καὶ ἐκάλεσεν 8
ὁ θεὸς τὸ στερέωμα οὐρανόν. καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ
ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ 9
θεός Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν
μίαν καὶ ὀφθήτω ἡ ξηρά καὶ ἐγένετο οὕτως καὶ συνήχθη τὸ ὕδωρ
τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν καὶ ὤφθη ἡ

---

**1.** **v.1** ἐν[pd] ἀρχή[ndfsc] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dafs] γῆ[nafsc]. **v.2** ὁ[dnfs] δέ[cc] γῆ[nnfsc] εἰμί[viia3s] ἀόρατος[annfsn] καί[cc] ἀκατασκεύαστος[annfsn] καί[cc] σκότος[nnnsc] ἐπάνω[pg] ὁ[dgfs] ἄβυσσος[ngfsc] καί[cc] πνεῦμα[nnnsc] θεός[ngmsc] ἐπιφέρω[viim3s] ἐπάνω[pg] ὁ[dgns] ὕδωρ[ngnsc]. **v.3** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] γίνομαι[vdap3s] φῶς[nnnsc] καί[cc] γίνομαι[viam3s] φῶς[nnnsc]. **v.4** καί[cc] ὁράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dans] φῶς[nansc] ὅτι[cs] καλός[annnsn] καί[cc] διαχωρίζω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] φῶς[ngnsc] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] σκότος[ngnsc]. **v.5** καί[cc] καλέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dans] φῶς[nansc] ἡμέρα[nafsc] καί[cc] ὁ[dans] σκότος[nansc] καλέω[viaa3s] νύξ[nafsc] καί[cc] γίνομαι[viam3s] ἑσπέρα[nnfsc] καί[cc] γίνομαι[viam3s] πρωΐ[b] ἡμέρα[nnfsc] εἷς[acnfsn]. **v.6** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] γίνομαι[vdap3s] στερέωμα[nnnsc] ἐν[pd] μέσος[andnsn] ὁ[dgns] ὕδωρ[ngnsc] καί[cc] εἰμί[vdpa3s] διαχωρίζω[vppanns] ἀνά[pa] μέσος[anansn] ὕδωρ[ngnsc] καί[cc] ὕδωρ[ngnsc] καί[cc] γίνομαι[viam3s] οὕτως[b]. **v.7** καί[cc] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dans] στερέωμα[nansc] καί[cc] διαχωρίζω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] ὕδωρ[ngnsc] ὅς[rrnns] εἰμί[viia3s] ὑποκάτω[pg] ὁ[dgns] στερέωμα[ngnsc] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] ὕδωρ[ngnsc] ὁ[dgns] ἐπάνω[pg] ὁ[dgns] στερέωμα[ngnsc]. **v.8** καί[cc] καλέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dans] στερέωμα[nansc] οὐρανός[namsc] καί[cc] ὁράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] καλός[annnsn] καί[cc] γίνομαι[viam3s] ἑσπέρα[nnfsc] καί[cc] γίνομαι[viam3s] πρωΐ[b] ἡμέρα[nnfsc] δεύτερος[aonfsn]. **v.9** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] συνάγω[vdap3s] ὁ[dnns] ὕδωρ[nnnsc] ὁ[dnns] ὑποκάτω[pg] ὁ[dgms] οὐρανός[ngmsc] εἰς[pa] συναγωγή[nafsc] εἷς[acafsn] καί[cc] ὁράω[vdap3s] ὁ[dnfs] ξηρός[annfsn] καί[cc] γίνομαι[viam3s] οὕτως[b] καί[cc] συνάγω[viap3s] ὁ[dnns] ὕδωρ[nnnsc] ὁ[dnns] ὑποκάτω[pg] ὁ[dgms] οὐρανός[ngmsc] εἰς[pa] ὁ[dafp] συναγωγή[nafpc] αὐτός[rpgmp] καί[cc] ὁράω[viap3s] ὁ[dnfs] ξηρός[annfsn].

10 ξηρά. καὶ ἐκάλεσεν ὁ θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν
11 ὑδάτων ἐκάλεσεν θαλάσσας καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ εἶπεν
ὁ θεός βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ
γένος καὶ καθ᾽ ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν οὗ
τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς καὶ ἐγένετο
12 οὕτως. καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κα-
τὰ γένος καὶ καθ᾽ ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν
οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς καὶ εἶδεν
13 ὁ θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί ἡμέρα
14 τρίτη. Καὶ εἶπεν ὁ θεός Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι
τοῦ οὐρανοῦ εἰς φαῦσιν τῆς γῆς τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς
ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτὸς καὶ ἔστωσαν εἰς σημεῖα καὶ
15 εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτοὺς. καὶ ἔστωσαν εἰς
φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν ἐπὶ τῆς γῆς
16 καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς
μεγάλους τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν
17 φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός καὶ τοὺς ἀστέρας. καὶ
ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν
18 ἐπὶ τῆς γῆς. καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς καὶ διαχω-
ρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους καὶ εἶδεν
19 ὁ θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί ἡμέρα

---

**v.10** καί[cc] καλέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dafs] ξηρός[anafsn] γῆ[nafsc] καί[cc] ὁ[danp] σύστημα[nanpc] ὁ[dgnp] ὕδωρ[ngnpc] καλέω[viaa3s] θάλασσα[nafpc] καί[cc] ὁράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] καλός[annnsn]. **v.11** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] βλαστάνω[vdaa3s] ὁ[dnfs] γῆ[nnfsc] βοτάνη[nafsc] χόρτος[ngmsc] σπείρω[vppaans] σπέρμα[nansc] κατά[pa] γένος[nansc] καί[cc] κατά[pa] ὁμοιότης[nafsc] καί[cc] ξύλον[nansc] κάρπιμος[anansn] ποιέω[vppaans] καρπός[namsc] ὅς[rrgms] ὁ[dnns] σπέρμα[nnnsc] αὐτός[rpgms] ἐν[pd] αὐτός[rpdms] κατά[pa] γένος[nansc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] γίνομαι[viam3s] οὕτως[b]. **v.12** καί[cc] ἐκφέρω[viaa3s] ὁ[dnfs] γῆ[nnfsc] βοτάνη[nafsc] χόρτος[ngmsc] σπείρω[vppaans] σπέρμα[nansc] κατά[pa] γένος[nansc] καί[cc] κατά[pa] ὁμοιότης[nafsc] καί[cc] ξύλον[nansc] κάρπιμος[anansn] ποιέω[vppaans] καρπός[namsc] ὅς[rrgms] ὁ[dnns] σπέρμα[nnnsc] αὐτός[rpgms] ἐν[pd] αὐτός[rpdms] κατά[pa] γένος[nansc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ὁράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] καλός[annnsn]. **v.13** καί[cc] γίνομαι[viam3s] ἑσπέρα[nnfsc] καί[cc] γίνομαι[viam3s] πρωΐ[b] ἡμέρα[nnfsc] τρίτος[aonfsn]. **v.14** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] γίνομαι[vdap3p] φωστήρ[nnmpc] ἐν[pd] ὁ[ddns] στερέωμα[ndnsc] ὁ[dgms] οὐρανός[ngmsc] εἰς[pa] φαῦσις[nafsc] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dgns] διαχωρίζω[vnpa] ἀνά[pa] μέσος[anansn] ὁ[dgfs] ἡμέρα[ngfsc] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgfs] νύξ[ngfsc] καί[cc] εἰμί[vdpa3p] εἰς[pa] σημεῖον[nanpc] καί[cc] εἰς[pa] καιρός[nampc] καί[cc] εἰς[pa] ἡμέρα[nafpc] καί[cc] εἰς[pa] ἐνιαυτός[nampc]. **v.15** καί[cc] εἰμί[vdpa3p] εἰς[pa] φαῦσις[nafsc] ἐν[pd] ὁ[ddns] στερέωμα[ndnsc] ὁ[dgms] οὐρανός[ngmsc] ὥστε[cs] φαίνω[vnpa] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] γίνομαι[viam3s] οὕτως[b]. **v.16** καί[cc] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[damp] δύο[ac—n] φωστήρ[nampc] ὁ[damp] μέγας[anampn] ὁ[dams] φωστήρ[namsc] ὁ[dams] μέγας[anamsn] εἰς[pa] ἀρχή[nafpc] ὁ[dgfs] ἡμέρα[ngfsc] καί[cc] ὁ[dams] φωστήρ[namsc] ὁ[dams] ἐλαχύς[anamsc] εἰς[pa] ἀρχή[nafpc] ὁ[dgfs] νύξ[ngfsc] καί[cc] ὁ[damp] ἀστήρ[nampc]. **v.17** καί[cc] τίθημι[viam3s] αὐτός[rpamp] ὁ[dnms] θεός[nnmsc] ἐν[pd] ὁ[ddns] στερέωμα[ndnsc] ὁ[dgms] οὐρανός[ngmsc] ὥστε[cs] φαίνω[vnpa] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.18** καί[cc] ἄρχω[vnpa] ὁ[dgfs] ἡμέρα[ngfsc] καί[cc] ὁ[dgfs] νύξ[ngfsc] καί[cc] διαχωρίζω[vnpa] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] φῶς[ngnsc] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] σκότος[ngnsc] καί[cc] ὁράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] καλός[annnsn].

τετάρτη. Καὶ εἶπεν ὁ θεός Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν 20
ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ
οὐρανοῦ καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ 21
μεγάλα καὶ πᾶσαν ψυχὴν ζῴων ἑρπετῶν ἃ ἐξήγαγεν τὰ ὕδατα κα-
τὰ γένη αὐτῶν καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος καὶ εἶδεν
ὁ θεὸς ὅτι καλά. καὶ ηὐλόγησεν αὐτὰ ὁ θεὸς λέγων αὐξάνεσθε 22
καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις καὶ
τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. καὶ ἐγένετο ἑσπέρα καὶ 23
ἐγένετο πρωί ἡμέρα πέμπτη. Καὶ εἶπεν ὁ θεός Ἐξαγαγέτω ἡ γῆ 24
ψυχὴν ζῶσαν κατὰ γένος τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς
γῆς κατὰ γένος καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὰ θη- 25
ρία τῆς γῆς κατὰ γένος καὶ τὰ κτήνη κατὰ γένος καὶ πάντα τὰ
ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. καὶ 26
εἶπεν ὁ θεός ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽
ὁμοίωσιν καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετει-
νῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων
τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. καὶ ἐποίησεν ὁ θεὸς 27
τὸν ἄνθρωπον κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν ἄρσεν καὶ θῆλυ
ἐποίησεν αὐτούς. καὶ ηὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων Αὐξάνε- 28
σθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε
αὐτῆς καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ
οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων

---

**v.19** καί[cc] γίνομαι[viam3s] ἑσπέρα[nnfsc] καί[cc] γίνομαι[viam3s] πρωΐ[b] ἡμέρα[nnfsc] τέταρτος[aonfsn]. **v.20** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἐξάγω[vdaa3s] ὁ[dnnp] ὕδωρ[nnnpc] ἑρπετόν[nanpc] ψυχή[ngfpc] ζάω[vppagfp] καί[cc] πετεινός[nanpc] πέτομαι[vppmanp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] κατά[pa] ὁ[dans] στερέωμα[nansc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] γίνομαι[viam3s] οὕτως[b]. **v.21** καί[cc] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[danp] κῆτος[nanpc] ὁ[danp] μέγας[ananpn] καί[cc] πᾶς[aiafsn] ψυχή[nafsc] ζῷον[ngnpc] ἑρπετόν[ngnpc] ὅς[rranp] ἐξάγω[viaa3s] ὁ[dnnp] ὕδωρ[nnnpc] κατά[pa] γένος[nanpc] αὐτός[rpgnp] καί[cc] πᾶς[aiansn] πετεινός[nansc] πτερωτός[anansn] κατά[pa] γένος[nansc] καί[cc] ὁράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] καλός[ananpn]. **v.22** καί[cc] εὐλογέω[viaa3s] αὐτός[rpanp] ὁ[dnms] θεός[nnmsc] λέγω[vppanms] αὐξάνω[vdpm2p] καί[cc] πληθύνω[vdpp2p] καί[cc] πληρόω[vdaa2p] ὁ[danp] ὕδωρ[nanpc] ἐν[pd] ὁ[ddfp] θάλασσα[ndfpc] καί[cc] ὁ[dnnp] πετεινός[nnnpc] πληθύνω[vdpp3p] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.23** καί[cc] γίνομαι[viam3s] ἑσπέρα[nnfsc] καί[cc] γίνομαι[viam3s] πρωΐ[b] ἡμέρα[nnfsc] πέμπτος[aonfsn]. **v.24** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἐξάγω[vdaa3s] ὁ[dnfs] γῆ[nnfsc] ψυχή[nafsc] ζάω[vppaafs] κατά[pa] γένος[nansc] τετράποδος[ananpn] καί[cc] ἑρπετόν[nanpc] καί[cc] θηρίον[nanpc] ὁ[dgfs] γῆ[ngfsc] κατά[pa] γένος[nansc] καί[cc] γίνομαι[viam3s] οὕτως[b]. **v.25** καί[cc] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[danp] θηρίον[nanpc] ὁ[dgfs] γῆ[ngfsc] κατά[pa] γένος[nansc] καί[cc] ὁ[danp] κτῆνος[nanpc] κατά[pa] γένος[nansc] καί[cc] πᾶς[aianpn] ὁ[danp] ἑρπετόν[nanpc] ὁ[dgfs] γῆ[ngfsc] κατά[pa] γένος[nansc] αὐτός[rpgnp] καί[cc] ὁράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] καλός[ananpn]. **v.26** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ποιέω[vsaa1p] ἄνθρωπος[namsc] κατά[pa] εἰκών[nafsc] ἡμέτερος[asafsn] καί[cc] κατά[pa] ὁμοίωσις[nafsc] καί[cc] ἄρχω[vdpa3p] ὁ[dgmp] ἰχθύς[ngmpc] ὁ[dgfs] θάλασσα[ngfsc] καί[cc] ὁ[dgnp] πετεινός[ngnpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ὁ[dgnp] κτῆνος[ngnpc] καί[cc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[aignpn] ὁ[dgnp] ἑρπετόν[ngnpc] ὁ[dgnp] ἕρπω[vppagnp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.27** καί[cc] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] ἄνθρωπος[namsc] κατά[pa] εἰκών[nafsc] θεός[ngmsc] ποιέω[viaa3s] αὐτός[rpams] ἄρσην[anansn] καί[cc] θῆλυς[anansn] ποιέω[viaa3s] αὐτός[rpamp].

29 τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. καὶ εἶπεν ὁ θεός ἰδοὺ
δέδωκα ὑμῖν πᾶν χόρτον σπόριμον σπεῖρον σπέρμα ὅ ἐστιν ἐπάνω
πάσης τῆς γῆς καὶ πᾶν ξύλον ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος
30 σπορίμου ὑμῖν ἔσται εἰς βρῶσιν. καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς
καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ τῷ ἕρποντι
ἐπὶ τῆς γῆς ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς πάντα χόρτον χλωρὸν
31 εἰς βρῶσιν καὶ ἐγένετο οὕτως. καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐ-
ποίησεν καὶ ἰδοὺ καλὰ λίαν καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί
ἡμέρα ἕκτη.
**2** Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος
2 αὐτῶν. καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα
αὐτοῦ ἃ ἐποίησεν καὶ κατέπαυσεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάν-
3 των τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν. καὶ ηὐλόγησεν ὁ θεὸς τὴν
ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν ὅτι ἐν αὐτῇ κατέπαυσεν
4 ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι. Αὕτη ἡ
βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅτε ἐγένετο ᾗ ἡμέρᾳ ἐποίησεν
5 ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ
τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνα-
τεῖλαι οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν καὶ ἄνθρωπος οὐκ ἦν

---

**v.28** καί[cc] εὐλογέω[viaa3s] αὐτός[rpamp] ὁ[dnms] θεός[nnmsc] λέγω[vppanms] αὐξάνω[vdpm2p] καί[cc] πληθύνω[vdpp2p] καί[cc] πληρόω[vdaa2p] ὁ[dafs] γῆ[nafsc] καί[cc] κατακυριεύω[vdaa2p] αὐτός[rpgfs] καί[cc] ἄρχω[vdpa2p] ὁ[dgmp] ἰχθύς[ngmpc] ὁ[dgfs] θάλασσα[ngfsc] καί[cc] ὁ[dgnp] πετεινός[ngnpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] πᾶς[aignpn] ὁ[dgnp] κτῆνος[ngnpc] καί[cc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[aignpn] ὁ[dgnp] ἑρπετόν[ngnpc] ὁ[dgnp] ἕρπω[vppagnp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.29** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἰδού[i] δίδωμι[vixa1s] σύ[rpd-p] πᾶς[aiansn] χόρτος[namsc] σπόριμος[anamsn] σπείρω[vppaans] σπέρμα[nansc] ὅς[rrnns] εἰμί[vipa3s] ἐπάνω[pg] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[aiansn] ξύλον[nansc] ὅς[rrnns] ἔχω[vipa3s] ἐν[pd] ἑαυτοῦ[rxdns] καρπός[namsc] σπέρμα[ngnsc] σπόριμος[angnsn] σύ[rpd-p] εἰμί[vifm3s] εἰς[pa] βρῶσις[nafsc]. **v.30** καί[cc] πᾶς[aidnpn] ὁ[ddnp] θηρίον[ndnpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[aidnpn] ὁ[ddnp] πετεινός[ndnpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] πᾶς[aidnsn] ἑρπετόν[ndnsc] ὁ[ddns] ἕρπω[vppadns] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅς[rrnns] ἔχω[vipa3s] ἐν[pd] ἑαυτοῦ[rxdns] ψυχή[nafsc] ζωή[ngfsc] πᾶς[aiamsn] χόρτος[namsc] χλωρός[anamsn] εἰς[pa] βρῶσις[nafsc] καί[cc] γίνομαι[viam3s] οὕτως[b]. **v.31** καί[cc] ὁράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[danp] πᾶς[aianpn] ὅσος[aranpn] ποιέω[viaa3s] καί[cc] ἰδού[i] καλός[ananpn] λίαν[b] καί[cc] γίνομαι[viam3s] ἑσπέρα[nnfsc] καί[cc] γίνομαι[viam3s] πρωΐ[b] ἡμέρα[nnfsc] ἕκτος[aonfsn]. **2. v.1** καί[cc] συντελέω[viap3p] ὁ[dnms] οὐρανός[nnmsc] καί[cc] ὁ[dnfs] γῆ[nnfsc] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] κόσμος[nnmsc] αὐτός[rpgmp]. **v.2** καί[cc] συντελέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] ἕκτος[aodfsn] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgms] ὅς[rranp] ποιέω[viaa3s] καί[cc] καταπαύω[viaa3s] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] ἕβδομος[aodfsn] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] ἔργον[ngnpc] αὐτός[rpgms] ὅς[rrgnp] ποιέω[viaa3s]. **v.3** καί[cc] εὐλογέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dafs] ἡμέρα[nafsc] ὁ[dafs] ἕβδομος[aoafsn] καί[cc] ἁγιάζω[viaa3s] αὐτός[rpafs] ὅτι[cs] ἐν[pd] αὐτός[rpdfs] καταπαύω[viaa3s] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] ἔργον[ngnpc] αὐτός[rpgms] ὅς[rrgnp] ἄρχω[viam3s] ὁ[dnms] θεός[nnmsc] ποιέω[vnaa]. **v.4** οὗτος[rdnfs] ὁ[dnfs] βίβλος[nnfsc] γένεσις[ngfsc] οὐρανός[ngmsc] καί[cc] γῆ[ngfsc] ὅτε[cs] γίνομαι[viam3s] ὅς[rrdfs] ἡμέρα[ndfsc] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dafs] γῆ[nafsc].

ἐργάζεσθαι τὴν γῆν. πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζεν 6
πᾶν τὸ πρόσωπον τῆς γῆς. καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον 7
χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν
ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Καὶ ἐφύτευσεν 8
κύριος ὁ θεὸς παράδεισον ἐν Εδεμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ
τὸν ἄνθρωπον, ὃν ἔπλασεν. καὶ ἐξανέτειλεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς 9
πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν καὶ τὸ ξύλον
τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν
καλοῦ καὶ πονηροῦ. ποταμὸς δὲ ἐκπορεύεται ἐξ Εδεμ ποτίζειν 10
τὸν παράδεισον ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα 11
τῷ ἑνὶ Φισων οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Ευιλατ ἐκεῖ οὗ ἐ-
στιν τὸ χρυσίον. τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν καὶ ἐκεῖ 12
ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. καὶ ὄνομα τῷ ποταμῷ τῷ 13
δευτέρῳ Γηων οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. καὶ ὁ 14
ποταμὸς ὁ τρίτος Τίγρις οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων
ὁ δὲ ποταμὸς ὁ τέταρτος οὗτος Εὐφράτης. Καὶ ἔλαβεν κύριος ὁ 15
θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασεν καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ
ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. καὶ ἐνετείλατο κύριος ὁ θεὸς 16
τῷ Αδαμ λέγων Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει

---

**v.5** καί[cc] πᾶς[aiansn] χλωρός[anansn] ἀγρός[ngmsc] πρό[pg] ὁ[dgns] γίνομαι[vnam] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[aiamsn] χόρτος[namsc] ἀγρός[ngmsc] πρό[pg] ὁ[dgns] ἀνατέλλω[vnaa] οὐ[b] γάρ[cc] βρέχω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] καί[cc] ἄνθρωπος[nnmsc] οὐ[b] εἰμί[viia3s] ἐργάζομαι[vnpm] ὁ[dafs] γῆ[nafsc]. **v.6** πηγή[nnfsc] δέ[cc] ἀναβαίνω[viia3s] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ποτίζω[viia3s] πᾶς[aiansn] ὁ[dans] πρόσωπον[nansc] ὁ[dgfs] γῆ[ngfsc]. **v.7** καί[cc] πλάσσω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] ἄνθρωπος[namsc] χοῦς[namsc] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἐμφυσάω[viaa3s] εἰς[pa] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgms] πνοή[nafsc] ζωή[ngfsc] καί[cc] γίνομαι[viam3s] ὁ[dnms] ἄνθρωπος[nnmsc] εἰς[pa] ψυχή[nafsc] ζάω[vppaafs]. **v.8** καί[cc] φυτεύω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] παράδεισος[namsc] ἐν[pd] Εδεμ[nd-sp] κατά[pa] ἀνατολή[nafpc] καί[cc] τίθημι[viam3s] ἐκεῖ[b] ὁ[dams] ἄνθρωπος[namsc] ὅς[rrams] πλάσσω[viaa3s]. **v.9** καί[cc] ἐξανατέλλω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἔτι[b] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] πᾶς[aiansn] ξύλον[nansc] ὡραῖος[anansn] εἰς[pa] ὅρασις[nafsc] καί[cc] καλός[anansn] εἰς[pa] βρῶσις[nafsc] καί[cc] ὁ[dans] ξύλον[nansc] ὁ[dgfs] ζωή[ngfsc] ἐν[pd] μέσος[andnsn] ὁ[ddms] παράδεισος[ndmsc] καί[cc] ὁ[dans] ξύλον[nansc] ὁ[dgns] οἶδα[vnxa] γνωστός[anansn] καλός[angnsn] καί[cc] πονηρός[angnsn]. **v.10** ποταμός[nnmsc] δέ[cc] ἐκπορεύομαι[vipm3s] ἐκ[pg] Εδεμ[ng-sp] ποτίζω[vnpa] ὁ[dams] παράδεισος[namsc] ἐκεῖθεν[b] ἀφορίζω[vipm3s] εἰς[pa] τέσσαρες[acafpn] ἀρχή[nafpc]. **v.11** ὄνομα[nnnsc] ὁ[ddms] εἷς[acdmsn] Φισων[nn-sp] οὗτος[rdnms] ὁ[dnms] κυκλόω[vppanms] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc] Ευιλατ[ng-sp] ἐκεῖ[b] ὅς[b] εἰμί[vipa3s] ὁ[dnns] χρυσίον[nnnsc]. **v.12** ὁ[dnns] δέ[cc] χρυσίον[nnnsc] ὁ[dgfs] γῆ[ngfsc] ἐκεῖνος[rdgfs] καλός[annnnsn] καί[cc] ἐκεῖ[b] εἰμί[vipa3s] ὁ[dnms] ἄνθραξ[nnmsc] καί[cc] ὁ[dnms] λίθος[nnmsc] ὁ[dnms] πράσινος[annmsn]. **v.13** καί[cc] ὄνομα[nansc] ὁ[ddms] ποταμός[ndmsc] ὁ[ddms] δεύτερος[aodmsn] Γηων[nn-sp] οὗτος[rdnms] ὁ[dnms] κυκλόω[vppanms] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc] Αἰθιοπία[ngfsp]. **v.14** καί[cc] ὁ[dnms] ποταμός[nnmsc] ὁ[dnms] τρίτος[aonmsn] Τίγρις[nnmsp] οὗτος[rdnms] ὁ[dnms] πορεύομαι[vppmnms] κατέναντι[pg] Ἀσσύριος[ngmpp] ὁ[dnms] δέ[cc] ποταμός[nnmsc] ὁ[dnms] τέταρτος[aonmsn] οὗτος[rdnms] Εὐφράτης[nnmsp]. **v.15** καί[cc] λαμβάνω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] ἄνθρωπος[namsc] ὅς[rrams] πλάσσω[viaa3s] καί[cc] τίθημι[viam3s] αὐτός[rpams] ἐν[pd] ὁ[ddms] παράδεισος[ndmsc] ἐργάζομαι[vnpm] αὐτός[rpams] καί[cc] φυλάσσω[vnpa].

17 φάγῃ. ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν οὐ
φάγεσθε ἀπ' αὐτοῦ ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ θανάτῳ ἀπο-
18 θανεῖσθε. Καὶ εἶπεν κύριος ὁ θεός Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον
19 μόνον ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. καὶ ἔπλασεν ὁ θεὸς
ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ
οὐρανοῦ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Αδαμ ἰδεῖν τί καλέσει αὐτά
καὶ πᾶν ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Αδαμ ψυχὴν ζῶσαν τοῦτο ὄνομα αὐ-
20 τοῦ. καὶ ἐκάλεσεν Αδαμ ὀνόματα πᾶσιν τοῖς κτήνεσιν καὶ πᾶσι
τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ τῷ
21 δὲ Αδαμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. καὶ ἐπέβαλεν ὁ θεὸς
ἔκστασιν ἐπὶ τὸν Αδαμ καὶ ὕπνωσεν καὶ ἔλαβεν μίαν τῶν πλευρῶν
22 αὐτοῦ καὶ ἀνεπλήρωσεν σάρκα ἀντ' αὐτῆς. καὶ ᾠκοδόμησεν κύ-
ριος ὁ θεὸς τὴν πλευράν ἣν ἔλαβεν ἀπὸ τοῦ Αδαμ εἰς γυναῖκα καὶ
23 ἤγαγεν αὐτὴν πρὸς τὸν Αδαμ. καὶ εἶπεν Αδαμ τοῦτο νῦν ὀστοῦν
ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου αὕτη κληθήσεται
24 γυνή ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήμφθη αὕτη. ἕνεκεν τούτου κα-
ταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ
προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο
25 εἰς σάρκα μίαν. καὶ ἦσαν οἱ δύο γυμνοί ὅ τε Αδαμ καὶ ἡ γυνὴ
αὐτοῦ καὶ οὐκ ᾐσχύνοντο.

---

**v.16** καί[cc] ἐντέλλομαι[viam3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Ἀδάμ[ndmsp] λέγω[vppanms] ἀπό[pg] πᾶς[aignsn] ξύλον[ngnsc] ὁ[dgns] ἐν[pd] ὁ[ddms] παράδεισος[ndmsc] βρῶσις[ndfsc] ἐσθίω[vifm2s]. **v.17** ἀπό[pg] δέ[cc] ὁ[dgns] ξύλον[ngnsc] ὁ[dgns] γινώσκω[vnpa] καλός[anansn] καί[cc] πονηρός[anansn] οὐ[b] ἐσθίω[vifm2p] ἀπό[pg] αὐτός[rpgns] ὅς[rrdfs] δέ[cc] ἄν[x] ἡμέρα[ndfsc] ἐσθίω[vsaa2p] ἀπό[pg] αὐτός[rpgns] θάνατος[ndmsc] ἀποθνῄσκω[vifm2p]. **v.18** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] οὐ[b] καλός[anansn] εἰμί[vnpa] ὁ[dams] ἄνθρωπος[namsc] μόνος[anamsn] ποιέω[vsaa1p] αὐτός[rpdms] βοηθός[namsc] κατά[pa] αὐτός[rpams]. **v.19** καί[cc] πλάσσω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἔτι[b] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] πᾶς[aianpn] ὁ[danp] θηρίον[nanpc] ὁ[dgms] ἀγρός[ngmsc] καί[cc] πᾶς[aianpn] ὁ[danp] πετεινός[nanpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ἄγω[viaa3s] αὐτός[rpanp] πρός[pa] ὁ[dams] Ἀδάμ[namsp] ὁράω[vnaa] τίς[rqans] καλέω[vifa3s] αὐτός[rpanp] καί[cc] πᾶς[ainnsn] ὅς[rrans] ἐάν[x] καλέω[viaa3s] αὐτός[rpans] Ἀδάμ[nnmsp] ψυχή[nafsc] ζάω[vppaafs] οὗτος[rdnns] ὄνομα[nnnsc] αὐτός[rpgms]. **v.20** καί[cc] καλέω[viaa3s] Ἀδάμ[nnmsp] ὄνομα[nanpc] πᾶς[aidnpn] ὁ[ddnp] κτῆνος[ndnpc] καί[cc] πᾶς[aidnpn] ὁ[ddnp] πετεινός[ndnpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] πᾶς[aidnpn] ὁ[ddnp] θηρίον[ndnpc] ὁ[dgms] ἀγρός[ngmsc] ὁ[ddms] δέ[cc] Ἀδάμ[ndmsp] οὐ[b] εὑρίσκω[viap3s] βοηθός[nnmsc] ὅμοιος[annmsn] αὐτός[rpdms]. **v.21** καί[cc] ἐπιβάλλω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἔκστασις[nafsc] ἐπί[pa] ὁ[dams] Ἀδάμ[nnmsp] καί[cc] ὑπνόω[viaa3s] καί[cc] λαμβάνω[viaa3s] εἷς[acafsn] ὁ[dgfp] πλευρά[ngfpc] αὐτός[rpgms] καί[cc] ἀναπληρόω[viaa3s] σάρξ[nafsc] ἀντί[pg] αὐτός[rpgfs]. **v.22** καί[cc] οἰκοδομέω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dafs] πλευρά[nafsc] ὅς[rrafs] λαμβάνω[viaa3s] ἀπό[pg] ὁ[dgms] Ἀδάμ[ngmsp] εἰς[pa] γυνή[nafsc] καί[cc] ἄγω[viaa3s] αὐτός[rpafs] πρός[pa] ὁ[dams] Ἀδάμ[namsp]. **v.23** καί[cc] λέγω[viaa3s] Ἀδάμ[nnmsp] οὗτος[rdnns] νῦν[b] ὀστέον[nnnsc] ἐκ[pg] ὁ[dgnp] ὀστέον[ngnpc] ἐγώ[rpgms] καί[cc] σάρξ[nnfsc] ἐκ[pg] ὁ[dgfs] σάρξ[ngfsc] ἐγώ[rpgms] οὗτος[rdnfs] καλέω[vifp3s] γυνή[nnfsc] ὅτι[cs] ἐκ[pg] ὁ[dgms] ἀνήρ[ngmsc] αὐτός[rpgfs] λαμβάνω[viap3s] οὗτος[rdnfs]. **v.24** ἕνεκα[pg] οὗτος[rdgns] καταλείπω[vifa3s] ἄνθρωπος[nnmsc] ὁ[dams] πατήρ[namsc] αὐτός[rpgms] καί[cc] ὁ[dafs] μήτηρ[nafsc] αὐτός[rpgms] καί[cc] προσκολλάω[vifp3s] πρός[pa] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] καί[cc] εἰμί[vifm3p] ὁ[dnmp] δύο[ac—n] εἰς[pa] σάρξ[nafsc] εἷς[acafsn]. **v.25** καί[cc] εἰμί[viia3p] ὁ[dnmp] δύο[ac—n] γυμνός[annmpn] ὁ[dnms] τέ[cc] Ἀδάμ[nnmsp] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] αὐτός[rpgms] καί[cc] οὐ[b] αἰσχύνω[viip3p].

Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς **3**
γῆς, ὧν ἐποίησεν κύριος ὁ θεός καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί τί ὅτι
εἶπεν ὁ θεός οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδεί-
σῳ. καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει ἀπὸ καρποῦ ξύλου τοῦ παραδείσου 2
φαγόμεθα. ἀπὸ δὲ καρποῦ τοῦ ξύλου ὅ ἐστιν ἐν μέσῳ τοῦ πα- 3
ραδείσου εἶπεν ὁ θεός οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ οὐδὲ μὴ ἅψησθε
αὐτοῦ ἵνα μὴ ἀποθάνητε. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί οὐ θα- 4
νάτῳ ἀποθανεῖσθε. ᾔδει γὰρ ὁ θεὸς ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε 5
ἀπ᾽ αὐτοῦ διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί καὶ ἔσεσθε ὡς θεοὶ
γινώσκοντες καλὸν καὶ πονηρόν. καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ 6
ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν
ἐστιν τοῦ κατανοῆσαι καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν καὶ
ἔδωκεν καὶ τῷ ἀνδρὶ αὐτῆς μετ᾽ αὐτῆς καὶ ἔφαγον. καὶ διηνοί- 7
χθησαν οἱ ὀφθαλμοὶ τῶν δύο καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν καὶ
ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα. Καὶ 8
ἤκουσαν τὴν φωνὴν κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παρα-
δείσῳ τὸ δειλινόν καὶ ἐκρύβησαν ὅ τε Αδαμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ
προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου.
καὶ ἐκάλεσεν κύριος ὁ θεὸς τὸν Αδαμ καὶ εἶπεν αὐτῷ Αδαμ ποῦ 9
εἶ. καὶ εἶπεν αὐτῷ τὴν φωνήν σου ἤκουσα περιπατοῦντος ἐν 10

---

**3. v.1** ὁ[dnms] δέ[cc] ὄφις[nnmsc] εἰμί[viia3s] φρόνιμος[annmss] πᾶς[aignpn] ὁ[dgnp] θηρίον[ngnpc] ὁ[dgnp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅς[rrgnp] ποιέω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] καί[cc] λέγω[viaa3s] ὁ[dnms] ὄφις[nnmsc] ὁ[ddfs] γυνή[ndfsc] τίς[rqnns] ὅτι[cs] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] οὐ[b] μή[x] ἐσθίω[vsaa2p] ἀπό[pg] πᾶς[aignsn] ξύλον[ngnsc] ὁ[dgns] ἐν[pd] ὁ[ddms] παράδεισος[ndmsc]. **v.2** καί[cc] λέγω[viaa3s] ὁ[dnfs] γυνή[nnfsc] ὁ[ddms] ὄφις[ndmsc] ἀπό[pg] καρπός[ngmsc] ξύλον[ngnsc] ὁ[dgms] παράδεισος[ngmsc] ἐσθίω[vifm1p]. **v.3** ἀπό[pg] δέ[cc] καρπός[ngmsc] ὁ[dgns] ξύλον[ngnsc] ὅς[rrnns] εἰμί[vipa3s] ἐν[pd] μέσος[andnsn] ὁ[dgms] παράδεισος[ngmsc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] οὐ[b] ἐσθίω[vifm2p] ἀπό[pg] αὐτός[rpgms] οὐδέ[cc] μή[x] ἅπτω[vsam2p] αὐτός[rpgms] ἵνα[cs] μή[x] ἀποθνῄσκω[vsaa2p]. **v.4** καί[cc] λέγω[viaa3s] ὁ[dnms] ὄφις[nnmsc] ὁ[ddfs] γυνή[ndfsc] οὐ[b] θάνατος[ndmsc] ἀποθνῄσκω[vifm2p]. **v.5** οἶδα[viya3s] γάρ[cc] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] ἐν[pd] ὅς[rrdfs] ἄν[x] ἡμέρα[ndfsc] ἐσθίω[vsaa2p] ἀπό[pg] αὐτός[rpgms] διανοίγω[vifp3p] σύ[rpg-p] ὁ[dnmp] ὀφθαλμός[nnmpc] καί[cc] εἰμί[vifm2p] ὡς[cs] θεός[nnmpc] γινώσκω[vppanmp] καλός[anansn] καί[cc] πονηρός[anansn]. **v.6** καί[cc] ὁράω[viaa3s] ὁ[dnfs] γυνή[nnfsc] ὅτι[cs] καλός[annnsn] ὁ[dnns] ξύλον[nnnsc] εἰς[pa] βρῶσις[nafsc] καί[cc] ὅτι[cs] ἀρεστός[annnsn] ὁ[ddmp] ὀφθαλμός[ndmpc] ὁράω[vnaa] καί[cc] ὡραῖος[annnsn] εἰμί[vipa3s] ὁ[dgns] κατανοέω[vnaa] καί[cc] λαμβάνω[vpaanfs] ὁ[dgms] καρπός[ngmsc] αὐτός[rpgns] ἐσθίω[viaa3s] καί[cc] δίδωμι[viaa3s] καί[cc] ὁ[ddms] ἀνήρ[ndmsc] αὐτός[rpgfs] μετά[pg] αὐτός[rpgfs] καί[cc] ἐσθίω[viaa3p]. **v.7** καί[cc] διανοίγω[viap3p] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ὁ[dgmp] δύο[ac—n] καί[cc] γινώσκω[viaa3p] ὅτι[cs] γυμνός[annmpn] εἰμί[viia3p] καί[cc] ῥάπτω[viaa3p] φύλλον[nanpc] συκῆ[ngfsc] καί[cc] ποιέω[viaa3p] ἑαυτοῦ[rxdmp] περίζωμα[nanpc]. **v.8** καί[cc] ἀκούω[viaa3p] ὁ[dafs] φωνή[nafsc] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc] περιπατέω[vppagms] ἐν[pd] ὁ[ddms] παράδεισος[ndmsc] ὁ[dans] δειλινός[anansn] καί[cc] κρύπτω[viap3p] ὁ[dnms] τέ[cc] Ἀδάμ[nnmsp] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] αὐτός[rpgms] ἀπό[pg] πρόσωπον[ngnsc] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc] ἐν[pd] μέσος[andnsn] ὁ[dgns] ξύλον[ngnsc] ὁ[dgms] παράδεισος[ngmsc]. **v.9** καί[cc] καλέω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] Ἀδάμ[namsp] καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] Ἀδάμ[nvmsp] ποῦ[b] εἰμί[vipa2s].

11 τῷ παραδείσῳ καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι καὶ ἐκρύβην. καὶ
εἶπεν αὐτῷ τίς ἀνήγγειλέν σοι ὅτι γυμνὸς εἶ μὴ ἀπὸ τοῦ ξύλου
οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ᾽ αὐτοῦ ἔφαγες.
12 καὶ εἶπεν ὁ Αδαμ ἡ γυνή ἣν ἔδωκας μετ᾽ ἐμοῦ αὕτη μοι ἔδωκεν
13 ἀπὸ τοῦ ξύλου καὶ ἔφαγον. καὶ εἶπεν κύριος ὁ θεὸς τῇ γυναικί τί
τοῦτο ἐποίησας καὶ εἶπεν ἡ γυνή ὁ ὄφις ἠπάτησέν με καὶ ἔφαγον.
14 καὶ εἶπεν κύριος ὁ θεὸς τῷ ὄφει ὅτι ἐποίησας τοῦτο ἐπικατάρατος
σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς
ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φάγῃ πάσας τὰς
15 ἡμέρας τῆς ζωῆς σου. καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ
μέσον τῆς γυναικὸς καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ
μέσον τοῦ σπέρματος αὐτῆς αὐτός σου τηρήσει κεφαλήν καὶ σὺ
16 τηρήσεις αὐτοῦ πτέρναν. καὶ τῇ γυναικὶ εἶπεν πληθύνων πλη-
θυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου ἐν λύπαις τέξῃ τέκνα
καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου καὶ αὐτός σου κυριεύ-
17 σει. τῷ δὲ Αδαμ εἶπεν ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου
καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ
φαγεῖν ἀπ᾽ αὐτοῦ ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου ἐν λύπαις
18 φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἀκάνθας καὶ τρι-
19 βόλους ἀνατελεῖ σοι καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ. ἐν ἱδρῶτι

---

**v.10** καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dafs] φωνή[nafsc] σύ[rpgms] ἀκούω[viaa1s] περιπατέω[vppagms] ἐν[pd] ὁ[ddms] παράδεισος[ndmsc] καί[cc] φοβέω[viap1s] ὅτι[cs] γυμνός[annmsn] εἰμί[vipa1s] καί[cc] κρύπτω[viap1s]. **v.11** καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] τίς[rqnms] ἀναγγέλλω[viaa3s] σύ[rpdms] ὅτι[cs] γυμνός[annmsn] εἰμί[vipa2s] μή[x] ἀπό[pg] ὁ[dgns] ξύλον[ngnsc] ὅς[rrgns] ἐντέλλομαι[viam1s] σύ[rpdms] οὗτος[rdgns] μόνος[angnsn] μή[x] ἐσθίω[vnaa] ἀπό[pg] αὐτός[rpgns] ἐσθίω[viaa2s]. **v.12** καί[cc] λέγω[viaa3s] ὁ[dnms] Ἀδάμ[nnmsp] ὁ[dnfs] γυνή[nnfsc] ὅς[rrafs] δίδωμι[viaa2s] μετά[pg] ἐγώ[rpgms] οὗτος[rdnfs] ἐγώ[rpdms] δίδωμι[viaa3s] ἀπό[pg] ὁ[dgns] ξύλον[ngnsc] καί[cc] ἐσθίω[viaa1s]. **v.13** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddfs] γυνή[ndfsc] τίς[rqans] οὗτος[rdans] ποιέω[viaa2s] καί[cc] λέγω[viaa3s] ὁ[dnfs] γυνή[nnfsc] ὁ[dnms] ὄφις[nnmsc] ἀπατάω[viaa3s] ἐγώ[rpafs] καί[cc] ἐσθίω[viaa1s]. **v.14** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] ὄφις[ndmsc] ὅτι[cs] ποιέω[viaa2s] οὗτος[rdans] ἐπικατάρατος[annmsn] σύ[rpnms] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] κτῆνος[ngnpc] καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] θηρίον[ngnpc] ὁ[dgfs] γῆ[ngfsc] ἐπί[pd] ὁ[ddns] στῆθος[ndnsc] σύ[rpgms] καί[cc] ὁ[ddfs] κοιλία[ndfsc] πορεύομαι[vifm2s] καί[cc] γῆ[nafsc] ἐσθίω[vifm2s] πᾶς[aiafpn] ὁ[dafp] ἡμέρα[nafpc] ὁ[dgfs] ζωή[ngfsc] σύ[rpgms]. **v.15** καί[cc] ἔχθρα[nafsc] τίθημι[vifa1s] ἀνά[pa] μέσος[anansn] σύ[rpgms] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgfs] γυνή[ngfsc] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] σπέρμα[ngnsc] σύ[rpgms] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] σπέρμα[ngnsc] αὐτός[rpgfs] αὐτός[rpnms] σύ[rpgms] τηρέω[vifa3s] κεφαλή[nafsc] καί[cc] σύ[rpnms] τηρέω[vifa2s] αὐτός[rpgms] πτέρνα[nafsc]. **v.16** καί[cc] ὁ[ddfs] γυνή[ndfsc] λέγω[viaa3s] πληθύνω[vppanms] πληθύνω[vifa1s] ὁ[dafp] λύπη[nafpc] σύ[rpgfs] καί[cc] ὁ[dams] στεναγμός[namsc] σύ[rpgfs] ἐν[pd] λύπη[ndfpc] τίκτω[vifm2s] τέκνον[nanpc] καί[cc] πρός[pa] ὁ[dams] ἀνήρ[namsc] σύ[rpgfs] ὁ[dnfs] ἀποστροφή[nnfsc] σύ[rpgfs] καί[cc] αὐτός[rpnms] σύ[rpgfs] κυριεύω[vifa3s]. **v.17** ὁ[ddms] δέ[cc] Ἀδάμ[ndmsp] λέγω[viaa3s] ὅτι[cs] ἀκούω[viaa2s] ὁ[dgfs] φωνή[ngfsc] ὁ[dgfs] γυνή[ngfsc] σύ[rpgms] καί[cc] ἐσθίω[viaa2s] ἀπό[pg] ὁ[dgns] ξύλον[ngnsc] ὅς[rrgns] ἐντέλλομαι[viam1s] σύ[rpdms] οὗτος[rdgns] μόνος[angnsn] μή[x] ἐσθίω[vnaa] ἀπό[pg] αὐτός[rpgns] ἐπικατάρατος[annfsn] ὁ[dnfs] γῆ[nnfsc] ἐν[pd] ὁ[ddnp] ἔργον[ndnpc] σύ[rpgms] ἐν[pd] λύπη[ndfpc] ἐσθίω[vifm2s] αὐτός[rpafs] πᾶς[aiafpn] ὁ[dafp] ἡμέρα[nafpc] ὁ[dgfs] ζωή[ngfsc] σύ[rpgms]. **v.18** ἄκανθα[nafpc] καί[cc] τρίβολος[nampc] ἀνατέλλω[vifa3s] σύ[rpdms] καί[cc] ἐσθίω[vifm2s] ὁ[dams] χόρτος[namsc] ὁ[dgms] ἀγρός[ngmsc].

τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου ἕως τοῦ ἀποστρέψαι σε
εἰς τὴν γῆν ἐξ ἧς ἐλήμφθης ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ 20
ἐκάλεσεν Αδαμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωή ὅτι αὕτη μήτηρ
πάντων τῶν ζώντων. Καὶ ἐποίησεν κύριος ὁ θεὸς τῷ Αδαμ καὶ τῇ 21
γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς. καὶ 22
εἶπεν ὁ θεός Ἰδοὺ Αδαμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν
καλὸν καὶ πονηρόν, καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ
τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. καὶ 23
ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυ-
φῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήμφθη. καὶ ἐξέβαλεν τὸν Αδαμ 24
καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ
ἔταξεν τὰ χερουβιμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην
φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

Αδαμ δὲ ἔγνω Ευαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτε- **4**
κεν τὸν Καιν καὶ εἶπεν Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ. καὶ 2
προσέθηκεν τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Αβελ καὶ ἐγένετο Αβελ
ποιμὴν προβάτων Καιν δὲ ἦν ἐργαζόμενος τὴν γῆν. καὶ ἐγένετο 3
μεθ' ἡμέρας ἤνεγκεν Καιν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ
κυρίῳ. καὶ Αβελ ἤνεγκεν καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν 4
προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν καὶ ἐπεῖδεν ὁ θεὸς
ἐπὶ Αβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ. ἐπὶ δὲ Καιν καὶ ἐπὶ ταῖς 5

---

**v.19** ἐν[pd] ἱδρώς[ndmsc] ὁ[dgns] πρόσωπον[ngnsc] σύ[rpgms] ἐσθίω[vifm2s] ὁ[dams] ἄρτος[namsc] σύ[rpgms] ἕως[cs] ὁ[dgns] ἀποστρέφω[vnaa] σύ[rpams] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] ἐκ[pg] ὅς[rrgfs] λαμβάνω[viap2s] ὅτι[cs] γῆ[nnfsc] εἰμί[vipa2s] καί[cc] εἰς[pa] γῆ[nafsc] ἀπέρχομαι[vifm2s]. **v.20** καί[cc] καλέω[viaa3s] Ἀδάμ[nnmsp] ὁ[dans] ὄνομα[nansc] ὁ[dgfs] γυνή[ngfsc] αὐτός[rpgms] ζωή[nnfsp] ὅτι[cs] οὗτος[rdnfs] μήτηρ[nnfsc] πᾶς[aigmpn] ὁ[dgmp] ζάω[vppagmp]. **v.21** καί[cc] ποιέω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Ἀδάμ[ndmsp] καί[cc] ὁ[ddfs] γυνή[ndfsc] αὐτός[rpgms] χιτών[nampc] δερμάτινος[anampn] καί[cc] ἐνδύω[viaa3s] αὐτός[rpamp]. **v.22** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἰδού[i] Ἀδάμ[nnmsp] γίνομαι[vixa3s] ὡς[cs] εἷς[acnmsn] ἐκ[pg] ἐγώ[rpg-p] ὁ[dgns] γινώσκω[vnpa] καλός[anansn] καί[cc] πονηρός[anansn] καί[cc] νῦν[b] μήποτε[cs] ἐκτείνω[vsaa3s] ὁ[dafs] χείρ[nafsc] καί[cc] λαμβάνω[vsaa3s] ὁ[dgns] ξύλον[ngnsc] ὁ[dgfs] ζωή[ngfsc] καί[cc] ἐσθίω[vsaa3s] καί[cc] ζάω[vifm3s] εἰς[pa] ὁ[dams] αἰών[namsc]. **v.23** καί[cc] ἐξαποστέλλω[viaa3s] αὐτός[rpams] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἐκ[pg] ὁ[dgms] παράδεισος[ngmsc] ὁ[dgfs] τρυφή[ngfsc] ἐργάζομαι[vnpm] ὁ[dafs] γῆ[nafsc] ἐκ[pg] ὅς[rrgfs] λαμβάνω[viap3s]. **v.24** καί[cc] ἐκβάλλω[viaa3s] ὁ[dams] Ἀδάμ[namsp] καί[cc] κατοικίζω[viaa3s] αὐτός[rpams] ἀπέναντι[pg] ὁ[dgms] παράδεισος[ngmsc] ὁ[dgfs] τρυφή[ngfsc] καί[cc] τάσσω[viaa3s] ὁ[danp] χερούβ[nanpc] καί[cc] ὁ[dafs] φλόγινος[anafsn] ῥομφαία[nafsc] ὁ[dafs] στρέφω[vppmafs] φυλάσσω[vnpa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgns] ξύλον[ngnsc] ὁ[dgfs] ζωή[ngfsc]. **4. v.1** Ἀδάμ[nnmsp] δέ[cc] γινώσκω[viaa3s] Εὕα[nafsp] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] καί[cc] συλλαμβάνω[vpaanfs] τίκτω[viaa3s] ὁ[dams] Κάϊν[namsp] καί[cc] λέγω[viaa3s] κτάομαι[viam1s] ἄνθρωπος[namsc] διά[pg] ὁ[dgms] θεός[ngmsc]. **v.2** καί[cc] προστίθημι[viaa3s] τίκτω[vnaa] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] ὁ[dams] Ἅβελ[namsp] καί[cc] γίνομαι[viam3s] Ἅβελ[nnmsp] ποιμήν[nnmsc] πρόβατον[ngnpc] Κάϊν[nnmsp] δέ[cc] εἰμί[viia3s] ἐργάζομαι[vppmnms] ὁ[dafs] γῆ[nafsc]. **v.3** καί[cc] γίνομαι[viam3s] μετά[pa] ἡμέρα[nafpc] φέρω[viaa3s] Κάϊν[nnmsp] ἀπό[pg] ὁ[dgmp] καρπός[ngmpc] ὁ[dgfs] γῆ[ngfsc] θυσία[nafsc] ὁ[ddms] κύριος[ndmsc]. **v.4** καί[cc] Ἅβελ[nnmsp] φέρω[viaa3s] καί[b] αὐτός[rtnms] ἀπό[pg] ὁ[dgnp] πρωτότοκος[angnpn] ὁ[dgnp] πρόβατον[ngnpc] αὐτός[rpgms] καί[cc] ἀπό[pg] ὁ[dgnp] στέαρ[ngnpc] αὐτός[rpgmp] καί[cc] ἐφοράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἐπί[pd] Ἅβελ[ndmsp] καί[cc] ἐπί[pd] ὁ[ddnp] δῶρον[ndnpc] αὐτός[rpgms].

θυσίαις αὐτοῦ οὐ προσέσχεν καὶ ἐλύπησεν τὸν Καιν λίαν καὶ συ-
6 νέπεσεν τῷ προσώπῳ. καὶ εἶπεν κύριος ὁ θεὸς τῷ Καιν ἵνα τί
7 περίλυπος ἐγένου καὶ ἵνα τί συνέπεσεν τὸ πρόσωπόν σου. οὐκ
ἐὰν ὀρθῶς προσενέγκῃς ὀρθῶς δὲ μὴ διέλῃς ἥμαρτες ἡσύχασον
8 πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξεις αὐτοῦ. καὶ εἶπεν
Καιν πρὸς Αβελ τὸν ἀδελφὸν αὐτοῦ διέλθωμεν εἰς τὸ πεδίον καὶ
ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ καὶ ἀνέστη Καιν ἐπὶ Αβελ
9 τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν. καὶ εἶπεν ὁ θεὸς πρὸς
Καιν ποῦ ἐστιν Αβελ ὁ ἀδελφός σου ὁ δὲ εἶπεν οὐ γινώσκω μὴ
10 φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ. καὶ εἶπεν ὁ θεός τί ἐποίησας
11 φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς. καὶ
νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς ἣ ἔχανεν τὸ στόμα αὐτῆς δέ-
12 ξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου. ὅτι ἐργᾷ
τὴν γῆν καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι στένων καὶ
13 τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. καὶ εἶπεν Καιν πρὸς τὸν κύριον μεί-
14 ζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με. εἰ ἐκβάλλεις με σήμερον ἀπὸ
προσώπου τῆς γῆς καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι καὶ
ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς καὶ ἔσται πᾶς ὁ εὑρίσκων
15 με ἀποκτενεῖ με. καὶ εἶπεν αὐτῷ κύριος ὁ θεός οὐχ οὕτως πᾶς ὁ
ἀποκτείνας Καιν ἑπτὰ ἐκδικούμενα παραλύσει καὶ ἔθετο κύριος ὁ
θεὸς σημεῖον τῷ Καιν τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα

---

**v.5** ἐπί[pd] δέ[cc] Κάϊν[ndmsp] καί[cc] ἐπί[pd] ὁ[ddfp] θυσία[ndfpc] αὐτός[rpgms] οὐ[b] προσέχω[viaa3s] καί[cc] λυπέω[viaa3s] ὁ[dams] Κάϊν[namsp] λίαν[b] καί[cc] συμπίπτω[viaa3s] ὁ[ddns] πρόσωπον[ndnsc]. **v.6** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Κάϊν[ndmsp] ἵνα[cs] τίς[rqnns] περίλυπος[annmsn] γίνομαι[viam2s] καί[cc] ἵνα[cs] τίς[rqnns] συμπίπτω[viaa3s] ὁ[dnns] πρόσωπον[nnnsc] σύ[rpgms]. **v.7** οὐ[b] ἐάν[cs] ὀρθῶς[b] προσφέρω[vsaa2s] ὀρθῶς[b] δέ[cc] μή[x] διαιρέω[vsaa2s] ἁμαρτάνω[viaa2s] ἡσυχάζω[vdaa2s] πρός[pa] σύ[rpams] ὁ[dnfs] ἀποστροφή[nnfsc] αὐτός[rpgms] καί[cc] σύ[rpnms] ἄρχω[vifa2s] αὐτός[rpgms]. **v.8** καί[cc] λέγω[viaa3s] Κάϊν[nnmsp] πρός[pa] Ἅβελ[namsp] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] διέρχομαι[vsaa1p] εἰς[pa] ὁ[dans] πεδίον[nansc] καί[cc] γίνομαι[viam3s] ἐν[pd] ὁ[ddns] εἰμί[vnpa] αὐτός[rpamp] ἐν[pd] ὁ[ddns] πεδίον[ndnsc] καί[cc] ἀνίστημι[viaa3s] Κάϊν[nnmsp] ἐπί[pa] Ἅβελ[namsp] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] καί[cc] ἀποκτείνω[viaa3s] αὐτός[rpams]. **v.9** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Κάϊν[namsp] ποῦ[b] εἰμί[vipa3s] Ἅβελ[nnmsp] ὁ[dnms] ἀδελφός[nnmsc] σύ[rpgms] ὁ[dnms] δέ[cc] λέγω[viaa3s] οὐ[b] γινώσκω[vipa1s] μή[x] φύλαξ[nnmsc] ὁ[dgms] ἀδελφός[ngmsc] ἐγώ[rpgms] εἰμί[vipa1s] ἐγώ[rpnms]. **v.10** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] τίς[rqans] ποιέω[viaa2s] φωνή[nnfsc] αἷμα[ngnsc] ὁ[dgms] ἀδελφός[ngmsc] σύ[rpgms] βοάω[vipa3s] πρός[pa] ἐγώ[rpams] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.11** καί[cc] νῦν[b] ἐπικατάρατος[annmsn] σύ[rpnms] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅς[rrnfs] χαίνω[viaa3s] ὁ[dnns] στόμα[nnnsc] αὐτός[rpgfs] δέχομαι[vnam] ὁ[dans] αἷμα[nansc] ὁ[dgms] ἀδελφός[ngmsc] σύ[rpgms] ἐκ[pg] ὁ[dgfs] χείρ[ngfsc] σύ[rpgms]. **v.12** ὅτι[cs] ἐργάζομαι[vifm2s] ὁ[dafs] γῆ[nafsc] καί[cc] οὐ[b] προστίθημι[vifa3s] ὁ[dafs] ἰσχύς[nafsc] αὐτός[rpgfs] δίδωμι[vnaa] σύ[rpdms] στένω[vppanms] καί[cc] τρέμω[vppanms] εἰμί[vifm2s] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.13** καί[cc] λέγω[viaa3s] Κάϊν[nnmsp] πρός[pa] ὁ[dams] κύριος[namsc] μέγας[annfsc] ὁ[dnfs] αἰτία[nnfsc] ἐγώ[rpgms] ὁ[dgns] ἀφίημι[vnap] ἐγώ[rpams]. **v.14** εἰ[cs] ἐκβάλλω[vipa2s] ἐγώ[rpams] σήμερον[b] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἀπό[pg] ὁ[dgns] πρόσωπον[ngnsc] σύ[rpgms] κρύπτω[vifp1s] καί[cc] εἰμί[vifm1s] στένω[vppanms] καί[cc] τρέμω[vppanms] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] εἰμί[vifm3s] πᾶς[ainmsn] ὁ[dnms] εὑρίσκω[vppanms] ἐγώ[rpams] ἀποκτείνω[vifa3s] ἐγώ[rpams].

αὐτόν. ἐξῆλθεν δὲ Καιν ἀπὸ προσώπου τοῦ θεοῦ καὶ ᾤκησεν ἐν 16
γῇ Ναιδ κατέναντι Εδεμ. Καὶ ἔγνω Καιν τὴν γυναῖκα αὐτοῦ, καὶ 17
συλλαβοῦσα ἔτεκεν τὸν Ενωχ καὶ ἦν οἰκοδομῶν πόλιν καὶ ἐπωνό-
μασεν τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ενωχ. ἐγενήθη 18
δὲ τῷ Ενωχ Γαιδαδ καὶ Γαιδαδ ἐγέννησεν τὸν Μαιηλ καὶ Μαιηλ
ἐγέννησεν τὸν Μαθουσαλα καὶ Μαθουσαλα ἐγέννησεν τὸν Λαμεχ.
καὶ ἔλαβεν ἑαυτῷ Λαμεχ δύο γυναῖκας ὄνομα τῇ μιᾷ Αδα καὶ ὄ- 19
νομα τῇ δευτέρᾳ Σελλα. καὶ ἔτεκεν Αδα τὸν Ιωβελ οὗτος ἦν ὁ 20
πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων. καὶ ὄνομα τῷ ἀδελ- 21
φῷ αὐτοῦ Ιουβαλ οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν.
Σελλα δὲ ἔτεκεν καὶ αὐτὴ τὸν Θοβελ καὶ ἦν σφυροκόπος χαλκεὺς 22
χαλκοῦ καὶ σιδήρου ἀδελφὴ δὲ Θοβελ Νοεμα. εἶπεν δὲ Λαμεχ 23
ταῖς ἑαυτοῦ γυναιξίν Αδα καὶ Σελλα ἀκούσατέ μου τῆς φωνῆς γυ-
ναῖκες Λαμεχ ἐνωτίσασθέ μου τοὺς λόγους ὅτι ἄνδρα ἀπέκτεινα
εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. ὅτι ἑπτάκις 24
ἐκδεδίκηται ἐκ Καιν ἐκ δὲ Λαμεχ ἑβδομηκοντάκις ἑπτά. Ἔγνω 25
δὲ Αδαμ Ευαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν
καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Σηθ λέγουσα Ἐξανέστησεν γάρ
μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Αβελ, ὃν ἀπέκτεινεν Καιν. καὶ 26

---

**v.15** καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] οὐ[b] οὕτως[b] πᾶς[ainmsn] ὁ[dnms] ἀποκτείνω[vpaanms] Κάϊν[namsp] ἑπτά[ac—n] ἐκδικέω[vppmanp] παραλύω[vifa3s] καί[cc] τίθημι[viam3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σημεῖον[nansc] ὁ[ddms] Κάϊν[ndmsp] ὁ[dgns] μή[x] ἀναιρέω[vnaa] αὐτός[rpams] πᾶς[aiamsn] ὁ[dams] εὑρίσκω[vppaams] αὐτός[rpams]. **v.16** ἐξέρχομαι[viaa3s] δέ[cc] Κάϊν[nnmsp] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] οἰκέω[viaa3s] ἐν[pd] γῆ[ndfsc] Ναιδ[n–sp] κατέναντι[pg] Εδεμ[ng-sp]. **v.17** καί[cc] γινώσκω[viaa3s] Κάϊν[nnmsp] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] καί[cc] συλλαμβάνω[vpaanfs] τίκτω[viaa3s] ὁ[dams] Ενωχ[namsp] καί[cc] εἰμί[viia3s] οἰκοδομέω[vppanms] πόλις[nafsc] καί[cc] ἐπονομάζω[viaa3s] ὁ[dafs] πόλις[nafsc] ἐπί[pd] ὁ[ddns] ὄνομα[ndnsc] ὁ[dgms] υἱός[ngmsc] αὐτός[rpgms] Ενωχ[ngmsp]. **v.18** γίνομαι[viap3s] δέ[cc] ὁ[ddms] Ενωχ[ndmsp] Γαιδαδ[nnmsp] καί[cc] Γαιδαδ[nnmsp] γεννάω[viaa3s] ὁ[dams] Μαιηλ[namsp] καί[cc] Μαιηλ[nnmsp] γεννάω[viaa3s] ὁ[dams] Μαθουσαλά[namsp] καί[cc] Μαθουσαλά[nnmsp] γεννάω[viaa3s] ὁ[dams] Λάμεχ[namsp]. **v.19** καί[cc] λαμβάνω[viaa3s] ἑαυτοῦ[rxdms] Λάμεχ[nnmsp] δύο[ac—n] γυνή[nafpc] ὄνομα[nnnsc] ὁ[ddfs] εἷς[acdfsn] Αδα[nnfsp] καί[cc] ὄνομα[nnnsc] ὁ[ddfs] δεύτερος[aodfsn] Σελλα[nnfsp]. **v.20** καί[cc] τίκτω[viaa3s] Αδα[nnfsp] ὁ[dams] Ιωβελ[namsp] οὗτος[rdnms] εἰμί[viia3s] ὁ[dnms] πατήρ[nnmsc] οἰκέω[vppagmp] ἐν[pd] σκηνή[ndfpc] κτηνοτρόφος[angmpn]. **v.21** καί[cc] ὄνομα[nnnsc] ὁ[ddms] ἀδελφός[ndmsc] αὐτός[rpgms] Ιουβαλ[nnmsp] οὗτος[rdnms] εἰμί[viia3s] ὁ[dnms] καταδείκνυμι[vpaanms] ψαλτήριον[nansc] καί[cc] κιθάρα[nafsc]. **v.22** Σελλα[nnfsp] δέ[cc] τίκτω[viaa3s] καί[b] αὐτός[rtnfs] ὁ[dams] Θοβελ[namsp] καί[cc] εἰμί[viia3s] σφυροκόπος[annmsn] χαλκεύς[nnmsc] χαλκός[ngmsc] καί[cc] σίδηρος[ngmsc] ἀδελφή[nnfsc] δέ[cc] Θοβελ[ngmsp] Νοεμα[nnfsp]. **v.23** λέγω[viaa3s] δέ[cc] Λάμεχ[nnmsp] ὁ[ddfp] ἑαυτοῦ[rxgms] γυνή[ndfpc] Αδα[ndfsp] καί[cc] Σελλα[ndfsp] ἀκούω[vdaa2p] ἐγώ[rpgms] ὁ[dgfs] φωνή[ngfsc] γυνή[nvfpc] Λάμεχ[ngmsp] ἐνωτίζομαι[vdam2p] ἐγώ[rpgms] ὁ[damp] λόγος[nampc] ὅτι[cs] ἀνήρ[namsc] ἀποκτείνω[viaa1s] εἰς[pa] τραῦμα[nansc] ἐγώ[rpdms] καί[cc] νεανίσκος[namsc] εἰς[pa] μώλωψ[namsc] ἐγώ[rpdms]. **v.24** ὅτι[cs] ἑπτάκις[b] ἐκδικέω[vixp3s] ἐκ[pg] Κάϊν[ngmsp] ἐκ[pg] δέ[cc] Λάμεχ[ngmsp] ἑβδομηκοντάκις[b] ἑπτά[ac—n]. **v.25** γινώσκω[viaa3s] δέ[cc] Ἀδάμ[nnmsp] Εὕα[nafsp] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] καί[cc] συλλαμβάνω[vpaanfs] τίκτω[viaa3s] υἱός[namsc] καί[cc] ἐπονομάζω[viaa3s] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Σήθ[namsp] λέγω[vppanfs] ἐξανίστημι[viaa3s] γάρ[cc] ἐγώ[rpdfs] ὁ[dnms] θεός[nnmsc] σπέρμα[nansc] ἕτερος[aiansn] ἀντί[pg] Ἅβελ[ngmsp] ὅς[rrams] ἀποκτείνω[viaa3s] Κάϊν[nnmsp].

τῷ Σηθ ἐγένετο υἱός ἐπωνόμασεν δὲ τὸ ὄνομα αὐτοῦ Ενως οὗτος
ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ.
**5** Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς
2 τὸν Αδαμ κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἄρσεν καὶ θῆλυ
ἐποίησεν αὐτοὺς καὶ εὐλόγησεν αὐτούς καὶ ἐπωνόμασεν τὸ ὄ-
3 νομα αὐτῶν Αδαμ ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς. ἔζησεν δὲ Αδαμ
διακόσια καὶ τριάκοντα ἔτη καὶ ἐγέννησεν κατὰ τὴν ἰδέαν αὐτοῦ
καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Σηθ.
4 ἐγένοντο δὲ αἱ ἡμέραι Αδαμ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σηθ ἑ-
5 πτακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ ἐγένοντο
πᾶσαι αἱ ἡμέραι Αδαμ ἃς ἔζησεν ἐννακόσια καὶ τριάκοντα ἔτη καὶ
6 ἀπέθανεν. Ἔζησεν δὲ Σηθ διακόσια καὶ πέντε ἔτη καὶ ἐγέννησεν
7 τὸν Ενως. καὶ ἔζησεν Σηθ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ενως ἑ-
8 πτακόσια καὶ ἑπτὰ ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ
ἐγένοντο πᾶσαι αἱ ἡμέραι Σηθ ἐννακόσια καὶ δώδεκα ἔτη καὶ ἀ-
9 πέθανεν. Καὶ ἔζησεν Ενως ἑκατὸν ἐνενήκοντα ἔτη καὶ ἐγέννησεν
10 τὸν Καιναν. καὶ ἔζησεν Ενως μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Καιναν
ἑπτακόσια καὶ δέκα πέντε ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέ-
11 ρας. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ενως ἐννακόσια καὶ πέντε
12 ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Καιναν ἑκατὸν ἑβδομήκοντα ἔτη
13 καὶ ἐγέννησεν τὸν Μαλελεηλ. καὶ ἔζησεν Καιναν μετὰ τὸ γεν-

---

**v.26** καί[cc] ὁ[ddms] Σήθ[ndmsp] γίνομαι[viam3s] υἱός[nnmsc] ἐπονομάζω[viaa3s] δέ[cc] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Ενως[namsp] οὗτος[rdnms] ἐλπίζω[viaa3s] ἐπικαλέω[vnpm] ὁ[dans] ὄνομα[nansc] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc]. **5. v.1** οὗτος[rdnfs] ὁ[dnfs] βίβλος[nnfsc] γένεσις[ngfsc] ἄνθρωπος[ngmpc] ὅς[rrdfs] ἡμέρα[ndfsc] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] Ἀδάμ[namsp] κατά[pa] εἰκών[nafsc] θεός[ngmsc] ποιέω[viaa3s] αὐτός[rpams]. **v.2** ἄρσην[anansn] καί[cc] θῆλυς[anansn] ποιέω[viaa3s] αὐτός[rpamp] καί[cc] εὐλογέω[viaa3s] αὐτός[rpamp] καί[cc] ἐπονομάζω[viaa3s] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgmp] Ἀδάμ[namsp] ὅς[rrdfs] ἡμέρα[ndfsc] ποιέω[viaa3s] αὐτός[rpamp]. **v.3** ζάω[viaa3s] δέ[cc] Ἀδάμ[nnmsp] διακόσιοι[acanpn] καί[cc] τριάκοντα[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] κατά[pa] ὁ[dafs] ἰδέα[nafsc] αὐτός[rpgms] καί[cc] κατά[pa] ὁ[dafs] εἰκών[nafsc] αὐτός[rpgms] καί[cc] ἐπονομάζω[viaa3s] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Σήθ[namsp]. **v.4** γίνομαι[viam3p] δέ[cc] ὁ[dnfp] ἡμέρα[nnfpc] Ἀδάμ[ngmsp] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Σήθ[namsp] ἑπτακόσιοι[acnnpn] ἔτος[nnnpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc]. **v.5** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Ἀδάμ[ngmsp] ὅς[rrafp] ζάω[viaa3s] ἐννακόσιοι[acnnpn] καί[cc] τριάκοντα[ac—n] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **v.6** ζάω[viaa3s] δέ[cc] Σήθ[nnmsp] διακόσιοι[acanpn] καί[cc] πέντε[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] ὁ[dams] Ενως[namsp]. **v.7** καί[cc] ζάω[viaa3s] Σήθ[nnmsp] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Ενως[namsp] ἑπτακόσιοι[acanpn] καί[cc] ἑπτά[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc]. **v.8** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Σήθ[ngmsp] ἐννακόσιοι[acnnpn] καί[cc] δώδεκα[ac—n] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **v.9** καί[cc] ζάω[viaa3s] Ενως[nnmsp] ἑκατόν[ac—n] ἐνενήκοντα[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] ὁ[dams] Καιναν[namsp]. **v.10** καί[cc] ζάω[viaa3s] Ενως[nnmsp] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Καιναν[namsp] ἑπτακόσιοι[acanpn] καί[cc] δέκα[ac—n] πέντε[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc]. **v.11** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Ενως[ngmsp] ἐννακόσιοι[acnnpn] καί[cc] πέντε[ac—n] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **v.12** καί[cc] ζάω[viaa3s] Καιναν[nnmsp] ἑκατόν[ac—n] ἑβδομήκοντα[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] ὁ[dams] Μαλελεήλ[namsp].

νῆσαι αὐτὸν τὸν Μαλελεηλ ἑπτακόσια καὶ τεσσαράκοντα ἔτη καὶ
ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι 14
Καιναν ἐννακόσια καὶ δέκα ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Μα- 15
λελεηλ ἑκατὸν καὶ ἑξήκοντα πέντε ἔτη καὶ ἐγέννησεν τὸν Ιαρεδ.
καὶ ἔζησεν Μαλελεηλ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ιαρεδ ἑπτακό- 16
σια καὶ τριάκοντα ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ 17
ἐγένοντο πᾶσαι αἱ ἡμέραι Μαλελεηλ ὀκτακόσια καὶ ἐνενήκοντα
πέντε ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Ιαρεδ ἑκατὸν καὶ ἑξήκοντα 18
δύο ἔτη καὶ ἐγέννησεν τὸν Ενωχ. καὶ ἔζησεν Ιαρεδ μετὰ τὸ γεν- 19
νῆσαι αὐτὸν τὸν Ενωχ ὀκτακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ
θυγατέρας. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ιαρεδ ἐννακόσια καὶ 20
ἑξήκοντα δύο ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Ενωχ ἑκατὸν καὶ ἑ- 21
ξήκοντα πέντε ἔτη καὶ ἐγέννησεν τὸν Μαθουσαλα. εὐηρέστησεν 22
δὲ Ενωχ τῷ θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσαλα διακό-
σια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ ἐγένοντο πᾶσαι 23
αἱ ἡμέραι Ενωχ τριακόσια ἑξήκοντα πέντε ἔτη. καὶ εὐηρέστησεν 24
Ενωχ τῷ θεῷ καὶ οὐχ ηὑρίσκετο ὅτι μετέθηκεν αὐτὸν ὁ θεός. Καὶ 25
ἔζησεν Μαθουσαλα ἑκατὸν καὶ ἑξήκοντα ἑπτὰ ἔτη καὶ ἐγέννησεν
τὸν Λαμεχ. καὶ ἔζησεν Μαθουσαλα μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν 26
Λαμεχ ὀκτακόσια δύο ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.
καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Μαθουσαλα ἃς ἔζησεν ἐννακόσια 27

---

**v.13** καί[cc] ζάω[viaa3s] Καιναν[nnmsp] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Μαλελεήλ[namsp] ἑπτακόσιοι[acanpn] καί[cc] τεσσαράκοντα[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc]. **v.14** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Καιναν[ngmsp] ἐννακόσιοι[acnnpn] καί[cc] δέκα[ac—n] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **v.15** καί[cc] ζάω[viaa3s] Μαλελεήλ[nnmsp] ἑκατόν[ac—n] καί[cc] ἑξήκοντα[ac—n] πέντε[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] ὁ[dams] Ιαρεδ[namsp]. **v.16** καί[cc] ζάω[viaa3s] Μαλελεήλ[nnmsp] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Ιαρεδ[namsp] ἑπτακόσιοι[acanpn] καί[cc] τριάκοντα[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc]. **v.17** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Μαλελεήλ[ngmsp] ὀκτακόσιοι[acnnpn] καί[cc] ἐνενήκοντα[ac—n] πέντε[ac—n] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **v.18** καί[cc] ζάω[viaa3s] Ιαρεδ[nnmsp] ἑκατόν[ac—n] καί[cc] ἑξήκοντα[ac—n] δύο[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] ὁ[dams] Ενωχ[namsp]. **v.19** καί[cc] ζάω[viaa3s] Ιαρεδ[nnmsp] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Ενωχ[namsp] ὀκτακόσιοι[acanpn] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc]. **v.20** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Ιαρεδ[ngmsp] ἐννακόσιοι[acnnpn] καί[cc] ἑξήκοντα[ac—n] δύο[ac—n] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **v.21** καί[cc] ζάω[viaa3s] Ενωχ[nnmsp] ἑκατόν[ac—n] καί[cc] ἑξήκοντα[ac—n] πέντε[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] ὁ[dams] Μαθουσαλά[namsp]. **v.22** εὐαρεστέω[viaa3s] δέ[cc] Ενωχ[nnmsp] ὁ[ddms] θεός[ndmsc] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Μαθουσαλά[namsp] διακόσιοι[acanpn] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc]. **v.23** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Ενωχ[ngmsp] τριακόσιοι[acnnpn] ἑξήκοντα[ac—n] πέντε[ac—n] ἔτος[nnnpc]. **v.24** καί[cc] εὐαρεστέω[viaa3s] Ενωχ[nnmsp] ὁ[ddms] θεός[ndmsc] καί[cc] οὐ[b] εὑρίσκω[viip3s] ὅτι[cs] μετατίθημι[viaa3s] αὐτός[rpams] ὁ[dnms] θεός[nnmsc]. **v.25** καί[cc] ζάω[viaa3s] Μαθουσαλά[nnmsp] ἑκατόν[ac—n] καί[cc] ἑξήκοντα[ac—n] ἑπτά[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] ὁ[dams] Λάμεχ[namsp]. **v.26** καί[cc] ζάω[viaa3s] Μαθουσαλά[nnmsp] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Λάμεχ[namsp] ὀκτακόσιοι[acanpn] δύο[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc].

28 καὶ ἑξήκοντα ἐννέα ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Λαμεχ ἑκατὸν
29 ὀγδοήκοντα ὀκτὼ ἔτη καὶ ἐγέννησεν υἱόν. καὶ ἐπωνόμασεν τὸ
ὄνομα αὐτοῦ Νωε λέγων οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων
ἡμῶν καὶ ἀπὸ τῶν λυπῶν τῶν χειρῶν ἡμῶν καὶ ἀπὸ τῆς γῆς ἧς
30 κατηράσατο κύριος ὁ θεός. καὶ ἔζησεν Λαμεχ μετὰ τὸ γεννῆσαι
αὐτὸν τὸν Νωε πεντακόσια καὶ ἑξήκοντα πέντε ἔτη καὶ ἐγέννησεν
31 υἱοὺς καὶ θυγατέρας. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Λαμεχ ἑ-
32 πτακόσια καὶ πεντήκοντα τρία ἔτη καὶ ἀπέθανεν. Καὶ ἦν Νωε
ἐτῶν πεντακοσίων καὶ ἐγέννησεν Νωε τρεῖς υἱούς τὸν Σημ τὸν Χαμ
τὸν Ιαφεθ.

**6** Καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ
2 τῆς γῆς καὶ θυγατέρες ἐγενήθησαν αὐτοῖς. ἰδόντες δὲ οἱ υἱοὶ
τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν ἔλαβον ἑ-
3 αυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο. καὶ εἶπεν κύριος ὁ
θεός οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις
εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας ἔσονται δὲ αἱ ἡμέραι
4 αὐτῶν ἑκατὸν εἴκοσι ἔτη. οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς
ἡμέραις ἐκείναις καὶ μετ᾽ ἐκεῖνο ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ
θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐγεννῶσαν ἑαυτοῖς
ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ᾽ αἰῶνος οἱ ἄνθρωποι οἱ ὀνομαστοί.
5 Ἰδὼν δὲ κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων

---

**v.27** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Μαθουσαλά[ngmsp] ὅς[rrafp] ζάω[viaa3s] ἐννακόσιοι[acnnpn] καί[cc] ἑξήκοντα[ac—n] ἐννέα[ac—n] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **v.28** καί[cc] ζάω[viaa3s] Λάμεχ[nnmsp] ἑκατόν[ac—n] ὀγδοήκοντα[ac—n] ὀκτώ[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[namsc]. **v.29** καί[cc] ἐπονομάζω[viaa3s] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Νῶε[namsp] λέγω[vppanms] οὗτος[rdnms] διαναπαύω[vifa3s] ἐγώ[rpa-p] ἀπό[pg] ὁ[dgnp] ἔργον[ngnpc] ἐγώ[rpg-p] καί[cc] ἀπό[pg] ὁ[dgfp] λύπη[ngfpc] ὁ[dgfp] χείρ[ngfpc] ἐγώ[rpg-p] καί[cc] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅς[rrgfs] καταράομαι[viam3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc]. **v.30** καί[cc] ζάω[viaa3s] Λάμεχ[nnmsp] μετά[pa] ὁ[dans] γεννάω[vnaa] αὐτός[rpams] ὁ[dams] Νῶε[namsp] πεντακόσιοι[acanpn] καί[cc] ἑξήκοντα[ac—n] πέντε[ac—n] ἔτος[nanpc] καί[cc] γεννάω[viaa3s] υἱός[nampc] καί[cc] θυγάτηρ[nafpc]. **v.31** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Λάμεχ[ngmsp] ἑπτακόσιοι[acnnpn] καί[cc] πεντήκοντα[ac—n] τρεῖς[acnnpn] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **v.32** καί[cc] εἰμί[viia3s] Νῶε[nnmsp] ἔτος[ngnpc] πεντακόσιοι[acgnpn] καί[cc] γεννάω[viaa3s] Νῶε[nnmsp] τρεῖς[acampn] υἱός[nampc] ὁ[dams] Σήμ[namsp] ὁ[dams] Χαμ[namsp] ὁ[dams] Ιαφεθ[namsp]. **6. v.1** καί[cc] γίνομαι[viam3s] ἡνίκα[cs] ἄρχω[viam3p] ὁ[dnmp] ἄνθρωπος[nnmpc] πολύς[annmpn] γίνομαι[vnpm] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] θυγάτηρ[nnfpc] γίνομαι[viap3p] αὐτός[rpdmp]. **v.2** ὁράω[vpaanmp] δέ[cc] ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgms] θεός[ngmsc] ὁ[dafp] θυγάτηρ[nafpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ὅτι[cs] καλός[annfpn] εἰμί[vipa3p] λαμβάνω[viaa3p] ἑαυτοῦ[rxdmp] γυνή[nafpc] ἀπό[pg] πᾶς[aigfpn] ὅς[rrgfp] ἐκλέγω[viam3p]. **v.3** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] οὐ[b] μή[x] καταμένω[vsaa3s] ὁ[dans] πνεῦμα[nansc] ἐγώ[rpg-s] ἐν[pd] ὁ[ddmp] ἄνθρωπος[ndmpc] οὗτος[rddmp] εἰς[pa] ὁ[dams] αἰών[namsc] διά[pa] ὁ[dans] εἰμί[vnpa] αὐτός[rpamp] σάρξ[nafpc] εἰμί[vifm3p] δέ[cc] ὁ[dnfp] ἡμέρα[nnfpc] αὐτός[rpgmp] ἑκατόν[ac—n] εἴκοσι[ac—n] ἔτος[nnnpc]. **v.4** ὁ[dnmp] δέ[cc] γίγας[nnmpc] εἰμί[viia3p] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ἐκεῖνος[rddfp] καί[cc] μετά[pa] ἐκεῖνος[rdans] ὡς[cs] ἄν[x] εἰσπορεύομαι[viim3p] ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgms] θεός[ngmsc] πρός[pa] ὁ[dafp] θυγάτηρ[nafpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] καί[cc] γεννάω[viia3p] ἑαυτοῦ[rxdmp] ἐκεῖνος[rdnmp] εἰμί[viia3p] ὁ[dnmp] γίγας[nnmpc] ὁ[dnmp] ἀπό[pg] αἰών[ngmsc] ὁ[dnmp] ἄνθρωπος[nnmpc] ὁ[dnmp] ὀνομαστός[annmpn].

ἐπὶ τῆς γῆς καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς
ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας. καὶ ἐνεθυμήθη ὁ θεὸς ὅτι 6
ἐποίησεν τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς καὶ διενοήθη. καὶ εἶπεν ὁ 7
θεός ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς
ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἀπὸ ἑρπετῶν ἕως τῶν πετεινῶν
τοῦ οὐρανοῦ ὅτι ἐθυμώθην ὅτι ἐποίησα αὐτούς. Νωε δὲ εὗρεν 8
χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. Αὗται δὲ αἱ γενέσεις Νωε Νωε 9
ἄνθρωπος δίκαιος τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ τῷ θεῷ εὐηρέ-
στησεν Νωε. ἐγέννησεν δὲ Νωε τρεῖς υἱούς τὸν Σημ τὸν Χαμ τὸν 10
Ιαφεθ. ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ καὶ ἐπλήσθη ἡ γῆ ἀδι- 11
κίας. καὶ εἶδεν κύριος ὁ θεὸς τὴν γῆν καὶ ἦν κατεφθαρμένη ὅτι 12
κατέφθειρεν πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς. καὶ εἶπεν ὁ 13
θεὸς πρὸς Νωε καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου ὅτι ἐ-
πλήσθη ἡ γῆ ἀδικίας ἀπ᾽ αὐτῶν καὶ ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς
καὶ τὴν γῆν. ποίησον οὖν σεαυτῷ κιβωτὸν ἐκ ξύλων τετραγώ- 14
νων νοσσιὰς ποιήσεις τὴν κιβωτὸν καὶ ἀσφαλτώσεις αὐτὴν ἔσωθεν
καὶ ἔξωθεν τῇ ἀσφάλτῳ. καὶ οὕτως ποιήσεις τὴν κιβωτόν τρια- 15
κοσίων πήχεων τὸ μῆκος τῆς κιβωτοῦ καὶ πεντήκοντα πήχεων τὸ
πλάτος καὶ τριάκοντα πήχεων τὸ ὕψος αὐτῆς. ἐπισυνάγων ποι- 16
ήσεις τὴν κιβωτὸν καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν τὴν δὲ
θύραν τῆς κιβωτοῦ ποιήσεις ἐκ πλαγίων κατάγαια διώροφα καὶ

---

**v.5** ὁράω[vpaanms] δέ[cc] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] πληθύνω[viap3p] ὁ[dnfp] κακία[nnfpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[ainmsn] τι-σρινμς διανοέομαι[vipm3s] ἐν[pd] ὁ[ddfs] καρδία[ndfsc] αὐτός[rpgms] ἐπιμελῶς[b] ἐπί[pa] ὁ[danp] πονηρός[ananpn] πᾶς[aiafpn] ὁ[dafp] ἡμέρα[nafpc]. **v.6** καί[cc] ἐνθυμέομαι[viap3s] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] ποιέω[viaa3s] ὁ[dams] ἄνθρωπος[namsc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] διανοέομαι[viap3s]. **v.7** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἀπαλείφω[vifa1s] ὁ[dams] ἄνθρωπος[namsc] ὅς[rrams] ποιέω[viaa1s] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc] ἀπό[pg] ἄνθρωπος[ngmsc] ἕως[pg] κτῆνος[ngnsc] καί[cc] ἀπό[pg] ἑρπετόν[ngnpc] ἕως[pg] ὁ[dgnp] πετεινός[ngnpc] ὁ[dgms] οὐρανός[ngmsc] ὅτι[cs] θυμόω[viap1s] ὅτι[cs] ποιέω[viaa1s] αὐτός[rpamp]. **v.8** Νῶε[nnmsp] δέ[cc] εὑρίσκω[viaa3s] χάρις[nafsc] ἐναντίον[pg] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc]. **v.9** οὗτος[rdnfp] δέ[cc] ὁ[dnfp] γένεσις[nnfpc] Νῶε[ngmsp] Νῶε[nnmsp] ἄνθρωπος[nnmsc] δίκαιος[annmsn] τέλειος[annmsn] εἰμί[vppanms] ἐν[pd] ὁ[ddfs] γενεά[ndfsc] αὐτός[rpgms] ὁ[ddms] θεός[ndmsc] εὐαρεστέω[viaa3s] Νῶε[nnmsp]. **v.10** γεννάω[viaa3s] δέ[cc] Νῶε[nnmsp] τρεῖς[acampn] υἱός[nampc] ὁ[dams] Σήμ[namsp] ὁ[dams] Χαμ[namsp] ὁ[dams] Ιαφεθ[namsp]. **v.11** φθείρω[viap3s] δέ[cc] ὁ[dnfs] γῆ[nnfsc] ἐναντίον[pg] ὁ[dgms] θεός[ngmsc] καί[cc] πίμπλημι[viap3s] ὁ[dnfs] γῆ[nnfsc] ἀδικία[ngfsc]. **v.12** καί[cc] ὁράω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dafs] γῆ[nafsc] καί[cc] εἰμί[viia3s] καταφθείρω[vpxpnfs] ὅτι[cs] καταφθείρω[viaa3s] πᾶς[ainfsn] σάρξ[nnfsc] ὁ[dafs] ὁδός[nafsc] αὐτός[rpgms] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.13** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Νῶε[namsp] καιρός[nnmsc] πᾶς[aigmsn] ἄνθρωπος[ngmsc] ἥκω[vipa3s] ἐναντίον[pg] ἐγώ[rpgms] ὅτι[cs] πίμπλημι[viap3s] ὁ[dnfs] γῆ[nnfsc] ἀδικία[ngfsc] ἀπό[pg] αὐτός[rpgmp] καί[cc] ἰδού[i] ἐγώ[rpnms] καταφθείρω[vipa1s] αὐτός[rpamp] καί[cc] ὁ[dafs] γῆ[nafsc]. **v.14** ποιέω[vdaa2s] οὖν[cc] σεαυτοῦ[rxdms] κιβωτός[nafsc] ἐκ[pg] ξύλον[ngnpc] τετράγωνος[angnpn] νοσσία[nafpc] ποιέω[vifa2s] ὁ[dafs] κιβωτός[nafsc] καί[cc] ἀσφαλτόω[vifa2s] αὐτός[rpafs] ἔσωθεν[b] καί[cc] ἔξωθεν[b] ὁ[ddfs] ἄσφαλτος[ndfsc]. **v.15** καί[cc] οὕτως[b] ποιέω[vifa2s] ὁ[dafs] κιβωτός[nafsc] τριακόσιοι[acgmpn] πῆχυς[ngmpc] ὁ[dnns] μῆκος[nnnsc] ὁ[dgfs] κιβωτός[ngfsc] καί[cc] πεντήκοντα[ac—n] πῆχυς[ngmpc] ὁ[dnns] πλάτος[nnnsc] καί[cc] τριάκοντα[ac—n] πῆχυς[ngmpc] ὁ[dnns] ὕψος[nnnsc] αὐτός[rpgfs].

17 τριώροφα ποιήσεις αὐτήν. ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμὸν
ὕδωρ ἐπὶ τὴν γῆν καταφθεῖραι πᾶσαν σάρκα ἐν ᾗ ἐστιν πνεῦμα
ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ καὶ ὅσα ἐὰν ᾖ ἐπὶ τῆς γῆς τελευτή-
18 σει. καὶ στήσω τὴν διαθήκην μου πρὸς σέ εἰσελεύσῃ δὲ εἰς τὴν
κιβωτόν σὺ καὶ οἱ υἱοί σου καὶ ἡ γυνή σου καὶ αἱ γυναῖκες τῶν
19 υἱῶν σου μετὰ σοῦ. καὶ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων
τῶν ἑρπετῶν καὶ ἀπὸ πάντων τῶν θηρίων καὶ ἀπὸ πάσης σαρκός
δύο δύο ἀπὸ πάντων εἰσάξεις εἰς τὴν κιβωτόν ἵνα τρέφῃς μετὰ
20 σεαυτοῦ ἄρσεν καὶ θῆλυ ἔσονται. ἀπὸ πάντων τῶν ὀρνέων τῶν
πετεινῶν κατὰ γένος καὶ ἀπὸ πάντων τῶν κτηνῶν κατὰ γένος καὶ
ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς κατὰ γένος
αὐτῶν δύο δύο ἀπὸ πάντων εἰσελεύσονται πρὸς σὲ τρέφεσθαι με-
21 τὰ σοῦ ἄρσεν καὶ θῆλυ. σὺ δὲ λήμψῃ σεαυτῷ ἀπὸ πάντων τῶν
βρωμάτων ἃ ἔδεσθε καὶ συνάξεις πρὸς σεαυτόν καὶ ἔσται σοὶ καὶ
22 ἐκείνοις φαγεῖν. καὶ ἐποίησεν Νωε πάντα ὅσα ἐνετείλατο αὐτῷ
κύριος ὁ θεός οὕτως ἐποίησεν.

**7** Καὶ εἶπεν κύριος ὁ θεὸς πρὸς Νωε εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός
σου εἰς τὴν κιβωτόν ὅτι σὲ εἶδον δίκαιον ἐναντίον μου ἐν τῇ γε-
2 νεᾷ ταύτῃ. ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ
ἑπτὰ ἑπτά ἄρσεν καὶ θῆλυ ἀπὸ δὲ τῶν κτηνῶν τῶν μὴ καθαρῶν

---

**v.16** ἐπισυνάγω[vppanms] ποιέω[vifa2s] ὁ[dafs] κιβωτός[nafsc] καί[cc] εἰς[pa] πῆχυς[namsc] συντελέω[vifa2s] αὐτός[rpafs] ἄνωθεν[b] ὁ[dafs] δέ[cc] θύρα[nafsc] ὁ[dgfs] κιβωτός[ngfsc] ποιέω[vifa2s] ἐκ[pg] πλάγιος[angnpn] κατάγαιος[ananpn] διώροφος[ananpn] καί[cc] τριώροφος[ananpn] ποιέω[vifa2s] αὐτός[rpafs]. **v.17** ἐγώ[rpnms] δέ[cc] ἰδού[i] ἐπάγω[vipa1s] ὁ[dams] κατακλυσμός[namsc] ὕδωρ[nansc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] καταφθείρω[vnaa] πᾶς[aiafsn] σάρξ[nafsc] ἐν[pd] ὅς[rrdfs] εἰμί[vipa3s] πνεῦμα[nnnsc] ζωή[ngfsc] ὑποκάτω[pg] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ὅσος[arnnpn] ἐάν[x] εἰμί[vspa3s] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] τελευτάω[vifa3s]. **v.18** καί[cc] ἵστημι[vifa1s] ὁ[dafs] διαθήκη[nafsc] ἐγώ[rpgms] πρός[pa] σύ[rpams] εἰσέρχομαι[vifm2s] δέ[cc] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc] σύ[rpnms] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] σύ[rpgms] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] σύ[rpgms] καί[cc] ὁ[dnfp] γυνή[nnfpc] ὁ[dgmp] υἱός[ngmpc] σύ[rpgms] μετά[pg] σύ[rpgms]. **v.19** καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] κτῆνος[ngnpc] καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] ἑρπετόν[ngnpc] καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] θηρίον[ngnpc] καί[cc] ἀπό[pg] πᾶς[aigfsn] σάρξ[ngfsc] δύο[ac—n] δύο[ac—n] ἀπό[pg] πᾶς[aignpn] εἰσάγω[vifa2s] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc] ἵνα[cs] τρέφω[vspa2s] μετά[pg] σεαυτοῦ[rxgms] ἄρσην[annnsn] καί[cc] θῆλυς[annnsn] εἰμί[vifm3p]. **v.20** ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] ὄρνεον[ngnpc] ὁ[dgnp] πετεινός[ngnpc] κατά[pa] γένος[nansc] καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] κτῆνος[ngnpc] κατά[pa] γένος[nansc] καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] ἑρπετόν[ngnpc] ὁ[dgnp] ἕρπω[vppagnp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] κατά[pa] γένος[nansc] αὐτός[rpgnp] δύο[ac—n] δύο[ac—n] ἀπό[pg] πᾶς[aignpn] εἰσέρχομαι[vifm3p] πρός[pa] σύ[rpams] τρέφω[vnpp] μετά[pg] σύ[rpgms] ἄρσην[annnsn] καί[cc] θῆλυς[annnsn]. **v.21** σύ[rpnms] δέ[cc] λαμβάνω[vifm2s] σεαυτοῦ[rxdms] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] βρῶμα[ngnpc] ὅς[rranp] ἐσθίω[vifm2p] καί[cc] συνάγω[vifa2s] πρός[pa] σεαυτοῦ[rxams] καί[cc] εἰμί[vifm3s] σύ[rpdms] καί[cc] ἐκεῖνος[rddnp] ἐσθίω[vnaa]. **v.22** καί[cc] ποιέω[viaa3s] Νῶε[nnmsp] πᾶς[aianpn] ὅσος[aranpn] ἐντέλλομαι[viam3s] αὐτός[rpdms] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] οὕτως[b] ποιέω[viaa3s]. **7. v.1** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Νῶε[namsp] εἰσέρχομαι[vdaa2s] σύ[rpnms] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] οἶκος[nnmsc] σύ[rpgms] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc] ὅτι[cs] σύ[rpams] ὁράω[viaa1s] δίκαιος[anamsn] ἐναντίον[pg] ἐγώ[rpg-s] ἐν[pd] ὁ[ddfs] γενεά[ndfsc] οὗτος[rddfs].

δύο δύο ἄρσεν καὶ θῆλυ. καὶ ἀπὸ τῶν πετεινῶν τοῦ οὐρανοῦ 3
τῶν καθαρῶν ἑπτὰ ἑπτά ἄρσεν καὶ θῆλυ καὶ ἀπὸ τῶν πετεινῶν
τῶν μὴ καθαρῶν δύο δύο ἄρσεν καὶ θῆλυ διαθρέψαι σπέρμα ἐ-
πὶ πᾶσαν τὴν γῆν. ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ 4
τὴν γῆν τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας καὶ ἐ-
ξαλείψω πᾶσαν τὴν ἐξανάστασιν ἣν ἐποίησα ἀπὸ προσώπου τῆς
γῆς. καὶ ἐποίησεν Νωε πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ 5
θεός. Νωε δὲ ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς ἐγένετο ὕ- 6
δατος ἐπὶ τῆς γῆς. εἰσῆλθεν δὲ Νωε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ 7
αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτὸν
διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ. καὶ ἀπὸ τῶν πετεινῶν καὶ ἀπὸ 8
τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν
καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς. δύο δύο εἰσῆλθον 9
πρὸς Νωε εἰς τὴν κιβωτόν ἄρσεν καὶ θῆλυ καθὰ ἐνετείλατο αὐ-
τῷ ὁ θεός. καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας καὶ τὸ ὕδωρ τοῦ 10
κατακλυσμοῦ ἐγένετο ἐπὶ τῆς γῆς. ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ 11
ζωῇ τοῦ Νωε τοῦ δευτέρου μηνός ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός
τῇ ἡμέρᾳ ταύτῃ ἐρράγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου καὶ οἱ
καταρράκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν. καὶ ἐγένετο ὁ ὑετὸς ἐπὶ 12
τῆς γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. ἐν τῇ 13

---

**v.2** ἀπό[pg] δέ[cc] ὁ[dgnp] κτῆνος[ngnpc] ὁ[dgnp] καθαρός[angnpn] εἰσάγω[vdaa2s] πρός[pa] σύ[rpams] ἑπτά[ac—n] ἑπτά[ac—n] ἄρσην[anansn] καί[cc] θῆλυς[anansn] ἀπό[pg] δέ[cc] ὁ[dgnp] κτῆνος[ngnpc] ὁ[dgnp] μή[x] καθαρός[angnpn] δύο[ac—n] δύο[ac—n] ἄρσην[anansn] καί[cc] θῆλυς[anansn]. **v.3** καί[cc] ἀπό[pg] ὁ[dgnp] πετεινός[ngnpc] ὁ[dgms] οὐρανός[ngmsc] ὁ[dgnp] καθαρός[angnpn] ἑπτά[ac—n] ἑπτά[ac—n] ἄρσην[anansn] καί[cc] θῆλυς[anansn] καί[cc] ἀπό[pg] ὁ[dgnp] πετεινός[ngnpc] ὁ[dgnp] μή[x] καθαρός[angnpn] δύο[ac—n] δύο[ac—n] ἄρσην[anansn] καί[cc] θῆλυς[anansn] διατρέφω[vnaa] σπέρμα[nansc] ἐπί[pa] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc]. **v.4** ἔτι[b] γάρ[cc] ἡμέρα[ngfpc] ἑπτά[ac—n] ἐγώ[rpnms] ἐπάγω[vipa1s] ὑετός[namsc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] τεσσαράκοντα[ac—n] ἡμέρα[nafpc] καί[cc] τεσσαράκοντα[ac—n] νύξ[nafpc] καί[cc] ἐξαλείφω[vifa1s] πᾶς[aiafsn] ὁ[dafs] ἐξανάστασις[nafsc] ὅς[rrafs] ποιέω[viaa1s] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc]. **v.5** καί[cc] ποιέω[viaa3s] Νῶε[nnmsp] πᾶς[aianpn] ὅσος[aranpn] ἐντέλλομαι[viam3s] αὐτός[rpdms] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc]. **v.6** Νῶε[nnmsp] δέ[cc] εἰμί[viia3s] ἔτος[ngnpc] ἑξακόσιοι[acgnpn] καί[cc] ὁ[dnms] κατακλυσμός[nnmsc] γίνομαι[viam3s] ὕδωρ[ngnsc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.7** εἰσέρχομαι[viaa3s] δέ[cc] Νῶε[nnmsp] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] αὐτός[rpgms] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] αὐτός[rpgms] καί[cc] ὁ[dnfp] γυνή[nnfpc] ὁ[dgmp] υἱός[ngmpc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc] διά[pa] ὁ[dans] ὕδωρ[nansc] ὁ[dgms] κατακλυσμός[ngmsc]. **v.8** καί[cc] ἀπό[pg] ὁ[dgnp] πετεινός[ngnpc] καί[cc] ἀπό[pg] ὁ[dgnp] κτῆνος[ngnpc] ὁ[dgnp] καθαρός[angnpn] καί[cc] ἀπό[pg] ὁ[dgnp] κτῆνος[ngnpc] ὁ[dgnp] μή[x] καθαρός[angnpn] καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] ἑρπετόν[ngnpc] ὁ[dgnp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.9** δύο[ac—n] δύο[ac—n] εἰσέρχομαι[viaa3p] πρός[pa] Νῶε[namsp] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc] ἄρσην[annnsn] καί[cc] θῆλυς[annnsn] καθά[cs] ἐντέλλομαι[viam3s] αὐτός[rpdms] ὁ[dnms] θεός[nnmsc]. **v.10** καί[cc] γίνομαι[viam3s] μετά[pa] ὁ[dafp] ἑπτά[ac—n] ἡμέρα[nafpc] καί[cc] ὁ[dnns] ὕδωρ[nnnsc] ὁ[dgms] κατακλυσμός[ngmsc] γίνομαι[viam3s] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.11** ἐν[pd] ὁ[ddns] ἑξακοσιοστός[aodnsn] ἔτος[ndnsc] ἐν[pd] ὁ[ddfs] ζωή[ndfsc] ὁ[dgms] Νῶε[ngmsp] ὁ[dgms] δεύτερος[aogmsn] μήν[ngmsc] ἕβδομος[aodfsn] καί[cc] εἰκάς[ndfsc] ὁ[dgms] μήν[ngmsc] ὁ[ddfs] ἡμέρα[ndfsc] οὗτος[rddfs] ῥήγνυμι[viap3p] πᾶς[ainfpn] ὁ[dnfp] πηγή[nnfpc] ὁ[dgfs] ἄβυσσος[ngfsc] καί[cc] ὁ[dnmp] καταρράκτης[nnmpc] ὁ[dgms] οὐρανός[ngmsc] ἀνοίγω[viap3p]. **v.12** καί[cc] γίνομαι[viam3s] ὁ[dnms] ὑετός[nnmsc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] τεσσαράκοντα[ac—n] ἡμέρα[nafpc] καί[cc] τεσσαράκοντα[ac—n] νύξ[nafpc].

ἡμέρᾳ ταύτῃ εἰσῆλθεν Νωε Σημ Χαμ Ιαφεθ υἱοὶ Νωε καὶ ἡ γυ-
νὴ Νωε καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ εἰς τὴν
14 κιβωτόν. καὶ πάντα τὰ θηρία κατὰ γένος καὶ πάντα τὰ κτήνη
κατὰ γένος καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος
15 καὶ πᾶν πετεινὸν κατὰ γένος. εἰσῆλθον πρὸς Νωε εἰς τὴν κιβω-
16 τόν δύο δύο ἀπὸ πάσης σαρκός ἐν ᾧ ἐστιν πνεῦμα ζωῆς. καὶ
τὰ εἰσπορευόμενα ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκὸς εἰσῆλθεν
καθὰ ἐνετείλατο ὁ θεὸς τῷ Νωε καὶ ἔκλεισεν κύριος ὁ θεὸς ἔξωθεν
17 αὐτοῦ τὴν κιβωτόν. Καὶ ἐγένετο ὁ κατακλυσμὸς τεσσαράκοντα
ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐπὶ τῆς γῆς, καὶ ἐπληθύνθη
18 τὸ ὕδωρ καὶ ἐπῆρεν τὴν κιβωτόν, καὶ ὑψώθη ἀπὸ τῆς γῆς. καὶ
ἐπεκράτει τὸ ὕδωρ καὶ ἐπληθύνετο σφόδρα ἐπὶ τῆς γῆς καὶ ἐ-
19 πεφέρετο ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος. τὸ δὲ ὕδωρ ἐπεκράτει
σφόδρα σφοδρῶς ἐπὶ τῆς γῆς καὶ ἐπεκάλυψεν πάντα τὰ ὄρη τὰ
20 ὑψηλά ἃ ἦν ὑποκάτω τοῦ οὐρανοῦ. δέκα πέντε πήχεις ἐπάνω
21 ὑψώθη τὸ ὕδωρ καὶ ἐπεκάλυψεν πάντα τὰ ὄρη τὰ ὑψηλά. καὶ
ἀπέθανεν πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν καὶ τῶν
κτηνῶν καὶ τῶν θηρίων καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς
22 καὶ πᾶς ἄνθρωπος. καὶ πάντα ὅσα ἔχει πνοὴν ζωῆς καὶ πᾶς ὃς
23 ἦν ἐπὶ τῆς ξηρᾶς ἀπέθανεν. καὶ ἐξήλειψεν πᾶν τὸ ἀνάστημα ὃ
ἦν ἐπὶ προσώπου πάσης τῆς γῆς ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ

---

**v.13** ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] οὗτος[rddfs] εἰσέρχομαι[viaa3s] Νῶε[nnmsp] Σήμ[nnmsp] Χαμ[nnmsp] Ιαφεθ[nnmsp] υἱός[nnmpc] Νῶε[ngmsp] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] Νῶε[ngmsp] καί[cc] ὁ[dnfp] τρεῖς[acnfpn] γυνή[nnfpc] ὁ[dgmp] υἱός[ngmpc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc]. **v.14** καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] θηρίον[nnnpc] κατά[pa] γένος[nansc] καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] κτῆνος[nnnpc] κατά[pa] γένος[nansc] καί[cc] πᾶς[ainnsn] ἑρπετόν[nnnsc] κινέω[vppmnns] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] κατά[pa] γένος[nansc] καί[cc] πᾶς[ainnsn] πετεινός[nnnsc] κατά[pa] γένος[nansc]. **v.15** εἰσέρχομαι[viaa3p] πρός[pa] Νῶε[namsp] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc] δύο[ac—n] δύο[ac—n] ἀπό[pg] πᾶς[aigfsn] σάρξ[ngfsc] ἐν[pd] ὅς[rrdn'srrdms] εἰμί[vipa3s] πνεῦμα[nnnsc] ζωή[ngfsc]. **v.16** καί[cc] ὁ[dnnp] εἰσπορεύομαι[vppmnnp] ἄρσην[annnsn] καί[cc] θῆλυς[annnsn] ἀπό[pg] πᾶς[aigfsn] σάρξ[ngfsc] εἰσέρχομαι[viaa3s] καθά[cs] ἐντέλλομαι[viam3s] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Νῶε[ndmsp] καί[cc] κλείω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἔξωθεν[b] αὐτός[rpgms] ὁ[dafs] κιβωτός[nafsc]. **v.17** καί[cc] γίνομαι[viam3s] ὁ[dnms] κατακλυσμός[nnmsc] τεσσαράκοντα[ac—n] ἡμέρα[nafpc] καί[cc] τεσσαράκοντα[ac—n] νύξ[nafpc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πληθύνω[viap3s] ὁ[dnns] ὕδωρ[nnnsc] καί[cc] ἐπαίρω[viaa3s] ὁ[dafs] κιβωτός[nafsc] καί[cc] ὑψόω[viap3s] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.18** καί[cc] ἐπικρατέω[viia3s] ὁ[dnns] ὕδωρ[nnnsc] καί[cc] πληθύνω[viip3s] σφόδρα[b] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἐπιφέρω[viim3s] ὁ[dnfs] κιβωτός[nnfsc] ἐπάνω[pg] ὁ[dgns] ὕδωρ[ngnsc]. **v.19** ὁ[dnns] δέ[cc] ὕδωρ[nnnsc] ἐπικρατέω[viia3s] σφόδρα[b] σφοδρῶς[b] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἐπικαλύπτω[viaa3s] πᾶς[aianpn] ὁ[danp] ὄρος[nanpc] ὁ[danp] ὑψηλός[ananpn] ὅς[rrnnp] εἰμί[viia3s] ὑποκάτω[pg] ὁ[dgms] οὐρανός[ngmsc]. **v.20** δέκα[ac—n] πέντε[ac—n] πῆχυς[nampc] ἐπάνω[b] ὑψόω[viap3s] ὁ[dnns] ὕδωρ[nnnsc] καί[cc] ἐπικαλύπτω[viaa3s] πᾶς[aianpn] ὁ[danp] ὄρος[nanpc] ὁ[danp] ὑψηλός[ananpn]. **v.21** καί[cc] ἀποθνῄσκω[viaa3s] πᾶς[ainfsn] σάρξ[nnfsc] κινέω[vppmnfs] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dgnp] πετεινός[ngnpc] καί[cc] ὁ[dgnp] κτῆνος[ngnpc] καί[cc] ὁ[dgnp] θηρίον[ngnpc] καί[cc] πᾶς[ainnsn] ἑρπετόν[nnnsc] κινέω[vppmams] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[ainmsn] ἄνθρωπος[nnmsc]. **v.22** καί[cc] πᾶς[ainnpn] ὅσος[arnnpn] ἔχω[vipa3s] πνοή[nafsc] ζωή[ngfsc] καί[cc] πᾶς[ainmsn] ὅς[rrnms] εἰμί[viia3s] ἐπί[pg] ὁ[dgfs] ξηρός[angfsn] ἀποθνῄσκω[viaa3s].

ἑρπετῶν καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ ἐξηλείφθησαν ἀπὸ τῆς
γῆς καὶ κατελείφθη μόνος Νωε καὶ οἱ μετ᾽ αὐτοῦ ἐν τῇ κιβωτῷ.
καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἡμέρας ἑκατὸν πεντήκοντα. 24
Καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νωε καὶ πάντων τῶν θηρίων καὶ πάν- **8**
των τῶν κτηνῶν καὶ πάντων τῶν πετεινῶν καὶ πάντων τῶν ἑρπετῶν
ὅσα ἦν μετ᾽ αὐτοῦ ἐν τῇ κιβωτῷ καὶ ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ
τὴν γῆν καὶ ἐκόπασεν τὸ ὕδωρ. καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ 2
τῆς ἀβύσσου καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ καὶ συνεσχέθη ὁ
ὑετὸς ἀπὸ τοῦ οὐρανοῦ. καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀ- 3
πὸ τῆς γῆς ἐνεδίδου καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα
καὶ ἑκατὸν ἡμέρας. καὶ ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ 4
ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός ἐπὶ τὰ ὄρη τὰ Αραρατ. τὸ δὲ ὕ- 5
δωρ πορευόμενον ἠλαττονοῦτο ἕως τοῦ δεκάτου μηνός ἐν δὲ τῷ
ἑνδεκάτῳ μηνί τῇ πρώτῃ τοῦ μηνός ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀ-
ρέων. καὶ ἐγένετο μετὰ τεσσαράκοντα ἡμέρας ἠνέῳξεν Νωε τὴν 6
θυρίδα τῆς κιβωτοῦ ἣν ἐποίησεν. καὶ ἀπέστειλεν τὸν κόρακα 7
τοῦ ἰδεῖν εἰ κεκόπακεν τὸ ὕδωρ καὶ ἐξελθὼν οὐχ ὑπέστρεψεν ἕως
τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς. καὶ ἀπέστειλεν τὴν περι- 8
στερὰν ὀπίσω αὐτοῦ ἰδεῖν εἰ κεκόπακεν τὸ ὕδωρ ἀπὸ προσώπου
τῆς γῆς. καὶ οὐχ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν 9
αὐτῆς ὑπέστρεψεν πρὸς αὐτὸν εἰς τὴν κιβωτόν ὅτι ὕδωρ ἦν ἐπὶ

---

**v.23** καί[cc] ἐξαλείφω[viaa3s] πᾶς[aiansn] ὁ[dnns] ἀνάστημα[nansc] ὅς[rrnns] εἰμί[viia3s] ἐπί[pg] πρόσωπον[ngnsc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] ἀπό[pg] ἄνθρωπος[ngmsc] ἕως[pg] κτῆνος[ngnsc] καί[cc] ἑρπετόν[ngnpc] καί[cc] ὁ[dgnp] πετεινός[ngnpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ἐξαλείφω[viap3p] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] καταλείπω[viap3s] μόνος[annmsn] Νῶε[nnmsp] καί[cc] ὁ[dnmp] μετά[pg] αὐτός[rpgms] ἐν[pd] ὁ[ddfs] κιβωτός[ndfsc]. **v.24** καί[cc] ὑψόω[viap3s] ὁ[dnns] ὕδωρ[nnnsc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ἡμέρα[nafpc] ἑκατόν[ac—n] πεντήκοντα[ac—n]. **8.** **v.1** καί[cc] μιμνῄσκομαι[viap3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] Νῶε[ngmsp] καί[cc] πᾶς[aignpn] ὁ[dgnp] θηρίον[ngnpc] καί[cc] πᾶς[aignpn] ὁ[dgnp] κτῆνος[ngnpc] καί[cc] πᾶς[aignpn] ὁ[dgnp] πετεινός[ngnpc] καί[cc] πᾶς[aignpn] ὁ[dgnp] ἑρπετόν[ngnpc] ὅσος[rrnnpn] εἰμί[viia3s] μετά[pg] αὐτός[rpgms] ἐν[pd] ὁ[ddfs] κιβωτός[ndfsc] καί[cc] ἐπάγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] πνεῦμα[nansc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] καί[cc] κοπάζω[viaa3s] ὁ[dnns] ὕδωρ[nnnsc]. **v.2** καί[cc] ἐπικαλύπτω[viap3p] ὁ[dnfp] πηγή[nnfpc] ὁ[dgfs] ἄβυσσος[ngfsc] καί[cc] ὁ[dnmp] καταρράκτης[nnmpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] συνέχω[viap3s] ὁ[dnms] ὑετός[nnmsc] ἀπό[pg] ὁ[dgms] οὐρανός[ngmsc]. **v.3** καί[cc] ἐνδίδωμι[viia3s] ὁ[dnns] ὕδωρ[nnnsc] πορεύομαι[vppmnns] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] ἐνδίδωμι[viia3s] καί[cc] ἐλαττονέω[viim3s] ὁ[dnns] ὕδωρ[nnnsc] μετά[pa] πεντήκοντα[ac—n] καί[cc] ἑκατόν[ac—n] ἡμέρα[nafpc]. **v.4** καί[cc] καθίζω[viaa3s] ὁ[dnfs] κιβωτός[nnfsc] ἐν[pd] μήν[ndmsc] ὁ[ddms] ἕβδομος[aodmsn] ἕβδομος[aodfsn] καί[cc] εἰκάς[ndfsc] ὁ[dgms] μήν[ngmsc] ἐπί[pa] ὁ[danp] ὄρος[nanpc] ὁ[danp] Αραρατ[ng-sp]. **v.5** ὁ[dnns] δέ[cc] ὕδωρ[nnnsc] πορεύομαι[vppmnns] ἐλαττονέω[viim3s] ἕως[pg] ὁ[dgms] δέκατος[aogmsn] μήν[ngmsc] ἐν[pd] δέ[cc] ὁ[ddms] ἑνδέκατος[aodmsn] μήν[ndmsc] ὁ[ddfs] πρῶτος[aodfsn] ὁ[dgms] μήν[ngmsc] ὁράω[viap3p] ὁ[dnfp] κεφαλή[nnfpc] ὁ[dgnp] ὄρος[ngnpc]. **v.6** καί[cc] γίνομαι[viam3s] μετά[pa] τεσσαράκοντα[ac—n] ἡμέρα[nafpc] ἀνοίγω[viaa3s] Νῶε[nnmsp] ὁ[dafs] θυρίς[nafsc] ὁ[dgfs] κιβωτός[ngfsc] ὅς[rrafs] ποιέω[viaa3s]. **v.7** καί[cc] ἀποστέλλω[viaa3s] ὁ[dams] κόραξ[namsc] ὁ[dgns] ὁράω[vnaa] εἰ[x] κοπάζω[vixa3s] ὁ[dnns] ὕδωρ[nnnsc] καί[cc] ἐξέρχομαι[vpaanms] οὐ[b] ὑποστρέφω[viaa3s] ἕως[cs] ὁ[dgns] ξηραίνω[vnap] ὁ[dans] ὕδωρ[nansc] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.8** καί[cc] ἀποστέλλω[viaa3s] ὁ[dafs] περιστερά[nafsc] ὀπίσω[pg] αὐτός[rpgms] ὁράω[vnaa] εἰ[x] κοπάζω[vixa3s] ὁ[dnns] ὕδωρ[nnnsc] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc].

παντὶ προσώπῳ πάσης τῆς γῆς καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἔ-
λαβεν αὐτὴν καὶ εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν.
10 καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας πάλιν ἐξαπέστειλεν τὴν περι-
11 στερὰν ἐκ τῆς κιβωτοῦ. καὶ ἀνέστρεψεν πρὸς αὐτὸν ἡ περιστερὰ
τὸ πρὸς ἑσπέραν καὶ εἶχεν φύλλον ἐλαίας κάρφος ἐν τῷ στόματι
12 αὐτῆς καὶ ἔγνω Νωε ὅτι κεκόπακεν τὸ ὕδωρ ἀπὸ τῆς γῆς. καὶ ἐ-
πισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας πάλιν ἐξαπέστειλεν τὴν περιστεράν
13 καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι. καὶ ἐγένετο ἐν
τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νωε τοῦ πρώτου μηνός
μιᾷ τοῦ μηνός ἐξέλιπεν τὸ ὕδωρ ἀπὸ τῆς γῆς καὶ ἀπεκάλυψεν
Νωε τὴν στέγην τῆς κιβωτοῦ ἣν ἐποίησεν καὶ εἶδεν ὅτι ἐξέλιπεν
14 τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς. ἐν δὲ τῷ μηνὶ τῷ δευτέρῳ ἑ-
15 βδόμῃ καὶ εἰκάδι τοῦ μηνός ἐξηράνθη ἡ γῆ. Καὶ εἶπεν κύριος
16 ὁ θεὸς τῷ Νωε λέγων. Ἔξελθε ἐκ τῆς κιβωτοῦ, σὺ καὶ ἡ γυνή
17 σου καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ. καὶ
πάντα τὰ θηρία, ὅσα ἐστὶν μετὰ σοῦ, καὶ πᾶσα σὰρξ ἀπὸ πετει-
νῶν ἕως κτηνῶν καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς ἐξάγαγε
18 μετὰ σεαυτοῦ καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς. καὶ
ἐξῆλθεν Νωε καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ γυναῖκες
19 τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ. καὶ πάντα τὰ θηρία καὶ πάντα τὰ

---

**v.9** καί[cc] οὐ[b] εὑρίσκω[vpaanfs] ὁ[dnfs] περιστερά[nnfsc] ἀνάπαυσις[nafsc] ὁ[ddmp] πούς[ndmpc] αὐτός[rpgfs] ὑποστρέφω[viaa3s] πρός[pa] αὐτός[rpams] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc] ὅτι[cs] ὕδωρ[nnnsc] εἰμί[viia3s] ἐπί[pd] πᾶς[aidnsn] πρόσωπον[ndnsc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἐκτείνω[vpaanms] ὁ[dafs] χείρ[nafsc] αὐτός[rpgms] λαμβάνω[viaa3s] αὐτός[rpafs] καί[cc] εἰσάγω[viaa3s] αὐτός[rpafs] πρός[pa] ἑαυτοῦ[rxams] εἰς[pa] ὁ[dafs] κιβωτός[nafsc]. **v.10** καί[cc] ἐπέχω[vpaanms] ἔτι[b] ἡμέρα[nafpc] ἑπτά[ac—n] ἕτερος[aiafpn] πάλιν[b] ἐξαποστέλλω[viaa3s] ὁ[dafs] περιστερά[nafsc] ἐκ[pg] ὁ[dgfs] κιβωτός[ngfsc]. **v.11** καί[cc] ἀναστρέφω[viaa3s] πρός[pa] αὐτός[rpams] ὁ[dnfs] περιστερά[nnfsc] ὁ[dans] πρός[pa] ἑσπέρα[nafsc] καί[cc] ἔχω[viia3s] φύλλον[nansc] ἐλαία[ngfsc] κάρφος[nansc] ἐν[pd] ὁ[ddns] στόμα[ndnsc] αὐτός[rpgfs] καί[cc] γινώσκω[viaa3s] Νῶε[nnmsp] ὅτι[cs] κοπάζω[vixa3s] ὁ[dnns] ὕδωρ[nnnsc] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.12** καί[cc] ἐπέχω[vpaanms] ἔτι[b] ἡμέρα[nafpc] ἑπτά[ac—n] ἕτερος[aiafpn] πάλιν[b] ἐξαποστέλλω[viaa3s] ὁ[dafs] περιστερά[nafsc] καί[cc] οὐ[b] προστίθημι[viam3s] ὁ[dgns] ἐπιστρέφω[vnaa] πρός[pa] αὐτός[rpams] ἔτι[b]. **v.13** καί[cc] γίνομαι[viam3s] ἐν[pd] ὁ[ddms] εἷς[acdmsn] καί[cc] ἑξακοσιοστός[aodnsn] ἔτος[ndnsc] ἐν[pd] ὁ[ddfs] ζωή[ndfsc] ὁ[dgms] Νῶε[ngmsp] ὁ[dgms] πρῶτος[aogmsn] μήν[ngmsc] εἷς[acdfsn] ὁ[dgms] μήν[ngmsc] ἐκλείπω[viaa3s] ὁ[dnns] ὕδωρ[nnnsc] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἀποκαλύπτω[viaa3s] Νῶε[nnmsp] ὁ[dafs] στέγη[nafsc] ὁ[dgfs] κιβωτός[ngfsc] ὅς[rrafs] ποιέω[viaa3s] καί[cc] ὁράω[viaa3s] ὅτι[cs] ἐκλείπω[viaa3s] ὁ[dnns] ὕδωρ[nnnsc] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc]. **v.14** ἐν[pd] δέ[cc] ὁ[ddms] μήν[ndmsc] ὁ[ddms] δεύτερος[aodmsn] ἕβδομος[aodfsn] καί[cc] εἰκάς[ndfsc] ὁ[dgms] μήν[ngmsc] ξηραίνω[viap3s] ὁ[dnfs] γῆ[nnfsc]. **v.15** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Νῶε[ndmsp] λέγω[vppanms]. **v.16** ἐξέρχομαι[vdaa2s] ἐκ[pg] ὁ[dgfs] κιβωτός[ngfsc] σύ[rpnms] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] σύ[rpgms] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] σύ[rpgms] καί[cc] ὁ[dnfp] γυνή[nnfpc] ὁ[dgmp] υἱός[ngmpc] σύ[rpgms] μετά[pg] σύ[rpgms]. **v.17** καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] θηρίον[nnnpc] ὅσος[rrnnpn] εἰμί[vipa3s] μετά[pg] σύ[rpgms] καί[cc] πᾶς[ainfsn] σάρξ[nnfsc] ἀπό[pg] πετεινός[ngnpc] ἕως[pg] κτῆνος[ngnpc] καί[cc] πᾶς[aiansn] ἑρπετόν[nansc] κινέω[vppmans] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ἐξάγω[vdaa2s] μετά[pg] σεαυτοῦ[rxgms] καί[cc] αὐξάνω[vdpm2p] καί[cc] πληθύνω[vdpp2p] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.18** καί[cc] ἐξέρχομαι[viaa3s] Νῶε[nnmsp] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] αὐτός[rpgms] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] αὐτός[rpgms] καί[cc] ὁ[dnfp] γυνή[nnfpc] ὁ[dgmp] υἱός[ngmpc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms].

κτήνη καὶ πᾶν πετεινὸν καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς
κατὰ γένος αὐτῶν ἐξήλθοσαν ἐκ τῆς κιβωτοῦ. καὶ ᾠκοδόμησεν 20
Νωε θυσιαστήριον τῷ θεῷ καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν
καθαρῶν καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν καὶ ἀνήνεγ-
κεν ὁλοκαρπώσεις ἐπὶ τὸ θυσιαστήριον. καὶ ὠσφράνθη κύριος ὁ 21
θεὸς ὀσμὴν εὐωδίας καὶ εἶπεν κύριος ὁ θεὸς διανοηθείς οὐ προ-
σθήσω ἔτι τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων
ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ
νεότητος οὐ προσθήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν κα-
θὼς ἐποίησα. πάσας τὰς ἡμέρας τῆς γῆς σπέρμα καὶ θερισμός 22
ψῦχος καὶ καῦμα θέρος καὶ ἔαρ ἡμέραν καὶ νύκτα οὐ καταπαύ-
σουσιν.

Καὶ ηὐλόγησεν ὁ θεὸς τὸν Νωε καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν **9**
αὐτοῖς αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ
κατακυριεύσατε αὐτῆς. καὶ ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ἔσται 2
ἐπὶ πᾶσιν τοῖς θηρίοις τῆς γῆς καὶ ἐπὶ πάντα τὰ ὄρνεα τοῦ οὐρα-
νοῦ καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς καὶ ἐπὶ πάντας τοὺς
ἰχθύας τῆς θαλάσσης ὑπὸ χεῖρας ὑμῖν δέδωκα. καὶ πᾶν ἑρπετόν 3
ὅ ἐστιν ζῶν ὑμῖν ἔσται εἰς βρῶσιν ὡς λάχανα χόρτου δέδωκα ὑμῖν
τὰ πάντα. πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. καὶ γὰρ τὸ 4, 5
ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκζητήσω ἐκ χειρὸς πάντων τῶν
θηρίων ἐκζητήσω αὐτὸ καὶ ἐκ χειρὸς ἀνθρώπου ἀδελφοῦ ἐκζη-

---

**v.19** καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] θηρίον[nnnpc] καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] κτῆνος[nnnpc] καί[cc] πᾶς[ainnsn] πετεινός[nnnsc] καί[cc] πᾶς[ainnsn] ἑρπετόν[nnnsc] κινέω[vppmnns] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] κατά[pa] γένος[nansc] αὐτός[rpgnp] ἐξέρχομαι[viaa3p] ἐκ[pg] ὁ[dgfs] κιβωτός[ngfsc]. **v.20** καί[cc] οἰκοδομέω[viaa3s] Νῶε[nnmsp] θυσιαστήριον[nansc] ὁ[ddms] θεός[ndmsc] καί[cc] λαμβάνω[viaa3s] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] κτῆνος[ngnpc] ὁ[dgnp] καθαρός[angnpn] καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] πετεινός[ngnpc] ὁ[dgnp] καθαρός[angnpn] καί[cc] ἀναφέρω[viaa3s] ὁλοκάρπωσις[nafpc] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc]. **v.21** καί[cc] ὀσφραίνομαι[viap3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὀσμή[nafsc] εὐωδία[ngfsc] καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] διανοέομαι[vpapnms] οὐ[b] προστίθημι[vifa1s] ἔτι[b] ὁ[dgns] καταράομαι[vnam] ὁ[dafs] γῆ[nafsc] διά[pa] ὁ[danp] ἔργον[nanpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ὅτι[cs] ἔγκειμαι[vipp3s] ὁ[dnfs] διάνοια[nnfsc] ὁ[dgms] ἄνθρωπος[ngmsc] ἐπιμελῶς[b] ἐπί[pa] ὁ[danp] πονηρός[ananpn] ἐκ[pg] νεότης[ngfsc] οὐ[b] προστίθημι[vifa1s] οὖν[cc] ἔτι[b] πατάσσω[vnaa] πᾶς[aiafsn] σάρξ[nafsc] ζάω[vppaafs] καθώς[cs] ποιέω[viaa1s]. **v.22** πᾶς[aiafpn] ὁ[dafp] ἡμέρα[nafpc] ὁ[dgfs] γῆ[ngfsc] σπέρμα[nnnsc] καί[cc] θερισμός[nnmsc] ψῦχος[nnnsc] καί[cc] καῦμα[nnnsc] θέρος[nnnsc] καί[cc] ἔαρ[nnnsc] ἡμέρα[nafsc] καί[cc] νύξ[nafsc] οὐ[b] καταπαύω[vifa3p]. **9. v.1** καί[cc] εὐλογέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] Νῶε[namsp] καί[cc] ὁ[damp] υἱός[nampc] αὐτός[rpgms] καί[cc] λέγω[viaa3s] αὐτός[rpdmp] αὐξάνω[vdpm2p] καί[cc] πληθύνω[vdpp2p] καί[cc] πληρόω[vdaa2p] ὁ[dafs] γῆ[nafsc] καί[cc] κατακυριεύω[vdaa2p] αὐτός[rpgfs]. **v.2** καί[cc] ὁ[dnms] τρόμος[nnmsc] σύ[rpgmp] καί[cc] ὁ[dnms] φόβος[nnmsc] εἰμί[vifm3s] ἐπί[pd] πᾶς[aidnpn] ὁ[ddnp] θηρίον[ndnpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἐπί[pa] πᾶς[aianpn] ὁ[danp] ὄρνεον[nanpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ἐπί[pa] πᾶς[aianpn] ὁ[danp] κινέω[vppmanp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἐπί[pa] πᾶς[aiampn] ὁ[damp] ἰχθύς[nampc] ὁ[dgfs] θάλασσα[ngfsc] ὑπό[pa] χείρ[nafpc] σύ[rpdmp] δίδωμι[vixa1s]. **v.3** καί[cc] πᾶς[ainnsn] ἑρπετόν[nnnsc] ὅς[rrnns] εἰμί[vipa3s] ζάω[vppanns] σύ[rpdmp] εἰμί[vifm3s] εἰς[pa] βρῶσις[nafsc] ὡς[cs] λάχανον[nnnpc] χόρτος[ngmsc] δίδωμι[vixa1s] σύ[rpdmp] ὁ[danp] πᾶς[aianpn]. **v.4** πλήν[b] κρέας[nansc] ἐν[pd] αἷμα[ndnsc] ψυχή[ngfsc] οὐ[b] ἐσθίω[vifm2p].

6 τήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου. ὁ ἐκχέων αἷμα ἀνθρώπου ἀντὶ
τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν
7 ἄνθρωπον. ὑμεῖς δὲ αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε
8 τὴν γῆν καὶ πληθύνεσθε ἐπ᾽ αὐτῆς. Καὶ εἶπεν ὁ θεὸς τῷ Νωε
9 καὶ τοῖς υἱοῖς αὐτοῦ μετ᾽ αὐτοῦ λέγων. Ἐγὼ ἰδοὺ ἀνίστημι τὴν
10 διαθήκην μου ὑμῖν καὶ τῷ σπέρματι ὑμῶν μεθ᾽ ὑμᾶς. καὶ πάσῃ
ψυχῇ τῇ ζώσῃ μεθ᾽ ὑμῶν ἀπὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν καὶ πᾶσι
τοῖς θηρίοις τῆς γῆς ὅσα μεθ᾽ ὑμῶν ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ
11 τῆς κιβωτοῦ. καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς καὶ οὐκ
ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ καὶ
οὐκ ἔσται ἔτι κατακλυσμὸς ὕδατος τοῦ καταφθεῖραι πᾶσαν τὴν
12 γῆν. καὶ εἶπεν κύριος ὁ θεὸς πρὸς Νωε τοῦτο τὸ σημεῖον τῆς
διαθήκης ὃ ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον
13 πάσης ψυχῆς ζώσης ἥ ἐστιν μεθ᾽ ὑμῶν εἰς γενεὰς αἰωνίους. τὸ
τόξον μου τίθημι ἐν τῇ νεφέλῃ καὶ ἔσται εἰς σημεῖον διαθήκης
14 ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς. καὶ ἔσται ἐν τῷ συννεφεῖν με νε-
15 φέλας ἐπὶ τὴν γῆν ὀφθήσεται τὸ τόξον μου ἐν τῇ νεφέλῃ. καὶ
μνησθήσομαι τῆς διαθήκης μου ἥ ἐστιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑ-
μῶν καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί καὶ οὐκ
ἔσται ἔτι τὸ ὕδωρ εἰς κατακλυσμὸν ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα.

---

**v.5** καί[cc] γάρ[cc] ὁ[dans] ὑμέτερος[asansn] αἷμα[nansc] ὁ[dgfp] ψυχή[ngfpc] σύ[rpgmp] ἐκζητέω[vifa1s] ἐκ[pg] χείρ[ngfsc] πᾶς[aignpn] ὁ[dgnp] θηρίον[ngnpc] ἐκζητέω[vifa1s] αὐτός[rpans] καί[cc] ἐκ[pg] χείρ[ngfsc] ἄνθρωπος[ngmsc] ἀδελφός[ngmsc] ἐκζητέω[vifa1s] ὁ[dafs] ψυχή[nafsc] ὁ[dgms] ἄνθρωπος[ngmsc]. **v.6** ὁ[dnms] ἐκχέω[vppanms] αἷμα[nansc] ἄνθρωπος[ngmsc] ἀντί[pg] ὁ[dgns] αἷμα[ngnsc] αὐτός[rpgms] ἐκχέω[vifp3s] ὅτι[cs] ἐν[pd] εἰκών[ndfsc] θεός[ngmsc] ποιέω[viaa1s] ὁ[dams] ἄνθρωπος[namsc]. **v.7** σύ[rpnmp] δέ[cc] αὐξάνω[vdpm2p] καί[cc] πληθύνω[vdpp2p] καί[cc] πληρόω[vdaa2p] ὁ[dafs] γῆ[nafsc] καί[cc] πληθύνω[vdpp2p] ἐπί[pg] αὐτός[rpgfs]. **v.8** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Νῶε[ndmsp] καί[cc] ὁ[ddmp] υἱός[ndmpc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms] λέγω[vppanms]. **v.9** ἐγώ[rpnms] ἰδού[i] ἀνίστημι[vipa1s] ὁ[dafs] διαθήκη[nafsc] ἐγώ[rpgms] σύ[rpdmp] καί[cc] ὁ[ddns] σπέρμα[ndnsc] σύ[rpgmp] μετά[pa] σύ[rpamp]. **v.10** καί[cc] πᾶς[aidfsn] ψυχή[ndfsc] ὁ[ddfs] ζάω[vppadfs] μετά[pg] σύ[rpgmp] ἀπό[pg] ὄρνεον[ngnpc] καί[cc] ἀπό[pg] κτῆνος[ngnpc] καί[cc] πᾶς[aidnpn] ὁ[ddnp] θηρίον[ndnpc] ὁ[dgfs] γῆ[ngfsc] ὅσος[rrnnpn] μετά[pg] σύ[rpgmp] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] ἐξέρχομαι[vpaagnp] ἐκ[pg] ὁ[dgfs] κιβωτός[ngfsc]. **v.11** καί[cc] ἵστημι[vifa1s] ὁ[dafs] διαθήκη[nafsc] ἐγώ[rpgms] πρός[pa] σύ[rpamp] καί[cc] οὐ[b] ἀποθνῄσκω[vifm3s] πᾶς[ainfsn] σάρξ[nnfsc] ἔτι[b] ἀπό[pg] ὁ[dgns] ὕδωρ[ngnsc] ὁ[dgms] κατακλυσμός[ngmsc] καί[cc] οὐ[b] εἰμί[vifm3s] ἔτι[b] κατακλυσμός[nnmsc] ὕδωρ[ngnsc] ὁ[dgns] καταφθείρω[vnaa] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc]. **v.12** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Νῶε[namsp] οὗτος[rdnns] ὁ[dnns] σημεῖον[nnnsc] ὁ[dgfs] διαθήκη[ngfsc] ὅς[rrans] ἐγώ[rpn-s] δίδωμι[vipa1s] ἀνά[pa] μέσος[anansn] ἐγώ[rpg-s] καί[cc] σύ[rpg-p] καί[cc] ἀνά[pa] μέσος[anansn] πᾶς[aigfsn] ψυχή[ngfsc] ζάω[vppagfs] ὅς[rrnfs] εἰμί[vipa3s] μετά[pg] σύ[rpg-p] εἰς[pa] γενεά[nafpc] αἰώνιος[anafpn]. **v.13** ὁ[dans] τόξον[nansc] ἐγώ[rpgms] τίθημι[vipa1s] ἐν[pd] ὁ[ddfs] νεφέλη[ndfsc] καί[cc] εἰμί[vifm3s] εἰς[pa] σημεῖον[nansc] διαθήκη[ngfsc] ἀνά[pa] μέσος[anansn] ἐγώ[rpgms] καί[cc] ὁ[dgfs] γῆ[ngfsc]. **v.14** καί[cc] εἰμί[vifm3s] ἐν[pd] ὁ[ddns] συννεφέω[vnpa] ἐγώ[rpams] νεφέλη[nafpc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] ὁράω[vifp3s] ὁ[dnns] τόξον[nnnnsc] ἐγώ[rpgms] ἐν[pd] ὁ[ddfs] νεφέλη[ndfsc]. **v.15** καί[cc] μιμνῄσκομαι[vifp1s] ὁ[dgfs] διαθήκη[ngfsc] ἐγώ[rpgms] ὅς[rrnfs] εἰμί[vipa3s] ἀνά[pa] μέσος[anansn] ἐγώ[rpgms] καί[cc] σύ[rpgmp] καί[cc] ἀνά[pa] μέσος[anansn] πᾶς[aigfsn] ψυχή[ngfsc] ζάω[vppagfs] ἐν[pd] πᾶς[aidfsn] σάρξ[ndfsc] καί[cc] οὐ[b] εἰμί[vifm3s] ἔτι[b] ὁ[dnns] ὕδωρ[nnnsc] εἰς[pa] κατακλυσμός[namsc] ὥστε[cs] ἐξαλείφω[vnaa] πᾶς[aiafsn] σάρξ[nafsc].

καὶ ἔσται τὸ τόξον μου ἐν τῇ νεφέλῃ καὶ ὄψομαι τοῦ μνησθῆναι 16
διαθήκην αἰώνιον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον πάσης ψυχῆς
ζώσης ἐν πάσῃ σαρκί ἥ ἐστιν ἐπὶ τῆς γῆς. καὶ εἶπεν ὁ θεὸς τῷ 17
Νωε τοῦτο τὸ σημεῖον τῆς διαθήκης ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ
καὶ ἀνὰ μέσον πάσης σαρκός ἥ ἐστιν ἐπὶ τῆς γῆς. Ἦσαν δὲ οἱ 18
υἱοὶ Νωε οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ Σημ, Χαμ, Ιαφεθ· Χαμ ἦν
πατὴρ Χανααν. τρεῖς οὗτοί εἰσιν οἱ υἱοὶ Νωε ἀπὸ τούτων διεσπά- 19
ρησαν ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ ἤρξατο Νωε ἄνθρωπος γεωργὸς 20
γῆς καὶ ἐφύτευσεν ἀμπελῶνα. καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμε- 21
θύσθη καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ εἶδεν Χαμ ὁ πατὴρ 22
Χανααν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ καὶ ἐξελθὼν ἀνήγγειλεν
τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω. καὶ λαβόντες Σημ καὶ Ιαφεθ τὸ 23
ἱμάτιον ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν καὶ ἐπορεύθησαν ὀπι-
σθοφανῶς καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν καὶ
τὸ πρόσωπον αὐτῶν ὀπισθοφανές καὶ τὴν γύμνωσιν τοῦ πατρὸς
αὐτῶν οὐκ εἶδον. ἐξένηψεν δὲ Νωε ἀπὸ τοῦ οἴνου καὶ ἔγνω ὅσα 24
ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. καὶ εἶπεν ἐπικατάρα- 25
τος Χανααν παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. καὶ εἶπεν 26
εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σημ καὶ ἔσται Χανααν παῖς αὐτοῦ.
πλατύναι ὁ θεὸς τῷ Ιαφεθ καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ 27

---

**v.16** καί[cc] εἰμί[vifm3s] ὁ[dnns] τόξον[nnnsc] ἐγώ[rpgms] ἐν[pd] ὁ[ddfs] νεφέλη[ndfsc] καί[cc] ὁράω[vifm1s] ὁ[dgns] μιμνῄσκομαι[vnap] διαθήκη[nafsc] αἰώνιος[anafsn] ἀνά[pa] μέσος[anansn] ἐγώ[rpgms] καί[cc] ἀνά[pa] μέσος[anansn] πᾶς[aigfsn] ψυχή[ngfsc] ζάω[vppagfs] ἐν[pd] πᾶς[aidfsn] σάρξ[ndfsc] ὅς[rrnfs] εἰμί[vipa3s] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.17** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Νῶε[ndmsp] οὗτος[rdnns] ὁ[dnns] σημεῖον[nnnsc] ὁ[dgfs] διαθήκη[ngfsc] ὅς[rrgfs] διατίθημι[viam1s] ἀνά[pa] μέσος[anansn] ἐγώ[rpgms] καί[cc] ἀνά[pa] μέσος[anansn] πᾶς[aigfsn] σάρξ[ngfsc] ὅς[rrnfs] εἰμί[vipa3s] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.18** εἰμί[viia3p] δέ[cc] ὁ[dnmp] υἱός[nnmpc] Νῶε[ngmsp] ὁ[dnmp] ἐξέρχομαι[vpaanmp] ἐκ[pg] ὁ[dgfs] κιβωτός[ngfsc] Σήμ[nnmsp] Χαμ[nnmsp] Ιαφεθ[nnmsp] Χαμ[nnmsp] εἰμί[viia3s] πατήρ[nnmsc] Χανάαν[ngmsp]. **v.19** τρεῖς[acnmpn] οὗτος[rdnmp] εἰμί[vipa3p] ὁ[dnmp] υἱός[nnmpc] Νῶε[ngmsp] ἀπό[pg] οὗτος[rdgmp] διασπείρω[viap3p] ἐπί[pa] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc]. **v.20** καί[cc] ἄρχω[viam3s] Νῶε[nnmsp] ἄνθρωπος[nnmsc] γεωργός[nnmsc] γῆ[ngfsc] καί[cc] φυτεύω[viaa3s] ἀμπελών[namsc]. **v.21** καί[cc] πίνω[viaa3s] ἐκ[pg] ὁ[dgms] οἶνος[ngmsc] καί[cc] μεθύσκω[viap3s] καί[cc] γυμνόω[viap3s] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] αὐτός[rpgms]. **v.22** καί[cc] ὁράω[viaa3s] Χαμ[nnmsp] ὁ[dnms] πατήρ[nnmsc] Χανάαν[ngmsp] ὁ[dafs] γύμνωσις[nafsc] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgms] καί[cc] ἐξέρχομαι[vpaanms] ἀναγγέλλω[viaa3s] ὁ[ddmp] δύο[acdmpn] ἀδελφός[ndmpc] αὐτός[rpgms] ἔξω[b]. **v.23** καί[cc] λαμβάνω[vpaanmp] Σήμ[nnmsp] καί[cc] Ιαφεθ[nnmsp] ὁ[dans] ἱμάτιον[nansc] ἐπιτίθημι[viam3p] ἐπί[pa] ὁ[danp] δύο[ac—n] νῶτον[nanpc] αὐτός[rpgmp] καί[cc] πορεύομαι[viap3p] ὀπισθοφανῶς[b] καί[cc] συγκαλύπτω[viaa3p] ὁ[dafs] γύμνωσις[nafsc] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgmp] καί[cc] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgmp] ὀπισθοφανής[anansn] καί[cc] ὁ[dafs] γύμνωσις[nafsc] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgmp] οὐ[b] ὁράω[viaa3p]. **v.24** ἐκνήφω[viaa3s] δέ[cc] Νῶε[nnmsp] ἀπό[pg] ὁ[dgms] οἶνος[ngmsc] καί[cc] γινώσκω[viaa3s] ὅσος[aranpn] ποιέω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] υἱός[nnmsc] αὐτός[rpgms] ὁ[dnms] νέος[annmsc]. **v.25** καί[cc] λέγω[viaa3s] ἐπικατάρατος[annmsn] Χανάαν[nnmsp] παῖς[nnmsc] οἰκέτης[nnmsc] εἰμί[vifm3s] ὁ[ddmp] ἀδελφός[ndmpc] αὐτός[rpgms]. **v.26** καί[cc] λέγω[viaa3s] εὐλογητός[annmsn] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] Σήμ[ngmsp] καί[cc] εἰμί[vifm3s] Χανάαν[nnmsp] παῖς[nnmsc] αὐτός[rpgms].

28 Σημ καὶ γενηθήτω Χανααν παῖς αὐτῶν. Ἔζησεν δὲ Νωε μετὰ τὸν
29 κατακλυσμὸν τριακόσια πεντήκοντα ἔτη. καὶ ἐγένοντο πᾶσαι αἱ
ἡμέραι Νωε ἐννακόσια πεντήκοντα ἔτη, καὶ ἀπέθανεν.
**10** Αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νωε Σημ Χαμ Ιαφεθ καὶ ἐγενή-
2 θησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν. Υἱοὶ Ιαφεθ· Γαμερ καὶ
Μαγωγ καὶ Μαδαι καὶ Ιωυαν καὶ Ελισα καὶ Θοβελ καὶ Μοσοχ καὶ
3, 4 Θιρας. καὶ υἱοὶ Γαμερ· Ασχαναζ καὶ Ριφαθ καὶ Θοργαμα. καὶ
5 υἱοὶ Ιωυαν Ελισα καὶ Θαρσις Κίτιοι Ῥόδιοι. ἐκ τούτων ἀφωρί-
σθησαν νῆσοι τῶν ἐθνῶν ἐν τῇ γῇ αὐτῶν ἕκαστος κατὰ γλῶσσαν ἐν
6 ταῖς φυλαῖς αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν. Υἱοὶ δὲ Χαμ Χους
7 καὶ Μεσραιμ Φουδ καὶ Χανααν. υἱοὶ δὲ Χους Σαβα καὶ Ευιλα
καὶ Σαβαθα καὶ Ρεγμα καὶ Σαβακαθα υἱοὶ δὲ Ρεγμα Σαβα καὶ
8 Δαδαν. Χους δὲ ἐγέννησεν τὸν Νεβρωδ οὗτος ἤρξατο εἶναι γίγας
9 ἐπὶ τῆς γῆς. οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον κυρίου τοῦ θε-
οῦ διὰ τοῦτο ἐροῦσιν ὡς Νεβρωδ γίγας κυνηγὸς ἐναντίον κυρίου.
10 καὶ ἐγένετο ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλὼν καὶ Ορεχ καὶ Αρ-
11 χαδ καὶ Χαλαννη ἐν τῇ γῇ Σεννααρ. ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν
Ασσουρ καὶ ᾠκοδόμησεν τὴν Νινευη καὶ τὴν Ροωβωθ πόλιν καὶ
12 τὴν Χαλαχ. καὶ τὴν Δασεμ ἀνὰ μέσον Νινευη καὶ ἀνὰ μέσον
13 Χαλαχ αὕτη ἡ πόλις ἡ μεγάλη. καὶ Μεσραιμ ἐγέννησεν τοὺς

---

**v.27** πλατύνω[voaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Ιαφεθ[ndmsp] καί[cc] κατοικέω[vdaa3s] ἐν[pd] ὁ[ddmp] οἶκος[ndmpc] ὁ[dgms] Σήμ[ngmsp] καί[cc] γίνομαι[vdap3s] Χανάαν[nnmsp] παῖς[nnmsc] αὐτός[rpgmp]. **v.28** ζάω[viaa3s] δέ[cc] Νῶε[nnmsp] μετά[pa] ὁ[dams] κατακλυσμός[namsc] τριακόσιοι[acanpn] πεντήκοντα[ac—n] ἔτος[nanpc]. **v.29** καί[cc] γίνομαι[viam3p] πᾶς[ainfpn] ὁ[dnfp] ἡμέρα[nnfpc] Νῶε[ngmsp] ἐννακόσιοι[acnnpn] πεντήκοντα[ac—n] ἔτος[nnnpc] καί[cc] ἀποθνῄσκω[viaa3s]. **10. v.1** οὗτος[rdnfp] δέ[cc] ὁ[dnfp] γένεσις[nnfpc] ὁ[dgmp] υἱός[ngmpc] Νῶε[ngmsp] Σήμ[ngmsp] Χαμ[ngmsp] Ιαφεθ[ngmsp] καί[cc] γίνομαι[viap3p] αὐτός[rpdmp] υἱός[nnmpc] μετά[pa] ὁ[dams] κατακλυσμός[namsc]. **v.2** υἱός[nnmpc] Ιαφεθ[ngmsp] Γαμερ[nnmsp] καί[cc] Μαγώγ[nnmsp] καί[cc] Μαδαι[nnmsp] καί[cc] Ιωυαν[nnmsp] καί[cc] Ελισα[nnmsp] καί[cc] Θοβελ[nnmsp] καί[cc] Μοσοχ[nnmsp] καί[cc] Θιρας[nnmsp]. **v.3** καί[cc] υἱός[nnmpc] Γαμερ[ngmsp] Ασχαναζ[nnmsp] καί[cc] Ριφαθ[nnmsp] καί[cc] Θοργαμα[nnmsp]. **v.4** καί[cc] υἱός[nnmpc] Ιωυαν[ngmsp] Ελισα[nnmsp] καί[cc] Θαρσις[nnmsp] Κίτιος[nnmpp] Ῥόδιος[nnmpp]. **v.5** ἐκ[pg] οὗτος[rdgmp] ἀφορίζω[viap3p] νῆσος[nnfpc] ὁ[dgnp] ἔθνος[ngnpc] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] αὐτός[rpgmp] ἕκαστος[ainmsn] κατά[pa] γλῶσσα[nafsc] ἐν[pd] ὁ[ddfp] φυλή[ndfpc] αὐτός[rpgmp] καί[cc] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] αὐτός[rpgmp]. **v.6** υἱός[nnmpc] δέ[cc] Χαμ[ngmsp] Χους[nnmsp] καί[cc] Μεσραιμ[nnmsp] Φουδ[nnmsp] καί[cc] Χανάαν[nnmsp]. **v.7** υἱός[nnmpc] δέ[cc] Χους[ngmsp] Σαβα[nnmsp] καί[cc] Ευιλα[nnmsp] καί[cc] Σαβαθα[nnmsp] καί[cc] Ρεγμα[nnmsp] καί[cc] Σαβακαθα[nnmsp] υἱός[nnmpc] δέ[cc] Ρεγμα[ngmsp] Σαβα[nnmsp] καί[cc] Δαδαν[nnmsp]. **v.8** Χους[nnmsp] δέ[cc] γεννάω[viaa3s] ὁ[dams] Νεβρωδ[namsp] οὗτος[rdnms] ἄρχω[viam3s] εἰμί[vnpa] γίγας[nnmsc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.9** οὗτος[rdnms] εἰμί[viia3s] γίγας[nnmsc] κυνηγός[nnmsc] ἐναντίον[pg] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc] διά[pa] οὗτος[rdans] λέγω[vifa3p] ὡς[cs] Νεβρωδ[nnmsp] γίγας[nnmsc] κυνηγός[nnmsc] ἐναντίον[pg] κύριος[ngmsc]. **v.10** καί[cc] γίνομαι[viam3s] ἀρχή[nnfsc] ὁ[dgfs] βασιλεία[ngfsc] αὐτός[rpgms] Βαβυλών[nnfsp] καί[cc] Ορεχ[nn-sp] καί[cc] Αρχαδ[nn-sp] καί[cc] Χαλαννη[nn-sp] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] Σεννααρ[nd–p]. **v.11** ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] ἐκεῖνος[rdgfs] ἐξέρχομαι[viaa3s] Ασσουρ[nnmsp] καί[cc] οἰκοδομέω[viaa3s] ὁ[dafs] Νινευή[nafsp] καί[cc] ὁ[dafs] Ροωβωθ[nafsp] πόλις[nafsc] καί[cc] ὁ[dafs] Χαλαχ[nafsp]. **v.12** καί[cc] ὁ[dafs] Δασεμ[nafsp] ἀνά[pa] μέσος[anansn] Νινευή[ngfsp] καί[cc] ἀνά[pa] μέσος[anansn] Χαλαχ[ngfsp] οὗτος[rdnfs] ὁ[dnfs] πόλις[nnfsc] ὁ[dnfs] μέγας[annfsn].

Λουδιιμ καὶ τοὺς Ενεμετιιμ καὶ τοὺς Λαβιιμ καὶ τοὺς Νεφθαλιιμ.
καὶ τοὺς Πατροσωνιιμ καὶ τοὺς Χασλωνιιμ ὅθεν ἐξῆλθεν ἐκεῖθεν 14
Φυλιστιιμ καὶ τοὺς Καφθοριιμ. Χανααν δὲ ἐγέννησεν τὸν Σι- 15
δῶνα πρωτότοκον καὶ τὸν Χετταῖον. καὶ τὸν Ιεβουσαῖον καὶ τὸν 16
Αμορραῖον καὶ τὸν Γεργεσαῖον. καὶ τὸν Ευαῖον καὶ τὸν Αρου- 17
καῖον καὶ τὸν Ασενναῖον. καὶ τὸν Ἀράδιον καὶ τὸν Σαμαραῖον 18
καὶ τὸν Αμαθι καὶ μετὰ τοῦτο διεσπάρησαν αἱ φυλαὶ τῶν Χανα-
ναίων. καὶ ἐγένοντο τὰ ὅρια τῶν Χαναναίων ἀπὸ Σιδῶνος ἕως 19
ἐλθεῖν εἰς Γεραρα καὶ Γάζαν ἕως ἐλθεῖν Σοδομων καὶ Γομορρας
Αδαμα καὶ Σεβωιμ ἕως Λασα. οὗτοι υἱοὶ Χαμ ἐν ταῖς φυλαῖς αὐ- 20
τῶν κατὰ γλώσσας αὐτῶν ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν
αὐτῶν. Καὶ τῷ Σημ ἐγενήθη καὶ αὐτῷ πατρὶ πάντων τῶν υἱῶν 21
Εβερ ἀδελφῷ Ιαφεθ τοῦ μείζονος. υἱοὶ Σημ Αιλαμ καὶ Ασσουρ 22
καὶ Αρφαξαδ καὶ Λουδ καὶ Αραμ καὶ Καιναν. καὶ υἱοὶ Αραμ 23
Ως καὶ Ουλ καὶ Γαθερ καὶ Μοσοχ. καὶ Αρφαξαδ ἐγέννησεν τὸν 24
Καιναν καὶ Καιναν ἐγέννησεν τὸν Σαλα Σαλα δὲ ἐγέννησεν τὸν
Εβερ. καὶ τῷ Εβερ ἐγενήθησαν δύο υἱοί ὄνομα τῷ ἑνὶ Φαλεκ 25
ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ καὶ ὄνομα τῷ ἀδελφῷ
αὐτοῦ Ιεκταν. Ιεκταν δὲ ἐγέννησεν τὸν Ελμωδαδ καὶ τὸν Σαλεφ 26
καὶ Ασαρμωθ καὶ Ιαραχ. καὶ Οδορρα καὶ Αιζηλ καὶ Δεκλα. καὶ 27, 28

---

**v.13** καί[cc] Μεσραιμ[nnmsp] γεννάω[viaa3s] ὁ[damp] Λουδιιμ[nampp] καί[cc] ὁ[damp] Ενεμετιιμ[nampp] καί[cc] ὁ[damp] Λαβιιμ[nampp] καί[cc] ὁ[damp] Νεφθαλιιμ[nampp]. **v.14** καί[cc] ὁ[damp] Πατροσωνιιμ[nampp] καί[cc] ὁ[damp] Χασλωνιιμ[nampp] ὅθεν[b] ἐξέρχομαι[viaa3s] ἐκεῖθεν[b] Φυλιστιιμ[nnmpp] καί[cc] ὁ[damp] Καφθοριιμ[nampp]. **v.15** Χανάαν[nnmsp] δέ[cc] γεννάω[viaa3s] ὁ[dams] Σιδών[namsp] πρωτότοκος[anamsn] καί[cc] ὁ[dams] Χετταῖος[namsp]. **v.16** καί[cc] ὁ[dams] Ιεβουσαῖος[namsp] καί[cc] ὁ[dams] Ἀμορραῖος[namsp] καί[cc] ὁ[dams] Γεργεσαῖος[namsp]. **v.17** καί[cc] ὁ[dams] Ευαῖος[namsp] καί[cc] ὁ[dams] Αρουκαῖος[namsp] καί[cc] ὁ[dams] Ασενναῖος[namsp]. **v.18** καί[cc] ὁ[dams] Ἀράδιος[namsp] καί[cc] ὁ[dams] Σαμαραῖος[namsp] καί[cc] ὁ[dams] Αμαθι[namsp] καί[cc] μετά[pa] οὗτος[rdans] διασπείρω[viap3p] ὁ[dnfp] φυλή[nnfpc] ὁ[dgmp] Χαναναῖος[ngmpp]. **v.19** καί[cc] γίνομαι[viam3p] ὁ[dnnp] ὅριον[nnnpc] ὁ[dgmp] Χαναναῖος[ngmpp] ἀπό[pg] Σιδών[ngfsp] ἕως[cs] ἔρχομαι[vnaa] εἰς[pa] Γεραρα[nanpp] καί[cc] Γάζα[nafsp] ἕως[cs] ἔρχομαι[vnaa] Σόδομα[ngnpp] καί[cc] Γόμορρα[ngfsp] Αδαμα[ng-sp] καί[cc] Σεβωιμ[ng-p] ἕως[pg] Λασα[ng-sp]. **v.20** οὗτος[rdnmp] υἱός[nnmpc] Χαμ[ngmsp] ἐν[pd] ὁ[ddfp] φυλή[ndfpc] αὐτός[rpgmp] κατά[pa] γλῶσσα[nafpc] αὐτός[rpgmp] ἐν[pd] ὁ[ddfp] χώρα[ndfpc] αὐτός[rpgmp] καί[cc] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] αὐτός[rpgmp]. **v.21** καί[cc] ὁ[ddms] Σήμ[ndmsp] γίνομαι[viap3s] καί[b] αὐτός[rpdms] πατήρ[ndmsc] πᾶς[aigmpn] ὁ[dgmp] υἱός[ngmpc] Ἔβερ[ngmsp] ἀδελφός[ndmsc] Ιαφεθ[ngmsp] ὁ[dgms] μέγας[angmsc]. **v.22** υἱός[nnmpc] Σήμ[ngmsp] Αιλαμ[nnmsp] καί[cc] Ασσουρ[nnmsp] καί[cc] Αρφαξαδ[nnmsp] καί[cc] Λουδ[nnmsp] καί[cc] Αραμ[nnmsp] καί[cc] Καιναν[nnmsp]. **v.23** καί[cc] υἱός[nnmpc] Αραμ[ngmsp] Ως[nnmsp] καί[cc] Ουλ[nnmsp] καί[cc] Γαθερ[nnmsp] καί[cc] Μοσοχ[nnmsp]. **v.24** καί[cc] Αρφαξαδ[nnmsp] γεννάω[viaa3s] ὁ[dams] Καιναν[namsp] καί[cc] Καιναν[nnmsp] γεννάω[viaa3s] ὁ[dams] Σαλά[namsp] Σαλά[nnmsp] δέ[cc] γεννάω[viaa3s] ὁ[dams] Ἔβερ[namsp]. **v.25** καί[cc] ὁ[ddms] Ἔβερ[ndmsp] γίνομαι[viap3p] δύο[ac—n] υἱός[nnmpc] ὄνομα[nnnsc] ὁ[ddms] εἷς[acdmsn] Φάλεκ[nnmsp] ὅτι[cs] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] αὐτός[rpgms] διαμερίζω[viap3s] ὁ[dnfs] γῆ[nnfsc] καί[cc] ὄνομα[nnnsc] ὁ[ddms] ἀδελφός[ndmsc] αὐτός[rpgms] Ιεκταν[nnmsp]. **v.26** Ιεκταν[nnmsp] δέ[cc] γεννάω[viaa3s] ὁ[dams] Ελμωδαδ[namsp] καί[cc] ὁ[dams] Σαλεφ[namsp] καί[cc] Ασαρμωθ[namsp] καί[cc] Ιαραχ[namsp]. **v.27** καί[cc] Οδορρα[namsp] καί[cc] Αιζηλ[namsp] καί[cc] Δεκλα[namsp].

29 Αβιμεηλ καὶ Σαβευ. καὶ Ουφιρ καὶ Ευιλα καὶ Ιωβαβ πάντες οὗ-
30 τοι υἱοὶ Ιεκταν. καὶ ἐγένετο ἡ κατοίκησις αὐτῶν ἀπὸ Μασση ἕως
31 ἐλθεῖν εἰς Σωφηρα ὄρος ἀνατολῶν. οὗτοι υἱοὶ Σημ ἐν ταῖς φυ-
λαῖς αὐτῶν κατὰ γλώσσας αὐτῶν ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς
32 ἔθνεσιν αὐτῶν. Αὗται αἱ φυλαὶ υἱῶν Νωε κατὰ γενέσεις αὐτῶν
κατὰ τὰ ἔθνη αὐτῶν ἀπὸ τούτων διεσπάρησαν νῆσοι τῶν ἐθνῶν
ἐπὶ τῆς γῆς μετὰ τὸν κατακλυσμόν.
**11**, 2 Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν καὶ φωνὴ μία πᾶσιν. καὶ ἐγένετο
ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν εὗρον πεδίον ἐν γῇ Σεννααρ
3 καὶ κατῴκησαν ἐκεῖ. καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον δεῦτε πλιν-
θεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί καὶ ἐγένετο αὐτοῖς
4 ἡ πλίνθος εἰς λίθον καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός. καὶ εἶπαν
δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον οὗ ἡ κεφαλὴ ἔ-
σται ἕως τοῦ οὐρανοῦ καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ δια-
5 σπαρῆναι ἐπὶ προσώπου πάσης τῆς γῆς. καὶ κατέβη κύριος ἰδεῖν
τὴν πόλιν καὶ τὸν πύργον ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων.
6 καὶ εἶπεν κύριος ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων καὶ τοῦτο
ἤρξαντο ποιῆσαι καὶ νῦν οὐκ ἐκλείψει ἐξ αὐτῶν πάντα ὅσα ἂν ἐπι-
7 θῶνται ποιεῖν. δεῦτε καὶ καταβάντες συγχέωμεν ἐκεῖ αὐτῶν τὴν
8 γλῶσσαν ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον. καὶ
διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς

---

περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν καὶ ἔσται ἐν
12 σημείῳ διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν. καὶ παιδίον ὀκτὼ
ἡμερῶν περιτμηθήσεται ὑμῖν πᾶν ἀρσενικὸν εἰς τὰς γενεὰς ὑμῶν
ὁ οἰκογενὴς τῆς οἰκίας σου καὶ ὁ ἀργυρώνητος ἀπὸ παντὸς υἱοῦ
13 ἀλλοτρίου ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματός σου. περιτομῇ περι-
τμηθήσεται ὁ οἰκογενὴς τῆς οἰκίας σου καὶ ὁ ἀργυρώνητος καὶ
ἔσται ἡ διαθήκη μου ἐπὶ τῆς σαρκὸς ὑμῶν εἰς διαθήκην αἰώνιον.
14 καὶ ἀπερίτμητος ἄρσην ὃς οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀ-
κροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξολεθρευθήσεται ἡ ψυχὴ
ἐκείνη ἐκ τοῦ γένους αὐτῆς ὅτι τὴν διαθήκην μου διεσκέδασεν.
15 εἶπεν δὲ ὁ θεὸς τῷ Αβρααμ Σαρα ἡ γυνή σου οὐ κληθήσεται τὸ ὄ-
16 νομα αὐτῆς Σαρα ἀλλὰ Σαρρα ἔσται τὸ ὄνομα αὐτῆς. εὐλογήσω
δὲ αὐτὴν καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον καὶ εὐλογήσω αὐτόν καὶ
17 ἔσται εἰς ἔθνη καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἔσονται. καὶ ἔπεσεν
Αβρααμ ἐπὶ πρόσωπον καὶ ἐγέλασεν καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐ-
τοῦ λέγων εἰ τῷ ἑκατονταετεῖ γενήσεται καὶ εἰ Σαρρα ἐνενήκοντα

---

**v.8** καί[cc] δίδωμι[vifa1s] σύ[rpdms] καί[cc] ὁ[ddns] σπέρμα[ndnsc] σύ[rpgms] μετά[pa] σύ[rpams] ὁ[dafs] γῆ[nafsc] ὅς[rrafs] παροικέω[vipa2s] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc] Χανάαν[ngmsp] εἰς[pa] κατάσχεσις[nafsc] αἰώνιος[anafsn] καί[cc] εἰμί[vifm1s] αὐτός[rpdmp] θεός[nnmsc]. **v.9** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Ἀβραάμ[namsp] σύ[rpnms] δέ[cc] ὁ[dafs] διαθήκη[nafsc] ἐγώ[rpgms] διατηρέω[vifa2s] σύ[rpnms] καί[cc] ὁ[dnns] σπέρμα[nnnsc] σύ[rpgms] μετά[pa] σύ[rpams] εἰς[pa] ὁ[dafp] γενεά[nafpc] αὐτός[rpgmp]. **v.10** καί[cc] οὗτος[rdnfs] ὁ[dnfs] διαθήκη[nnfsc] ὅς[rrafs] διατηρέω[vifa2s] ἀνά[pa] μέσος[anansn] ἐγώ[rpgms] καί[cc] σύ[rpg-p] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgns] σπέρμα[ngnsc] σύ[rpgms] μετά[pa] σύ[rpams] εἰς[pa] ὁ[dafp] γενεά[nafpc] αὐτός[rpgmp] περιτέμνω[vifp3s] σύ[rpg-p] πᾶς[ainnsn] ἀρσενικός[annnsn]. **v.11** καί[cc] περιτέμνω[vifp2p] ὁ[dafs] σάρξ[nafsc] ὁ[dgfs] ἀκροβυστία[ngfsc] σύ[rpgmp] καί[cc] εἰμί[vifm3s] ἐν[pd] σημεῖον[ndnsc] διαθήκη[ngfsc] ἀνά[pa] μέσος[anansn] ἐγώ[rpgms] καί[cc] σύ[rpgmp]. **v.12** καί[cc] παιδίον[nnnsc] ὀκτώ[ac—n] ἡμέρα[ngfpc] περιτέμνω[vifp3s] σύ[rpd-p] πᾶς[ainnsn] ἀρσενικός[annnsn] εἰς[pa] ὁ[dafp] γενεά[nafpc] σύ[rpg-p] ὁ[dnms] οἰκογενής[annmsn] ὁ[dgfs] οἰκία[ngfsc] σύ[rpgms] καί[cc] ὁ[dnms] ἀργυρώνητος[annmsn] ἀπό[pg] πᾶς[aigmsn] υἱός[ngmsc] ἀλλότριος[angmsn] ὅς[rrnms] οὐ[b] εἰμί[vipa3s] ἐκ[pg] ὁ[dgns] σπέρμα[ngnsc] σύ[rpgms]. **v.13** περιτομή[ndfsc] περιτέμνω[vifp3s] ὁ[dnms] οἰκογενής[annmsn] ὁ[dgfs] οἰκία[ngfsc] σύ[rpgms] καί[cc] ὁ[dnms] ἀργυρώνητος[annmsn] καί[cc] εἰμί[vifm3s] ὁ[dnfs] διαθήκη[nnfsc] ἐγώ[rpgms] ἐπί[pg] ὁ[dgfs] σάρξ[ngfsc] σύ[rpgmp] εἰς[pa] διαθήκη[nafsc] αἰώνιος[anafsn]. **v.14** καί[cc] ἀπερίτμητος[annmsn] ἄρσην[annmsn] ὅς[rrnms] οὐ[b] περιτέμνω[vifp3s] ὁ[dafs] σάρξ[nafsc] ὁ[dgfs] ἀκροβυστία[ngfsc] αὐτός[rpgms] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] ὄγδοος[aodfsn] ἐξολεθρεύω[vifp3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐκεῖνος[rdnfs] ἐκ[pg] ὁ[dgns] γένος[ngnsc] αὐτός[rpgfs] ὅτι[cs] ὁ[dafs] διαθήκη[nafsc] ἐγώ[rpgms] διασκεδάζω[viaa3s]. **v.15** λέγω[viaa3s] δέ[cc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Ἀβραάμ[ndmsp] Σαρα[nnfsp] ὁ[dnfs] γυνή[nnfsc] σύ[rpgms] οὐ[b] καλέω[vifp3s] ὁ[dnns] ὄνομα[nnnsc] αὐτός[rpgfs] Σαρα[nnfsp] ἀλλά[cc] Σάρρα[nnfsp] εἰμί[vifm3s] ὁ[dnns] ὄνομα[nnnsc] αὐτός[rpgfs]. **v.16** εὐλογέω[vifa1s] δέ[cc] αὐτός[rpafs] καί[cc] δίδωμι[vifa1s] σύ[rpdms] ἐκ[pg] αὐτός[rpgfs] τέκνον[nansc] καί[cc] εὐλογέω[vifa1s] αὐτός[rpams] καί[cc] εἰμί[vifm3s] εἰς[pa] ἔθνος[nanpc] καί[cc] βασιλεύς[nnmpc] ἔθνος[ngnpc] ἐκ[pg] αὐτός[rpgms] εἰμί[vifm3p].

ἐτῶν οὖσα τέξεται. εἶπεν δὲ Αβρααμ πρὸς τὸν θεόν Ισμαηλ οὗτος 18
ζήτω ἐναντίον σου. εἶπεν δὲ ὁ θεὸς τῷ Αβρααμ ναί ἰδοὺ Σαρρα ἡ 19
γυνή σου τέξεταί σοι υἱόν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ισαακ καὶ
στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον καὶ
τῷ σπέρματι αὐτοῦ μετ᾽ αὐτόν. περὶ δὲ Ισμαηλ ἰδοὺ ἐπήκουσά 20
σου ἰδοὺ εὐλόγησα αὐτὸν καὶ αὐξανῶ αὐτὸν καὶ πληθυνῶ αὐτὸν
σφόδρα δώδεκα ἔθνη γεννήσει καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα.
τὴν δὲ διαθήκην μου στήσω πρὸς Ισαακ ὃν τέξεταί σοι Σαρρα εἰς 21
τὸν καιρὸν τοῦτον ἐν τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ. συνετέλεσεν δὲ λαλῶν 22
πρὸς αὐτὸν καὶ ἀνέβη ὁ θεὸς ἀπὸ Αβρααμ. καὶ ἔλαβεν Αβρααμ 23
Ισμαηλ τὸν υἱὸν αὐτοῦ καὶ πάντας τοὺς οἰκογενεῖς αὐτοῦ καὶ
πάντας τοὺς ἀργυρωνήτους καὶ πᾶν ἄρσεν τῶν ἀνδρῶν τῶν ἐν τῷ
οἴκῳ Αβρααμ καὶ περιέτεμεν τὰς ἀκροβυστίας αὐτῶν ἐν τῷ καιρῷ
τῆς ἡμέρας ἐκείνης καθὰ ἐλάλησεν αὐτῷ ὁ θεός. Αβρααμ δὲ ἦν 24
ἐνενήκοντα ἐννέα ἐτῶν ἡνίκα περιέτεμεν τὴν σάρκα τῆς ἀκροβυ-
στίας αὐτοῦ. Ισμαηλ δὲ ὁ υἱὸς αὐτοῦ ἐτῶν δέκα τριῶν ἦν ἡνίκα 25
περιετμήθη τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. ἐν τῷ καιρῷ τῆς 26
ἡμέρας ἐκείνης περιετμήθη Αβρααμ καὶ Ισμαηλ ὁ υἱὸς αὐτοῦ.
καὶ πάντες οἱ ἄνδρες τοῦ οἴκου αὐτοῦ καὶ οἱ οἰκογενεῖς καὶ οἱ 27

---

**v.17** καί[cc] πίπτω[viaa3s] Ἀβραάμ[nnmsp] ἐπί[pa] πρόσωπον[nansc] καί[cc] γελάω[viaa3s] καί[cc] λέγω[viaa3s] ἐν[pd] ὁ[ddfs] διάνοια[ndfsc] αὐτός[rpgms] λέγω[vppanms] εἰ[x] ὁ[ddms] ἑκατονταετής[andmsn] γίνομαι[vifm3s] καί[cc] εἰ[x] Σάρρα[nnfsp] ἐνενήκοντα[ac—n] ἔτος[ngnpc] εἰμί[vppanfs] τίκτω[vifm3s]. **v.18** λέγω[viaa3s] δέ[cc] Ἀβραάμ[nnmsp] πρός[pa] ὁ[dams] θεός[namsc] Ισμαηλ[nnmsp] οὗτος[rdnms] ζάω[vdpa3s] ἐναντίον[pg] σύ[rpgms]. **v.19** λέγω[viaa3s] δέ[cc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Ἀβραάμ[ndmsp] ναί[x] ἰδού[i] Σάρρα[nnfsp] ὁ[dnfs] γυνή[nnfsc] σύ[rpgms] τίκτω[vifm3s] σύ[rpdms] υἱός[namsc] καί[cc] καλέω[vifa2s] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Ἰσαάκ[namsp] καί[cc] ἵστημι[vifa1s] ὁ[dafs] διαθήκη[nafsc] ἐγώ[rpgms] πρός[pa] αὐτός[rpams] εἰς[pa] διαθήκη[nafsc] αἰώνιος[anafsn] καί[cc] ὁ[ddns] σπέρμα[ndnsc] αὐτός[rpgms] μετά[pa] αὐτός[rpams]. **v.20** περί[pg] δέ[cc] Ισμαηλ[ngmsp] ἰδού[i] ἐπακούω[viaa1s] σύ[rpgms] ἰδού[i] εὐλογέω[viaa1s] αὐτός[rpams] καί[cc] αὐξάνω[vifa1s] αὐτός[rpams] καί[cc] πληθύνω[vifa1s] αὐτός[rpams] σφόδρα[b] δώδεκα[ac—n] ἔθνος[nanpc] γεννάω[vifa3s] καί[cc] δίδωμι[vifa1s] αὐτός[rpams] εἰς[pa] ἔθνος[nansc] μέγας[anansn]. **v.21** ὁ[dafs] δέ[cc] διαθήκη[nafsc] ἐγώ[rpgms] ἵστημι[vifa1s] πρός[pa] Ἰσαάκ[namsp] ὅς[rrams] τίκτω[vifm3s] σύ[rpdms] Σάρρα[nnfsp] εἰς[pa] ὁ[dams] καιρός[namsc] οὗτος[rdams] ἐν[pd] ὁ[ddms] ἐνιαυτός[ndmsc] ὁ[ddms] ἕτερος[aidmsn]. **v.22** συντελέω[viaa3s] δέ[cc] λαλέω[vppanms] πρός[pa] αὐτός[rpams] καί[cc] ἀναβαίνω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἀπό[pg] Ἀβραάμ[ngmsp]. **v.23** καί[cc] λαμβάνω[viaa3s] Ἀβραάμ[nnmsp] Ισμαηλ[namsp] ὁ[dams] υἱός[namsc] αὐτός[rpgms] καί[cc] πᾶς[aiampn] ὁ[damp] οἰκογενής[anampn] αὐτός[rpgms] καί[cc] πᾶς[aiampn] ὁ[damp] ἀργυρώνητος[anampn] καί[cc] πᾶς[aiansn] ἄρσην[anansn] ὁ[dgmp] ἀνήρ[ngmpc] ὁ[dgmp] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] Ἀβραάμ[ngmsp] καί[cc] περιτέμνω[viaa3s] ὁ[dafp] ἀκροβυστία[nafpc] αὐτός[rpgmp] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ὁ[dgfs] ἡμέρα[ngfsc] ἐκεῖνος[rdgfs] καθά[cs] λαλέω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] θεός[nnmsc]. **v.24** Ἀβραάμ[nnmsp] δέ[cc] εἰμί[viia3s] ἐνενήκοντα[ac—n] ἐννέα[ac—n] ἔτος[ngnpc] ἡνίκα[cs] περιτέμνω[viaa3s] ὁ[dafs] σάρξ[nafsc] ὁ[dgfs] ἀκροβυστία[ngfsc] αὐτός[rpgms]. **v.25** Ισμαηλ[nnmsp] δέ[cc] ὁ[dnms] υἱός[nnmsc] αὐτός[rpgms] ἔτος[ngnpc] δέκα[ac—n] τρεῖς[acgnpn] εἰμί[viia3s] ἡνίκα[cs] περιτέμνω[viap3s] ὁ[dafs] σάρξ[nafsc] ὁ[dgfs] ἀκροβυστία[ngfsc] αὐτός[rpgms]. **v.26** ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ὁ[dgfs] ἡμέρα[ngfsc] ἐκεῖνος[rdgfs] περιτέμνω[viap3s] Ἀβραάμ[nnmsp] καί[cc] Ισμαηλ[nnmsp] ὁ[dnms] υἱός[nnmsc] αὐτός[rpgms].

ἀργυρώνητοι ἐξ ἀλλογενῶν ἐθνῶν περιέτεμεν αὐτούς.
**18** Ὤφθη δὲ αὐτῷ ὁ θεὸς πρὸς τῇ δρυὶ τῇ Μαμβρη καθημένου
2 αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. ἀναβλέψας
δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδεν καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκει-
σαν ἐπάνω αὐτοῦ καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς
ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν.
3 καὶ εἶπεν κύριε εἰ ἄρα εὗρον χάριν ἐναντίον σου μὴ παρέλθῃς
4 τὸν παῖδά σου. λημφθήτω δὴ ὕδωρ καὶ νιψάτωσαν τοὺς πόδας
5 ὑμῶν καὶ καταψύξατε ὑπὸ τὸ δένδρον. καὶ λήμψομαι ἄρτον
καὶ φάγεσθε καὶ μετὰ τοῦτο παρελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν οὗ
εἵνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν καὶ εἶπαν οὕτως ποίη-
6 σον καθὼς εἴρηκας. καὶ ἔσπευσεν Αβρααμ ἐπὶ τὴν σκηνὴν πρὸς
Σαρραν καὶ εἶπεν αὐτῇ σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδά-
7 λεως καὶ ποίησον ἐγκρυφίας. καὶ εἰς τὰς βόας ἔδραμεν Αβρααμ
καὶ ἔλαβεν μοσχάριον ἁπαλὸν καὶ καλὸν καὶ ἔδωκεν τῷ παιδί
8 καὶ ἐτάχυνεν τοῦ ποιῆσαι αὐτό. ἔλαβεν δὲ βούτυρον καὶ γάλα
καὶ τὸ μοσχάριον ὃ ἐποίησεν καὶ παρέθηκεν αὐτοῖς καὶ ἐφάγο-
9 σαν αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον. εἶπεν δὲ πρὸς
αὐτόν ποῦ Σαρρα ἡ γυνή σου ὁ δὲ ἀποκριθεὶς εἶπεν ἰδοὺ ἐν τῇ
10 σκηνῇ. εἶπεν δέ ἐπαναστρέφων ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν
τοῦτον εἰς ὥρας καὶ ἕξει υἱὸν Σαρρα ἡ γυνή σου Σαρρα δὲ ἤκου-

---

**v.27** καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgms] οἶκος[ngmsc] αὐτός[rpgms] καί[cc] ὁ[dnmp] οἰκογενής[annmpn] καί[cc] ὁ[dnmp] ἀργυρώνητος[annmpn] ἐκ[pg] ἀλλογενής[angnpn] ἔθνος[ngnpc] περιτέμνω[viaa3s] αὐτός[rpamp]. **18.** **v.1** ὁράω[viap3s] δέ[cc] αὐτός[rpdms] ὁ[dnms] θεός[nnmsc] πρός[pd] ὁ[ddfs] δρῦς[ndfsc] ὁ[ddfs] Μαμβρη[ngmsp] κάθημαι[vppmgms] αὐτός[rpgms] ἐπί[pg] ὁ[dgfs] θύρα[ngfsc] ὁ[dgfs] σκηνή[ngfsc] αὐτός[rpgms] μεσημβρία[ngfsc]. **v.2** ἀναβλέπω[vpaanms] δέ[cc] ὁ[ddmp] ὀφθαλμός[ndmpc] αὐτός[rpgms] ὁράω[viaa3s] καί[cc] ἰδού[i] τρεῖς[acnmpn] ἀνήρ[nnmpc] ἵστημι[viya3p] ἐπάνω[pg] αὐτός[rpgms] καί[cc] ὁράω[vpaanms] προστρέχω[viaa3s] εἰς[pa] συνάντησις[nafsc] αὐτός[rpdmp] ἀπό[pg] ὁ[dgfs] θύρα[ngfsc] ὁ[dgfs] σκηνή[ngfsc] αὐτός[rpgms] καί[cc] προσκυνέω[viaa3s] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc]. **v.3** καί[cc] λέγω[viaa3s] κύριος[nvmsc] εἰ[cs] ἄρα[x] εὑρίσκω[viaa1s] χάρις[nafsc] ἐναντίον[pg] σύ[rpgms] μή[x] παρέρχομαι[vsaa2s] ὁ[dams] παῖς[namsc] σύ[rpgms]. **v.4** λαμβάνω[vdap3s] δή[x] ὕδωρ[nnnsc] καί[cc] νίπτω[vdaa3p] ὁ[damp] πούς[nampc] σύ[rpg-p] καί[cc] καταψύχω[vdaa2p] ὑπό[pa] ὁ[dans] δένδρον[nansc]. **v.5** καί[cc] λαμβάνω[vifm1s] ἄρτος[namsc] καί[cc] ἐσθίω[vifm2p] καί[cc] μετά[pa] οὗτος[rdans] παρέρχομαι[vifm2p] εἰς[pa] ὁ[dafs] ὁδός[nafsc] σύ[rpg-p] ὅς[rrgns] εἵνεκεν[pg] ἐκκλίνω[viaa2p] πρός[pa] ὁ[dams] παῖς[namsc] σύ[rpg-p] καί[cc] λέγω[viaa3p] οὕτως[b] ποιέω[vdaa2s] καθώς[cs] λέγω[vixa2s]. **v.6** καί[cc] σπεύδω[viaa3s] Ἀβραάμ[nnmsp] ἐπί[pa] ὁ[dafs] σκηνή[nafsc] πρός[pa] Σάρρα[nafsp] καί[cc] λέγω[viaa3s] αὐτός[rpdfs] σπεύδω[vdaa2s] καί[cc] φυράω[vdaa2s] τρεῖς[acanpn] μέτρον[nanpc] σεμίδαλις[ngfsc] καί[cc] ποιέω[vdaa2s] ἐγκρυφίας[nampc]. **v.7** καί[cc] εἰς[pa] ὁ[dafp] βοῦς[nafpc] τρέχω[viaa3s] Ἀβραάμ[nnmsp] καί[cc] λαμβάνω[viaa3s] μοσχάριον[nansc] ἁπαλός[anansn] καί[cc] καλός[anansn] καί[cc] δίδωμι[viaa3s] ὁ[ddms] παῖς[ndmsc] καί[cc] ταχύνω[viaa3s] ὁ[dgns] ποιέω[vnaa] αὐτός[rpans]. **v.8** λαμβάνω[viaa3s] δέ[cc] βούτυρον[nansc] καί[cc] γάλα[nansc] καί[cc] ὁ[dans] μοσχάριον[nansc] ὅς[rrans] ποιέω[viaa3s] καί[cc] παρατίθημι[viaa3s] αὐτός[rpdmp] καί[cc] ἐσθίω[viaa3p] αὐτός[rpnms] δέ[cc] παρίστημι[viya3s] αὐτός[rpdmp] ὑπό[pa] ὁ[dans] δένδρον[nansc]. **v.9** λέγω[viaa3s] δέ[cc] πρός[pa] αὐτός[rpams] ποῦ[b] Σάρρα[nnfsp] ὁ[dnfs] γυνή[nnfsc] σύ[rpgms] ὁ[dnms] δέ[cc] ἀποκρίνομαι[vpapnms] λέγω[viaa3s] ἰδού[i] ἐν[pd] ὁ[ddfs] σκηνή[ndfsc].

σεν πρὸς τῇ θύρᾳ τῆς σκηνῆς οὖσα ὄπισθεν αὐτοῦ. Αβρααμ δὲ 11
καὶ Σαρρα πρεσβύτεροι προβεβηκότες ἡμερῶν ἐξέλιπεν δὲ Σαρρα
γίνεσθαι τὰ γυναικεῖα. ἐγέλασεν δὲ Σαρρα ἐν ἑαυτῇ λέγουσα 12
οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν ὁ δὲ κύριός μου πρεσβύτερος.
καὶ εἶπεν κύριος πρὸς Αβρααμ τί ὅτι ἐγέλασεν Σαρρα ἐν ἑαυτῇ 13
λέγουσα ἆρά γε ἀληθῶς τέξομαι ἐγὼ δὲ γεγήρακα. μὴ ἀδυνατεῖ 14
παρὰ τῷ θεῷ ῥῆμα εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρὸς σὲ εἰς
ὥρας καὶ ἔσται τῇ Σαρρα υἱός. ἠρνήσατο δὲ Σαρρα λέγουσα οὐκ 15
ἐγέλασα ἐφοβήθη γάρ καὶ εἶπεν οὐχί ἀλλὰ ἐγέλασας. ἐξαναστάν- 16
τες δὲ ἐκεῖθεν οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδομων καὶ
Γομορρας Αβρααμ δὲ συνεπορεύετο μετ᾽ αὐτῶν συμπροπέμπων
αὐτούς. ὁ δὲ κύριος εἶπεν μὴ κρύψω ἐγὼ ἀπὸ Αβρααμ τοῦ παι- 17
δός μου ἃ ἐγὼ ποιῶ. Αβρααμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα 18
καὶ πολύ καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς.
ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ μετ᾽ 19
αὐτόν καὶ φυλάξουσιν τὰς ὁδοὺς κυρίου ποιεῖν δικαιοσύνην καὶ
κρίσιν ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Αβρααμ πάντα ὅσα ἐλάλησεν
πρὸς αὐτόν. εἶπεν δὲ κύριος κραυγὴ Σοδομων καὶ Γομορρας 20
πεπλήθυνται καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. καταβὰς 21
οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με

---

**v.10** λέγω[viaa3s] δέ[cc] ἐπαναστρέφω[vppanms] ἥκω[vifa1s] πρός[pa] σύ[rpams] κατά[pa] ὁ[dams] καιρός[namsc] οὗτος[rdams] εἰς[pa] ὥρα[nafpc] καί[cc] ἔχω[vifa3s] υἱός[namsc] Σάρρα[nnfsp] ὁ[dnfs] γυνή[nnfsc] σύ[rpgms] Σάρρα[nnfsp] δέ[cc] ἀκούω[viaa3s] πρός[pd] ὁ[ddfs] θύρα[ndfsc] ὁ[dgfs] σκηνή[ngfsc] εἰμί[vppanfs] ὄπισθε[b] αὐτός[rpgms]. **v.11** Ἀβραάμ[nnmsp] δέ[cc] καί[cc] Σάρρα[nnfsp] πρεσβύτερος[annmpc] προβαίνω[vpxanmp] ἡμέρα[ngfpc] ἐκλείπω[viaa3s] δέ[cc] Σάρρα[ndfsp] γίνομαι[vnpm] ὁ[dnnp] γυναικεῖος[annnpn]. **v.12** γελάω[viaa3s] δέ[cc] Σάρρα[nnfsp] ἐν[pd] ἑαυτοῦ[rxdfs] λέγω[vppanfs] οὔπω[b] μέν[x] ἐγώ[rpdfs] γίνομαι[vixa3s] ἕως[pg] ὁ[dgns] νῦν[b] ὁ[dnms] δέ[cc] κύριος[nnmsc] ἐγώ[rpgfs] πρεσβύτερος[annmsc]. **v.13** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] Ἀβραάμ[namsp] τίς[rqnns] ὅτι[cs] γελάω[viaa3s] Σάρρα[nnfsp] ἐν[pd] ἑαυτοῦ[rxdfs] λέγω[vppanfs] ἆρα[x] γέ[x] ἀληθῶς[b] τίκτω[vifm1s] ἐγώ[rpnfs] δέ[cc] γηράσκω[vixa1s]. **v.14** μή[x] ἀδυνατέω[vipa3s] παρά[pd] ὁ[ddms] θεός[ndmsc] ῥῆμα[nnnsc] εἰς[pa] ὁ[dams] καιρός[namsc] οὗτος[rdams] ἀναστρέφω[vifa1s] πρός[pa] σύ[rpams] εἰς[pa] ὥρα[nafpc] καί[cc] εἰμί[vifm3s] ὁ[ddfs] Σάρρα[ndfsp] υἱός[nnmsc]. **v.15** ἀρνέομαι[viam3s] δέ[cc] Σάρρα[nnfsp] λέγω[vppanfs] οὐ[b] γελάω[viaa1s] φοβέω[viap3s] γάρ[cc] καί[cc] λέγω[viaa3s] οὐχί[b] ἀλλά[cc] γελάω[viaa2s]. **v.16** ἐξανίστημι[vpaanmp] δέ[cc] ἐκεῖθεν[b] ὁ[dnmp] ἀνήρ[nnmpc] καταβλέπω[viaa3p] ἐπί[pa] πρόσωπον[nansc] Σόδομα[ngnpp] καί[cc] Γόμορρα[ngfsp] Ἀβραάμ[nnmsp] δέ[cc] συμπορεύομαι[viim3s] μετά[pg] αὐτός[rpgmp] συμπροπέμπω[vppanms] αὐτός[rpamp]. **v.17** ὁ[dnms] δέ[cc] κύριος[nnmsc] λέγω[viaa3s] μή[x] κρύπτω[vsaa1s] ἐγώ[rpn-s] ἀπό[pg] Ἀβραάμ[ngmsp] ὁ[dgms] παῖς[ngmsc] ἐγώ[rpg-s] ὅς[rranp] ἐγώ[rpn-s] ποιέω[vipa1s]. **v.18** Ἀβραάμ[nnmsp] δέ[cc] γίνομαι[vppmnms] εἰμί[vifm3s] εἰς[pa] ἔθνος[nansc] μέγας[anansn] καί[cc] πολύς[anansn] καί[cc] ἐνευλογέω[vifp3p] ἐν[pd] αὐτός[rpdms] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] ὁ[dgfs] γῆ[ngfsc]. **v.19** οἶδα[viya1s] γάρ[cc] ὅτι[cs] συντάσσω[vifa3s] ὁ[ddmp] υἱός[ndmpc] αὐτός[rpgms] καί[cc] ὁ[ddms] οἶκος[ndmsc] αὐτός[rpgms] μετά[pa] αὐτός[rpams] καί[cc] φυλάσσω[vifa3p] ὁ[dafp] ὁδός[nafpc] κύριος[ngmsc] ποιέω[vnpa] δικαιοσύνη[nafsc] καί[cc] κρίσις[nafsc] ὅπως[cs] ἄν[x] ἐπάγω[vsaa3s] κύριος[nnmsc] ἐπί[pa] Ἀβραάμ[namsp] πᾶς[aianpn] ὅσος[aranpn] λαλέω[viaa3s] πρός[pa] αὐτός[rpams]. **v.20** λέγω[viaa3s] δέ[cc] κύριος[nnmsc] κραυγή[nnfsc] Σόδομα[ngnpp] καί[cc] Γόμορρα[ngfsp] πληθύνω[vixp3s] καί[cc] ὁ[dnfp] ἁμαρτία[nnfpc] αὐτός[rpgmp] μέγας[annfpn] σφόδρα[b].

22 συντελοῦνται εἰ δὲ μή ἵνα γνῶ. καὶ ἀποστρέψαντες ἐκεῖθεν οἱ
ἄνδρες ἦλθον εἰς Σοδομα Αβρααμ δὲ ἦν ἑστηκὼς ἐναντίον κυ-
23 ρίου. καὶ ἐγγίσας Αβρααμ εἶπεν μὴ συναπολέσῃς δίκαιον μετὰ
24 ἀσεβοῦς καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. ἐὰν ὦσιν πεντήκοντα
δίκαιοι ἐν τῇ πόλει ἀπολεῖς αὐτούς οὐκ ἀνήσεις πάντα τὸν τό-
25 πον ἕνεκεν τῶν πεντήκοντα δικαίων ἐὰν ὦσιν ἐν αὐτῇ. μηδαμῶς
σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσε-
βοῦς καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής μηδαμῶς ὁ κρίνων πᾶσαν
26 τὴν γῆν οὐ ποιήσεις κρίσιν. εἶπεν δὲ κύριος ἐὰν εὕρω ἐν Σο-
δομοις πεντήκοντα δικαίους ἐν τῇ πόλει ἀφήσω πάντα τὸν τόπον
27 δι᾽ αὐτούς. καὶ ἀποκριθεὶς Αβρααμ εἶπεν νῦν ἠρξάμην λαλῆσαι
28 πρὸς τὸν κύριον ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ἐὰν δὲ ἐλαττονωθῶ-
σιν οἱ πεντήκοντα δίκαιοι πέντε ἀπολεῖς ἕνεκεν τῶν πέντε πᾶσαν
τὴν πόλιν καὶ εἶπεν οὐ μὴ ἀπολέσω ἐὰν εὕρω ἐκεῖ τεσσαράκοντα
29 πέντε. καὶ προσέθηκεν ἔτι λαλῆσαι πρὸς αὐτὸν καὶ εἶπεν ἐὰν
δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα καὶ εἶπεν οὐ μὴ ἀπολέσω ἕνε-
30 κεν τῶν τεσσαράκοντα. καὶ εἶπεν μή τι κύριε ἐὰν λαλήσω ἐὰν
δὲ εὑρεθῶσιν ἐκεῖ τριάκοντα καὶ εἶπεν οὐ μὴ ἀπολέσω ἐὰν εὕρω
31 ἐκεῖ τριάκοντα. καὶ εἶπεν ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν κύριον
ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ εἴκοσι καὶ εἶπεν οὐ μὴ ἀπολέσω ἕνεκεν

---

**v.21** καταβαίνω[vpaanms] οὖν[cc] ὁράω[vifm1s] εἰ[x] κατά[pa] ὁ[dafs] κραυγή[nafsc] αὐτός[rpgmp] ὁ[dafs] ἔρχομαι[vppmafs] πρός[pa] ἐγώ[rpams] συντελέω[vipm3p] εἰ[cs] δέ[cc] μή[x] ἵνα[cs] γινώσκω[vsaa1s]. **v.22** καί[cc] ἀποστρέφω[vpaanmp] ἐκεῖθεν[b] ὁ[dnmp] ἀνήρ[nnmpc] ἔρχομαι[viaa3p] εἰς[pa] Σόδομα[nanpp] Ἀβραάμ[nnmsp] δέ[cc] εἰμί[viia3s] ἵστημι[vpxanms] ἐναντίον[pg] κύριος[ngmsc]. **v.23** καί[cc] ἐγγίζω[vpaanms] Ἀβραάμ[nnmsp] λέγω[viaa3s] μή[x] συναπόλλυμι[vsaa2s] δίκαιος[anamsn] μετά[pg] ἀσεβής[angmsn] καί[cc] εἰμί[vifm3s] ὁ[dnms] δίκαιος[annmsn] ὡς[cs] ὁ[dnms] ἀσεβής[annmsn]. **v.24** ἐάν[cs] εἰμί[vspa3p] πεντήκοντα[ac—n] δίκαιος[annmpn] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc] ἀπόλλυμι[vifa2s] αὐτός[rpamp] οὐ[b] ἀνίημι[vifa2s] πᾶς[aiamsn] ὁ[dams] τόπος[namsc] ἕνεκα[pg] ὁ[dgmp] πεντήκοντα[ac—n] δίκαιος[angmpn] ἐάν[cs] εἰμί[vspa3p] ἐν[pd] αὐτός[rpdfs]. **v.25** μηδαμῶς[b] σύ[rpnms] ποιέω[vifa2s] ὡς[cs] ὁ[dans] ῥῆμα[nansc] οὗτος[rdans] ὁ[dgns] ἀποκτείνω[vnaa] δίκαιος[anamsn] μετά[pg] ἀσεβής[angmsn] καί[cc] εἰμί[vifm3s] ὁ[dnms] δίκαιος[annmsn] ὡς[cs] ὁ[dnms] ἀσεβής[annmsn] μηδαμῶς[b] ὁ[dnms] κρίνω[vppanms] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc] οὐ[b] ποιέω[vifa2s] κρίσις[nafsc]. **v.26** λέγω[viaa3s] δέ[cc] κύριος[nnmsc] ἐάν[cs] εὑρίσκω[vsaa1s] ἐν[pd] Σόδομα[ndnpp] πεντήκοντα[ac—n] δίκαιος[anampn] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc] ἀφίημι[vifa1s] πᾶς[aiamsn] ὁ[dams] τόπος[namsc] διά[pa] αὐτός[rpamp]. **v.27** καί[cc] ἀποκρίνομαι[vpapnms] Ἀβραάμ[nnmsp] λέγω[viaa3s] νῦν[b] ἄρχω[viam1s] λαλέω[vnaa] πρός[pa] ὁ[dams] κύριος[namsc] ἐγώ[rpnms] δέ[cc] εἰμί[vipa1s] γῆ[nnfsc] καί[cc] σποδός[nnfsc]. **v.28** ἐάν[cs] δέ[cc] ἐλαττονόω[vsap3p] ὁ[dnmp] πεντήκοντα[ac—n] δίκαιος[annmpn] πέντε[ac—n] ἀπόλλυμι[vifa2s] ἕνεκα[pg] ὁ[dgmp] πέντε[ac—n] πᾶς[aiafsn] ὁ[dafs] πόλις[nafsc] καί[cc] λέγω[viaa3s] οὐ[b] μή[x] ἀπόλλυμι[vsaa1s] ἐάν[cs] εὑρίσκω[vsaa1s] ἐκεῖ[b] τεσσαράκοντα[ac—n] πέντε[ac—n]. **v.29** καί[cc] προστίθημι[viaa3s] ἔτι[b] λαλέω[vnaa] πρός[pa] αὐτός[rpams] καί[cc] λέγω[viaa3s] ἐάν[cs] δέ[cc] εὑρίσκω[vsap3p] ἐκεῖ[b] τεσσαράκοντα[ac—n] καί[cc] λέγω[viaa3s] οὐ[b] μή[x] ἀπόλλυμι[vsaa1s] ἕνεκα[pg] ὁ[dgmp] τεσσαράκοντα[ac—n]. **v.30** καί[cc] λέγω[viaa3s] μή[x] τι-σριανς κύριος[nvmsc] ἐάν[cs] λαλέω[vsaa1s] ἐάν[cs] δέ[cc] εὑρίσκω[vsap3p] ἐκεῖ[b] τριάκοντα[ac—n] καί[cc] λέγω[viaa3s] οὐ[b] μή[x] ἀπόλλυμι[vsaa1s] ἐάν[cs] εὑρίσκω[vsaa1s] ἐκεῖ[b] τριάκοντα[ac—n].

τῶν εἴκοσι. καὶ εἶπεν μή τι κύριε ἐὰν λαλήσω ἔτι ἅπαξ ἐὰν δὲ 32
εὑρεθῶσιν ἐκεῖ δέκα καὶ εἶπεν οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα.
ἀπῆλθεν δὲ κύριος ὡς ἐπαύσατο λαλῶν τῷ Αβρααμ καὶ Αβρααμ 33
ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.
Ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σοδομα ἑσπέρας Λωτ δὲ ἐκάθητο **19**
παρὰ τὴν πύλην Σοδομων ἰδὼν δὲ Λωτ ἐξανέστη εἰς συνάντησιν
αὐτοῖς καὶ προσεκύνησεν τῷ προσώπῳ ἐπὶ τὴν γῆν. καὶ εἶπεν 2
ἰδού κύριοι ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καὶ καταλύ-
σατε καὶ νίψασθε τοὺς πόδας ὑμῶν καὶ ὀρθρίσαντες ἀπελεύσεσθε
εἰς τὴν ὁδὸν ὑμῶν εἶπαν δέ οὐχί ἀλλ᾽ ἐν τῇ πλατείᾳ καταλύσομεν.
καὶ κατεβιάζετο αὐτούς καὶ ἐξέκλιναν πρὸς αὐτὸν καὶ εἰσῆλθον 3
εἰς τὴν οἰκίαν αὐτοῦ καὶ ἐποίησεν αὐτοῖς πότον καὶ ἀζύμους ἔ-
πεψεν αὐτοῖς καὶ ἔφαγον. πρὸ τοῦ κοιμηθῆναι καὶ οἱ ἄνδρες 4
τῆς πόλεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν ἀπὸ νεανί-
σκου ἕως πρεσβυτέρου ἅπας ὁ λαὸς ἅμα. καὶ ἐξεκαλοῦντο τὸν 5
Λωτ καὶ ἔλεγον πρὸς αὐτόν ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες
πρὸς σὲ τὴν νύκτα ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς ἵνα συγγενώμεθα
αὐτοῖς. ἐξῆλθεν δὲ Λωτ πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον τὴν δὲ 6
θύραν προσέῳξεν ὀπίσω αὐτοῦ. εἶπεν δὲ πρὸς αὐτούς μηδαμῶς 7
ἀδελφοί μὴ πονηρεύσησθε. εἰσὶν δέ μοι δύο θυγατέρες αἳ οὐκ 8
ἔγνωσαν ἄνδρα ἐξάξω αὐτὰς πρὸς ὑμᾶς καὶ χρήσασθε αὐταῖς κα-

---

**v.31** καί[cc] λέγω[viaa3s] ἐπειδή[cs] ἔχω[vipa1s] λαλέω[vnaa] πρός[pa] ὁ[dams] κύριος[namsc] ἐάν[cs] δέ[cc] εὑρίσκω[vsap3p] ἐκεῖ[b] εἴκοσι[ac—n] καί[cc] λέγω[viaa3s] οὐ[b] μή[x] ἀπόλλυμι[vsaa1s] ἕνεκα[pg] ὁ[dgmp] εἴκοσι[ac—n]. **v.32** καί[cc] λέγω[viaa3s] μή[x] τι-σριανς κύριος[nvmsc] ἐάν[cs] λαλέω[vsaa1s] ἔτι[b] ἅπαξ[b] ἐάν[cs] δέ[cc] εὑρίσκω[vsap3p] ἐκεῖ[b] δέκα[ac—n] καί[cc] λέγω[viaa3s] οὐ[b] μή[x] ἀπόλλυμι[vsaa1s] ἕνεκα[pg] ὁ[dgmp] δέκα[ac—n]. **v.33** ἀπέρχομαι[viaa3s] δέ[cc] κύριος[nnmsc] ὡς[cs] παύω[viam3s] λαλέω[vppanms] ὁ[ddms] Ἀβραάμ[ndmsp] καί[cc] Ἀβραάμ[nnmsp] ἀποστρέφω[viaa3s] εἰς[pa] ὁ[dams] τόπος[namsc] αὐτός[rpgms]. **19.** **v.1** ἔρχομαι[viaa3p] δέ[cc] ὁ[dnmp] δύο[ac—n] ἄγγελος[nnmpc] εἰς[pa] Σόδομα[nanpp] ἑσπέρα[ngfsc] Λώτ[nnmsp] δέ[cc] κάθημαι[viim3s] παρά[pa] ὁ[dafs] πύλη[nafsc] Σόδομα[ngnpp] ὁράω[vpaanms] δέ[cc] Λώτ[nnmsp] ἐξανίστημι[viaa3s] εἰς[pa] συνάντησις[nafsc] αὐτός[rpdmp] καί[cc] προσκυνέω[viaa3s] ὁ[ddns] πρόσωπον[ndnsc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc]. **v.2** καί[cc] λέγω[viaa3s] ἰδού[i] κύριος[nvmpc] ἐκκλίνω[vdaa2p] εἰς[pa] ὁ[dams] οἶκος[namsc] ὁ[dgms] παῖς[ngmsc] σύ[rpgmp] καί[cc] καταλύω[vdaa2p] καί[cc] νίπτω[vdam2p] ὁ[damp] πούς[nampc] σύ[rpgmp] καί[cc] ὀρθρίζω[vpaanmp] ἀπέρχομαι[vifm2p] εἰς[pa] ὁ[dafs] ὁδός[nafsc] σύ[rpg-p] λέγω[viaa3p] δέ[cc] οὐχί[b] ἀλλά[cc] ἐν[pd] ὁ[ddfs] πλατύς[andfsn] καταλύω[vifa1p]. **v.3** καί[cc] καταβιάζομαι[viim3s] αὐτός[rpamp] καί[cc] ἐκκλίνω[viaa3p] πρός[pa] αὐτός[rpams] καί[cc] εἰσέρχομαι[viaa3p] εἰς[pa] ὁ[dafs] οἰκία[nafsc] αὐτός[rpgms] καί[cc] ποιέω[viaa3s] αὐτός[rpdmp] πότος[namsc] καί[cc] ἄζυμος[anampn] πέσσω[viaa3s] αὐτός[rpdmp] καί[cc] ἐσθίω[viaa3p]. **v.4** πρό[pg] ὁ[dgns] κοιμάομαι[vnap] καί[cc] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgfs] πόλις[ngfsc] ὁ[dnmp] Σοδομίτης[nnmpp] περικυκλόω[viaa3p] ὁ[dafs] οἰκία[nafsc] ἀπό[pg] νεανίσκος[ngmsc] ἕως[pg] πρεσβύτερος[angmsc] ἅπας[annmsn] ὁ[dnms] λαός[nnmsc] ἅμα[b]. **v.5** καί[cc] ἐκκαλέω[viim3p] ὁ[dams] Λώτ[namsp] καί[cc] λέγω[viia3p] πρός[pa] αὐτός[rpams] ποῦ[b] εἰμί[vipa3p] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dnmp] εἰσέρχομαι[vpaanmp] πρός[pa] σύ[rpams] ὁ[dafs] νύξ[nafsc] ἐξάγω[vdaa2s] αὐτός[rpamp] πρός[pa] ἐγώ[rpamp] ἵνα[cs] συγγίνομαι[vsam1p] αὐτός[rpdmp]. **v.6** ἐξέρχομαι[viaa3s] δέ[cc] Λώτ[nnmsp] πρός[pa] αὐτός[rpamp] πρός[pa] ὁ[dans] πρόθυρον[nansc] ὁ[dafs] δέ[cc] θύρα[nafsc] προσοίγω[viaa3s] ὀπίσω[pg] αὐτός[rpgms]. **v.7** λέγω[viaa3s] δέ[cc] πρός[pa] αὐτός[rpamp] μηδαμῶς[b] ἀδελφός[nvmpc] μή[x] πονηρεύομαι[vsam2p].

θὰ ἂν ἀρέσκῃ ὑμῖν μόνον εἰς τοὺς ἄνδρας τούτους μὴ ποιήσητε
μηδὲν ἄδικον οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν
9 μου. εἶπαν δέ ἀπόστα ἐκεῖ εἷς ἦλθες παροικεῖν μὴ καὶ κρίσιν
κρίνειν νῦν οὖν σὲ κακώσομεν μᾶλλον ἢ ἐκείνους καὶ παρεβιά-
ζοντο τὸν ἄνδρα τὸν Λωτ σφόδρα καὶ ἤγγισαν συντρῖψαι τὴν θύ-
10 ραν. ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λωτ
πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν.
11 τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἀο-
ρασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου καὶ παρελύθησαν ζητοῦντες τὴν
12 θύραν. εἶπαν δὲ οἱ ἄνδρες πρὸς Λωτ ἔστιν τίς σοι ὧδε γαμβροὶ
ἢ υἱοὶ ἢ θυγατέρες ἢ εἴ τίς σοι ἄλλος ἔστιν ἐν τῇ πόλει ἐξάγαγε
13 ἐκ τοῦ τόπου τούτου. ὅτι ἀπόλλυμεν ἡμεῖς τὸν τόπον τοῦτον ὅτι
ὑψώθη ἡ κραυγὴ αὐτῶν ἐναντίον κυρίου καὶ ἀπέστειλεν ἡμᾶς
14 κύριος ἐκτρῖψαι αὐτήν. ἐξῆλθεν δὲ Λωτ καὶ ἐλάλησεν πρὸς τοὺς
γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ καὶ εἶπεν
ἀνάστητε καὶ ἐξέλθατε ἐκ τοῦ τόπου τούτου ὅτι ἐκτρίβει κύριος
15 τὴν πόλιν ἔδοξεν δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ. ἡ-
νίκα δὲ ὄρθρος ἐγίνετο ἐπεσπούδαζον οἱ ἄγγελοι τὸν Λωτ λέγοντες
ἀναστὰς λαβὲ τὴν γυναῖκά σου καὶ τὰς δύο θυγατέρας σου ἃς ἔ-
16 χεις καὶ ἔξελθε ἵνα μὴ συναπόλῃ ταῖς ἀνομίαις τῆς πόλεως. καὶ

---

**v.8** εἰμί[vipa3p] δέ[cc] ἐγώ[rpdms] δύο[ac—n] θυγάτηρ[nnfpc] ὅς[rrnfp] οὐ[b] γινώσκω[viaa3p] ἀνήρ[namsc] ἐξάγω[vifa1s] αὐτός[rpafp] πρός[pa] σύ[rpamp] καί[cc] χράω[vdam2p] αὐτός[rpdfp] καθά[cs] ἄν[x] ἀρέσκω[vspa3s] σύ[rpdmp] μόνος[b] εἰς[pa] ὁ[damp] ἀνήρ[nampc] οὗτος[rdamp] μή[x] ποιέω[vsaa2p] μηδείς[rians] ἄδικος[anansn] ὅς[rrgns] εἵνεκεν[pg] εἰσέρχομαι[viaa3p] ὑπό[pa] ὁ[dafs] σκέπη[nafsc] ὁ[dgfp] δοκός[ngfpc] ἐγώ[rpgms]. **v.9** λέγω[viaa3p] δέ[cc] ἀφίστημι[vdaa2s] ἐκεῖ[b] εἷς[acnmsn] ἔρχομαι[viaa2s] παροικέω[vnpa] μή[x] καί[cc] κρίσις[nafsc] κρίνω[vnpa] νῦν[b] οὖν[cc] σύ[rpams] κακόω[vifa1p] μᾶλλον[b] ἤ[cc] ἐκεῖνος[rdamp] καί[cc] παραβιάζομαι[viim3p] ὁ[dams] ἀνήρ[namsc] ὁ[dams] Λώτ[namsp] σφόδρα[b] καί[cc] ἐγγίζω[viaa3p] συντρίβω[vnaa] ὁ[dafs] θύρα[nafsc]. **v.10** ἐκτείνω[vpaanmp] δέ[cc] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dafp] χείρ[nafpc] εἰσσπάομαι[viam3p] ὁ[dams] Λώτ[namsp] πρός[pa] ἑαυτοῦ[rxamp] εἰς[pa] ὁ[dams] οἶκος[namsc] καί[cc] ὁ[dafs] θύρα[nafsc] ὁ[dgms] οἶκος[ngmsc] ἀποκλείω[viaa3p]. **v.11** ὁ[damp] δέ[cc] ἀνήρ[nampc] ὁ[damp] εἰμί[vppaamp] ἐπί[pg] ὁ[dgfs] θύρα[ngfsc] ὁ[dgms] οἶκος[ngmsc] πατάσσω[viaa3p] ἀορασία[ndfsc] ἀπό[pg] μικρός[angmsn] ἕως[pg] μέγας[angmsn] καί[cc] παραλύω[viap3p] ζητέω[vppanmp] ὁ[dafs] θύρα[nafsc]. **v.12** λέγω[viaa3p] δέ[cc] ὁ[dnmp] ἀνήρ[nnmpc] πρός[pa] Λώτ[namsp] εἰμί[vipa3s] τι-ςρινμς σύ[rpdms] ὧδε[b] γαμβρός[nnmpc] ἤ[cc] υἱός[nnmpc] ἤ[cc] θυγάτηρ[nnfpc] ἤ[cc] εἰ[cs] τι-ςρινμς σύ[rpdms] ἄλλος[rinms] εἰμί[vipa3s] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc] ἐξάγω[vdaa2s] ἐκ[pg] ὁ[dgms] τόπος[ngmsc] οὗτος[rdgms]. **v.13** ὅτι[cs] ἀπόλλυμι[vipa1p] ἐγώ[rpnmp] ὁ[dams] τόπος[namsc] οὗτος[rdams] ὅτι[cs] ὑψόω[viap3s] ὁ[dnfs] κραυγή[nnfsc] αὐτός[rpgmp] ἐναντίον[pg] κύριος[ngmsc] καί[cc] ἀποστέλλω[viaa3s] ἐγώ[rpamp] κύριος[nnmsc] ἐκτρίβω[vnaa] αὐτός[rpafs]. **v.14** ἐξέρχομαι[viaa3s] δέ[cc] Λώτ[nnmsp] καί[cc] λαλέω[viaa3s] πρός[pa] ὁ[damp] γαμβρός[nampc] αὐτός[rpgms] ὁ[damp] λαμβάνω[vpxaamp] ὁ[dafp] θυγάτηρ[nafpc] αὐτός[rpgms] καί[cc] λέγω[viaa3s] ἀνίστημι[vdaa2p] καί[cc] ἐξέρχομαι[vdaa2p] ἐκ[pg] ὁ[dgms] τόπος[ngmsc] οὗτος[rdgms] ὅτι[cs] ἐκτρίβω[vipa3s] κύριος[nnmsc] ὁ[dafs] πόλις[nafsc] δοκέω[viaa3s] δέ[cc] γελοιάζω[vnpa] ἐναντίον[pg] ὁ[dgmp] γαμβρός[ngmpc] αὐτός[rpgms]. **v.15** ἡνίκα[cs] δέ[cc] ὄρθρος[nnmsc] γίνομαι[viim3s] ἐπισπουδάζω[viia3p] ὁ[dnmp] ἄγγελος[nnmpc] ὁ[dams] Λώτ[namsp] λέγω[vppanmp] ἀνίστημι[vpaanms] λαμβάνω[vdaa2s] ὁ[dafs] γυνή[nafsc] σύ[rpgms] καί[cc] ὁ[dafp] δύο[ac—n] θυγάτηρ[nafpc] σύ[rpgms] ὅς[rrafp] ἔχω[vipa2s] καί[cc] ἐξέρχομαι[vdaa2s] ἵνα[cs] μή[x] συναπόλλυμι[vsam2s] ὁ[ddfp] ἀνομία[ndfpc] ὁ[dgfs] πόλις[ngfsc].

ἐταράχθησαν καὶ ἐκράτησαν οἱ ἄγγελοι τῆς χειρὸς αὐτοῦ καὶ τῆς
χειρὸς τῆς γυναικὸς αὐτοῦ καὶ τῶν χειρῶν τῶν δύο θυγατέρων
αὐτοῦ ἐν τῷ φείσασθαι κύριον αὐτοῦ. καὶ ἐγένετο ἡνίκα ἐξή- 17
γαγον αὐτοὺς ἔξω καὶ εἶπαν σῴζων σῷζε τὴν σεαυτοῦ ψυχήν μὴ
περιβλέψῃς εἰς τὰ ὀπίσω μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ εἰς τὸ
ὄρος σῴζου μήποτε συμπαραλημφθῇς. εἶπεν δὲ Λωτ πρὸς αὐ- 18
τούς δέομαι κύριε. ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου 19
καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου ὃ ποιεῖς ἐπ' ἐμέ τοῦ ζῆν τὴν
ψυχήν μου ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος μὴ κα-
ταλάβῃ με τὰ κακὰ καὶ ἀποθάνω. ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ 20
καταφυγεῖν με ἐκεῖ ἥ ἐστιν μικρά ἐκεῖ σωθήσομαι οὐ μικρά ἐστιν
καὶ ζήσεται ἡ ψυχή μου. καὶ εἶπεν αὐτῷ ἰδοὺ ἐθαύμασά σου 21
τὸ πρόσωπον καὶ ἐπὶ τῷ ῥήματι τούτῳ τοῦ μὴ καταστρέψαι τὴν
πόλιν περὶ ἧς ἐλάλησας. σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ οὐ γὰρ 22
δυνήσομαι ποιῆσαι πρᾶγμα ἕως τοῦ σε εἰσελθεῖν ἐκεῖ διὰ τοῦτο
ἐκάλεσεν τὸ ὄνομα τῆς πόλεως ἐκείνης Σηγωρ. ὁ ἥλιος ἐξῆλθεν 23
ἐπὶ τὴν γῆν καὶ Λωτ εἰσῆλθεν εἰς Σηγωρ. καὶ κύριος ἔβρεξεν ἐπὶ 24
Σοδομα καὶ Γομορρα θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ.
καὶ κατέστρεψεν τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίοικον καὶ 25
πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσιν καὶ πάντα τὰ ἀνατέλ-
λοντα ἐκ τῆς γῆς. καὶ ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω καὶ 26

---

**v.16** καί[cc] ταράσσω[viap3p] καί[cc] κρατέω[viaa3p] ὁ[dnmp] ἄγγελος[nnmpc] ὁ[dgfs] χείρ[ngfsc] αὐτός[rpgms] καί[cc] ὁ[dgfs] χείρ[ngfsc] ὁ[dgfs] γυνή[ngfsc] αὐτός[rpgms] καί[cc] ὁ[dgfp] χείρ[ngfpc] ὁ[dgfp] δύο[ac—n] θυγάτηρ[ngfpc] αὐτός[rpgms] ἐν[pd] ὁ[ddns] φείδομαι[vnam] κύριος[namsc] αὐτός[rpgms]. **v.17** καί[cc] γίνομαι[viam3s] ἡνίκα[cs] ἐξάγω[viaa3p] αὐτός[rpamp] ἔξω[b] καί[cc] λέγω[viaa3p] σῴζω[vppanms] σῴζω[vdpa2s] ὁ[dafs] σεαυτοῦ[rxgms] ψυχή[nafsc] μή[x] περιβλέπω[vsaa2s] εἰς[pa] ὁ[danp] ὀπίσω[b] μηδέ[x] ἵστημι[vsaa2s] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] περίχωρος[andfsn] εἰς[pa] ὁ[dans] ὄρος[nansc] σῴζω[vdpm2s] μήποτε[cs] συμπαραλαμβάνω[vsap2s]. **v.18** λέγω[viaa3s] δέ[cc] Λώτ[nnmsp] πρός[pa] αὐτός[rpamp] δέομαι[vipm1s] κύριος[nvmsc]. **v.19** ἐπειδή[cs] εὑρίσκω[viaa3s] ὁ[dnms] παῖς[nnmsc] σύ[rpgms] ἔλεος[nansc] ἐναντίον[pg] σύ[rpgms] καί[cc] μεγαλύνω[viaa2s] ὁ[dafs] δικαιοσύνη[nafsc] σύ[rpgms] ὅς[rrans] ποιέω[vipa2s] ἐπί[pa] ἐγώ[rpams] ὁ[dgns] ζάω[vnpa] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpgms] ἐγώ[rpnms] δέ[cc] οὐ[b] δύναμαι[vifm1s] διασῴζω[vnap] εἰς[pa] ὁ[dans] ὄρος[nansc] μή[x] καταλαμβάνω[vsaa3s] ἐγώ[rpams] ὁ[dnnp] κακός[annnpn] καί[cc] ἀποθνῄσκω[vsaa1s]. **v.20** ἰδού[i] ὁ[dnfs] πόλις[nnfsc] οὗτος[rdnfs] ἐγγύς[pg] ὁ[dgns] καταφεύγω[vnaa] ἐγώ[rpams] ἐκεῖ[b] ὅς[rrnfs] εἰμί[vipa3s] μικρός[annfsn] ἐκεῖ[b] σῴζω[vifp1s] οὐ[b] μικρός[annfsn] εἰμί[vipa3s] καί[cc] ζάω[vifm3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpgms]. **v.21** καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] ἰδού[i] θαυμάζω[viaa1s] σύ[rpgms] ὁ[dans] πρόσωπον[nansc] καί[cc] ἐπί[pd] ὁ[ddns] ῥῆμα[ndnsc] οὗτος[rddns] ὁ[dgns] μή[x] καταστρέφω[vnaa] ὁ[dafs] πόλις[nafsc] περί[pg] ὅς[rrgfs] λαλέω[viaa2s]. **v.22** σπεύδω[vdaa2s] οὖν[cc] ὁ[dgns] σῴζω[vnap] ἐκεῖ[b] οὐ[b] γάρ[cc] δύναμαι[vifm1s] ποιέω[vnaa] πρᾶγμα[nansc] ἕως[pg] ὁ[dgns] σύ[rpams] εἰσέρχομαι[vnaa] ἐκεῖ[b] διά[pa] οὗτος[rdans] καλέω[viaa3s] ὁ[dans] ὄνομα[nansc] ὁ[dgfs] πόλις[ngfsc] ἐκεῖνος[rdgfs] Σηγωρ[na-sp]. **v.23** ὁ[dnms] ἥλιος[nnmsc] ἐξέρχομαι[viaa3s] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] καί[cc] Λώτ[nnmsp] εἰσέρχομαι[viaa3s] εἰς[pa] Σηγωρ[na-sp]. **v.24** καί[cc] κύριος[nnmsc] βρέχω[viaa3s] ἐπί[pa] Σόδομα[nanpp] καί[cc] Γόμορρα[nafsp] θεῖον[nansc] καί[cc] πῦρ[nansc] παρά[pg] κύριος[ngmsc] ἐκ[pg] ὁ[dgms] οὐρανός[ngmsc]. **v.25** καί[cc] καταστρέφω[viaa3s] ὁ[dafp] πόλις[nafpc] οὗτος[rdafp] καί[cc] πᾶς[aiafsn] ὁ[dafs] περίοικος[anafsn] καί[cc] πᾶς[aiampn] ὁ[damp] κατοικέω[vppaamp] ἐν[pd] ὁ[ddfp] πόλις[ndfpc] καί[cc] πᾶς[aianpn] ὁ[danp] ἀνατέλλω[vppaanp] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc].

27 ἐγένετο στήλη ἁλός. ὤρθρισεν δὲ Αβρααμ τὸ πρωὶ εἰς τὸν τόπον
28 οὗ εἱστήκει ἐναντίον κυρίου. καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον Σο-
δομων καὶ Γομορρας καὶ ἐπὶ πρόσωπον τῆς γῆς τῆς περιχώρου
καὶ εἶδεν καὶ ἰδοὺ ἀνέβαινεν φλὸξ τῆς γῆς ὡσεὶ ἀτμὶς καμίνου.
29 καὶ ἐγένετο ἐν τῷ ἐκτρῖψαι κύριον πάσας τὰς πόλεις τῆς περιοί-
κου ἐμνήσθη ὁ θεὸς τοῦ Αβρααμ καὶ ἐξαπέστειλεν τὸν Λωτ ἐκ
μέσου τῆς καταστροφῆς ἐν τῷ καταστρέψαι κύριον τὰς πόλεις ἐν
30 αἷς κατῴκει ἐν αὐταῖς Λωτ. ἀνέβη δὲ Λωτ ἐκ Σηγωρ καὶ ἐκάθητο
ἐν τῷ ὄρει καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ᾽ αὐτοῦ ἐφοβήθη γὰρ
κατοικῆσαι ἐν Σηγωρ καὶ ᾤκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς καὶ αἱ
31 δύο θυγατέρες αὐτοῦ μετ᾽ αὐτοῦ. εἶπεν δὲ ἡ πρεσβυτέρα πρὸς
τὴν νεωτέραν ὁ πατὴρ ἡμῶν πρεσβύτερος καὶ οὐδείς ἐστιν ἐπὶ τῆς
32 γῆς ὃς εἰσελεύσεται πρὸς ἡμᾶς ὡς καθήκει πάσῃ τῇ γῇ. δεῦρο
καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον καὶ κοιμηθῶμεν μετ᾽ αὐ-
33 τοῦ καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. ἐπότισαν
δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ταύτῃ καὶ εἰσελθοῦσα ἡ
πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς τὴν νύκτα ἐκείνην
34 καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὴν καὶ ἀναστῆναι. ἐγένετο
δὲ τῇ ἐπαύριον καὶ εἶπεν ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν ἰδοὺ
ἐκοιμήθην ἐχθὲς μετὰ τοῦ πατρὸς ἡμῶν ποτίσωμεν αὐτὸν οἶνον
καὶ τὴν νύκτα ταύτην καὶ εἰσελθοῦσα κοιμήθητι μετ᾽ αὐτοῦ καὶ

---

**v.26** καί[cc] ἐπιβλέπω[viaa3s] ὁ[dnfs] γυνή[nnfsc] αὐτός[rpgms] εἰς[pa] ὁ[danp] ὀπίσω[b] καί[cc] γίνομαι[viam3s] στήλη[nnfsc] ἅλς[ngmsc]. **v.27** ὀρθρίζω[viaa3s] δέ[cc] Ἀβραάμ[nnmsp] ὁ[dans] πρωΐ[b] εἰς[pa] ὁ[dams] τόπος[namsc] ὅς[b] ἵστημι[viya3s] ἐναντίον[pg] κύριος[ngmsc]. **v.28** καί[cc] ἐπιβλέπω[viaa3s] ἐπί[pa] πρόσωπον[nansc] Σόδομα[ngnpp] καί[cc] Γόμορρα[ngfsp] καί[cc] ἐπί[pa] πρόσωπον[nansc] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dgfs] περίχωρος[angfsn] καί[cc] ὁράω[viaa3s] καί[cc] ἰδού[i] ἀναβαίνω[viia3s] φλόξ[nnfsc] ὁ[dgfs] γῆ[ngfsc] ὡσεί[x] ἀτμίς[nnfsc] κάμινος[ngfsc]. **v.29** καί[cc] γίνομαι[viam3s] ἐν[pd] ὁ[ddns] ἐκτρίβω[vnaa] κύριος[namsc] πᾶς[aiafpn] ὁ[dafp] πόλις[nafpc] ὁ[dgfs] περίοικος[angfsn] μιμνῄσκομαι[viap3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] Ἀβραάμ[ngmsp] καί[cc] ἐξαποστέλλω[viaa3s] ὁ[dams] Λώτ[namsp] ἐκ[pg] μέσος[angnsn] ὁ[dgfs] καταστροφή[ngfsc] ἐν[pd] ὁ[ddns] καταστρέφω[vnaa] κύριος[namsc] ὁ[dafp] πόλις[nafpc] ἐν[pd] ὅς[rrdfp] κατοικέω[viia3s] ἐν[pd] αὐτός[rpdfp] Λώτ[nnmsp]. **v.30** ἀναβαίνω[viaa3s] δέ[cc] Λώτ[nnmsp] ἐκ[pg] Σηγωρ[ng-sp] καί[cc] κάθημαι[viim3s] ἐν[pd] ὁ[ddns] ὄρος[ndnsc] καί[cc] ὁ[dnfp] δύο[ac—n] θυγάτηρ[nnfpc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms] φοβέω[viap3s] γάρ[cc] κατοικέω[vnaa] ἐν[pd] Σηγωρ[nd-sp] καί[cc] οἰκέω[viaa3s] ἐν[pd] ὁ[ddns] σπήλαιον[ndnsc] αὐτός[rpnms] καί[cc] ὁ[dnfp] δύο[ac—n] θυγάτηρ[nnfpc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms]. **v.31** λέγω[viaa3s] δέ[cc] ὁ[dnfs] πρεσβύτερος[annfsc] πρός[pa] ὁ[dafs] νέος[anafsc] ὁ[dnms] πατήρ[nnmsc] ἐγώ[rpgfp] πρεσβύτερος[annmsc] καί[cc] οὐδείς[rinms] εἰμί[vipa3s] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅς[rrnms] εἰσέρχομαι[vifm3s] πρός[pa] ἐγώ[rpafp] ὡς[cs] καθήκω[vipa3s] πᾶς[aidfsn] ὁ[ddfs] γῆ[ndfsc]. **v.32** δεῦρο[b] καί[cc] ποτίζω[vsaa1p] ὁ[dams] πατήρ[namsc] ἐγώ[rpgfp] οἶνος[namsc] καί[cc] κοιμάομαι[vsap1p] μετά[pg] αὐτός[rpgms] καί[cc] ἐξανίστημι[vsaa1p] ἐκ[pg] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpgfp] σπέρμα[nansc]. **v.33** ποτίζω[viaa3p] δέ[cc] ὁ[dams] πατήρ[namsc] αὐτός[rpgfp] οἶνος[namsc] ἐν[pd] ὁ[ddfs] νύξ[ndfsc] οὗτος[rddfs] καί[cc] εἰσέρχομαι[vpaanfs] ὁ[dnfs] πρεσβύτερος[annfsc] κοιμάομαι[viap3s] μετά[pg] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgfs] ὁ[dafs] νύξ[nafsc] ἐκεῖνος[rdafs] καί[cc] οὐ[b] οἶδα[viya3s] ἐν[pd] ὁ[ddns] κοιμάομαι[vnap] αὐτός[rpafs] καί[cc] ἀνίστημι[vnaa].

ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. ἐπότισαν δὲ καὶ ἐν 35
τῇ νυκτὶ ἐκείνῃ τὸν πατέρα αὐτῶν οἶνον καὶ εἰσελθοῦσα ἡ νεωτέρα
ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι
αὐτὴν καὶ ἀναστῆναι. καὶ συνέλαβον αἱ δύο θυγατέρες Λωτ ἐκ 36
τοῦ πατρὸς αὐτῶν. καὶ ἔτεκεν ἡ πρεσβυτέρα υἱὸν καὶ ἐκάλεσεν 37
τὸ ὄνομα αὐτοῦ Μωαβ λέγουσα ἐκ τοῦ πατρός μου οὗτος πατὴρ
Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας. ἔτεκεν δὲ καὶ ἡ νεωτέρα 38
υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Αμμαν υἱὸς τοῦ γένους μου
οὗτος πατὴρ Αμμανιτῶν ἕως τῆς σήμερον ἡμέρας.

Καὶ ἐκίνησεν ἐκεῖθεν Αβρααμ εἰς γῆν πρὸς λίβα καὶ ᾤκησεν **20**
ἀνὰ μέσον Καδης καὶ ἀνὰ μέσον Σουρ καὶ παρῴκησεν ἐν Γε-
ραροις. εἶπεν δὲ Αβρααμ περὶ Σαρρας τῆς γυναικὸς αὐτοῦ ὅτι 2
ἀδελφή μού ἐστιν ἐφοβήθη γὰρ εἰπεῖν ὅτι γυνή μού ἐστιν μήποτε
ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως δι᾽ αὐτήν ἀπέστειλεν δὲ
Αβιμελεχ βασιλεὺς Γεραρων καὶ ἔλαβεν τὴν Σαρραν. καὶ εἰσῆλ- 3
θεν ὁ θεὸς πρὸς Αβιμελεχ ἐν ὕπνῳ τὴν νύκτα καὶ εἶπεν ἰδοὺ σὺ
ἀποθνῄσκεις περὶ τῆς γυναικός ἧς ἔλαβες αὕτη δέ ἐστιν συνῳκη-
κυῖα ἀνδρί. Αβιμελεχ δὲ οὐχ ἥψατο αὐτῆς καὶ εἶπεν κύριε ἔθνος 4
ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς. οὐκ αὐτός μοι εἶπεν ἀδελφή μού 5
ἐστιν καὶ αὐτή μοι εἶπεν ἀδελφός μού ἐστιν ἐν καθαρᾷ καρδίᾳ

---

**v.34** γίνομαι[viam3s] δέ[cc] ὁ[ddfs] ἐπαύριον[b] καί[cc] λέγω[viaa3s] ὁ[dnfs] πρεσβύτερος[annfsc] πρός[pa] ὁ[dafs] νέος[anafsc] ἰδού[i] κοιμάομαι[viap1s] ἐχθές[b] μετά[pg] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpgfp] ποτίζω[vsaa1p] αὐτός[rpams] οἶνος[namsc] καί[cc] ὁ[dafs] νύξ[nafsc] οὗτος[rdafs] καί[cc] εἰσέρχομαι[vpaanfs] κοιμάομαι[vdap2s] μετά[pg] αὐτός[rpgms] καί[cc] ἐξανίστημι[vsaa1p] ἐκ[pg] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpgfp] σπέρμα[nansc]. **v.35** ποτίζω[viaa3p] δέ[cc] καί[b] ἐν[pd] ὁ[ddfs] νύξ[ndfsc] ἐκεῖνος[rddfs] ὁ[dams] πατήρ[namsc] αὐτός[rpgmp] οἶνος[namsc] καί[cc] εἰσέρχομαι[vpaanfs] ὁ[dnfs] νέος[annfsc] κοιμάομαι[viap3s] μετά[pg] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgfs] καί[cc] οὐ[b] οἶδα[viya3s] ἐν[pd] ὁ[ddns] κοιμάομαι[vnap] αὐτός[rpafs] καί[cc] ἀνίστημι[vnaa]. **v.36** καί[cc] συλλαμβάνω[viaa3p] ὁ[dnfp] δύο[ac—n] θυγάτηρ[nnfpc] Λώτ[ngmsp] ἐκ[pg] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgfp]. **v.37** καί[cc] τίκτω[viaa3s] ὁ[dnfs] πρεσβύτερος[annfsc] υἱός[namsc] καί[cc] καλέω[viaa3s] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Μωαβ[namsp] λέγω[vppanfs] ἐκ[pg] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpgfs] οὗτος[rdnms] πατήρ[nnmsc] Μωαβίτης[ngmpp] ἕως[pg] ὁ[dgfs] σήμερον[b] ἡμέρα[ngfsc]. **v.38** τίκτω[viaa3s] δέ[cc] καί[b] ὁ[dnfs] νέος[annfsc] υἱός[namsc] καί[cc] καλέω[viaa3s] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Αμμαν[namsp] υἱός[nnmsc] ὁ[dgns] γένος[ngnsc] ἐγώ[rpgfs] οὗτος[rdnms] πατήρ[nnmsc] Αμμανίτης[ngmpp] ἕως[pg] ὁ[dgfs] σήμερον[b] ἡμέρα[ngfsc]. **20. v.1** καί[cc] κινέω[viaa3s] ἐκεῖθεν[b] Ἀβραάμ[nnmsp] εἰς[pa] γῆ[nafsc] πρός[pa] λίψ[namsc] καί[cc] οἰκέω[viaa3s] ἀνά[pa] μέσος[anansn] Καδης[ng-sp] καί[cc] ἀνά[pa] μέσος[anansn] Σουρ[ng-sp] καί[cc] παροικέω[viaa3s] ἐν[pd] Γεραρα[ndnpp]. **v.2** λέγω[viaa3s] δέ[cc] Ἀβραάμ[nnmsp] περί[pg] Σάρρα[ngfsp] ὁ[dgfs] γυνή[ngfsc] αὐτός[rpgms] ὅτι[cs] ἀδελφή[nnfsc] ἐγώ[rpgms] εἰμί[vipa3s] φοβέω[viap3s] γάρ[cc] λέγω[vnaa] ὅτι[cs] γυνή[nnfsc] ἐγώ[rpgms] εἰμί[vipa3s] μήποτε[cs] ἀποκτείνω[vsaa3p] αὐτός[rpams] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgfs] πόλις[ngfsc] διά[pa] αὐτός[rpafs] ἀποστέλλω[viaa3s] δέ[cc] Αβιμελεχ[nnmsp] βασιλεύς[nnmsc] Γεραρα[ngnpp] καί[cc] λαμβάνω[viaa3s] ὁ[dafs] Σάρρα[nafsp]. **v.3** καί[cc] εἰσέρχομαι[viaa3s] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Αβιμελεχ[namsp] ἐν[pd] ὕπνος[ndmsc] ὁ[dafs] νύξ[nafsc] καί[cc] λέγω[viaa3s] ἰδού[i] σύ[rpnms] ἀποθνῄσκω[vipa2s] περί[pg] ὁ[dgfs] γυνή[ngfsc] ὅς[rrgfs] λαμβάνω[viaa2s] οὗτος[rdnfs] δέ[cc] εἰμί[vipa3s] συνοικέω[vpxanfs] ἀνήρ[ndmsc]. **v.4** Αβιμελεχ[nnmsp] δέ[cc] οὐ[b] ἅπτω[viam3s] αὐτός[rpgfs] καί[cc] λέγω[viaa3s] κύριος[nvmsc] ἔθνος[nansc] ἀγνοέω[vppaans] καί[cc] δίκαιος[anansn] ἀπόλλυμι[vifa2s].

6 καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο. εἶπεν δὲ αὐτῷ ὁ θεὸς
καθ᾽ ὕπνον κἀγὼ ἔγνων ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο καὶ
ἐφεισάμην ἐγώ σου τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ ἕνεκεν τούτου οὐκ
7 ἀφῆκά σε ἅψασθαι αὐτῆς. νῦν δὲ ἀπόδος τὴν γυναῖκα τῷ ἀν-
θρώπῳ ὅτι προφήτης ἐστὶν καὶ προσεύξεται περὶ σοῦ καὶ ζήσῃ εἰ
8 δὲ μὴ ἀποδίδως γνῶθι ὅτι ἀποθανῇ σὺ καὶ πάντα τὰ σά. καὶ ὤρ-
θρισεν Αβιμελεχ τὸ πρωὶ καὶ ἐκάλεσεν πάντας τοὺς παῖδας αὐτοῦ
καὶ ἐλάλησεν πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν ἐφοβήθη-
9 σαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα. καὶ ἐκάλεσεν Αβιμελεχ τὸν
Αβρααμ καὶ εἶπεν αὐτῷ τί τοῦτο ἐποίησας ἡμῖν μή τι ἡμάρτομεν
εἰς σέ ὅτι ἐπήγαγες ἐπ᾽ ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν
10 μεγάλην ἔργον ὃ οὐδεὶς ποιήσει πεποίηκάς μοι. εἶπεν δὲ Αβιμε-
11 λεχ τῷ Αβρααμ τί ἐνιδὼν ἐποίησας τοῦτο. εἶπεν δὲ Αβρααμ εἶπα
γάρ ἄρα οὐκ ἔστιν θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ ἐμέ τε ἀποκτε-
12 νοῦσιν ἕνεκεν τῆς γυναικός μου. καὶ γὰρ ἀληθῶς ἀδελφή μού
ἐστιν ἐκ πατρός ἀλλ᾽ οὐκ ἐκ μητρός ἐγενήθη δέ μοι εἰς γυναῖκα.
13 ἐγένετο δὲ ἡνίκα ἐξήγαγέν με ὁ θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός
μου καὶ εἶπα αὐτῇ ταύτην τὴν δικαιοσύνην ποιήσεις ἐπ᾽ ἐμέ εἰς
πάντα τόπον οὗ ἐὰν εἰσέλθωμεν ἐκεῖ εἰπὸν ἐμὲ ὅτι ἀδελφός μού
14 ἐστιν. ἔλαβεν δὲ Αβιμελεχ χίλια δίδραχμα πρόβατα καὶ μόσχους

---

**v.5** οὐ[b] αὐτός[rpnms] ἐγώ[rpdms] λέγω[viaa3s] ἀδελφή[nnfsc] ἐγώ[rpgms] εἰμί[vipa3s] καί[cc] αὐτός[rpnfs] ἐγώ[rpdms] λέγω[viaa3s] ἀδελφός[nnmsc] ἐγώ[rpgfs] εἰμί[vipa3s] ἐν[pd] καθαρός[andfsn] καρδία[ndfsc] καί[cc] ἐν[pd] δικαιοσύνη[ndfsc] χείρ[ngfpc] ποιέω[viaa1s] οὗτος[rdans]. **v.6** λέγω[viaa3s] δέ[cc] αὐτός[rpdms] ὁ[dnms] θεός[nnmsc] κατά[pa] ὕπνος[namsc] καί&ἐγώ[b&rpnms] γινώσκω[viaa1s] ὅτι[cs] ἐν[pd] καθαρός[andfsn] καρδία[ndfsc] ποιέω[viaa2s] οὗτος[rdans] καί[cc] φείδομαι[viam1s] ἐγώ[rpnms] σύ[rpgms] ὁ[dgns] μή[x] ἁμαρτάνω[vnaa] σύ[rpams] εἰς[pa] ἐγώ[rpams] ἕνεκα[pg] οὗτος[rdgns] οὐ[b] ἀφίημι[viaa1s] σύ[rpams] ἅπτω[vnam] αὐτός[rpgfs]. **v.7** νῦν[b] δέ[cc] ἀποδίδωμι[vdaa2s] ὁ[dafs] γυνή[nafsc] ὁ[ddms] ἄνθρωπος[ndmsc] ὅτι[cs] προφήτης[nnmsc] εἰμί[vipa3s] καί[cc] προσεύχομαι[vifm3s] περί[pg] σύ[rpgms] καί[cc] ζάω[vifm2s] εἰ[cs] δέ[cc] μή[x] ἀποδίδωμι[vipa2s] γινώσκω[vdaa2s] ὅτι[cs] ἀποθνῄσκω[vifm2s] σύ[rpnms] καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] σός[asnnpn]. **v.8** καί[cc] ὀρθρίζω[viaa3s] Αβιμελεχ[nnmsp] ὁ[dans] πρωΐ[b] καί[cc] καλέω[viaa3s] πᾶς[aiampn] ὁ[damp] παῖς[nampc] αὐτός[rpgms] καί[cc] λαλέω[viaa3s] πᾶς[aianpn] ὁ[danp] ῥῆμα[nanpc] οὗτος[rdanp] εἰς[pa] ὁ[danp] οὖς[nanpc] αὐτός[rpgmp] φοβέω[viap3p] δέ[cc] πᾶς[ainmpn] ὁ[dnmp] ἄνθρωπος[nnmpc] σφόδρα[b]. **v.9** καί[cc] καλέω[viaa3s] Αβιμελεχ[nnmsp] ὁ[dams] Ἀβραάμ[nnmsp] καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] τίς[rqans] οὗτος[rdans] ποιέω[viaa2s] ἐγώ[rpdmp] μή[x] τι-σριανς ἁμαρτάνω[viaa1p] εἰς[pa] σύ[rpams] ὅτι[cs] ἐπάγω[viaa2s] ἐπί[pa] ἐγώ[rpams] καί[cc] ἐπί[pa] ὁ[dafs] βασιλεία[nafsc] ἐγώ[rpgms] ἁμαρτία[nafsc] μέγας[anafsn] ἔργον[nansc] ὅς[rrans] οὐδείς[rinms] ποιέω[vifa3s] ποιέω[vixa2s] ἐγώ[rpdms]. **v.10** λέγω[viaa3s] δέ[cc] Αβιμελεχ[nnmsp] ὁ[ddms] Ἀβραάμ[ndmsp] τίς[rqans] ἐνοράω[vpaanms] ποιέω[viaa2s] οὗτος[rdans]. **v.11** λέγω[viaa3s] δέ[cc] Ἀβραάμ[nnmsp] λέγω[viaa1s] γάρ[cc] ἄρα[x] οὐ[b] εἰμί[vipa3s] θεοσέβεια[nnfsc] ἐν[pd] ὁ[ddms] τόπος[ndmsc] οὗτος[rddms] ἐγώ[rpams] τέ[cc] ἀποκτείνω[vifa3p] ἕνεκα[pg] ὁ[dgfs] γυνή[ngfsc] ἐγώ[rpgms]. **v.12** καί[cc] γάρ[cc] ἀληθῶς[b] ἀδελφή[nnfsc] ἐγώ[rpgms] εἰμί[vipa3s] ἐκ[pg] πατήρ[ngmsc] ἀλλά[cc] οὐ[b] ἐκ[pg] μήτηρ[ngfsc] γίνομαι[viap3s] δέ[cc] ἐγώ[rpdms] εἰς[pa] γυνή[nafsc]. **v.13** γίνομαι[viam3s] δέ[cc] ἡνίκα[cs] ἐξάγω[viaa3s] ἐγώ[rpams] ὁ[dnms] θεός[nnmsc] ἐκ[pg] ὁ[dgms] οἶκος[ngmsc] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpgms] καί[cc] λέγω[viaa1s] αὐτός[rpdfs] οὗτος[rdafs] ὁ[dafs] δικαιοσύνη[nafsc] ποιέω[vifa2s] ἐπί[pa] ἐγώ[rpams] εἰς[pa] πᾶς[aiamsn] τόπος[namsc] ὅς[b] ἐάν[cs] εἰσέρχομαι[vsaa1p] ἐκεῖ[b] λέγω[vdaa2s] ἐγώ[rpams] ὅτι[cs] ἀδελφός[nnmsc] ἐγώ[rpgms] εἰμί[vipa3s].

καὶ παῖδας καὶ παιδίσκας καὶ ἔδωκεν τῷ Αβρααμ καὶ ἀπέδωκεν
αὐτῷ Σαρραν τὴν γυναῖκα αὐτοῦ. καὶ εἶπεν Αβιμελεχ τῷ Αβρααμ 15
ἰδοὺ ἡ γῆ μου ἐναντίον σου οὗ ἐάν σοι ἀρέσκῃ κατοίκει. τῇ δὲ 16
Σαρρα εἶπεν ἰδοὺ δέδωκα χίλια δίδραχμα τῷ ἀδελφῷ σου ταῦτα
ἔσται σοι εἰς τιμὴν τοῦ προσώπου σου καὶ πάσαις ταῖς μετὰ σοῦ
καὶ πάντα ἀλήθευσον. προσηύξατο δὲ Αβρααμ πρὸς τὸν θεόν 17
καὶ ἰάσατο ὁ θεὸς τὸν Αβιμελεχ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰς
παιδίσκας αὐτοῦ καὶ ἔτεκον. ὅτι συγκλείων συνέκλεισεν κύριος 18
ἔξωθεν πᾶσαν μήτραν ἐν τῷ οἴκῳ τοῦ Αβιμελεχ ἕνεκεν Σαρρας τῆς
γυναικὸς Αβρααμ.

Καὶ κύριος ἐπεσκέψατο τὴν Σαρραν καθὰ εἶπεν καὶ ἐποίησεν **21**
κύριος τῇ Σαρρα καθὰ ἐλάλησεν. καὶ συλλαβοῦσα ἔτεκεν Σαρρα 2
τῷ Αβρααμ υἱὸν εἰς τὸ γῆρας εἰς τὸν καιρόν καθὰ ἐλάλησεν αὐ-
τῷ κύριος. καὶ ἐκάλεσεν Αβρααμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ τοῦ 3
γενομένου αὐτῷ ὃν ἔτεκεν αὐτῷ Σαρρα Ισαακ. περιέτεμεν δὲ 4
Αβρααμ τὸν Ισαακ τῇ ὀγδόῃ ἡμέρᾳ καθὰ ἐνετείλατο αὐτῷ ὁ θε-
ός. Αβρααμ δὲ ἦν ἑκατὸν ἐτῶν ἡνίκα ἐγένετο αὐτῷ Ισαακ ὁ υἱὸς 5
αὐτοῦ. εἶπεν δὲ Σαρρα γέλωτά μοι ἐποίησεν κύριος ὃς γὰρ ἂν 6
ἀκούσῃ συγχαρεῖταί μοι. καὶ εἶπεν τίς ἀναγγελεῖ τῷ Αβρααμ ὅτι 7
θηλάζει παιδίον Σαρρα ὅτι ἔτεκον υἱὸν ἐν τῷ γήρει μου. καὶ ηὐ- 8

---

**v.14** λαμβάνω[viaa3s] δέ[cc] Αβιμελεχ[nnmsp] χίλιοι[acanpn] δίδραχμον[nanpc] πρόβατον[nanpc] καί[cc] μόσχος[nampc] καί[cc] παῖς[nampc] καί[cc] παιδίσκη[nafpc] καί[cc] δίδωμι[viaa3s] ὁ[ddms] Ἀβραάμ[ndmsp] καί[cc] ἀποδίδωμι[viaa3s] αὐτός[rpdms] Σάρρα[nafsp] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms]. **v.15** καί[cc] λέγω[viaa3s] Αβιμελεχ[nnmsp] ὁ[ddms] Ἀβραάμ[ndmsp] ἰδού[i] ὁ[dnfs] γῆ[nnfsc] ἐγώ[rpgms] ἐναντίον[pg] σύ[rpgms] ὅς[b] ἐάν[cs] σύ[rpdms] ἀρέσκω[vspa3s] κατοικέω[vdpa2s]. **v.16** ὁ[ddfs] δέ[cc] Σάρρα[ndfsp] λέγω[viaa3s] ἰδού[i] δίδωμι[vixa1s] χίλιοι[acanpn] δίδραχμον[nanpc] ὁ[ddms] ἀδελφός[ndmsc] σύ[rpgfs] οὗτος[rdnnp] εἰμί[vifm3s] σύ[rpdfs] εἰς[pa] τιμή[nafsc] ὁ[dgns] πρόσωπον[ngnsc] σύ[rpgfs] καί[cc] πᾶς[aidfpn] ὁ[ddfp] μετά[pg] σύ[rpgfs] καί[cc] πᾶς[aiansn] ἀληθεύω[vdaa2s]. **v.17** προσεύχομαι[viam3s] δέ[cc] Ἀβραάμ[nnmsp] πρός[pa] ὁ[dams] θεός[namsc] καί[cc] ἰάομαι[viam3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] Αβιμελεχ[namsp] καί[cc] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] καί[cc] ὁ[dafp] παιδίσκη[nafpc] αὐτός[rpgms] καί[cc] τίκτω[viaa3p]. **v.18** ὅτι[cs] συγκλείω[vppanms] συγκλείω[viaa3s] κύριος[nnmsc] ἔξωθεν[b] πᾶς[aiafsn] μήτρα[nafsc] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] ὁ[dgms] Αβιμελεχ[ngmsp] ἕνεκα[pg] Σάρρα[ngfsp] ὁ[dgfs] γυνή[ngfsc] Ἀβραάμ[ngmsp]. **21. v.1** καί[cc] κύριος[nnmsc] ἐπισκέπτομαι[viam3s] ὁ[dafs] Σάρρα[nafsp] καθά[cs] λέγω[viaa3s] καί[cc] ποιέω[viaa3s] κύριος[nnmsc] ὁ[ddfs] Σάρρα[ndfsp] καθά[cs] λαλέω[viaa3s]. **v.2** καί[cc] συλλαμβάνω[vpaanfs] τίκτω[viaa3s] Σάρρα[nnfsp] ὁ[ddms] Ἀβραάμ[ndmsp] υἱός[namsc] εἰς[pa] ὁ[dans] γῆρας[nansc] εἰς[pa] ὁ[dams] καιρός[namsc] καθά[cs] λαλέω[viaa3s] αὐτός[rpdms] κύριος[nnmsc]. **v.3** καί[cc] καλέω[viaa3s] Ἀβραάμ[nnmsp] ὁ[dans] ὄνομα[nansc] ὁ[dgms] υἱός[ngmsc] αὐτός[rpgms] ὁ[dgms] γίνομαι[vpamgms] αὐτός[rpdms] ὅς[rrams] τίκτω[viaa3s] αὐτός[rpdms] Σάρρα[nnfsp] Ἰσαάκ[namsp]. **v.4** περιτέμνω[viaa3s] δέ[cc] Ἀβραάμ[nnmsp] ὁ[dams] Ἰσαάκ[namsp] ὁ[ddfs] ὄγδοος[aodfsn] ἡμέρα[ndfsc] καθά[cs] ἐντέλλομαι[viam3s] αὐτός[rpdms] ὁ[dnms] θεός[nnmsc]. **v.5** Ἀβραάμ[nnmsp] δέ[cc] εἰμί[viia3s] ἑκατόν[ac—n] ἔτος[ngnpc] ἡνίκα[cs] γίνομαι[viam3s] αὐτός[rpdms] Ἰσαάκ[nnmsp] ὁ[dnms] υἱός[nnmsc] αὐτός[rpgms]. **v.6** λέγω[viaa3s] δέ[cc] Σάρρα[nnfsp] γέλως[namsc] ἐγώ[rpdfs] ποιέω[viaa3s] κύριος[nnmsc] ὅς[rrnms] γάρ[cc] ἄν[x] ἀκούω[vsaa3s] συγχαίρω[vifm3s] ἐγώ[rpdfs]. **v.7** καί[cc] λέγω[viaa3s] τίς[rqnms] ἀναγγέλλω[vifa3s] ὁ[ddms] Ἀβραάμ[ndmsp] ὅτι[cs] θηλάζω[vipa3s] παιδίον[nansc] Σάρρα[nnfsp] ὅτι[cs] τίκτω[viaa1s] υἱός[namsc] ἐν[pd] ὁ[ddns] γῆρας[ndnsc] ἐγώ[rpgfs].

ξήθη τὸ παιδίον καὶ ἀπεγαλακτίσθη καὶ ἐποίησεν Αβρααμ δοχὴν
9 μεγάλην ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη Ισαακ ὁ υἱὸς αὐτοῦ. ἰδοῦσα
δὲ Σαρρα τὸν υἱὸν Αγαρ τῆς Αἰγυπτίας ὃς ἐγένετο τῷ Αβρααμ παί-
10 ζοντα μετὰ Ισαακ τοῦ υἱοῦ αὐτῆς. καὶ εἶπεν τῷ Αβρααμ ἔκβαλε
τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς οὐ γὰρ κληρονομήσει
11 ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου Ισαακ. σκληρὸν
δὲ ἐφάνη τὸ ῥῆμα σφόδρα ἐναντίον Αβρααμ περὶ τοῦ υἱοῦ αὐτοῦ.
12 εἶπεν δὲ ὁ θεὸς τῷ Αβρααμ μὴ σκληρὸν ἔστω τὸ ῥῆμα ἐναντίον
σου περὶ τοῦ παιδίου καὶ περὶ τῆς παιδίσκης πάντα ὅσα ἐὰν εἴπῃ
σοι Σαρρα ἄκουε τῆς φωνῆς αὐτῆς ὅτι ἐν Ισαακ κληθήσεταί σοι
13 σπέρμα. καὶ τὸν υἱὸν δὲ τῆς παιδίσκης ταύτης εἰς ἔθνος μέγα
14 ποιήσω αὐτόν ὅτι σπέρμα σόν ἐστιν. ἀνέστη δὲ Αβρααμ τὸ πρωὶ
καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος καὶ ἔδωκεν Αγαρ καὶ ἐπέθη-
κεν ἐπὶ τὸν ὦμον καὶ τὸ παιδίον καὶ ἀπέστειλεν αὐτήν ἀπελθοῦσα
15 δὲ ἐπλανᾶτο τὴν ἔρημον κατὰ τὸ φρέαρ τοῦ ὅρκου. ἐξέλιπεν δὲ
τὸ ὕδωρ ἐκ τοῦ ἀσκοῦ καὶ ἔρριψεν τὸ παιδίον ὑποκάτω μιᾶς ἐ-
16 λάτης. ἀπελθοῦσα δὲ ἐκάθητο ἀπέναντι αὐτοῦ μακρόθεν ὡσεὶ
τόξου βολήν εἶπεν γάρ οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου
καὶ ἐκάθισεν ἀπέναντι αὐτοῦ ἀναβοῆσαν δὲ τὸ παιδίον ἔκλαυσεν.
17 εἰσήκουσεν δὲ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ
ἦν καὶ ἐκάλεσεν ἄγγελος τοῦ θεοῦ τὴν Αγαρ ἐκ τοῦ οὐρανοῦ καὶ
εἶπεν αὐτῇ τί ἐστιν Αγαρ μὴ φοβοῦ ἐπακήκοεν γὰρ ὁ θεὸς τῆς

---

**v.8** καί[cc] αὐξάνω[viap3s] ὁ[dnns] παιδίον[nnnsc] καί[cc] ἀπογαλακτίζω[viap3s] καί[cc] ποιέω[viaa3s] Ἀβραάμ[nnmsp] δοχή[nafsc] μέγας[anafsn] ὅς[rrdfs] ἡμέρα[ndfsc] ἀπογαλακτίζω[viap3s] Ἰσαάκ[nnmsp] ὁ[dnms] υἱός[nnmsc] αὐτός[rpgms]. **v.9** ὁράω[vpaanfs] δέ[cc] Σάρρα[nnfsp] ὁ[dams] υἱός[namsc] Αγαρ[ngfsp] ὁ[dgfs] Αἰγύπτιος[angfsn] ὅς[rrnms] γίνομαι[viam3s] ὁ[ddms] Ἀβραάμ[ndmsp] παίζω[vppaams] μετά[pg] Ἰσαάκ[ngmsp] ὁ[dgms] υἱός[ngmsc] αὐτός[rpgfs]. **v.10** καί[cc] λέγω[viaa3s] ὁ[ddms] Ἀβραάμ[ndmsp] ἐκβάλλω[vdaa2s] ὁ[dafs] παιδίσκη[nafsc] οὗτος[rdafs] καί[cc] ὁ[dams] υἱός[namsc] αὐτός[rpgfs] οὐ[b] γάρ[cc] κληρονομέω[vifa3s] ὁ[dnms] υἱός[nnmsc] ὁ[dgfs] παιδίσκη[ngfsc] οὗτος[rdgfs] μετά[pg] ὁ[dgms] υἱός[ngmsc] ἐγώ[rpgfs] Ἰσαάκ[ngmsp]. **v.11** σκληρός[annnsn] δέ[cc] φαίνω[viap3s] ὁ[dnns] ῥῆμα[nnnsc] σφόδρα[b] ἐναντίον[pg] Ἀβραάμ[ngmsp] περί[pg] ὁ[dgms] υἱός[ngmsc] αὐτός[rpgms]. **v.12** λέγω[viaa3s] δέ[cc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Ἀβραάμ[ndmsp] μή[x] σκληρός[annnsn] εἰμί[vdpa3s] ὁ[dnns] ῥῆμα[nnnsc] ἐναντίον[pg] σύ[rpgms] περί[pg] ὁ[dgns] παιδίον[ngnsc] καί[cc] περί[pg] ὁ[dgfs] παιδίσκη[ngfsc] πᾶς[aianpn] ὅσος[aranpn] ἐάν[x] λέγω[vsaa3s] σύ[rpdms] Σάρρα[nnfsp] ἀκούω[vdpa2s] ὁ[dgfs] φωνή[ngfsc] αὐτός[rpgfs] ὅτι[cs] ἐν[pd] Ἰσαάκ[ndmsp] καλέω[vifp3s] σύ[rpdms] σπέρμα[nnnsc]. **v.13** καί[cc] ὁ[dams] υἱός[namsc] δέ[cc] ὁ[dgfs] παιδίσκη[ngfsc] οὗτος[rdgfs] εἰς[pa] ἔθνος[nansc] μέγας[anansn] ποιέω[vifa1s] αὐτός[rpams] ὅτι[cs] σπέρμα[nnnsc] σός[asnnsn] εἰμί[vipa3s]. **v.14** ἀνίστημι[viaa3s] δέ[cc] Ἀβραάμ[nnmsp] ὁ[dans] πρωΐ[b] καί[cc] λαμβάνω[viaa3s] ἄρτος[nampc] καί[cc] ἀσκός[namsc] ὕδωρ[ngnsc] καί[cc] δίδωμι[viaa3s] Αγαρ[ndfsp] καί[cc] ἐπιτίθημι[viaa3s] ἐπί[pa] ὁ[dams] ὦμος[namsc] καί[cc] ὁ[dans] παιδίον[nansc] καί[cc] ἀποστέλλω[viaa3s] αὐτός[rpafs] ἀπέρχομαι[vpaanfs] δέ[cc] πλανάω[viip3s] ὁ[dafs] ἔρημος[nafsc] κατά[pa] ὁ[dans] φρέαρ[nansc] ὁ[dgms] ὅρκος[ngmsc]. **v.15** ἐκλείπω[viaa3s] δέ[cc] ὁ[dnns] ὕδωρ[nnnsc] ἐκ[pg] ὁ[dgms] ἀσκός[ngmsc] καί[cc] ῥίπτω[viaa3s] ὁ[dans] παιδίον[nansc] ὑποκάτω[pg] εἷς[acgfsn] ἐλάτη[ngfsc]. **v.16** ἀπέρχομαι[vpaanfs] δέ[cc] κάθημαι[viim3s] ἀπέναντι[pg] αὐτός[rpgns] μακρόθεν[b] ὡσεί[x] τόξον[ngnsc] βολή[nafsc] λέγω[viaa3s] γάρ[cc] οὐ[b] μή[x] ὁράω[vsaa1s] ὁ[dams] θάνατος[namsc] ὁ[dgns] παιδίον[ngnsc] ἐγώ[rpgfs] καί[cc] καθίζω[viaa3s] ἀπέναντι[pg] αὐτός[rpgns] ἀναβοάω[vpaanns] δέ[cc] ὁ[dnns] παιδίον[nnnsc] κλαίω[viaa3s].

φωνῆς τοῦ παιδίου σου ἐκ τοῦ τόπου οὗ ἐστιν. ἀνάστηθι λαβὲ 18
τὸ παιδίον καὶ κράτησον τῇ χειρί σου αὐτό εἰς γὰρ ἔθνος μέγα
ποιήσω αὐτόν. καὶ ἀνέῳξεν ὁ θεὸς τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ 19
εἶδεν φρέαρ ὕδατος ζῶντος καὶ ἐπορεύθη καὶ ἔπλησεν τὸν ἀσκὸν
ὕδατος καὶ ἐπότισεν τὸ παιδίον. καὶ ἦν ὁ θεὸς μετὰ τοῦ παι- 20
δίου καὶ ηὐξήθη καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ ἐγένετο δὲ τοξότης.
καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ τῇ Φαραν καὶ ἔλαβεν αὐτῷ ἡ μήτηρ 21
γυναῖκα ἐκ γῆς Αἰγύπτου. ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ καὶ 22
εἶπεν Αβιμελεχ καὶ Οχοζαθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ Φικολ ὁ
ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ πρὸς Αβρααμ λέγων ὁ θεὸς
μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐὰν ποιῇς. νῦν οὖν ὄμοσόν μοι τὸν θεὸν 23
μὴ ἀδικήσειν με μηδὲ τὸ σπέρμα μου μηδὲ τὸ ὄνομά μου ἀλλὰ
κατὰ τὴν δικαιοσύνην ἣν ἐποίησα μετὰ σοῦ ποιήσεις μετ᾽ ἐμοῦ
καὶ τῇ γῇ ᾗ σὺ παρῴκησας ἐν αὐτῇ. καὶ εἶπεν Αβρααμ ἐγὼ ὀ- 24
μοῦμαι. καὶ ἤλεγξεν Αβρααμ τὸν Αβιμελεχ περὶ τῶν φρεάτων 25
τοῦ ὕδατος ὧν ἀφείλαντο οἱ παῖδες τοῦ Αβιμελεχ. καὶ εἶπεν αὐ- 26
τῷ Αβιμελεχ οὐκ ἔγνων τίς ἐποίησεν τὸ πρᾶγμα τοῦτο οὐδὲ σύ
μοι ἀπήγγειλας οὐδὲ ἐγὼ ἤκουσα ἀλλ᾽ ἢ σήμερον. καὶ ἔλαβεν 27
Αβρααμ πρόβατα καὶ μόσχους καὶ ἔδωκεν τῷ Αβιμελεχ καὶ διέ-

---

20 σελθεῖν πρὸς αὐτὰς τὰς μαίας καὶ ἔτικτον. εὖ δὲ ἐποίει ὁ θεὸς
21 ταῖς μαίαις καὶ ἐπλήθυνεν ὁ λαὸς καὶ ἴσχυεν σφόδρα. ἐπειδὴ
22 ἐφοβοῦντο αἱ μαῖαι τὸν θεόν ἐποίησαν ἑαυταῖς οἰκίας. συνέταξεν
δὲ Φαραω παντὶ τῷ λαῷ αὐτοῦ λέγων πᾶν ἄρσεν ὃ ἐὰν τεχθῇ τοῖς
Εβραίοις εἰς τὸν ποταμὸν ῥίψατε καὶ πᾶν θῆλυ ζωογονεῖτε αὐτό.
2 Ἦν δέ τις ἐκ τῆς φυλῆς Λευι ὃς ἔλαβεν τῶν θυγατέρων Λευι

---

**v.12** καθότι[cs] δέ[cc] αὐτός[rpamp] ταπεινόω[viia3p] τοσοῦτος[rddnsn] πολύς[annmpc] γίνομαι[viim3p] καί[cc] ἰσχύω[viia3p] σφόδρα[b] σφόδρα[b] καί[cc] βδελύσσω[viim3p] ὁ[dnmp] Αἰγύπτιος[annmpn] ἀπό[pg] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp]. **v.13** καί[cc] καταδυναστεύω[viia3p] ὁ[dnmp] Αἰγύπτιος[annmpn] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] βία[ndfsc]. **v.14** καί[cc] κατοδυνάω[viia3p] αὐτός[rpgmp] ὁ[dafs] ζωή[nafsc] ἐν[pd] ὁ[ddnp] ἔργον[ndnpc] ὁ[ddnp] σκληρός[andnpn] ὁ[ddms] πηλός[ndmsc] καί[cc] ὁ[ddfs] πλινθεία[ndfsc] καί[cc] πᾶς[aidnpn] ὁ[ddnp] ἔργον[ndnpc] ὁ[ddnp] ἐν[pd] ὁ[ddnp] πεδίον[ndnpc] κατά[pa] πᾶς[aianpn] ὁ[danp] ἔργον[nanpc] ὅς[rrgnp] καταδουλόω[viim3p] αὐτός[rpamp] μετά[pg] βία[ngfsc]. **v.15** καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[dgmp] Αἰγύπτιος[angmpn] ὁ[ddfp] μαῖα[ndfpc] ὁ[dgmp] Ἑβραῖος[angmpn] ὁ[ddfs] εἷς[acdfsn] αὐτός[rpgfp] ὅς[rrdfs] ὄνομα[nnnsc] Σεπφωρα[nnfsp] καί[cc] ὁ[dnns] ὄνομα[nnnsc] ὁ[dgfs] δεύτερος[aogfsn] Φουα[nnfsp]. **v.16** καί[cc] λέγω[viaa3s] ὅταν[cs] μαιόομαι[vipm2p] ὁ[dafp] Ἑβραῖα[nafpp] καί[cc] εἰμί[vspa3p] πρός[pd] ὁ[ddns] τίκτω[vnpa] ἐάν[cs] μέν[x] ἄρσην[annnsn] εἰμί[vspa3s] ἀποκτείνω[vdaa2p] αὐτός[rpans] ἐάν[cs] δέ[cc] θῆλυς[annnsn] περιποιέω[vdpm2p] αὐτός[rpans]. **v.17** φοβέω[viap3p] δέ[cc] ὁ[dnfp] μαῖα[nnfpc] ὁ[dams] θεός[namsc] καί[cc] οὐ[b] ποιέω[viaa3p] καθότι[cs] συντάσσω[viaa3s] αὐτός[rpdfp] ὁ[dnms] βασιλεύς[nnmsc] Αἴγυπτος[ngfsp] καί[cc] ζῳογονέω[viia3p] ὁ[danp] ἄρσην[ananpn]. **v.18** καλέω[viaa3s] δέ[cc] ὁ[dnms] βασιλεύς[nnmsc] Αἴγυπτος[ngfsp] ὁ[dafp] μαῖα[nafpc] καί[cc] λέγω[viaa3s] αὐτός[rpdfp] τίς[rqnns] ὅτι[cs] ποιέω[viaa2p] ὁ[dans] πρᾶγμα[nansc] οὗτος[rdans] καί[cc] ζῳογονέω[viia2p] ὁ[danp] ἄρσην[ananpn]. **v.19** λέγω[viaa3p] δέ[cc] ὁ[dnfp] μαῖα[nnfpc] ὁ[ddms] Φαραώ[ndmsp] οὐ[b] ὡς[cs] γυνή[nnfpc] Αἴγυπτος[ngfsp] ὁ[dnfp] Ἑβραῖα[nnfpp] τίκτω[vipa3p] γάρ[cc] πρίν[cs] ἤ[cc] εἰσέρχομαι[vnaa] πρός[pa] αὐτός[rpafp] ὁ[dafp] μαῖα[nafpc] καί[cc] τίκτω[viia3p]. **v.20** εὖ[b] δέ[cc] ποιέω[viia3s] ὁ[dnms] θεός[nnmsc] ὁ[ddfp] μαῖα[ndfpc] καί[cc] πληθύνω[viia3s] ὁ[dnms] λαός[nnmsc] καί[cc] ἰσχύω[viia3s] σφόδρα[b]. **v.21** ἐπειδή[cs] φοβέω[viim3p] ὁ[dnfp] μαῖα[nnfpc] ὁ[dams] θεός[namsc] ποιέω[viaa3p] ἑαυτοῦ[rxdfp] οἰκία[nafpc]. **v.22** συντάσσω[viaa3s] δέ[cc] Φαραώ[nnmsp] πᾶς[aidmsn] ὁ[ddms] λαός[ndmsc] αὐτός[rpgms] λέγω[vppanms] πᾶς[ainasn] ἄρσην[anansn] ὅς[rrnns] ἐάν[x] τίκτω[vsap3s] ὁ[ddmp] Ἑβραῖος[andmpn] εἰς[pa] ὁ[dams] ποταμός[namsc] ῥίπτω[vdaa2p] καί[cc] πᾶς[aiansn] θῆλυς[anansn] ζῳογονέω[vdpa2p] αὐτός[rpans].

καὶ ἔσχεν αὐτήν. καὶ ἐν γαστρὶ ἔλαβεν καὶ ἔτεκεν ἄρσεν ἰδόν- 2
τες δὲ αὐτὸ ἀστεῖον ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς. ἐπεὶ δὲ οὐκ 3
ἠδύναντο αὐτὸ ἔτι κρύπτειν ἔλαβεν αὐτῷ ἡ μήτηρ αὐτοῦ θῖβιν
καὶ κατέχρισεν αὐτὴν ἀσφαλτοπίσσῃ καὶ ἐνέβαλεν τὸ παιδίον εἰς
αὐτὴν καὶ ἔθηκεν αὐτὴν εἰς τὸ ἕλος παρὰ τὸν ποταμόν. καὶ κατε- 4
σκόπευεν ἡ ἀδελφὴ αὐτοῦ μακρόθεν μαθεῖν τί τὸ ἀποβησόμενον
αὐτῷ. κατέβη δὲ ἡ θυγάτηρ Φαραω λούσασθαι ἐπὶ τὸν ποταμόν 5
καὶ αἱ ἅβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν ποταμόν καὶ ἰδοῦσα
τὴν θῖβιν ἐν τῷ ἕλει ἀποστείλασα τὴν ἅβραν ἀνείλατο αὐτήν. ἀ- 6
νοίξασα δὲ ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβει καὶ ἐφείσατο αὐτοῦ
ἡ θυγάτηρ Φαραω καὶ ἔφη ἀπὸ τῶν παιδίων τῶν Εβραίων τοῦτο.
καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραω θέλεις καλέσω σοι 7
γυναῖκα τροφεύουσαν ἐκ τῶν Εβραίων καὶ θηλάσει σοι τὸ παι-
δίον. ἡ δὲ εἶπεν αὐτῇ ἡ θυγάτηρ Φαραω πορεύου ἐλθοῦσα δὲ ἡ 8
νεᾶνις ἐκάλεσεν τὴν μητέρα τοῦ παιδίου. εἶπεν δὲ πρὸς αὐτὴν 9
ἡ θυγάτηρ Φαραω διατήρησόν μοι τὸ παιδίον τοῦτο καὶ θήλασόν
μοι αὐτό ἐγὼ δὲ δώσω σοι τὸν μισθόν ἔλαβεν δὲ ἡ γυνὴ τὸ παιδίον
καὶ ἐθήλαζεν αὐτό. ἁδρυνθέντος δὲ τοῦ παιδίου εἰσήγαγεν αὐτὸ 10
πρὸς τὴν θυγατέρα Φαραω καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν ἐπωνόμα-
σεν δὲ τὸ ὄνομα αὐτοῦ Μωυσῆν λέγουσα ἐκ τοῦ ὕδατος αὐτὸν

---

**2.** **v.1** εἰμί[viia3s] δέ[cc] τι-σρινμς ἐκ[pg] ὁ[dgfs] φυλή[ngfsc] Λευί[ngmsp] ὅς[rrnms] λαμβάνω[viaa3s] ὁ[dgfp] θυγάτηρ[ngfpc] Λευί[ngmsp] καί[cc] ἔχω[viaa3s] αὐτός[rpafs]. **v.2** καί[cc] ἐν[pd] γαστήρ[ndfsc] λαμβάνω[viaa3s] καί[cc] τίκτω[viaa3s] ἄρσην[anansn] ὁράω[vpaanmp] δέ[cc] αὐτός[rpans] ἀστεῖος[anansn] σκεπάζω[viaa3p] αὐτός[rpans] μήν[nampc] τρεῖς[acampn]. **v.3** ἐπεί[cs] δέ[cc] οὐ[b] δύναμαι[viim3p] αὐτός[rpans] ἔτι[b] κρύπτω[vnpa] λαμβάνω[viaa3s] αὐτός[rpdns] ὁ[dnfs] μήτηρ[nnfsc] αὐτός[rpgns] θῖβις[nafsc] καί[cc] καταχρίω[viaa3s] αὐτός[rpafs] ἀσφαλτόπισσα[ndfsc] καί[cc] ἐμβάλλω[viaa3s] ὁ[dans] παιδίον[nansc] εἰς[pa] αὐτός[rpafs] καί[cc] τίθημι[viaa3s] αὐτός[rpafs] εἰς[pa] ὁ[dans] ἕλος[nansc] παρά[pa] ὁ[dams] ποταμός[namsc]. **v.4** καί[cc] κατασκοπεύω[viia3s] ὁ[dnfs] ἀδελφή[nnfsc] αὐτός[rpgms] μακρόθεν[b] μανθάνω[vnaa] τίς[rqans] ὁ[dans] ἀποβαίνω[vpfmans] αὐτός[rpdns]. **v.5** καταβαίνω[viaa3s] δέ[cc] ὁ[dnfs] θυγάτηρ[nnfsc] Φαραώ[ngmsp] λούω[vnam] ἐπί[pa] ὁ[dams] ποταμός[namsc] καί[cc] ὁ[dnfp] ἅβρα[nnfpc] αὐτός[rpgfs] παραπορεύομαι[viim3p] παρά[pa] ὁ[dams] ποταμός[namsc] καί[cc] ὁράω[vpaanfs] ὁ[dafs] θῖβις[nafsc] ἐν[pd] ὁ[ddns] ἕλος[ndnsc] ἀποστέλλω[vpaanfs] ὁ[dafs] ἅβρα[nafsc] ἀναιρέω[viam3s] αὐτός[rpafs]. **v.6** ἀνοίγω[vpaanfs] δέ[cc] ὁράω[vipa3s] παιδίον[nansc] κλαίω[vppaans] ἐν[pd] ὁ[ddfs] θῖβις[ndfsc] καί[cc] φείδομαι[viam3s] αὐτός[rpgns] ὁ[dnfs] θυγάτηρ[nnfsc] Φαραώ[ngmsp] καί[cc] φημί[viaa3’sviia3s] ἀπό[pg] ὁ[dgnp] παιδίον[ngnpc] ὁ[dgmp] Ἑβραῖος[angmpn] οὗτος[rdnns]. **v.7** καί[cc] λέγω[viaa3s] ὁ[dnfs] ἀδελφή[nnfsc] αὐτός[rpgns] ὁ[ddfs] θυγάτηρ[ndfsc] Φαραώ[ngmsp] θέλω[vipa2s] καλέω[vsaa1s] σύ[rpdfs] γυνή[nafsc] τροφεύω[vppaafs] ἐκ[pg] ὁ[dgmp] Ἑβραῖος[angmpn] καί[cc] θηλάζω[vifa3s] σύ[rpdfs] ὁ[dans] παιδίον[nansc]. **v.8** ὁ[dnfs] δέ[cc] λέγω[viaa3s] αὐτός[rpdfs] ὁ[dnfs] θυγάτηρ[nnfsc] Φαραώ[ngmsp] πορεύομαι[vdpm2s] ἔρχομαι[vpaanfs] δέ[cc] ὁ[dnfs] νεᾶνις[nnfsc] καλέω[viaa3s] ὁ[dafs] μήτηρ[nafsc] ὁ[dgns] παιδίον[ngnsc]. **v.9** λέγω[viaa3s] δέ[cc] πρός[pa] αὐτός[rpafs] ὁ[dnfs] θυγάτηρ[nnfsc] Φαραώ[ngmsp] διατηρέω[vdaa2s] ἐγώ[rpdfs] ὁ[dans] παιδίον[nansc] οὗτος[rdans] καί[cc] θηλάζω[vdaa2s] ἐγώ[rpdfs] αὐτός[rpans] ἐγώ[rpnfs] δέ[cc] δίδωμι[vifa1s] σύ[rpdfs] ὁ[dams] μισθός[namsc] λαμβάνω[viaa3s] δέ[cc] ὁ[dnfs] γυνή[nnfsc] ὁ[dans] παιδίον[nansc] καί[cc] θηλάζω[viia3s] αὐτός[rpans].

11 ἀνειλόμην. ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις
μέγας γενόμενος Μωυσῆς ἐξῆλθεν πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ
τοὺς υἱοὺς Ισραηλ κατανοήσας δὲ τὸν πόνον αὐτῶν ὁρᾷ ἄνθρω-
πον Αἰγύπτιον τύπτοντά τινα Εβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν
12 υἱῶν Ισραηλ. περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε οὐχ ὁρᾷ οὐδένα
13 καὶ πατάξας τὸν Αἰγύπτιον ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ. ἐξελθὼν
δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ὁρᾷ δύο ἄνδρας Εβραίους διαπληκτιζο-
14 μένους καὶ λέγει τῷ ἀδικοῦντι διὰ τί σὺ τύπτεις τὸν πλησίον. ὁ δὲ
εἶπεν τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμῶν μὴ ἀνε-
λεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν Αἰγύπτιον ἐφοβήθη
δὲ Μωυσῆς καὶ εἶπεν εἰ οὕτως ἐμφανὲς γέγονεν τὸ ῥῆμα τοῦτο.
15 ἤκουσεν δὲ Φαραω τὸ ῥῆμα τοῦτο καὶ ἐζήτει ἀνελεῖν Μωυσῆν ἀ-
νεχώρησεν δὲ Μωυσῆς ἀπὸ προσώπου Φαραω καὶ ᾤκησεν ἐν γῇ
16 Μαδιαμ ἐλθὼν δὲ εἰς γῆν Μαδιαμ ἐκάθισεν ἐπὶ τοῦ φρέατος. τῷ
δὲ ἱερεῖ Μαδιαμ ἦσαν ἑπτὰ θυγατέρες ποιμαίνουσαι τὰ πρόβατα
τοῦ πατρὸς αὐτῶν Ιοθορ παραγενόμεναι δὲ ἤντλουν ἕως ἔπλησαν
17 τὰς δεξαμενὰς ποτίσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ιοθορ. πα-
ραγενόμενοι δὲ οἱ ποιμένες ἐξέβαλον αὐτάς ἀναστὰς δὲ Μωυσῆς
ἐρρύσατο αὐτὰς καὶ ἤντλησεν αὐταῖς καὶ ἐπότισεν τὰ πρόβατα
18 αὐτῶν. παρεγένοντο δὲ πρὸς Ραγουηλ τὸν πατέρα αὐτῶν ὁ δὲ

---

**v.10** ἁδρύνω[vpapgns] δέ[cc] ὁ[dgns] παιδίον[ngnsc] εἰσάγω[viaa3s] αὐτός[rpans] πρός[pa] ὁ[dafs] θυγάτηρ[nafsc] Φαραώ[ngmsp] καί[cc] γίνομαι[viap3s] αὐτός[rpdfs] εἰς[pa] υἱός[namsc] ἐπονομάζω[viaa3s] δέ[cc] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Μωϋσῆς[namsp] λέγω[vppanfs] ἐκ[pg] ὁ[dgns] ὕδωρ[ngnsc] αὐτός[rpams] ἀναιρέω[viam1s]. **v.11** γίνομαι[viam3s] δέ[cc] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ὁ[ddfp] πολύς[andfpn] ἐκεῖνος[rddfp] μέγας[annmsn] γίνομαι[vpamnms] Μωϋσῆς[nnmsp] ἐξέρχομαι[viaa3s] πρός[pa] ὁ[damp] ἀδελφός[nampc] αὐτός[rpgms] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] κατανοέω[vpaanms] δέ[cc] ὁ[dams] πόνος[namsc] αὐτός[rpgmp] ὁράω[vipa3s] ἄνθρωπος[namsc] Αἰγύπτιος[anamsn] τύπτω[vppaams] τι-σαιαμσν Ἑβραῖος[anamsn] ὁ[dgmp] ἑαυτοῦ[rxgms] ἀδελφός[ngmpc] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp]. **v.12** περιβλέπω[vpamnms] δέ[cc] ὧδε[b] καί[cc] ὧδε[b] οὐ[b] ὁράω[vipa3s] οὐδείς[riams] καί[cc] πατάσσω[vpaanms] ὁ[dams] Αἰγύπτιος[anamsn] κρύπτω[viaa3s] αὐτός[rpams] ἐν[pd] ὁ[ddfs] ἄμμος[ndfsc]. **v.13** ἐξέρχομαι[vpaanms] δέ[cc] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] δεύτερος[aodfsn] ὁράω[vipa3s] δύο[ac—n] ἀνήρ[nampc] Ἑβραῖος[anampn] διαπληκτίζομαι[vppmamp] καί[cc] λέγω[vipa3s] ὁ[ddms] ἀδικέω[vppadms] διά[pa] τίς[rqans] σύ[rpnms] τύπτω[vipa2s] ὁ[dams] πλησίον[b]. **v.14** ὁ[dnms] δέ[cc] λέγω[viaa3s] τίς[rqnms] σύ[rpams] καθίστημι[viaa3s] ἄρχων[namsc] καί[cc] δικαστής[namsc] ἐπί[pg] ἐγώ[rpgmp] μή[x] ἀναιρέω[vnaa] ἐγώ[rpams] σύ[rpnms] θέλω[vipa2s] ὅς[rrams] τρόπος[namsc] ἀναιρέω[viaa2s] ἐχθές[b] ὁ[dams] Αἰγύπτιος[anamsn] φοβέω[viap3s] δέ[cc] Μωϋσῆς[nnmsp] καί[cc] λέγω[viaa3s] εἰ[x] οὕτως[b] ἐμφανής[annnsn] γίνομαι[vixa3s] ὁ[dnns] ῥῆμα[nnnsc] οὗτος[rdnns]. **v.15** ἀκούω[viaa3s] δέ[cc] Φαραώ[nnmsp] ὁ[dans] ῥῆμα[nansc] οὗτος[rdans] καί[cc] ζητέω[viia3s] ἀναιρέω[vnaa] Μωϋσῆς[namsp] ἀναχωρέω[viaa3s] δέ[cc] Μωϋσῆς[nnmsp] ἀπό[pg] πρόσωπον[ngnsc] Φαραώ[ngmsp] καί[cc] οἰκέω[viaa3s] ἐν[pd] γῆ[ndfsc] Μαδιάμ[ngmsp] ἔρχομαι[vpaanms] δέ[cc] εἰς[pa] γῆ[nafsc] Μαδιάμ[ngmsp] καθίζω[viaa3s] ἐπί[pg] ὁ[dgns] φρέαρ[ngnsc]. **v.16** ὁ[ddms] δέ[cc] ἱερεύς[ndmsc] Μαδιάμ[ngmsp] εἰμί[viia3p] ἑπτά[ac—n] θυγάτηρ[nnfpc] ποιμαίνω[vppanfp] ὁ[danp] πρόβατον[nanpc] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgfp] Ιοθορ[ngmsp] παραγίνομαι[vpamnfp] δέ[cc] ἀντλέω[viia3p] ἕως[cs] πίμπλημι[viaa3p] ὁ[dafp] δεξαμενή[nafpc] ποτίζω[vnaa] ὁ[danp] πρόβατον[nanpc] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgfp] Ιοθορ[ngmsp]. **v.17** παραγίνομαι[vpamnmp] δέ[cc] ὁ[dnmp] ποιμήν[nnmpc] ἐκβάλλω[viaa3p] αὐτός[rpafp] ἀνίστημι[vpaanms] δέ[cc] Μωϋσῆς[nnmsp] ῥύομαι[viam3s] αὐτός[rpafp] καί[cc] ἀντλέω[viaa3s] αὐτός[rpdfp] καί[cc] ποτίζω[viaa3s] ὁ[danp] πρόβατον[nanpc] αὐτός[rpgfp].

εἶπεν αὐταῖς τί ὅτι ἐταχύνατε τοῦ παραγενέσθαι σήμερον. αἱ δὲ 19
εἶπαν ἄνθρωπος Αἰγύπτιος ἐρρύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων καὶ
ἤντλησεν ἡμῖν καὶ ἐπότισεν τὰ πρόβατα ἡμῶν. ὁ δὲ εἶπεν ταῖς 20
θυγατράσιν αὐτοῦ καὶ ποῦ ἐστι καὶ ἵνα τί οὕτως καταλελοίπατε
τὸν ἄνθρωπον καλέσατε οὖν αὐτόν ὅπως φάγῃ ἄρτον. κατῳκί- 21
σθη δὲ Μωυσῆς παρὰ τῷ ἀνθρώπῳ καὶ ἐξέδοτο Σεπφωραν τὴν
θυγατέρα αὐτοῦ Μωυσῇ γυναῖκα. ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυ- 22
νὴ ἔτεκεν υἱόν καὶ ἐπωνόμασεν Μωυσῆς τὸ ὄνομα αὐτοῦ Γηρσαμ
λέγων ὅτι πάροικός εἰμι ἐν γῇ ἀλλοτρίᾳ. μετὰ δὲ τὰς ἡμέρας τὰς 23
πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου καὶ κατεστέ-
ναξαν οἱ υἱοὶ Ισραηλ ἀπὸ τῶν ἔργων καὶ ἀνεβόησαν καὶ ἀνέβη ἡ
βοὴ αὐτῶν πρὸς τὸν θεὸν ἀπὸ τῶν ἔργων. καὶ εἰσήκουσεν ὁ θεὸς 24
τὸν στεναγμὸν αὐτῶν καὶ ἐμνήσθη ὁ θεὸς τῆς διαθήκης αὐτοῦ
τῆς πρὸς Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ. καὶ ἐπεῖδεν ὁ θεὸς τοὺς 25
υἱοὺς Ισραηλ καὶ ἐγνώσθη αὐτοῖς.
Καὶ Μωυσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ιοθορ τοῦ γαμβροῦ αὐ- **3**
τοῦ τοῦ ἱερέως Μαδιαμ καὶ ἤγαγεν τὰ πρόβατα ὑπὸ τὴν ἔρημον
καὶ ἦλθεν εἰς τὸ ὄρος Χωρηβ. ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου 2
ἐν φλογὶ πυρὸς ἐκ τοῦ βάτου καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρί ὁ
δὲ βάτος οὐ κατεκαίετο. εἶπεν δὲ Μωυσῆς παρελθὼν ὄψομαι τὸ 3

---

**v.18** παραγίνομαι[viam3p] δέ[cc] πρός[pa] Ῥαγουήλ[namsp] ὁ[dams] πατήρ[namsc] αὐτός[rpgfp] ὁ[dnms] δέ[cc] λέγω[viaa3s] αὐτός[rpdfp] τίς[rqnns] ὅτι[cs] ταχύνω[viaa2p] ὁ[dgns] παραγίνομαι[vnam] σήμερον[b]. **v.19** ὁ[dnfp] δέ[cc] λέγω[viaa3p] ἄνθρωπος[nnmsc] Αἰγύπτιος[annmsn] ῥύομαι[viam3s] ἐγώ[rpafp] ἀπό[pg] ὁ[dgmp] ποιμήν[ngmpc] καί[cc] ἀντλέω[viaa3s] ἐγώ[rpdfp] καί[cc] ποτίζω[viaa3s] ὁ[danp] πρόβατον[nanpc] ἐγώ[rpgfp]. **v.20** ὁ[dnms] δέ[cc] λέγω[viaa3s] ὁ[ddfp] θυγάτηρ[ndfpc] αὐτός[rpgms] καί[cc] ποῦ[b] εἰμί[vipa3s] καί[cc] ἵνα[cs] τίς[rqnns] οὕτως[b] καταλείπω[vixa2p] ὁ[dams] ἄνθρωπος[namsc] καλέω[vdaa2p] οὖν[cc] αὐτός[rpams] ὅπως[cs] ἐσθίω[vsaa3s] ἄρτος[namsc]. **v.21** κατοικίζω[viap3s] δέ[cc] Μωϋσῆς[nnmsp] παρά[pd] ὁ[ddms] ἄνθρωπος[ndmsc] καί[cc] ἐκδίδωμι[viam3s] Σεπφωρα[nafsp] ὁ[dafs] θυγάτηρ[nafsc] αὐτός[rpgms] Μωϋσῆς[ndmsp] γυνή[nafsc]. **v.22** ἐν[pd] γαστήρ[ndfsc] δέ[cc] λαμβάνω[vpaanfs] ὁ[dnfs] γυνή[nnfsc] τίκτω[viaa3s] υἱός[namsc] καί[cc] ἐπονομάζω[viaa3s] Μωϋσῆς[nnmsp] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Γηρσαμ[nansp] λέγω[vppanms] ὅτι[cs] πάροικος[annmsn] εἰμί[vipa1s] ἐν[pd] γῆ[ndfsc] ἀλλότριος[andfsn]. **v.23** μετά[pa] δέ[cc] ὁ[dafp] ἡμέρα[nafpc] ὁ[dafp] πολύς[anafpn] ἐκεῖνος[rdafp] τελευτάω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] Αἴγυπτος[ngfsp] καί[cc] καταστενάζω[viaa3p] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] ἀπό[pg] ὁ[dgnp] ἔργον[ngnpc] καί[cc] ἀναβοάω[viaa3p] καί[cc] ἀναβαίνω[viaa3s] ὁ[dnfs] βοή[nnfsc] αὐτός[rpgmp] πρός[pa] ὁ[dams] θεός[namsc] ἀπό[pg] ὁ[dgnp] ἔργον[ngnpc]. **v.24** καί[cc] εἰσακούω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] στεναγμός[namsc] αὐτός[rpgmp] καί[cc] μιμνῄσκομαι[viap3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dgfs] διαθήκη[ngfsc] αὐτός[rpgms] ὁ[dgfs] πρός[pa] Ἀβραάμ[namsp] καί[cc] Ἰσαάκ[namsp] καί[cc] Ἰακώβ[namsp]. **v.25** καί[cc] ἐφοράω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] καί[cc] γινώσκω[viap3s] αὐτός[rpdmp]. **3. v.1** καί[cc] Μωϋσῆς[nnmsp] εἰμί[viia3s] ποιμαίνω[vppanms] ὁ[danp] πρόβατον[nanpc] Ιοθορ[ngmsp] ὁ[dgms] γαμβρός[ngmsc] αὐτός[rpgms] ὁ[dgms] ἱερεύς[ngmsc] Μαδιάμ[ngmsp] καί[cc] ἄγω[viaa3s] ὁ[danp] πρόβατον[nanpc] ὑπό[pa] ὁ[dafs] ἔρημος[nafsc] καί[cc] ἔρχομαι[viaa3s] εἰς[pa] ὁ[dans] ὄρος[nansc] Χωρήβ[na-sp]. **v.2** ὁράω[viap3s] δέ[cc] αὐτός[rpdns] ἄγγελος[nnmsc] κύριος[ngmsc] ἐν[pd] φλόξ[ndfsc] πῦρ[ngnsc] ἐκ[pg] ὁ[dgms] βάτος[ngmsc] καί[cc] ὁράω[vipa3s] ὅτι[cs] ὁ[dnms] βάτος[nnmsc] καίω[vipp3s] πῦρ[ndnsc] ὁ[dnms] δέ[cc] βάτος[nnmsc] οὐ[b] κατακαίω[viip3s].

4 ὅραμα τὸ μέγα τοῦτο τί ὅτι οὐ κατακαίεται ὁ βάτος. ὡς δὲ εἶδεν
κύριος ὅτι προσάγει ἰδεῖν ἐκάλεσεν αὐτὸν κύριος ἐκ τοῦ βάτου
5 λέγων Μωυσῆ Μωυσῆ ὁ δὲ εἶπεν τί ἐστιν. καὶ εἶπεν μὴ ἐγγίσῃς
ὧδε λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕ-
6 στηκας γῆ ἁγία ἐστίν. καὶ εἶπεν αὐτῷ ἐγώ εἰμι ὁ θεὸς τοῦ πατρός
σου θεὸς Αβρααμ καὶ θεὸς Ισαακ καὶ θεὸς Ιακωβ ἀπέστρεψεν δὲ
Μωυσῆς τὸ πρόσωπον αὐτοῦ εὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον
7 τοῦ θεοῦ. εἶπεν δὲ κύριος πρὸς Μωυσῆν ἰδὼν εἶδον τὴν κάκωσιν
τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα
8 ἀπὸ τῶν ἐργοδιωκτῶν οἶδα γὰρ τὴν ὀδύνην αὐτῶν. καὶ κατέβην
ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ
τῆς γῆς ἐκείνης καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολ-
λὴν εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι εἰς τὸν τόπον τῶν Χαναναίων
καὶ Χετταίων καὶ Αμορραίων καὶ Φερεζαίων καὶ Γεργεσαίων καὶ
9 Ευαίων καὶ Ιεβουσαίων. καὶ νῦν ἰδοὺ κραυγὴ τῶν υἱῶν Ισραηλ
ἥκει πρός με κἀγὼ ἑώρακα τὸν θλιμμόν ὃν οἱ Αἰγύπτιοι θλίβου-
10 σιν αὐτούς. καὶ νῦν δεῦρο ἀποστείλω σε πρὸς Φαραω βασιλέα
Αἰγύπτου καὶ ἐξάξεις τὸν λαόν μου τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς
11 Αἰγύπτου. καὶ εἶπεν Μωυσῆς πρὸς τὸν θεόν τίς εἰμι ὅτι πορεύ-
σομαι πρὸς Φαραω βασιλέα Αἰγύπτου καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς

---

**v.3** λέγω[viaa3s] δέ[cc] Μωϋσῆς[nnmsp] παρέρχομαι[vpaanms] ὁράω[vifm1s] ὁ[dans] ὅραμα[nansc] ὁ[dans] μέγας[anansn] οὗτος[rdans] τίς[rqnns] ὅτι[cs] οὐ[b] κατακαίω[vipp3s] ὁ[dnms] βάτος[nnmsc]. **v.4** ὡς[cs] δέ[cc] ὁράω[viaa3s] κύριος[nnmsc] ὅτι[cs] προσάγω[vipa3s] ὁράω[vnaa] καλέω[viaa3s] αὐτός[rpams] κύριος[nnmsc] ἐκ[pg] ὁ[dgms] βάτος[ngmsc] λέγω[vppanms] Μωυσῆ[nvmsp] Μωυσῆ[nvmsp] ὁ[dnms] δέ[cc] λέγω[viaa3s] τίς[rqnns] εἰμί[vipa3s]. **v.5** καί[cc] λέγω[viaa3s] μή[x] ἐγγίζω[vsaa2s] ὧδε[b] λύω[vdam2s] ὁ[dans] ὑπόδημα[nansc] ἐκ[pg] ὁ[dgmp] πούς[ngmpc] σύ[rpgms] ὁ[dnms] γάρ[cc] τόπος[nnmsc] ἐν[pd] ὅς[rrdms] σύ[rpnms] ἵστημι[vixa2s] γῆ[nnfsc] ἅγιος[annfsn] εἰμί[vipa3s]. **v.6** καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] ἐγώ[rpn-s] εἰμί[vipa1s] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] πατήρ[ngmsc] σύ[rpgms] θεός[nnmsc] Ἀβραάμ[ngmsp] καί[cc] θεός[nnmsc] Ἰσαάκ[ngmsp] καί[cc] θεός[nnmsc] Ἰακώβ[ngmsp] ἀποστρέφω[viaa3s] δέ[cc] Μωϋσῆς[nnmsp] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgms] εὐλαβέομαι[viim3s] γάρ[cc] κατεμβλέπω[vnaa] ἐνώπιον[pg] ὁ[dgms] θεός[ngmsc]. **v.7** λέγω[viaa3s] δέ[cc] κύριος[nnmsc] πρός[pa] Μωϋσῆς[namsp] ὁράω[vpaanms] ὁράω[viaa1s] ὁ[dafs] κάκωσις[nafsc] ὁ[dgms] λαός[ngmsc] ἐγώ[rpg-s] ὁ[dgms] ἐν[pd] Αἴγυπτος[ndfsp] καί[cc] ὁ[dgfs] κραυγή[ngfsc] αὐτός[rpgmp] ἀκούω[vixa1s] ἀπό[pg] ὁ[dgmp] ἐργοδιώκτης[ngmpc] οἶδα[vixa1s] γάρ[cc] ὁ[dafs] ὀδύνη[nafsc] αὐτός[rpgmp]. **v.8** καί[cc] καταβαίνω[viaa1s] ἐξαιρέω[vnam] αὐτός[rpamp] ἐκ[pg] χείρ[ngfsc] Αἰγύπτιος[angmpn] καί[cc] ἐξάγω[vnaa] αὐτός[rpamp] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] ἐκεῖνος[rdgfs] καί[cc] εἰσάγω[vnaa] αὐτός[rpamp] εἰς[pa] γῆ[nafsc] ἀγαθός[anafsn] καί[cc] πολύς[anafsn] εἰς[pa] γῆ[nafsc] ῥέω[vppaafs] γάλα[nansc] καί[cc] μέλι[nansc] εἰς[pa] ὁ[dams] τόπος[namsc] ὁ[dgmp] Χαναναῖος[ngmpp] καί[cc] Χετταῖος[ngmpp] καί[cc] Ἀμορραῖος[ngmpp] καί[cc] Φερεζαῖος[ngmpp] καί[cc] Γεργεσαῖος[ngmpp] καί[cc] Ευαῖος[ngmpp] καί[cc] Ιεβουσαῖος[ngmpp]. **v.9** καί[cc] νῦν[b] ἰδού[i] κραυγή[nnfsc] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] ἥκω[vipa3s] πρός[pa] ἐγώ[rpa-s] καί&ἐγώ[cc&rpn-s] ὁράω[vixa1s] ὁ[dams] θλιμμός[namsc] ὅς[rrams] ὁ[dnmp] Αἰγύπτιος[annmpn] θλίβω[vipa3p] αὐτός[rpamp]. **v.10** καί[cc] νῦν[b] δεῦρο[b] ἀποστέλλω[vsaa1s] σύ[rpams] πρός[pa] Φαραώ[namsp] βασιλεύς[namsc] Αἴγυπτος[ngfsp] καί[cc] ἐξάγω[vifa2s] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] ἐκ[pg] γῆ[ngfsc] Αἴγυπτος[ngfsp].

Ισραηλ ἐκ γῆς Αἰγύπτου. εἶπεν δὲ ὁ θεὸς Μωυσεῖ λέγων ὅτι ἔ- 12
σομαι μετὰ σοῦ καὶ τοῦτό σοι τὸ σημεῖον ὅτι ἐγώ σε ἐξαποστέλλω
ἐν τῷ ἐξαγαγεῖν σε τὸν λαόν μου ἐξ Αἰγύπτου καὶ λατρεύσετε τῷ
θεῷ ἐν τῷ ὄρει τούτῳ. καὶ εἶπεν Μωυσῆς πρὸς τὸν θεόν ἰδοὺ 13
ἐγὼ ἐλεύσομαι πρὸς τοὺς υἱοὺς Ισραηλ καὶ ἐρῶ πρὸς αὐτούς ὁ
θεὸς τῶν πατέρων ὑμῶν ἀπέσταλκέν με πρὸς ὑμᾶς ἐρωτήσουσίν
με τί ὄνομα αὐτῷ τί ἐρῶ πρὸς αὐτούς. καὶ εἶπεν ὁ θεὸς πρὸς 14
Μωυσῆν ἐγώ εἰμι ὁ ὤν καὶ εἶπεν οὕτως ἐρεῖς τοῖς υἱοῖς Ισραηλ
ὁ ὢν ἀπέσταλκέν με πρὸς ὑμᾶς. καὶ εἶπεν ὁ θεὸς πάλιν πρὸς 15
Μωυσῆν οὕτως ἐρεῖς τοῖς υἱοῖς Ισραηλ κύριος ὁ θεὸς τῶν πατέρων
ὑμῶν θεὸς Αβρααμ καὶ θεὸς Ισαακ καὶ θεὸς Ιακωβ ἀπέσταλκέν
με πρὸς ὑμᾶς τοῦτό μού ἐστιν ὄνομα αἰώνιον καὶ μνημόσυνον
γενεῶν γενεαῖς. ἐλθὼν οὖν συνάγαγε τὴν γερουσίαν τῶν υἱῶν 16
Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν
ὦπταί μοι θεὸς Αβρααμ καὶ θεὸς Ισαακ καὶ θεὸς Ιακωβ λέγων ἐπι-
σκοπῇ ἐπέσκεμμαι ὑμᾶς καὶ ὅσα συμβέβηκεν ὑμῖν ἐν Αἰγύπτῳ.
καὶ εἶπον ἀναβιβάσω ὑμᾶς ἐκ τῆς κακώσεως τῶν Αἰγυπτίων εἰς 17
τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Αμορραίων καὶ Φερε-
ζαίων καὶ Γεργεσαίων καὶ Ευαίων καὶ Ιεβουσαίων εἰς γῆν ῥέουσαν
γάλα καὶ μέλι. καὶ εἰσακούσονταί σου τῆς φωνῆς καὶ εἰσελεύσῃ 18

---

**v.11** καί[cc] λέγω[viaa3s] Μωϋσῆς[nnmsp] πρός[pa] ὁ[dams] θεός[namsc] τίς[rqnms] εἰμί[vipa1s] ὅτι[cs] πορεύομαι[vifm1s] πρός[pa] Φαραώ[namsp] βασιλεύς[namsc] Αἴγυπτος[ngfsp] καί[cc] ὅτι[cs] ἐξάγω[vifa1s] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] ἐκ[pg] γῆ[ngfsc] Αἴγυπτος[ngfsp]. **v.12** λέγω[viaa3s] δέ[cc] ὁ[dnms] θεός[nnmsc] Μωϋσῆς[ndmsp] λέγω[vppanms] ὅτι[cs] εἰμί[vifm1s] μετά[pg] σύ[rpgms] καί[cc] οὗτος[rdnns] σύ[rpdms] ὁ[dnns] σημεῖον[nnnsc] ὅτι[cs] ἐγώ[rpn-s] σύ[rpams] ἐξαποστέλλω[vipa1s] ἐν[pd] ὁ[ddns] ἐξάγω[vnaa] σύ[rpams] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] ἐκ[pg] Αἴγυπτος[ngfsp] καί[cc] λατρεύω[vifa2p] ὁ[ddms] θεός[ndmsc] ἐν[pd] ὁ[ddns] ὄρος[ndnsc] οὗτος[rddns]. **v.13** καί[cc] λέγω[viaa3s] Μωϋσῆς[nnmsp] πρός[pa] ὁ[dams] θεός[namsc] ἰδού[i] ἐγώ[rpnms] ἔρχομαι[vifm1s] πρός[pa] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] καί[cc] λέγω[vifa1s] πρός[pa] αὐτός[rpamp] ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] πατήρ[ngmpc] σύ[rpg-p] ἀποστέλλω[vixa3s] ἐγώ[rpams] πρός[pa] σύ[rpa-p] ἐρωτάω[vifa3p] ἐγώ[rpams] τίς[aqnnsn] ὄνομα[nnnsc] αὐτός[rpdms] τίς[rqans] λέγω[vifa1s] πρός[pa] αὐτός[rpamp]. **v.14** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Μωϋσῆς[namsp] ἐγώ[rpn-s] εἰμί[vipa1s] ὁ[dnms] εἰμί[vppanms] καί[cc] λέγω[viaa3s] οὕτως[b] λέγω[vifa2s] ὁ[ddmp] υἱός[ndmpc] Ἰσραήλ[ngmsp] ὁ[dnms] εἰμί[vppanms] ἀποστέλλω[vixa3s] ἐγώ[rpams] πρός[pa] σύ[rpa-p]. **v.15** καί[cc] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] πάλιν[b] πρός[pa] Μωϋσῆς[namsp] οὕτως[b] λέγω[vifa2s] ὁ[ddmp] υἱός[ndmpc] Ἰσραήλ[ngmsp] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] πατήρ[ngmpc] σύ[rpg-p] θεός[nnmsc] Ἀβραάμ[ngmsp] καί[cc] θεός[nnmsc] Ἰσαάκ[ngmsp] καί[cc] θεός[nnmsc] Ἰακώβ[ngmsp] ἀποστέλλω[vixa3s] ἐγώ[rpams] πρός[pa] σύ[rpa-p] οὗτος[rdnns] ἐγώ[rpg-s] εἰμί[vipa3s] ὄνομα[nnnsc] αἰώνιος[annnsn] καί[cc] μνημόσυνον[nnnsc] γενεά[ngfpc] γενεά[ndfpc]. **v.16** ἔρχομαι[vpaanms] οὖν[cc] συνάγω[vdaa2s] ὁ[dafs] γερουσία[nafsc] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] καί[cc] λέγω[vifa2s] πρός[pa] αὐτός[rpamp] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] πατήρ[ngmpc] σύ[rpg-p] ὁράω[vixm3s] ἐγώ[rpdms] θεός[nnmsc] Ἀβραάμ[ngmsp] καί[cc] θεός[nnmsc] Ἰσαάκ[ngmsp] καί[cc] θεός[nnmsc] Ἰακώβ[ngmsp] λέγω[vppanms] ἐπισκοπή[ndfsc] ἐπισκέπτομαι[vixm1s] σύ[rpa-p] καί[cc] ὅσος[arnnpn] συμβαίνω[vixa3s] σύ[rpd-p] ἐν[pd] Αἴγυπτος[ndfsp]. **v.17** καί[cc] λέγω[viaa1s] ἀναβιβάζω[vifa1s] σύ[rpa-p] ἐκ[pg] ὁ[dgfs] κάκωσις[ngfsc] ὁ[dgmp] Αἰγύπτιος[angmpn] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] ὁ[dgmp] Χαναναῖος[ngmpp] καί[cc] Χετταῖος[ngmpp] καί[cc] Ἀμορραῖος[ngmpp] καί[cc] Φερεζαῖος[ngmpp] καί[cc] Γεργεσαῖος[ngmpp] καί[cc] Ευαῖος[ngmpp] καί[cc] Ιεβουσαῖος[ngmpp] εἰς[pa] γῆ[nafsc] ῥέω[vppaafs] γάλα[nansc] καί[cc] μέλι[nansc].

σὺ καὶ ἡ γερουσία Ισραηλ πρὸς Φαραω βασιλέα Αἰγύπτου καὶ
ἐρεῖς πρὸς αὐτόν ὁ θεὸς τῶν Εβραίων προσκέκληται ἡμᾶς πορευ-
σώμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον ἵνα θύσωμεν τῷ
19 θεῷ ἡμῶν. ἐγὼ δὲ οἶδα ὅτι οὐ προήσεται ὑμᾶς Φαραω βασιλεὺς
20 Αἰγύπτου πορευθῆναι ἐὰν μὴ μετὰ χειρὸς κραταιᾶς. καὶ ἐκτεί-
νας τὴν χεῖρα πατάξω τοὺς Αἰγυπτίους ἐν πᾶσι τοῖς θαυμασίοις
21 μου οἷς ποιήσω ἐν αὐτοῖς καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς. καὶ
δώσω χάριν τῷ λαῷ τούτῳ ἐναντίον τῶν Αἰγυπτίων ὅταν δὲ ἀπο-
22 τρέχητε οὐκ ἀπελεύσεσθε κενοί. αἰτήσει γυνὴ παρὰ γείτονος
καὶ συσκήνου αὐτῆς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν καὶ
ἐπιθήσετε ἐπὶ τοὺς υἱοὺς ὑμῶν καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν καὶ
σκυλεύσετε τοὺς Αἰγυπτίους.

**4** Ἀπεκρίθη δὲ Μωυσῆς καὶ εἶπεν ἐὰν οὖν μὴ πιστεύσωσίν μοι
μηδὲ εἰσακούσωσιν τῆς φωνῆς μου ἐροῦσιν γὰρ ὅτι οὐκ ὦπταί σοι
2 ὁ θεός τί ἐρῶ πρὸς αὐτούς. εἶπεν δὲ αὐτῷ κύριος τί τοῦτό ἐστιν
3 τὸ ἐν τῇ χειρί σου ὁ δὲ εἶπεν ῥάβδος. καὶ εἶπεν ῥῖψον αὐτὴν ἐπὶ
τὴν γῆν καὶ ἔρριψεν αὐτὴν ἐπὶ τὴν γῆν καὶ ἐγένετο ὄφις καὶ ἔφυ-
4 γεν Μωυσῆς ἀπ᾽ αὐτοῦ. καὶ εἶπεν κύριος πρὸς Μωυσῆν ἔκτεινον
τὴν χεῖρα καὶ ἐπιλαβοῦ τῆς κέρκου ἐκτείνας οὖν τὴν χεῖρα ἐπε-
5 λάβετο τῆς κέρκου καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ. ἵνα
πιστεύσωσίν σοι ὅτι ὦπταί σοι κύριος ὁ θεὸς τῶν πατέρων αὐτῶν

---

**v.18** καί[cc] εἰσακούω[vifm3p] σύ[rpgms] ὁ[dgfs] φωνή[ngfsc] καί[cc] εἰσέρχομαι[vifm2s] σύ[rpnms] καί[cc] ὁ[dnfs] γερουσία[nnfsc] Ἰσραήλ[ngmsp] πρός[pa] Φαραώ[namsp] βασιλεύς[namsc] Αἴγυπτος[ngfsp] καί[cc] λέγω[vifa2s] πρός[pa] αὐτός[rpams] ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] Ἑβραῖος[angmpn] προσκαλέομαι[vixm3s] ἐγώ[rpa-p] πορεύομαι[vsam1p] οὖν[cc] ὁδός[nafsc] τρεῖς[acgfpn] ἡμέρα[ngfpc] εἰς[pa] ὁ[dafs] ἔρημος[nafsc] ἵνα[cs] θύω[vsaa1p] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p]. **v.19** ἐγώ[rpn-s] δέ[cc] οἶδα[vixa1s] ὅτι[cs] οὐ[b] προΐημι[vifm3s] σύ[rpa-p] Φαραώ[nnmsp] βασιλεύς[nnmsc] Αἴγυπτος[ngfsp] πορεύομαι[vnap] ἐάν[cs] μή[x] μετά[pg] χείρ[ngfsc] κραταιός[angfsn]. **v.20** καί[cc] κτείνω[vpaanms] ὁ[dafs] χείρ[nafsc] πατάσσω[vifa1s] ὁ[damp] Αἰγύπτιος[anampn] ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] θαυμάσιος[andnpn] ἐγώ[rpg-s] ὅς[rrdnp] ποιέω[vifa1s] ἐν[pd] αὐτός[rpdmp] καί[cc] μετά[pa] οὗτος[rdanp] ἐξαποστέλλω[vifa3s] σύ[rpa-p]. **v.21** καί[cc] δίδωμι[vifa1s] χάρις[nafsc] ὁ[ddms] λαός[ndmsc] οὗτος[rddms] ἐναντίον[pg] ὁ[dgmp] Αἰγύπτιος[angmpn] ὅταν[cs] δέ[cc] ἀποτρέχω[vspa2p] οὐ[b] ἀπέρχομαι[vifm2p] κενός[annmpn]. **v.22** αἰτέω[vifa3s] γυνή[nnfsc] παρά[pg] γείτων[ngfsc] καί[cc] σύσκηνος[ngmsc] αὐτός[rpgfs] σκεῦος[nanpc] ἀργυροῦς[ananpn] καί[cc] χρυσοῦς[ananpn] καί[cc] ἱματισμός[namsc] καί[cc] ἐπιτίθημι[vifa2p] ἐπί[pa] ὁ[damp] υἱός[nampc] σύ[rpg-p] καί[cc] ἐπί[pa] ὁ[dafp] θυγάτηρ[nafpc] σύ[rpg-p] καί[cc] σκυλεύω[vifa2p] ὁ[damp] Αἰγύπτιος[anampn]. **4. v.1** ἀποκρίνομαι[viap3s] δέ[cc] Μωϋσῆς[nnmsp] καί[cc] λέγω[viaa3s] ἐάν[cs] οὖν[cc] μή[x] πιστεύω[vsaa3p] ἐγώ[rpdms] μηδέ[x] εἰσακούω[vsaa3p] ὁ[dgfs] φωνή[ngfsc] ἐγώ[rpgms] λέγω[vifa3p] γάρ[cc] ὅτι[cs] οὐ[b] ὁράω[vixm3s] σύ[rpdms] ὁ[dnms] θεός[nnmsc] τίς[rqans] λέγω[vifa1s] πρός[pa] αὐτός[rpamp]. **v.2** λέγω[viaa3s] δέ[cc] αὐτός[rpdms] κύριος[nnmsc] τίς[rqnns] οὗτος[rdnns] εἰμί[vipa3s] ὁ[dnns] ἐν[pd] ὁ[ddfs] χείρ[ndfsc] σύ[rpgms] ὁ[dnms] δέ[cc] λέγω[viaa3s] ῥάβδος[nnfsc]. **v.3** καί[cc] λέγω[viaa3s] ῥίπτω[vdaa2s] αὐτός[rpafs] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] καί[cc] ῥίπτω[viaa3s] αὐτός[rpafs] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] καί[cc] γίνομαι[viam3s] ὄφις[nnmsc] καί[cc] φεύγω[viaa3s] Μωϋσῆς[nnmsp] ἀπό[pg] αὐτός[rpgms]. **v.4** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] Μωϋσῆς[namsp] ἐκτείνω[vdaa2s] ὁ[dafs] χείρ[nafsc] καί[cc] ἐπιλαμβάνω[vdam2s] ὁ[dgfs] κέρκος[ngfsc] κτείνω[vpaanms] οὖν[cc] ὁ[dafs] χείρ[nafsc] ἐπιλαμβάνω[viam3s] ὁ[dgfs] κέρκος[ngfsc] καί[cc] γίνομαι[viam3s] ῥάβδος[nnfsc] ἐν[pd] ὁ[ddfs] χείρ[ndfsc] αὐτός[rpgms].

θεὸς Αβρααμ καὶ θεὸς Ισαακ καὶ θεὸς Ιακωβ. εἶπεν δὲ αὐτῷ 6
κύριος πάλιν εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου καὶ
εἰσήνεγκεν τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ καὶ ἐξήνεγκεν
τὴν χεῖρα αὐτοῦ ἐκ τοῦ κόλπου αὐτοῦ καὶ ἐγενήθη ἡ χεὶρ αὐ-
τοῦ ὡσεὶ χιών. καὶ εἶπεν πάλιν εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν 7
κόλπον σου καὶ εἰσήνεγκεν τὴν χεῖρα εἰς τὸν κόλπον αὐτοῦ καὶ
ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ καὶ πάλιν ἀπεκατέστη εἰς
τὴν χρόαν τῆς σαρκὸς αὐτοῦ. ἐὰν δὲ μὴ πιστεύσωσίν σοι μηδὲ 8
εἰσακούσωσιν τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου πιστεύσουσίν
σοι τῆς φωνῆς τοῦ σημείου τοῦ ἐσχάτου. καὶ ἔσται ἐὰν μὴ πι- 9
στεύσωσίν σοι τοῖς δυσὶ σημείοις τούτοις μηδὲ εἰσακούσωσιν τῆς
φωνῆς σου λήμψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ καὶ ἐκχεεῖς ἐπὶ
τὸ ξηρόν καὶ ἔσται τὸ ὕδωρ ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ αἷμα
ἐπὶ τοῦ ξηροῦ. εἶπεν δὲ Μωυσῆς πρὸς κύριον δέομαι κύριε οὐχ 10
ἱκανός εἰμι πρὸ τῆς ἐχθὲς οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας οὐδὲ ἀφ᾽
οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου ἰσχνόφωνος καὶ βραδύγλωσ-
σος ἐγώ εἰμι. εἶπεν δὲ κύριος πρὸς Μωυσῆν τίς ἔδωκεν στόμα 11
ἀνθρώπῳ καὶ τίς ἐποίησεν δύσκωφον καὶ κωφόν βλέποντα καὶ
τυφλόν οὐκ ἐγὼ ὁ θεός. καὶ νῦν πορεύου καὶ ἐγὼ ἀνοίξω τὸ 12
στόμα σου καὶ συμβιβάσω σε ὃ μέλλεις λαλῆσαι. καὶ εἶπεν Μω- 13

---

**v.5** ἵνα[cs] πιστεύω[vsaa3p] σύ[rpdms] ὅτι[cs] ὁράω[vixm3s] σύ[rpdms] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] πατήρ[ngmpc] αὐτός[rpgmp] θεός[nnmsc] Ἀβραάμ[ngmsp] καί[cc] θεός[nnmsc] Ἰσαάκ[ngmsp] καί[cc] θεός[nnmsc] Ἰακώβ[ngmsp]. **v.6** λέγω[viaa3s] δέ[cc] αὐτός[rpdms] κύριος[nnmsc] πάλιν[b] εἰσφέρω[vdaa2s] ὁ[dafs] χείρ[nafsc] σύ[rpgms] εἰς[pa] ὁ[dams] κόλπος[namsc] σύ[rpgms] καί[cc] εἰσφέρω[viaa3s] ὁ[dafs] χείρ[nafsc] αὐτός[rpgms] εἰς[pa] ὁ[dams] κόλπος[namsc] αὐτός[rpgms] καί[cc] ἐκφέρω[viaa3s] ὁ[dafs] χείρ[nafsc] αὐτός[rpgms] ἐκ[pg] ὁ[dgms] κόλπος[ngmsc] αὐτός[rpgms] καί[cc] γίνομαι[viap3s] ὁ[dnfs] χείρ[nnfsc] αὐτός[rpgms] ὡσεί[x] χιών[nnfsc]. **v.7** καί[cc] λέγω[viaa3s] πάλιν[b] εἰσφέρω[vdaa2s] ὁ[dafs] χείρ[nafsc] σύ[rpgms] εἰς[pa] ὁ[dams] κόλπος[namsc] σύ[rpgms] καί[cc] εἰσφέρω[viaa3s] ὁ[dafs] χείρ[nafsc] εἰς[pa] ὁ[dams] κόλπος[namsc] αὐτός[rpgms] καί[cc] ἐκφέρω[viaa3s] αὐτός[rpafs] ἐκ[pg] ὁ[dgms] κόλπος[ngmsc] αὐτός[rpgms] καί[cc] πάλιν[b] ἀποκαθιστάνω[viaa3s] εἰς[pa] ὁ[dafs] χρόα[nafsc] ὁ[dgfs] σάρξ[ngfsc] αὐτός[rpgms]. **v.8** ἐάν[cs] δέ[cc] μή[x] πιστεύω[vsaa3p] σύ[rpdms] μηδέ[x] εἰσακούω[vsaa3p] ὁ[dgfs] φωνή[ngfsc] ὁ[dgns] σημεῖον[ngnsc] ὁ[dgns] πρῶτος[aognsn] πιστεύω[vifa3p] σύ[rpdms] ὁ[dgfs] φωνή[ngfsc] ὁ[dgns] σημεῖον[ngnsc] ὁ[dgns] ἔσχατος[angnsn]. **v.9** καί[cc] εἰμί[vifm3s] ἐάν[cs] μή[x] πιστεύω[vsaa3p] σύ[rpdms] ὁ[ddnp] δύο[acdnpn] σημεῖον[ndnpc] οὗτος[rddnp] μηδέ[x] εἰσακούω[vsaa3p] ὁ[dgfs] φωνή[ngfsc] σύ[rpgms] λαμβάνω[vifm2s] ἀπό[pg] ὁ[dgns] ὕδωρ[ngnsc] ὁ[dgms] ποταμός[ngmsc] καί[cc] ἐκχέω[vifa2s] ἐπί[pa] ὁ[dans] ξηρός[anansn] καί[cc] εἰμί[vifm3s] ὁ[dnns] ὕδωρ[nnnsc] ὅς[rrans] ἐάν[x] λαμβάνω[vsaa2s] ἀπό[pg] ὁ[dgms] ποταμός[ngmsc] αἷμα[nnnsc] ἐπί[pg] ὁ[dgns] ξηρός[angnsn]. **v.10** λέγω[viaa3s] δέ[cc] Μωϋσῆς[nnmsp] πρός[pa] κύριος[namsc] δέομαι[vipm1s] κύριος[nvmsc] οὐ[b] ἱκανός[annmsn] εἰμί[vipa1s] πρό[pg] ὁ[dgfs] ἐχθές[b] οὐδέ[cc] πρό[pg] ὁ[dgfs] τρίτος[aogfsn] ἡμέρα[ngfsc] οὐδέ[cc] ἀπό[pg] ὅς[rrgns] ἄρχω[viam2s] λαλέω[vnpa] ὁ[ddms] θεράπων[ndmsc] σύ[rpg-s] ἰσχνόφωνος[annmsn] καί[cc] βραδύγλωσσος[annmsn] ἐγώ[rpnms] εἰμί[vipa1s]. **v.11** λέγω[viaa3s] δέ[cc] κύριος[nnmsc] πρός[pa] Μωϋσῆς[namsp] τίς[rqnms] δίδωμι[viaa3s] στόμα[nansc] ἄνθρωπος[ndmsc] καί[cc] τίς[rqnms] ποιέω[viaa3s] δύσκωφος[anamsn] καί[cc] κωφός[anamsn] βλέπω[vppaams] καί[cc] τυφλός[anamsn] οὐ[b] ἐγώ[rpn-s] ὁ[dnms] θεός[nnmsc]. **v.12** καί[cc] νῦν[b] πορεύομαι[vdpm2s] καί[cc] ἐγώ[rpn-s] ἀνοίγω[vifa1s] ὁ[dans] στόμα[nansc] σύ[rpgms] καί[cc] συμβιβάζω[vifa1s] σύ[rpams] ὅς[rrans] μέλλω[vipa2s] λαλέω[vnaa].

υσῆς δέομαι κύριε προχείρισαι δυνάμενον ἄλλον ὃν ἀποστελεῖς.
14 καὶ θυμωθεὶς ὀργῇ κύριος ἐπὶ Μωυσῆν εἶπεν οὐκ ἰδοὺ Ααρων ὁ
ἀδελφός σου ὁ Λευίτης ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός σοι
καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι καὶ ἰδών σε χαρή-
15 σεται ἐν ἑαυτῷ. καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά μου
εἰς τὸ στόμα αὐτοῦ καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ τὸ στόμα
16 αὐτοῦ καὶ συμβιβάσω ὑμᾶς ἃ ποιήσετε. καὶ αὐτός σοι προσλα-
λήσει πρὸς τὸν λαόν καὶ αὐτὸς ἔσται σου στόμα σὺ δὲ αὐτῷ ἔσῃ
17 τὰ πρὸς τὸν θεόν. καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς
ὄφιν λήμψῃ ἐν τῇ χειρί σου ἐν ᾗ ποιήσεις ἐν αὐτῇ τὰ σημεῖα.
18 ἐπορεύθη δὲ Μωυσῆς καὶ ἀπέστρεψεν πρὸς Ιοθορ τὸν γαμβρὸν
αὐτοῦ καὶ λέγει πορεύσομαι καὶ ἀποστρέψω πρὸς τοὺς ἀδελφούς
μου τοὺς ἐν Αἰγύπτῳ καὶ ὄψομαι εἰ ἔτι ζῶσιν καὶ εἶπεν Ιοθορ Μω-
19 υσῇ βάδιζε ὑγιαίνων. μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας
ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου εἶπεν δὲ κύριος πρὸς Μωυσῆν
ἐν Μαδιαμ βάδιζε ἄπελθε εἰς Αἴγυπτον τεθνήκασιν γὰρ πάντες οἱ
20 ζητοῦντές σου τὴν ψυχήν. ἀναλαβὼν δὲ Μωυσῆς τὴν γυναῖκα
καὶ τὰ παιδία ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια καὶ ἐπέστρεψεν
εἰς Αἴγυπτον ἔλαβεν δὲ Μωυσῆς τὴν ῥάβδον τὴν παρὰ τοῦ θεοῦ ἐν
21 τῇ χειρὶ αὐτοῦ. εἶπεν δὲ κύριος πρὸς Μωυσῆν πορευομένου σου
καὶ ἀποστρέφοντος εἰς Αἴγυπτον ὅρα πάντα τὰ τέρατα ἃ ἔδωκα ἐν

---

**v.13** καί$^{\text{cc}}$ λέγω$^{\text{viaa3s}}$ Μωϋσῆς$^{\text{nnmsp}}$ δέομαι$^{\text{vipm1s}}$ κύριος$^{\text{nvmsc}}$ προχειρίζομαι$^{\text{vdam2s}}$ δύναμαι$^{\text{vppmams}}$ ἄλλος$^{\text{riams}}$ ὅς$^{\text{rrams}}$ ἀποστέλλω$^{\text{vifa2s}}$. **v.14** καί$^{\text{cc}}$ θυμόω$^{\text{vpapnms}}$ ὀργή$^{\text{ndfsc}}$ κύριος$^{\text{nnmsc}}$ ἐπί$^{\text{pa}}$ Μωϋσῆς$^{\text{namsp}}$ λέγω$^{\text{viaa3s}}$ οὐ$^{\text{b}}$ ἰδού$^{\text{i}}$ Ἀαρών$^{\text{nnmsp}}$ ὁ$^{\text{dnms}}$ ἀδελφός$^{\text{nnmsc}}$ σύ$^{\text{rpgms}}$ ὁ$^{\text{dnms}}$ Λευίτης$^{\text{nnmsp}}$ ἐπίσταμαι$^{\text{vipm1s}}$ ὅτι$^{\text{cs}}$ λαλέω$^{\text{vppanms}}$ λαλέω$^{\text{vifa3s}}$ αὐτός$^{\text{rpnms}}$ σύ$^{\text{rpdms}}$ καί$^{\text{cc}}$ ἰδού$^{\text{i}}$ αὐτός$^{\text{rpnms}}$ ἐξέρχομαι$^{\text{vifm3s}}$ εἰς$^{\text{pa}}$ συνάντησις$^{\text{nafsc}}$ σύ$^{\text{rpdms}}$ καί$^{\text{cc}}$ ὁράω$^{\text{vpaanms}}$ σύ$^{\text{rpa-s}}$ χαίρω$^{\text{vifp3s}}$ ἐν$^{\text{pd}}$ ἑαυτοῦ$^{\text{rxdms}}$. **v.15** καί$^{\text{cc}}$ λέγω$^{\text{vifa2s}}$ πρός$^{\text{pa}}$ αὐτός$^{\text{rpams}}$ καί$^{\text{cc}}$ δίδωμι$^{\text{vifa2s}}$ ὁ$^{\text{danp}}$ ῥῆμα$^{\text{nanpc}}$ ἐγώ$^{\text{rpg-s}}$ εἰς$^{\text{pa}}$ ὁ$^{\text{dans}}$ στόμα$^{\text{nansc}}$ αὐτός$^{\text{rpgms}}$ καί$^{\text{cc}}$ ἐγώ$^{\text{rpn-s}}$ ἀνοίγω$^{\text{vifa1s}}$ ὁ$^{\text{dans}}$ στόμα$^{\text{nansc}}$ σύ$^{\text{rpgms}}$ καί$^{\text{cc}}$ ὁ$^{\text{dans}}$ στόμα$^{\text{nansc}}$ αὐτός$^{\text{rpgms}}$ καί$^{\text{cc}}$ συμβιβάζω$^{\text{vifa1s}}$ σύ$^{\text{rpa-p}}$ ὅς$^{\text{rranp}}$ ποιέω$^{\text{vifa2p}}$. **v.16** καί$^{\text{cc}}$ αὐτός$^{\text{rpnms}}$ σύ$^{\text{rpdms}}$ προσλαλέω$^{\text{vifa3s}}$ πρός$^{\text{pa}}$ ὁ$^{\text{dams}}$ λαός$^{\text{namsc}}$ καί$^{\text{cc}}$ αὐτός$^{\text{rpnms}}$ εἰμί$^{\text{vifm3s}}$ σύ$^{\text{rpgms}}$ στόμα$^{\text{nnnsc}}$ σύ$^{\text{rpnms}}$ δέ$^{\text{cc}}$ αὐτός$^{\text{rpdms}}$ εἰμί$^{\text{vifm2s}}$ ὁ$^{\text{dnnp}}$ πρός$^{\text{pa}}$ ὁ$^{\text{dams}}$ θεός$^{\text{namsc}}$. **v.17** καί$^{\text{cc}}$ ὁ$^{\text{dafs}}$ ῥάβδος$^{\text{nafsc}}$ οὗτος$^{\text{rdafs}}$ ὁ$^{\text{dafs}}$ στρέφω$^{\text{vpapafs}}$ εἰς$^{\text{pa}}$ ὄφις$^{\text{namsc}}$ λαμβάνω$^{\text{vifm2s}}$ ἐν$^{\text{pd}}$ ὁ$^{\text{ddfs}}$ χείρ$^{\text{ndfsc}}$ σύ$^{\text{rpgms}}$ ἐν$^{\text{pd}}$ ὅς$^{\text{rrdfs}}$ ποιέω$^{\text{vifa2s}}$ ἐν$^{\text{pd}}$ αὐτός$^{\text{rpdfs}}$ ὁ$^{\text{danp}}$ σημεῖον$^{\text{nanpc}}$. **v.18** πορεύομαι$^{\text{viap3s}}$ δέ$^{\text{cc}}$ Μωϋσῆς$^{\text{nnmsp}}$ καί$^{\text{cc}}$ ἀποστρέφω$^{\text{viaa3s}}$ πρός$^{\text{pa}}$ Ιοθορ$^{\text{namsp}}$ ὁ$^{\text{dams}}$ γαμβρός$^{\text{namsc}}$ αὐτός$^{\text{rpgms}}$ καί$^{\text{cc}}$ λέγω$^{\text{vipa3s}}$ πορεύομαι$^{\text{vifm1s}}$ καί$^{\text{cc}}$ ἀποστρέφω$^{\text{vifa1s}}$ πρός$^{\text{pa}}$ ὁ$^{\text{damp}}$ ἀδελφός$^{\text{nampc}}$ ἐγώ$^{\text{rpgms}}$ ὁ$^{\text{damp}}$ ἐν$^{\text{pd}}$ Αἴγυπτος$^{\text{ndfsp}}$ καί$^{\text{cc}}$ ὁράω$^{\text{vifm1s}}$ εἰ$^{\text{x}}$ ἔτι$^{\text{b}}$ ζάω$^{\text{vipa3p}}$ καί$^{\text{cc}}$ λέγω$^{\text{viaa3s}}$ Ιοθορ$^{\text{nnmsp}}$ Μωϋσῆς$^{\text{ndmsp}}$ βαδίζω$^{\text{vdpa2s}}$ ὑγιαίνω$^{\text{vppanms}}$. **v.19** μετά$^{\text{pa}}$ δέ$^{\text{cc}}$ ὁ$^{\text{dafp}}$ ἡμέρα$^{\text{nafpc}}$ ὁ$^{\text{dafp}}$ πολύς$^{\text{anafpn}}$ ἐκεῖνος$^{\text{rdafp}}$ τελευτάω$^{\text{viaa3s}}$ ὁ$^{\text{dnms}}$ βασιλεύς$^{\text{nnmsc}}$ Αἴγυπτος$^{\text{ngfsp}}$ λέγω$^{\text{viaa3s}}$ δέ$^{\text{cc}}$ κύριος$^{\text{nnmsc}}$ πρός$^{\text{pa}}$ Μωϋσῆς$^{\text{namsp}}$ ἐν$^{\text{pd}}$ Μαδιάμ$^{\text{ndmsp}}$ βαδίζω$^{\text{vdpa2s}}$ ἀπέρχομαι$^{\text{vdaa2s}}$ εἰς$^{\text{pa}}$ Αἴγυπτος$^{\text{nafsp}}$ θνήσκω$^{\text{vixa3p}}$ γάρ$^{\text{cc}}$ πᾶς$^{\text{ainmpn}}$ ὁ$^{\text{dnmp}}$ ζητέω$^{\text{vppanmp}}$ σύ$^{\text{rpgms}}$ ὁ$^{\text{dafs}}$ ψυχή$^{\text{nafsc}}$. **v.20** ἀναλαμβάνω$^{\text{vpaanms}}$ δέ$^{\text{cc}}$ Μωϋσῆς$^{\text{nnmsp}}$ ὁ$^{\text{dafs}}$ γυνή$^{\text{nafsc}}$ καί$^{\text{cc}}$ ὁ$^{\text{danp}}$ παιδίον$^{\text{nanpc}}$ ἀναβιβάζω$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpanp}}$ ἐπί$^{\text{pa}}$ ὁ$^{\text{danp}}$ ὑποζύγιον$^{\text{nanpc}}$ καί$^{\text{cc}}$ ἐπιστρέφω$^{\text{viaa3s}}$ εἰς$^{\text{pa}}$ Αἴγυπτος$^{\text{nafsp}}$ λαμβάνω$^{\text{viaa3s}}$ δέ$^{\text{cc}}$ Μωϋσῆς$^{\text{nnmsp}}$ ὁ$^{\text{dafs}}$ ῥάβδος$^{\text{nafsc}}$ ὁ$^{\text{dafs}}$ παρά$^{\text{pg}}$ ὁ$^{\text{dgms}}$ θεός$^{\text{ngmsc}}$ ἐν$^{\text{pd}}$ ὁ$^{\text{ddfs}}$ χείρ$^{\text{ndfsc}}$ αὐτός$^{\text{rpgms}}$.

ταῖς χερσίν σου ποιήσεις αὐτὰ ἐναντίον Φαραω ἐγὼ δὲ σκληρυνῶ
τὴν καρδίαν αὐτοῦ καὶ οὐ μὴ ἐξαποστείλῃ τὸν λαόν. σὺ δὲ ἐρεῖς 22
τῷ Φαραω τάδε λέγει κύριος υἱὸς πρωτότοκός μου Ισραηλ. εἶπα 23
δέ σοι ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύσῃ εἰ μὲν οὖν
μὴ βούλει ἐξαποστεῖλαι αὐτούς ὅρα οὖν ἐγὼ ἀποκτενῶ τὸν υἱόν
σου τὸν πρωτότοκον. ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι 24
συνήντησεν αὐτῷ ἄγγελος κυρίου καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι.
καὶ λαβοῦσα Σεπφωρα ψῆφον περιέτεμεν τὴν ἀκροβυστίαν τοῦ 25
υἱοῦ αὐτῆς καὶ προσέπεσεν πρὸς τοὺς πόδας καὶ εἶπεν ἔστη τὸ
αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου. καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ 26
διότι εἶπεν ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου. εἶπεν 27
δὲ κύριος πρὸς Ααρων πορεύθητι εἰς συνάντησιν Μωυσεῖ εἰς τὴν
ἔρημον καὶ ἐπορεύθη καὶ συνήντησεν αὐτῷ ἐν τῷ ὄρει τοῦ θεοῦ
καὶ κατεφίλησαν ἀλλήλους. καὶ ἀνήγγειλεν Μωυσῆς τῷ Ααρων 28
πάντας τοὺς λόγους κυρίου οὓς ἀπέστειλεν καὶ πάντα τὰ σημεῖα
ἃ ἐνετείλατο αὐτῷ. ἐπορεύθη δὲ Μωυσῆς καὶ Ααρων καὶ συ- 29
νήγαγον τὴν γερουσίαν τῶν υἱῶν Ισραηλ. καὶ ἐλάλησεν Ααρων 30
πάντα τὰ ῥήματα ταῦτα ἃ ἐλάλησεν ὁ θεὸς πρὸς Μωυσῆν καὶ ἐ-
ποίησεν τὰ σημεῖα ἐναντίον τοῦ λαοῦ. καὶ ἐπίστευσεν ὁ λαὸς 31
καὶ ἐχάρη ὅτι ἐπεσκέψατο ὁ θεὸς τοὺς υἱοὺς Ισραηλ καὶ ὅτι εἶδεν

---

**v.21** λέγω[viaa3s] δέ[cc] κύριος[nnmsc] πρός[pa] Μωϋσῆς[namsp] πορεύομαι[vppmgms] σύ[rpgms] καί[cc] ἀποστρέφω[vppagms] εἰς[pa] Αἴγυπτος[nafsp] ὁράω[vdpa2s] πᾶς[aianpn] ὁ[danp] τέρας[nanpc] ὅς[rranp] δίδωμι[viaa1s] ἐν[pd] ὁ[ddfp] χείρ[ndfpc] σύ[rpgms] ποιέω[vifa2s] αὐτός[rpanp] ἐναντίον[pg] Φαραώ[ngmsp] ἐγώ[rpn-s] δέ[cc] σκληρύνω[vifa1s] ὁ[dafs] καρδία[nafsc] αὐτός[rpgms] καί[cc] οὐ[b] μή[x] ἐξαποστέλλω[vsaa3s] ὁ[dams] λαός[namsc]. **v.22** σύ[rpnms] δέ[cc] λέγω[vifa2s] ὁ[ddms] Φαραώ[ndmsp] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] υἱός[nnmsc] πρωτότοκος[annmsn] ἐγώ[rpg-s] Ἰσραήλ[nnmsp]. **v.23** λέγω[viaa1s] δέ[cc] σύ[rpdms] ἐξαποστέλλω[vdaa2s] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] ἵνα[cs] ἐγώ[rpd-s] λατρεύω[vsaa3s] εἰ[cs] μέν[x] οὖν[cc] μή[x] βούλομαι[vipm2s] ἐξαποστέλλω[vnaa] αὐτός[rpamp] ὁράω[vdpa2s] οὖν[cc] ἐγώ[rpn-s] ἀποκτείνω[vifa1s] ὁ[dams] υἱός[namsc] σύ[rpgms] ὁ[dams] πρωτότοκος[anamsn]. **v.24** γίνομαι[viam3s] δέ[cc] ἐν[pd] ὁ[ddfs] ὁδός[ndfsc] ἐν[pd] ὁ[ddns] κατάλυμα[ndnsc] συναντάω[viaa3s] αὐτός[rpdms] ἄγγελος[nnmsc] κύριος[ngmsc] καί[cc] ζητέω[viia3s] αὐτός[rpams] ἀποκτείνω[vnaa]. **v.25** καί[cc] λαμβάνω[vpaanfs] Σεπφωρα[nnfsp] ψῆφος[nafsc] περιτέμνω[viaa3s] ὁ[dafs] ἀκροβυστία[nafsc] ὁ[dgms] υἱός[ngmsc] αὐτός[rpgfs] καί[cc] προσπίπτω[viaa3s] πρός[pa] ὁ[damp] πούς[nampc] καί[cc] λέγω[viaa3s] ἵστημι[viaa3s] ὁ[dnns] αἷμα[nnnsc] ὁ[dgfs] περιτομή[ngfsc] ὁ[dgns] παιδίον[ngnsc] ἐγώ[rpgfs]. **v.26** καί[cc] ἀπέρχομαι[viaa3s] ἀπό[pg] αὐτός[rpgms] διότι[cs] λέγω[viaa3s] ἵστημι[viaa3s] ὁ[dnns] αἷμα[nnnsc] ὁ[dgfs] περιτομή[ngfsc] ὁ[dgns] παιδίον[ngnsc] ἐγώ[rpgfs]. **v.27** λέγω[viaa3s] δέ[cc] κύριος[nnmsc] πρός[pa] Ἀαρών[namsp] πορεύομαι[vdap2s] εἰς[pa] συνάντησις[nafsc] Μωϋσῆς[ndmsp] εἰς[pa] ὁ[dafs] ἔρημος[nafsc] καί[cc] πορεύομαι[viap3s] καί[cc] συναντάω[viaa3s] αὐτός[rpdms] ἐν[pd] ὁ[ddns] ὄρος[ndnsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] καταφιλέω[viaa3p] ἀλλήλων[reamp]. **v.28** καί[cc] ἀναγγέλλω[viaa3s] Μωϋσῆς[nnmsp] ὁ[ddms] Ἀαρών[ndmsp] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] κύριος[ngmsc] ὅς[rramp] ἀποστέλλω[viaa3s] καί[cc] πᾶς[aianpn] ὁ[danp] σημεῖον[nanpc] ὅς[rrnnp] ἐντέλλομαι[viam3s] αὐτός[rpdms]. **v.29** πορεύομαι[viap3s] δέ[cc] Μωϋσῆς[nnmsp] καί[cc] Ἀαρών[nnmsp] καί[cc] συνάγω[viaa3p] ὁ[dafs] γερουσία[nafsc] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp]. **v.30** καί[cc] λαλέω[viaa3s] Ἀαρών[nnmsp] πᾶς[aianpn] ὁ[danp] ῥῆμα[nanpc] οὗτος[rdanp] ὅς[rranp] λαλέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Μωϋσῆς[namsp] καί[cc] ποιέω[viaa3s] ὁ[danp] σημεῖον[nanpc] ἐναντίον[pg] ὁ[dgms] λαός[ngmsc].

αὐτῶν τὴν θλῖψιν κύψας δὲ ὁ λαὸς προσεκύνησεν.
**5** Καὶ μετὰ ταῦτα εἰσῆλθεν Μωυσῆς καὶ Ααρων πρὸς Φαραω καὶ
εἶπαν αὐτῷ τάδε λέγει κύριος ὁ θεὸς Ισραηλ ἐξαπόστειλον τὸν λα-
2 όν μου ἵνα μοι ἑορτάσωσιν ἐν τῇ ἐρήμῳ. καὶ εἶπεν Φαραω τίς
ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ ὥστε ἐξαποστεῖλαι τοὺς
υἱοὺς Ισραηλ οὐκ οἶδα τὸν κύριον καὶ τὸν Ισραηλ οὐκ ἐξαπο-
3 στέλλω. καὶ λέγουσιν αὐτῷ ὁ θεὸς τῶν Εβραίων προσκέκληται
ἡμᾶς πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον ὅπως
θύσωμεν τῷ θεῷ ἡμῶν μήποτε συναντήσῃ ἡμῖν θάνατος ἢ φόνος.
4 καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου ἵνα τί Μωυσῆ καὶ Ααρων
διαστρέφετε τὸν λαόν μου ἀπὸ τῶν ἔργων ἀπέλθατε ἕκαστος ὑμῶν
5 πρὸς τὰ ἔργα αὐτοῦ. καὶ εἶπεν Φαραω ἰδοὺ νῦν πολυπληθεῖ ὁ
6 λαός μὴ οὖν καταπαύσωμεν αὐτοὺς ἀπὸ τῶν ἔργων. συνέτα-
ξεν δὲ Φαραω τοῖς ἐργοδιώκταις τοῦ λαοῦ καὶ τοῖς γραμματεῦσιν
7 λέγων. οὐκέτι προστεθήσεται διδόναι ἄχυρον τῷ λαῷ εἰς τὴν
πλινθουργίαν καθάπερ ἐχθὲς καὶ τρίτην ἡμέραν αὐτοὶ πορευέ-
8 σθωσαν καὶ συναγαγέτωσαν ἑαυτοῖς ἄχυρα. καὶ τὴν σύνταξιν
τῆς πλινθείας ἧς αὐτοὶ ποιοῦσιν καθ᾽ ἑκάστην ἡμέραν ἐπιβαλεῖς
αὐτοῖς οὐκ ἀφελεῖς οὐδέν σχολάζουσιν γάρ διὰ τοῦτο κεκράγα-
9 σιν λέγοντες πορευθῶμεν καὶ θύσωμεν τῷ θεῷ ἡμῶν. βαρυ-
νέσθω τὰ ἔργα τῶν ἀνθρώπων τούτων καὶ μεριμνάτωσαν ταῦτα

---

**v.31** καί[cc] πιστεύω[viaa3s] ὁ[dnms] λαός[nnmsc] καί[cc] χαίρω[viap3s] ὅτι[cs] ἐπισκέπτομαι[viam3s] ὁ[dnms] θεός[nnmsc] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] καί[cc] ὅτι[cs] ὁράω[viaa3s] αὐτός[rpgmp] ὁ[dafs] θλῖψις[nafsc] κύπτω[vpaanms] δέ[cc] ὁ[dnms] λαός[nnmsc] προσκυνέω[viaa3s]. **5. v.1** καί[cc] μετά[pa] οὗτος[rdanp] εἰσέρχομαι[viaa3s] Μωϋσῆς[nnmsp] καί[cc] Ἀαρών[nnmsp] πρός[pa] Φαραώ[namsp] καί[cc] λέγω[viaa3p] αὐτός[rpdms] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] Ἰσραήλ[ngmsp] ἐξαποστέλλω[vdaa2s] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] ἵνα[cs] ἐγώ[rpd-s] ἑορτάζω[vsaa3p] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc]. **v.2** καί[cc] λέγω[viaa3s] Φαραώ[nnmsp] τίς[rqnms] εἰμί[vipa3s] ὅς[rrgms] εἰσακούω[vifm1s] ὁ[dgfs] φωνή[ngfsc] αὐτός[rpgms] ὥστε[cs] ἐξαποστέλλω[vnaa] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] οὐ[b] οἶδα[vixa1s] ὁ[dams] κύριος[namsc] καί[cc] ὁ[dams] Ἰσραήλ[namsp] οὐ[b] ἐξαποστέλλω[vipa1s]. **v.3** καί[cc] λέγω[vipa3p] αὐτός[rpdms] ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] Ἐβραῖος[angmpn] προσκαλέομαι[vixm3s] ἐγώ[rpa-p] πορεύομαι[vifm1p] οὖν[cc] ὁδός[nafsc] τρεῖς[acgfpn] ἡμέρα[ngfpc] εἰς[pa] ὁ[dafs] ἔρημος[nafsc] ὅπως[cs] θύω[vsaa1p] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p] μήποτε[cs] συναντάω[vsaa3s] ἐγώ[rpd-p] θάνατος[nnmsc] ἤ[cc] φόνος[nnmsc]. **v.4** καί[cc] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] βασιλεύς[nnmsc] Αἴγυπτος[ngfsp] ἵνα[cs] τίς[rqnns] Μωυσῆ[nvmsp] καί[cc] Ἀαρών[nvmsp] διαστρέφω[vipa2p] ὁ[dams] λαός[namsc] ἐγώ[rpgms] ἀπό[pg] ὁ[dgnp] ἔργον[ngnpc] ἀπέρχομαι[vdaa2p] ἕκαστος[ainmsn] σύ[rpgmp] πρός[pa] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgms]. **v.5** καί[cc] λέγω[viaa3s] Φαραώ[nnmsp] ἰδού[i] νῦν[b] πολυπληθέω[vipa3s] ὁ[dnms] λαός[nnmsc] μή[x] οὖν[cc] καταπαύω[vsaa1p] αὐτός[rpamp] ἀπό[pg] ὁ[dgnp] ἔργον[ngnpc]. **v.6** συντάσσω[viaa3s] δέ[cc] Φαραώ[nnmsp] ὁ[ddmp] ἐργοδιώκτης[ndmpc] ὁ[dgms] λαός[ngmsc] καί[cc] ὁ[ddmp] γραμματεύς[ndmpc] λέγω[vppanms]. **v.7** οὐκέτι[b] προστίθημι[vifp3s] δίδωμι[vnpa] ἄχυρον[nansc] ὁ[ddms] λαός[ndmsc] εἰς[pa] ὁ[dafs] πλινθουργία[nafsc] καθάπερ[cs] ἐχθές[b] καί[cc] τρίτος[aoafsn] ἡμέρα[nafsc] αὐτός[rpnmp] πορεύομαι[vdpm3p] καί[cc] συνάγω[vdaa3p] ἑαυτοῦ[rxdmp] ἄχυρον[nanpc]. **v.8** καί[cc] ὁ[dafs] σύνταξις[nafsc] ὁ[dgfs] πλινθεία[ngfsc] ὅς[rrgfs] αὐτός[rpnmp] ποιέω[vipa3p] κατά[pa] ἕκαστος[aiafsn] ἡμέρα[nafsc] ἐπιβάλλω[vifa2s] αὐτός[rpdmp] οὐ[b] ἀφαιρέω[vifa2s] οὐδείς[rians] σχολάζω[vipa3p] γάρ[cc] διά[pa] οὗτος[rdans] κράζω[vixa3p] λέγω[vppanmp] πορεύομαι[vsap1p] καί[cc] θύω[vsaa1p] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p].

καὶ μὴ μεριμνάτωσαν ἐν λόγοις κενοῖς. κατέσπευδον δὲ αὐ- 10
τοὺς οἱ ἐργοδιῶκται καὶ οἱ γραμματεῖς καὶ ἔλεγον πρὸς τὸν λαὸν
λέγοντες τάδε λέγει Φαραω οὐκέτι δίδωμι ὑμῖν ἄχυρα. αὐτοὶ 11
ὑμεῖς πορευόμενοι συλλέγετε ἑαυτοῖς ἄχυρα ὅθεν ἐὰν εὕρητε οὐ
γὰρ ἀφαιρεῖται ἀπὸ τῆς συντάξεως ὑμῶν οὐθέν. καὶ διεσπάρη 12
ὁ λαὸς ἐν ὅλῃ Αἰγύπτῳ συναγαγεῖν καλάμην εἰς ἄχυρα. οἱ δὲ 13
ἐργοδιῶκται κατέσπευδον αὐτοὺς λέγοντες συντελεῖτε τὰ ἔργα τὰ
καθήκοντα καθ' ἡμέραν καθάπερ καὶ ὅτε τὸ ἄχυρον ἐδίδοτο ὑμῖν.
καὶ ἐμαστιγώθησαν οἱ γραμματεῖς τοῦ γένους τῶν υἱῶν Ισραηλ οἱ 14
κατασταθέντες ἐπ' αὐτοὺς ὑπὸ τῶν ἐπιστατῶν τοῦ Φαραω λέγοντες
διὰ τί οὐ συνετελέσατε τὰς συντάξεις ὑμῶν τῆς πλινθείας καθά-
περ ἐχθὲς καὶ τρίτην ἡμέραν καὶ τὸ τῆς σήμερον. εἰσελθόντες 15
δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ισραηλ κατεβόησαν πρὸς Φαραω λέ-
γοντες ἵνα τί οὕτως ποιεῖς τοῖς σοῖς οἰκέταις. ἄχυρον οὐ δίδοται 16
τοῖς οἰκέταις σου καὶ τὴν πλίνθον ἡμῖν λέγουσιν ποιεῖν καὶ ἰδοὺ
οἱ παῖδές σου μεμαστίγωνται ἀδικήσεις οὖν τὸν λαόν σου. καὶ 17
εἶπεν αὐτοῖς σχολάζετε σχολασταί ἐστε διὰ τοῦτο λέγετε πορευ-
θῶμεν θύσωμεν τῷ θεῷ ἡμῶν. νῦν οὖν πορευθέντες ἐργάζεσθε 18
τὸ γὰρ ἄχυρον οὐ δοθήσεται ὑμῖν καὶ τὴν σύνταξιν τῆς πλινθείας
ἀποδώσετε. ἑώρων δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ισραηλ ἑαυτοὺς 19
ἐν κακοῖς λέγοντες οὐκ ἀπολείψετε τῆς πλινθείας τὸ καθῆκον τῇ

---

**v.9** βαρύνω[vdpm3s] ὁ[danp] ἔργον[nanpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] οὗτος[rdgmp] καί[cc] μεριμνάω[vdpa3p] οὗτος[rdanp] καί[cc] μή[x] μεριμνάω[vdpa3p] ἐν[pd] λόγος[ndmpc] κενός[andmpn]. **v.10** κατασπεύδω[viia3p] δέ[cc] αὐτός[rpamp] ὁ[dnmp] ἐργοδιώκτης[nnmpc] καί[cc] ὁ[dnmp] γραμματεύς[nnmpc] καί[cc] λέγω[viia3p] πρός[pa] ὁ[dams] λαός[namsc] λέγω[vppanmp] ὅδε[rdanp] λέγω[vipa3s] Φαραώ[nnmsp] οὐκέτι[b] δίδωμι[vipa1s] σύ[rpdmp] ἄχυρον[nanpc]. **v.11** αὐτός[rtnmp] σύ[rpnmp] πορεύομαι[vppmnmp] συλλέγω[vdpa2p] ἑαυτοῦ[rxdmp] ἄχυρον[nanpc] ὅθεν[b] ἐάν[cs] εὑρίσκω[vsaa2p] οὐ[b] γάρ[cc] ἀφαιρέω[vipp3s] ἀπό[pg] ὁ[dgfs] σύνταξις[ngfsc] σύ[rpgmp] οὐθείς[rinns]. **v.12** καί[cc] διασπείρω[viap3s] ὁ[dnms] λαός[nnmsc] ἐν[pd] ὅλος[andfsn] Αἴγυπτος[ndfsp] συνάγω[vnaa] καλάμη[nafsc] εἰς[pa] ἄχυρον[nanpc]. **v.13** ὁ[dnmp] δέ[cc] ἐργοδιώκτης[nnmpc] κατασπεύδω[viia3p] αὐτός[rpamp] λέγω[vppanmp] συντελέω[vdpa2p] ὁ[danp] ἔργον[nanpc] ὁ[danp] καθήκω[vppaanp] κατά[pa] ἡμέρα[nafsc] καθάπερ[cs] καί[b] ὅτε[cs] ὁ[dnns] ἄχυρον[nnnsc] δίδωμι[viip3s] σύ[rpdmp]. **v.14** καί[cc] μαστιγόω[viap3p] ὁ[dnmp] γραμματεύς[nnmpc] ὁ[dgns] γένος[ngnsc] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] ὁ[dnmp] καθίστημι[vpapnmp] ἐπί[pa] αὐτός[rpamp] ὑπό[pg] ὁ[dgmp] ἐπιστάτης[ngmpc] ὁ[dgms] Φαραώ[ngmsp] λέγω[vppanmp] διά[pa] τίς[rqans] οὐ[b] συντελέω[viaa2p] ὁ[dafp] σύνταξις[nafpc] σύ[rpg-p] ὁ[dgfs] πλινθεία[ngfsc] καθάπερ[cs] ἐχθές[b] καί[cc] τρίτος[aoafsn] ἡμέρα[nafsc] καί[cc] ὁ[dans] ὁ[dgfs] σήμερον[b]. **v.15** εἰσέρχομαι[vpaanmp] δέ[cc] ὁ[dnmp] γραμματεύς[nnmpc] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] καταβοάω[viaa3p] πρός[pa] Φαραώ[namsp] λέγω[vppanmp] ἵνα[cs] τίς[rqnns] οὕτως[b] ποιέω[vipa2s] ὁ[ddmp] σός[asdmpn] οἰκέτης[ndmpc]. **v.16** ἄχυρον[nnnsc] οὐ[b] δίδωμι[vipp3s] ὁ[ddmp] οἰκέτης[ndmpc] σύ[rpgms] καί[cc] ὁ[dafs] πλίνθος[nafsc] ἐγώ[rpd-p] λέγω[vipa3p] ποιέω[vnpa] καί[cc] ἰδού[i] ὁ[dnmp] παῖς[nnmpc] σύ[rpgms] μαστιγόω[vixp3p] ἀδικέω[vifa2s] οὖν[cc] ὁ[dams] λαός[namsc] σύ[rpgms]. **v.17** καί[cc] λέγω[viaa3s] αὐτός[rpdmp] σχολάζω[vipa2p] σχολαστής[nnmpc] εἰμί[vipa2p] διά[pa] οὗτος[rdans] λέγω[vipa2p] πορεύομαι[vsap1p] θύω[vsaa1p] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p]. **v.18** νῦν[b] οὖν[cc] πορεύομαι[vpapnmp] ἐργάζομαι[vdpm2p] ὁ[dnns] γάρ[cc] ἄχυρον[nnnsc] οὐ[b] δίδωμι[vifp3s] σύ[rpd-p] καί[cc] ὁ[dafs] σύνταξις[nafsc] ὁ[dgfs] πλινθεία[ngfsc] ἀποδίδωμι[vifa2p].

20 ἡμέρᾳ. συνήντησαν δὲ Μωυσῇ καὶ Ααρων ἐρχομένοις εἰς συ-
21 νάντησιν αὐτοῖς ἐκπορευομένων αὐτῶν ἀπὸ Φαραω. καὶ εἶπαν
αὐτοῖς ἴδοι ὁ θεὸς ὑμᾶς καὶ κρίναι ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ἡ-
μῶν ἐναντίον Φαραω καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ δοῦναι
22 ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ ἀποκτεῖναι ἡμᾶς. ἐπέστρεψεν δὲ
Μωυσῆς πρὸς κύριον καὶ εἶπεν κύριε διὰ τί ἐκάκωσας τὸν λαὸν
23 τοῦτον καὶ ἵνα τί ἀπέσταλκάς με. καὶ ἀφ᾽ οὗ πεπόρευμαι πρὸς
Φαραω λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι ἐκάκωσεν τὸν λαὸν τοῦτον καὶ
οὐκ ἐρρύσω τὸν λαόν σου.

**6** Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν ἤδη ὄψει ἃ ποιήσω τῷ Φαραω
ἐν γὰρ χειρὶ κραταιᾷ ἐξαποστελεῖ αὐτοὺς καὶ ἐν βραχίονι ὑψη-
2 λῷ ἐκβαλεῖ αὐτοὺς ἐκ τῆς γῆς αὐτοῦ. ἐλάλησεν δὲ ὁ θεὸς πρὸς
3 Μωυσῆν καὶ εἶπεν πρὸς αὐτόν ἐγὼ κύριος. καὶ ὤφθην πρὸς
Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ θεὸς ὢν αὐτῶν καὶ τὸ ὄνομά μου
4 κύριος οὐκ ἐδήλωσα αὐτοῖς. καὶ ἔστησα τὴν διαθήκην μου πρὸς
αὐτοὺς ὥστε δοῦναι αὐτοῖς τὴν γῆν τῶν Χαναναίων τὴν γῆν ἣν πα-
5 ρῳκήκασιν ἐν ᾗ καὶ παρῴκησαν ἐπ᾽ αὐτῆς. καὶ ἐγὼ εἰσήκουσα
τὸν στεναγμὸν τῶν υἱῶν Ισραηλ ὃν οἱ Αἰγύπτιοι καταδουλοῦνται
6 αὐτούς καὶ ἐμνήσθην τῆς διαθήκης ὑμῶν. βάδιζε εἰπὸν τοῖς υἱ-
οῖς Ισραηλ λέγων ἐγὼ κύριος καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δυναστείας
τῶν Αἰγυπτίων καὶ ῥύσομαι ὑμᾶς ἐκ τῆς δουλείας καὶ λυτρώσο-

---

**v.19** ὁράω[viia3p] δέ[cc] ὁ[dnmp] γραμματεύς[nnmpc] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] ἑαυτοῦ[rxamp] ἐν[pd] κακός[andnpn] λέγω[vppanmp] οὐ[b] ἀπολείπω[vifa2p] ὁ[dgfs] πλινθεία[ngfsc] ὁ[dans] καθήκω[vppaans] ὁ[ddfs] ἡμέρα[ndfsc]. **v.20** συναντάω[viaa3p] δέ[cc] Μωϋσῆς[ndmsp] καί[cc] Ἀαρών[ndmsp] ἔρχομαι[vppmdmp] εἰς[pa] συνάντησις[nafsc] αὐτός[rpdmp] ἐκπορεύομαι[vppmgmp] αὐτός[rpgmp] ἀπό[pg] Φαραώ[ngmsp]. **v.21** καί[cc] λέγω[viaa3p] αὐτός[rpdmp] ὁράω[voaa3s] ὁ[dnms] θεός[nnmsc] σύ[rpa-p] καί[cc] κρίνω[voaa3s] ὅτι[cs] βδελύσσω[viaa2p] ὁ[dafs] ὀσμή[nafsc] ἐγώ[rpg-p] ἐναντίον[pg] Φαραώ[ngmsp] καί[cc] ἐναντίον[pg] ὁ[dgmp] θεράπων[ngmpc] αὐτός[rpgms] δίδωμι[vnaa] ῥομφαία[nafsc] εἰς[pa] ὁ[dafp] χείρ[nafpc] αὐτός[rpgms] ἀποκτείνω[vnaa] ἐγώ[rpa-p]. **v.22** ἐπιστρέφω[viaa3s] δέ[cc] Μωϋσῆς[nnmsp] πρός[pa] κύριος[namsc] καί[cc] λέγω[viaa3s] κύριος[nvmsc] διά[pa] τίς[rqans] κακόω[viaa2s] ὁ[dams] λαός[namsc] οὗτος[rdams] καί[cc] ἵνα[cs] τίς[rqnns] ἀποστέλλω[vixa2s] ἐγώ[rpams]. **v.23** καί[cc] ἀπό[pg] ὅς[rrgns] πορεύομαι[vixm1s] πρός[pa] Φαραώ[namsp] λαλέω[vnaa] ἐπί[pd] ὁ[ddns] σός[asdnsn] ὄνομα[ndnsc] κακόω[viaa3s] ὁ[dams] λαός[namsc] οὗτος[rdams] καί[cc] οὐ[b] ῥύομαι[viam2s] ὁ[dams] λαός[namsc] σύ[rpg-s]. **6. v.1** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] Μωϋσῆς[namsp] ἤδη[b] ὁράω[vifm2s] ὅς[rranp] ποιέω[vifa1s] ὁ[ddms] Φαραώ[ndmsp] ἐν[pd] γάρ[cc] χείρ[ndfsc] κραταιός[andfsn] ἐξαποστέλλω[vifa3s] αὐτός[rpamp] καί[cc] ἐν[pd] βραχίων[ndmsc] ὑψηλός[andmsn] ἐκβάλλω[vifa3s] αὐτός[rpamp] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] αὐτός[rpgms]. **v.2** λαλέω[viaa3s] δέ[cc] ὁ[dnms] θεός[nnmsc] πρός[pa] Μωϋσῆς[namsp] καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] ἐγώ[rpn-s] κύριος[nnmsc]. **v.3** καί[cc] ὁράω[viap1s] πρός[pa] Ἀβραάμ[namsp] καί[cc] Ἰσαάκ[namsp] καί[cc] Ἰακώβ[namsp] θεός[nnmsc] εἰμί[vppanms] αὐτός[rpgmp] καί[cc] ὁ[dans] ὄνομα[nansc] ἐγώ[rpg-s] κύριος[nnmsc] οὐ[b] δηλόω[viaa1s] αὐτός[rpdmp]. **v.4** καί[cc] ἵστημι[viaa1s] ὁ[dafs] διαθήκη[nafsc] ἐγώ[rpg-s] πρός[pa] αὐτός[rpamp] ὥστε[cs] δίδωμι[vnaa] αὐτός[rpdmp] ὁ[dafs] γῆ[nafsc] ὁ[dgmp] Χαναναῖος[ngmpp] ὁ[dafs] γῆ[nafsc] ὅς[rrafs] παροικέω[vixa3p] ἐν[pd] ὅς[rrdfs] καί[cc] παροικέω[viaa3p] ἐπί[pg] αὐτός[rpgfs]. **v.5** καί[cc] ἐγώ[rpn-s] εἰσακούω[viaa1s] ὁ[dams] στεναγμός[namsc] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] ὅς[rrams] ὁ[dnmp] Αἰγύπτιος[annmpn] καταδουλόω[vipm3p] αὐτός[rpamp] καί[cc] μιμνῄσκομαι[viap1s] ὁ[dgfs] διαθήκη[ngfsc] σύ[rpg-p].

μαι ὑμᾶς ἐν βραχίονι ὑψηλῷ καὶ κρίσει μεγάλῃ. καὶ λήμψομαι 7
ἐμαυτῷ ὑμᾶς λαὸν ἐμοὶ καὶ ἔσομαι ὑμῶν θεός καὶ γνώσεσθε ὅτι
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ τῆς καταδυναστείας
τῶν Αἰγυπτίων. καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν εἰς ἣν ἐξέτεινα τὴν 8
χεῖρά μου δοῦναι αὐτὴν τῷ Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ καὶ
δώσω ὑμῖν αὐτὴν ἐν κλήρῳ ἐγὼ κύριος. ἐλάλησεν δὲ Μωυσῆς 9
οὕτως τοῖς υἱοῖς Ισραηλ καὶ οὐκ εἰσήκουσαν Μωυσῇ ἀπὸ τῆς ὀ-
λιγοψυχίας καὶ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν. εἶπεν δὲ κύριος 10
**v.4** τόξον$^{nansc}$ δυνατός$^{angmpn}$ ἀσθενέω$^{viaa3s}$ καί$^{cc}$ ἀσθενέω$^{vppanmp}$ περιζώννυμι$^{viam3p}$ δύναμις$^{nafsc}$. **v.5** πλήρης$^{annmpn}$ ἄρτος$^{ngmpc}$ ἐλαττόω$^{viap3p}$ καί$^{cc}$ ὁ$^{dnmp}$ πεινάω$^{vppanmp}$ παρίημι$^{viaa3p}$ γῆ$^{nafsc}$ ὅτι$^{cs}$ στεῖρα$^{nnfsc}$ τίκτω$^{viaa3s}$ ἑπτά$^{ac—n}$ καί$^{cc}$ ὁ$^{dnfs}$ πολύς$^{annfsn}$ ἐν$^{pd}$ τέκνον$^{ndnpc}$ ἀσθενέω$^{viaa3s}$. **v.6** κύριος$^{nnmsc}$ θανατόω$^{vipa3s}$ καί$^{cc}$ ζῳογονέω$^{vipa3s}$ κατάγω$^{vipa3s}$ εἰς$^{pa}$ ᾅδης$^{ngmsc}$ καί$^{cc}$ ἀνάγω$^{vipa3s}$. **v.7** κύριος$^{nnmsc}$ πτωχίζω$^{vipa3s}$ καί$^{cc}$ πλουτίζω$^{vipa3s}$ ταπεινόω$^{vipa3s}$ καί$^{cc}$ ἀνυψόω$^{vipa3s}$. **v.8** ἀνίστημι$^{vipa3s}$ ἀπό$^{pg}$ γῆ$^{ngfsc}$ πένης$^{namsc}$ καί$^{cc}$ ἀπό$^{pg}$ κοπρία$^{ngfsc}$ ἐγείρω$^{vipa3s}$ πτωχός$^{anamsn}$ καθίζω$^{vnaa}$ μετά$^{pg}$ δυνάστης$^{ngmpc}$ λαός$^{ngmpc}$ καί$^{cc}$ θρόνος$^{namsc}$ δόξα$^{ngfsc}$ κατακληρονομέω$^{vppanms}$ αὐτός$^{rpdmp}$. **v.9** δίδωμι$^{vppanms}$ εὐχή$^{nafsc}$ ὁ$^{ddms}$ εὔχομαι$^{vppmdms}$ καί$^{cc}$ εὐλογέω$^{viaa3s}$ ἔτος$^{nanpc}$ δίκαιος$^{angmsn}$ ὅτι$^{cs}$ οὐ$^{b}$ ἐν$^{pd}$ ἰσχύς$^{ndfsc}$ δυνατός$^{annmsn}$ ἀνήρ$^{nnmsc}$. **v.10** κύριος$^{nnmsc}$ ἀσθενής$^{anamsn}$ ποιέω$^{vifa3s}$ ἀντίδικος$^{namsc}$ αὐτός$^{rpgms}$ κύριος$^{nnmsc}$ ἅγιος$^{annmsn}$ μή$^{x}$ καυχάομαι$^{vdpm3s}$ ὁ$^{dnms}$ φρόνιμος$^{annmsn}$ ἐν$^{pd}$ ὁ$^{ddfs}$ φρόνησις$^{ndfsc}$ αὐτός$^{rpgms}$ καί$^{cc}$ μή$^{x}$ καυχάομαι$^{vdpm3s}$ ὁ$^{dnms}$ δυνατός$^{annmsn}$ ἐν$^{pd}$ ὁ$^{ddfs}$ δύναμις$^{ndfsc}$ αὐτός$^{rpgms}$ καί$^{cc}$ μή$^{x}$ καυχάομαι$^{vdpm3s}$ ὁ$^{dnms}$ πλούσιος$^{annmsn}$ ἐν$^{pd}$ ὁ$^{ddms}$ πλοῦτος$^{ndmsc}$ αὐτός$^{rpgms}$ ἀλλά$^{cc}$ ἤ$^{cc}$ ἐν$^{pd}$ οὗτος$^{rddns}$ καυχάομαι$^{vdpm3s}$ ὁ$^{dnms}$ καυχάομαι$^{vppmnms}$ συνίημι$^{vnpa}$ καί$^{cc}$ γινώσκω$^{vnpa}$ ὁ$^{dams}$ κύριος$^{namsc}$ καί$^{cc}$ ποιέω$^{vnpa}$ κρίμα$^{nansc}$ καί$^{cc}$ δικαιοσύνη$^{nafsc}$ ἐν$^{pd}$ μέσος$^{andnsn}$ ὁ$^{dgfs}$ γῆ$^{ngfsc}$ κύριος$^{nnmsc}$ ἀναβαίνω$^{viaa3s}$ εἰς$^{pa}$ οὐρανός$^{nampc}$ καί$^{cc}$ βροντάω$^{viaa3s}$ αὐτός$^{rpnms}$ κρίνω$^{vifa3s}$ ἄκρος$^{ananpn}$ γῆ$^{ngfsc}$ καί$^{cc}$ δίδωμι$^{vipa3s}$ ἰσχύς$^{nafsc}$ ὁ$^{ddmp}$ βασιλεύς$^{ndmpc}$ ἐγώ$^{rpg-p}$ καί$^{cc}$ ὑψόω$^{vifa3s}$ κέρας$^{nansc}$ χριστός$^{angmsn}$ αὐτός$^{rpgms}$. **v.11** καί$^{cc}$ καταλείπω$^{viaa3p}$ αὐτός$^{rpams}$ ἐκεῖ$^{b}$ ἐνώπιον$^{pg}$ κύριος$^{ngmsc}$ καί$^{cc}$ ἀπέρχομαι$^{viaa3p}$ εἰς$^{pa}$ Αρμαθαιμ$^{na-sp}$ καί$^{cc}$ ὁ$^{dnns}$ παιδάριον$^{nnnsc}$ εἰμί$^{viia3s}$ λειτουργέω$^{vppanms}$ ὁ$^{ddns}$ πρόσωπον$^{ndnsc}$ κύριος$^{ngmsc}$ ἐνώπιον$^{pg}$ Ηλι$^{ngmsp}$ ὁ$^{dgms}$ ἱερεύς$^{ngmsc}$. **v.12** καί$^{cc}$ ὁ$^{dnmp}$ υἱός$^{nnmpc}$ Ηλι$^{ngmsp}$ ὁ$^{dgms}$ ἱερεύς$^{ngmsc}$ υἱός$^{nnmpc}$ λοιμός$^{annmpn}$ οὐ$^{b}$ οἶδα$^{vpxanmp}$ ὁ$^{dams}$ κύριος$^{namsc}$.

τριόδους ἐν τῇ χειρὶ αὐτοῦ. καὶ ἐπάταξεν αὐτὴν εἰς τὸν λέβητα 14
τὸν μέγαν ἢ εἰς τὸ χαλκίον ἢ εἰς τὴν κύθραν πᾶν ὃ ἐὰν ἀνέβη ἐν
τῇ κρεάγρᾳ ἐλάμβανεν ἑαυτῷ ὁ ἱερεύς κατὰ τάδε ἐποίουν παντὶ
Ισραηλ τοῖς ἐρχομένοις θῦσαι κυρίῳ ἐν Σηλωμ. καὶ πρὶν θυ- 15
μιαθῆναι τὸ στέαρ ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως καὶ ἔλεγεν τῷ
ἀνδρὶ τῷ θύοντι δὸς κρέας ὀπτῆσαι τῷ ἱερεῖ καὶ οὐ μὴ λάβω παρὰ
σοῦ ἑφθὸν ἐκ τοῦ λέβητος. καὶ ἔλεγεν ὁ ἀνὴρ ὁ θύων θυμια- 16
θήτω πρῶτον ὡς καθήκει τὸ στέαρ καὶ λαβὲ σεαυτῷ ἐκ πάντων ὧν
ἐπιθυμεῖ ἡ ψυχή σου καὶ εἶπεν οὐχί ὅτι νῦν δώσεις καὶ ἐὰν μή
λήμψομαι κραταιῶς. καὶ ἦν ἡ ἁμαρτία τῶν παιδαρίων ἐνώπιον 17
κυρίου μεγάλη σφόδρα ὅτι ἠθέτουν τὴν θυσίαν κυρίου. καὶ Σα- 18
μουηλ ἦν λειτουργῶν ἐνώπιον κυρίου παιδάριον περιεζωσμένον
εφουδ βαρ. καὶ διπλοΐδα μικρὰν ἐποίησεν αὐτῷ ἡ μήτηρ αὐτοῦ 19
καὶ ἀνέφερεν αὐτῷ ἐξ ἡμερῶν εἰς ἡμέρας ἐν τῷ ἀναβαίνειν αὐτὴν
μετὰ τοῦ ἀνδρὸς αὐτῆς θῦσαι τὴν θυσίαν τῶν ἡμερῶν. καὶ εὐ- 20
λόγησεν Ηλι τὸν Ελκανα καὶ τὴν γυναῖκα αὐτοῦ λέγων ἀποτείσαι
σοι κύριος σπέρμα ἐκ τῆς γυναικὸς ταύτης ἀντὶ τοῦ χρέους οὗ
ἔχρησας τῷ κυρίῳ καὶ ἀπῆλθεν ὁ ἄνθρωπος εἰς τὸν τόπον αὐτοῦ.
καὶ ἐπεσκέψατο κύριος τὴν Ανναν καὶ ἔτεκεν ἔτι τρεῖς υἱοὺς καὶ 21
δύο θυγατέρας καὶ ἐμεγαλύνθη τὸ παιδάριον Σαμουηλ ἐνώπιον

---

**v.13** καί[cc] ὁ[dnns] δικαίωμα[nnnsc] ὁ[dgms] ἱερεύς[ngmsc] παρά[pg] ὁ[dgms] λαός[ngmsc] πᾶς[aigmsn] ὁ[dgms] θύω[vppagms] καί[cc] ἔρχομαι[viim3s] ὁ[dnns] παιδάριον[nnnsc] ὁ[dgms] ἱερεύς[ngmsc] ὡς[cs] ἄν[x] ἕψω[viap3s] ὁ[dnns] κρέας[nnnsc] καί[cc] κρεάγρα[nnfsc] τριόδους[anamsn] ἐν[pd] ὁ[ddfs] χείρ[ndfsc] αὐτός[rpgms]. **v.14** καί[cc] πατάσσω[viaa3s] αὐτός[rpafs] εἰς[pa] ὁ[dams] λέβης[namsc] ὁ[dams] μέγας[anamsn] ἤ[cc] εἰς[pa] ὁ[dans] χαλκίον[nansc] ἤ[cc] εἰς[pa] ὁ[dafs] κύθρα[nafsc] πᾶς[aiansn] ὅς[rrnns] ἐάν[x] ἀναβαίνω[viaa3s] ἐν[pd] ὁ[ddfs] κρεάγρα[ndfsc] λαμβάνω[viia3s] ἑαυτοῦ[rxdms] ὁ[dnms] ἱερεύς[nnmsc] κατά[pa] ὅδε[rdanp] ποιέω[viia3p] πᾶς[aidmsn] Ἰσραήλ[ndmsp] ὁ[ddmp] ἔρχομαι[vppmdmp] θύω[vnaa] κύριος[ndmsc] ἐν[pd] Σηλωμ[ndfsp]. **v.15** καί[cc] πρίν[cs] θυμιάω[vnap] ὁ[dans] στέαρ[nansc] ἔρχομαι[viim3s] ὁ[dnns] παιδάριον[nnnsc] ὁ[dgms] ἱερεύς[ngmsc] καί[cc] λέγω[viia3s] ὁ[ddms] ἀνήρ[ndmsc] ὁ[ddms] θύω[vppadms] δίδωμι[vdaa2s] κρέας[nansc] ὀπτάω[vnaa] ὁ[ddms] ἱερεύς[ndmsc] καί[cc] οὐ[b] μή[x] λαμβάνω[vsaa1s] παρά[pg] σύ[rpg-s] ἑφθός[anamsn] ἐκ[pg] ὁ[dgms] λέβης[ngmsc]. **v.16** καί[cc] λέγω[viia3s] ὁ[dnms] ἀνήρ[nnmsc] ὁ[dnms] θύω[vppanms] θυμιάω[vdap3s] πρῶτος[b] ὡς[cs] καθήκω[vipa3s] ὁ[dans] στέαρ[nansc] καί[cc] λαμβάνω[vdaa2s] σεαυτοῦ[rxdms] ἐκ[pg] πᾶς[aignpn] ὅς[rrgnp] ἐπιθυμέω[vipa3s] ὁ[dnfs] ψυχή[nnfsc] σύ[rpg-s] καί[cc] λέγω[viaa3s] οὐχί[b] ὅτι[cs] νῦν[b] δίδωμι[vifa2s] καί[cc] ἐάν[cs] μή[x] λαμβάνω[vifm1s] κραταιῶς[b]. **v.17** καί[cc] εἰμί[viia3s] ὁ[dnfs] ἁμαρτία[nnfsc] ὁ[dgnp] παιδάριον[ngnpc] ἐνώπιον[pg] κύριος[ngmsc] μέγας[annfsn] σφόδρα[b] ὅτι[cs] ἀθετέω[viia3p] ὁ[dafs] θυσία[nafsc] κύριος[ngmsc]. **v.18** καί[cc] Σαμουήλ[nnmsp] εἰμί[viia3s] λειτουργέω[vppanms] ἐνώπιον[pg] κύριος[ngmsc] παιδάριον[nnnsc] περιζώννυμι[vpxmnns] εφουδ[t] βαρ[t]. **v.19** καί[cc] διπλοΐς[nafsc] μικρός[anafsn] ποιέω[viaa3s] αὐτός[rpdms] ὁ[dnfs] μήτηρ[nnfsc] αὐτός[rpgms] καί[cc] ἀναφέρω[viia3s] αὐτός[rpdms] ἐκ[pg] ἡμέρα[ngfpc] εἰς[pa] ἡμέρα[nafpc] ἐν[pd] ὁ[ddns] ἀναβαίνω[vnpa] αὐτός[rpafs] μετά[pg] ὁ[dgms] ἀνήρ[ngmsc] αὐτός[rpgfs] θύω[vnaa] ὁ[dafs] θυσία[nafsc] ὁ[dgfp] ἡμέρα[ngfpc]. **v.20** καί[cc] εὐλογέω[viaa3s] Ηλι[nnmsp] ὁ[dams] Ελκανα[namsp] καί[cc] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] λέγω[vppanms] ἀποτείνω[voaa3s] σύ[rpd-s] κύριος[nnmsc] σπέρμα[nansc] ἐκ[pg] ὁ[dgfs] γυνή[ngfsc] οὗτος[rdgfs] ἀντί[pg] ὁ[dgns] χρέος[ngnsc] ὅς[rrgns] χράω[viaa2s] ὁ[ddms] κύριος[ndmsc] καί[cc] ἀπέρχομαι[viaa3s] ὁ[dnms] ἄνθρωπος[nnmsc] εἰς[pa] ὁ[dams] τόπος[namsc] αὐτός[rpgms].

22 κυρίου. καὶ Ηλι πρεσβύτης σφόδρα καὶ ἤκουσεν ἃ ἐποίουν οἱ
23 υἱοὶ αὐτοῦ τοῖς υἱοῖς Ισραηλ. καὶ εἶπεν αὐτοῖς ἵνα τί ποιεῖτε
κατὰ τὸ ῥῆμα τοῦτο ὃ ἐγὼ ἀκούω ἐκ στόματος παντὸς τοῦ λα-
24 οῦ κυρίου. μή τέκνα ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοή ἣν ἐγὼ ἀκούω μὴ
ποιεῖτε οὕτως ὅτι οὐκ ἀγαθαὶ αἱ ἀκοαί ἃς ἐγὼ ἀκούω τοῦ μὴ δου-
25 λεύειν λαὸν θεῷ. ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα καὶ
προσεύξονται ὑπὲρ αὐτοῦ πρὸς κύριον καὶ ἐὰν τῷ κυρίῳ ἁμάρτῃ
τίς προσεύξεται ὑπὲρ αὐτοῦ καὶ οὐκ ἤκουον τῆς φωνῆς τοῦ πα-
τρὸς αὐτῶν ὅτι βουλόμενος ἐβούλετο κύριος διαφθεῖραι αὐτούς.
26 καὶ τὸ παιδάριον Σαμουηλ ἐπορεύετο καὶ ἐμεγαλύνετο καὶ ἀγα-
27 θὸν καὶ μετὰ κυρίου καὶ μετὰ ἀνθρώπων. καὶ ἦλθεν ἄνθρωπος
θεοῦ πρὸς Ηλι καὶ εἶπεν τάδε λέγει κύριος ἀποκαλυφθεὶς ἀπε-
καλύφθην πρὸς οἶκον πατρός σου ὄντων αὐτῶν ἐν γῇ Αἰγύπτῳ
28 δούλων τῷ οἴκῳ Φαραω. καὶ ἐξελεξάμην τὸν οἶκον τοῦ πατρός
σου ἐκ πάντων τῶν σκήπτρων Ισραηλ ἐμοὶ ἱερατεύειν καὶ ἀναβαί-
νειν ἐπὶ θυσιαστήριόν μου καὶ θυμιᾶν θυμίαμα καὶ αἴρειν εφουδ
καὶ ἔδωκα τῷ οἴκῳ τοῦ πατρός σου τὰ πάντα τοῦ πυρὸς υἱῶν Ισ-
29 ραηλ εἰς βρῶσιν. καὶ ἵνα τί ἐπέβλεψας ἐπὶ τὸ θυμίαμά μου καὶ
εἰς τὴν θυσίαν μου ἀναιδεῖ ὀφθαλμῷ καὶ ἐδόξασας τοὺς υἱούς
σου ὑπὲρ ἐμὲ ἐνευλογεῖσθαι ἀπαρχῆς πάσης θυσίας Ισραηλ ἔμ-

---

**v.21** καί[cc] ἐπισκέπτομαι[viam3s] κύριος[nnmsc] ὁ[dafs] Αννα[nafsp] καί[cc] τίκτω[viaa3s] ἔτι[b] τρεῖς[acnmpn] υἱός[nampc] καί[cc] δύο[ac—n] θυγάτηρ[nafpc] καί[cc] μεγαλύνω[viap3s] ὁ[dnns] παιδάριον[nnnsc] Σαμουήλ[nnmsp] ἐνώπιον[pg] κύριος[ngmsc]. **v.22** καί[cc] Ηλι[nnmsp] πρεσβύτης[nnmsc] σφόδρα[b] καί[cc] ἀκούω[viaa3s] ὅς[rranp] ποιέω[viia3p] ὁ[dnmp] υἱός[nnmpc] αὐτός[rpgms] ὁ[ddmp] υἱός[ndmpc] Ἰσραήλ[ngmsp]. **v.23** καί[cc] λέγω[viaa3s] αὐτός[rpdmp] ἵνα[cs] τίς[rqnns] ποιέω[vipa2p] κατά[pa] ὁ[dans] ῥῆμα[nansc] οὗτος[rdans] ὅς[rrans] ἐγώ[rpn-s] ἀκούω[vipa1s] ἐκ[pg] στόμα[ngnsc] πᾶς[aigmsn] ὁ[dgms] λαός[ngmsc] κύριος[ngmsc]. **v.24** μή[x] τέκνον[nvnpc] ὅτι[cs] οὐ[b] ἀγαθός[annfsn] ὁ[dnfs] ἀκοή[nnfsc] ὅς[rrafs] ἐγώ[rpn-s] ἀκούω[vipa1s] μή[x] ποιέω[vdpa2p] οὕτως[b] ὅτι[cs] οὐ[b] ἀγαθός[annfpn] ὁ[dnfp] ἀκοή[nnfpc] ὅς[rrafp] ἐγώ[rpn-s] ἀκούω[vipa1s] ὁ[dgns] μή[x] δουλεύω[vnpa] λαός[namsc] θεός[ndmsc]. **v.25** ἐάν[cs] ἁμαρτάνω[vppanms] ἁμαρτάνω[vsaa3s] ἀνήρ[nnmsc] εἰς[pa] ἀνήρ[namsc] καί[cc] προσεύχομαι[vifm3p] ὑπέρ[pg] αὐτός[rpgms] πρός[pa] κύριος[namsc] καί[cc] ἐάν[cs] ὁ[ddms] κύριος[ndmsc] ἁμαρτάνω[vsaa3s] τίς[rqnms] προσεύχομαι[vifm3s] ὑπέρ[pg] αὐτός[rpgms] καί[cc] οὐ[b] ἀκούω[viia3p] ὁ[dgfs] φωνή[ngfsc] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgmp] ὅτι[cs] βούλομαι[vppmnms] βούλομαι[viim3s] κύριος[nnmsc] διαφθείρω[vnaa] αὐτός[rpamp]. **v.26** καί[cc] ὁ[dnns] παιδάριον[nnnsc] Σαμουήλ[nnmsp] πορεύομαι[viim3s] καί[cc] μεγαλύνω[viip3s] καί[b] ἀγαθός[annnsn] καί[cc] μετά[pg] κύριος[ngmsc] καί[cc] μετά[pg] ἄνθρωπος[ngmpc]. **v.27** καί[cc] ἔρχομαι[viaa3s] ἄνθρωπος[nnmsc] θεός[ngmsc] πρός[pa] Ηλι[namsp] καί[cc] λέγω[viaa3s] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ἀποκαλύπτω[vpapnms] ἀποκαλύπτω[viam1s] πρός[pa] οἶκος[namsc] πατήρ[ngmsc] σύ[rpg-s] εἰμί[vppagmp] αὐτός[rpgmp] ἐν[pd] γῆ[ndfsc] Αἴγυπτος[ndfsp] δοῦλος[ngmpc] ὁ[ddms] οἶκος[ndmsc] Φαραώ[ngmsp]. **v.28** καί[cc] ἐκλέγω[viam1s] ὁ[dams] οἶκος[namsc] ὁ[dgms] πατήρ[ngmsc] σύ[rpg-s] ἐκ[pg] πᾶς[aignpn] ὁ[dgnp] σκῆπτρον[ngnpc] Ἰσραήλ[ngmsp] ἐγώ[rpd-s] ἱερατεύω[vnpa] καί[cc] ἀναβαίνω[vnpa] ἐπί[pa] θυσιαστήριον[nansc] ἐγώ[rpg-s] καί[cc] θυμιάω[vnpa] θυμίαμα[nansc] καί[cc] αἴρω[vnpa] εφουδ[t] καί[cc] δίδωμι[viaa1s] ὁ[ddms] οἶκος[ndmsc] ὁ[dgms] πατήρ[ngmsc] σύ[rpg-s] ὁ[danp] πᾶς[aianpn] ὁ[dgns] πῦρ[ngnsc] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] εἰς[pa] βρῶσις[nafsc].

προσθέν μου. διὰ τοῦτο τάδε εἶπεν κύριος ὁ θεὸς Ισραηλ εἶπα 30
ὁ οἶκός σου καὶ ὁ οἶκος τοῦ πατρός σου διελεύσεται ἐνώπιόν μου
ἕως αἰῶνος καὶ νῦν φησιν κύριος μηδαμῶς ἐμοί ὅτι ἀλλ᾽ ἢ τοὺς
δοξάζοντάς με δοξάσω καὶ ὁ ἐξουθενῶν με ἀτιμωθήσεται. ἰδοὺ 31
ἡμέραι ἔρχονται καὶ ἐξολεθρεύσω τὸ σπέρμα σου καὶ τὸ σπέρμα
οἴκου πατρός σου. καὶ οὐκ ἔσται σου πρεσβύτης ἐν οἴκῳ μου 32
πάσας τὰς ἡμέρας. καὶ ἄνδρα οὐκ ἐξολεθρεύσω σοι ἀπὸ τοῦ θυ- 33
σιαστηρίου μου ἐκλιπεῖν τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ καταρρεῖν
τὴν ψυχὴν αὐτοῦ καὶ πᾶς περισσεύων οἴκου σου πεσοῦνται ἐν
ῥομφαίᾳ ἀνδρῶν. καὶ τοῦτό σοι τὸ σημεῖον ὃ ἥξει ἐπὶ τοὺς δύο 34
υἱούς σου τούτους Οφνι καὶ Φινεες ἐν ἡμέρᾳ μιᾷ ἀποθανοῦνται
ἀμφότεροι. καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστόν ὃς πάντα τὰ ἐν 35
τῇ καρδίᾳ μου καὶ τὰ ἐν τῇ ψυχῇ μου ποιήσει καὶ οἰκοδομήσω
αὐτῷ οἶκον πιστόν καὶ διελεύσεται ἐνώπιον χριστοῦ μου πάσας
τὰς ἡμέρας. καὶ ἔσται ὁ περισσεύων ἐν οἴκῳ σου ἥξει προσκυ- 36
νεῖν αὐτῷ ὀβολοῦ ἀργυρίου λέγων παράρριψόν με ἐπὶ μίαν τῶν
ἱερατειῶν σου φαγεῖν ἄρτον.

καὶ τὸ παιδάριον Σαμουηλ ἦν λειτουργῶν τῷ κυρίῳ ἐνώπιον **3**
Ηλι τοῦ ἱερέως καὶ ῥῆμα κυρίου ἦν τίμιον ἐν ταῖς ἡμέραις ἐ-
κείναις οὐκ ἦν ὅρασις διαστέλλουσα. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ 2

---

**v.29** καί[cc] ἵνα[cs] τίς[rqnns] ἐπιβλέπω[viaa2s] ἐπί[pa] ὁ[dans] θυμίαμα[nansc] ἐγώ[rpg-s] καί[cc] εἰς[pa] ὁ[dafs] θυσία[nafsc] ἐγώ[rpg-s] ἀναιδής[andmsn] ὀφθαλμός[ndmsc] καί[cc] δοξάζω[viaa2s] ὁ[damp] υἱός[nampc] σύ[rpg-s] ὑπέρ[pa] ἐγώ[rpa-s] ἐνευλογέω[vnpm] ἀπαρχή[ngfsc] πᾶς[aigfsn] θυσία[ngfsc] Ἰσραήλ[ngmsp] ἔμπροσθεν[pg] ἐγώ[rpg-s]. **v.30** διά[pa] οὗτος[rdans] ὅδε[rdanp] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] Ἰσραήλ[ngmsp] λέγω[viaa1s] ὁ[dnms] οἶκος[nnmsc] σύ[rpg-s] καί[cc] ὁ[dnms] οἶκος[nnmsc] ὁ[dgms] πατήρ[ngmsc] σύ[rpg-s] διέρχομαι[vifm3s] ἐνώπιον[pg] ἐγώ[rpg-s] ἕως[pg] αἰών[ngmsc] καί[cc] νῦν[b] φημί[vipa3s] κύριος[nnmsc] μηδαμῶς[b] ἐγώ[rpd-s] ὅτι[cs] ἀλλά[cc] ἤ[cc] ὁ[damp] δοξάζω[vppaamp] ἐγώ[rpa-s] δοξάζω[vifa1s] καί[cc] ὁ[dnms] ἐξουθενόω[vppanms] ἐγώ[rpa-s] ἀτιμόω[vifp3s]. **v.31** ἰδού[i] ἡμέρα[nnfpc] ἔρχομαι[vipm3p] καί[cc] ἐξολεθρεύω[vifa1s] ὁ[dans] σπέρμα[nansc] σύ[rpg-s] καί[cc] ὁ[dans] σπέρμα[nansc] οἶκος[ngmsc] πατήρ[ngmsc] σύ[rpg-s]. **v.32** καί[cc] οὐ[b] εἰμί[vifm3s] σύ[rpg-s] πρεσβύτης[nnmsc] ἐν[pd] οἶκος[ndmsc] ἐγώ[rpg-s] πᾶς[aiafpn] ὁ[dafp] ἡμέρα[nafpc]. **v.33** καί[cc] ἀνήρ[namsc] οὐ[b] ἐξολεθρεύω[vifa1s] σύ[rpd-s] ἀπό[pg] ὁ[dgns] θυσιαστήριον[ngnsc] ἐγώ[rpg-s] ἐκλείπω[vnaa] ὁ[damp] ὀφθαλμός[nampc] αὐτός[rpgms] καί[cc] καταρρέω[vnpa] ὁ[dafs] ψυχή[nafsc] αὐτός[rpgms] καί[cc] πᾶς[ainmsn] περισσεύω[vppanms] οἶκος[ngmsc] σύ[rpg-s] πίπτω[vifm3p] ἐν[pd] ῥομφαία[ndfsc] ἀνήρ[ngmpc]. **v.34** καί[cc] οὗτος[rdnns] σύ[rpd-s] ὁ[dnns] σημεῖον[nnnsc] ὅς[rrnns] ἥκω[vifa3s] ἐπί[pa] ὁ[damp] δύο[ac—n] υἱός[nampc] σύ[rpg-s] οὗτος[rdamp] Οφνι[namsp] καί[cc] Φινεες[namsp] ἐν[pd] ἡμέρα[ndfsc] εἷς[acdfsn] ἀποθνῄσκω[vifm3p] ἀμφότεροι[adnmpn]. **v.35** καί[cc] ἀνίστημι[vifa1s] ἐμαυτοῦ[rxdms] ἱερεύς[namsc] πιστός[anamsn] ὅς[rrnms] πᾶς[aianpn] ὁ[danp] ἐν[pd] ὁ[ddfs] καρδία[ndfsc] ἐγώ[rpg-s] καί[cc] ὁ[danp] ἐν[pd] ὁ[ddfs] ψυχή[ndfsc] ἐγώ[rpg-s] ποιέω[vifa3s] καί[cc] οἰκοδομέω[vifa1s] αὐτός[rpdms] οἶκος[namsc] πιστός[anamsn] καί[cc] διέρχομαι[vifm3s] ἐνώπιον[pg] χριστός[angmsn] ἐγώ[rpg-s] πᾶς[aiafpn] ὁ[dafp] ἡμέρα[nafpc]. **v.36** καί[cc] εἰμί[vifm3s] ὁ[dnms] περισσεύω[vppanms] ἐν[pd] οἶκος[ndmsc] σύ[rpg-s] ἥκω[vifa3s] προσκυνέω[vnpa] αὐτός[rpdms] ὀβολός[ngmsc] ἀργύριον[ngnsc] λέγω[vppanms] παραρρίπτω[vdaa2s] ἐγώ[rpa-s] ἐπί[pa] εἷς[acafsn] ὁ[dgfp] ἱερατεία[ngfpc] σύ[rpg-s] ἐσθίω[vnaa] ἄρτος[namsc]. **3. v.1** καί[cc] ὁ[dnns] παιδάριον[nnnsc] Σαμουήλ[nnmsp] εἰμί[viia3s] λειτουργέω[vppanms] ὁ[ddms] κύριος[ndmsc] ἐνώπιον[pg] Ηλι[ngmsp] ὁ[dgms] ἱερεύς[ngmsc] καί[cc] ῥῆμα[nnnsc] κύριος[ngmsc] εἰμί[viia3s] τίμιος[anamsn] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ἐκεῖνος[rddfp] οὐ[b] εἰμί[viia3s] ὅρασις[nnfsc] διαστέλλω[vppanfs].

ἐκείνῃ καὶ Ηλι ἐκάθευδεν ἐν τῷ τόπῳ αὐτοῦ καὶ οἱ ὀφθαλμοὶ αὐ-
3 τοῦ ἤρξαντο βαρύνεσθαι καὶ οὐκ ἠδύνατο βλέπειν. καὶ ὁ λύχνος
τοῦ θεοῦ πρὶν ἐπισκευασθῆναι καὶ Σαμουηλ ἐκάθευδεν ἐν τῷ ναῷ
4 οὗ ἡ κιβωτὸς τοῦ θεοῦ. καὶ ἐκάλεσεν κύριος Σαμουηλ Σαμουηλ
5 καὶ εἶπεν ἰδοὺ ἐγώ. καὶ ἔδραμεν πρὸς Ηλι καὶ εἶπεν ἰδοὺ ἐγώ
ὅτι κέκληκάς με καὶ εἶπεν οὐ κέκληκά σε ἀνάστρεφε κάθευδε καὶ
6 ἀνέστρεψεν καὶ ἐκάθευδεν. καὶ προσέθετο κύριος καὶ ἐκάλεσεν
Σαμουηλ Σαμουηλ καὶ ἐπορεύθη πρὸς Ηλι τὸ δεύτερον καὶ εἶπεν
ἰδοὺ ἐγώ ὅτι κέκληκάς με καὶ εἶπεν οὐ κέκληκά σε ἀνάστρεφε
7 κάθευδε. καὶ Σαμουηλ πρὶν ἢ γνῶναι θεὸν καὶ ἀποκαλυφθῆναι
8 αὐτῷ ῥῆμα κυρίου. καὶ προσέθετο κύριος καλέσαι Σαμουηλ ἐν
τρίτῳ καὶ ἀνέστη καὶ ἐπορεύθη πρὸς Ηλι καὶ εἶπεν ἰδοὺ ἐγώ ὅτι
κέκληκάς με καὶ ἐσοφίσατο Ηλι ὅτι κύριος κέκληκεν τὸ παιδά-
9 ριον. καὶ εἶπεν ἀνάστρεφε κάθευδε τέκνον καὶ ἔσται ἐὰν καλέσῃ
σε καὶ ἐρεῖς λάλει κύριε ὅτι ἀκούει ὁ δοῦλός σου καὶ ἐπορεύθη
10 Σαμουηλ καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ αὐτοῦ. καὶ ἦλθεν κύριος καὶ
κατέστη καὶ ἐκάλεσεν αὐτὸν ὡς ἅπαξ καὶ ἅπαξ καὶ εἶπεν Σαμουηλ
11 λάλει ὅτι ἀκούει ὁ δοῦλός σου. καὶ εἶπεν κύριος πρὸς Σαμουηλ
ἰδοὺ ἐγὼ ποιῶ τὰ ῥήματά μου ἐν Ισραηλ ὥστε παντὸς ἀκούοντος
12 αὐτὰ ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπεγε-
ρῶ ἐπὶ Ηλι πάντα ὅσα ἐλάλησα εἰς τὸν οἶκον αὐτοῦ ἄρξομαι καὶ

---

**v.2** καί[cc] γίνομαι[viam3s] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] καί[cc] Ηλι[nnmsp] καθεύδω[viaa3s] ἐν[pd] ὁ[ddms] τόπος[ndmsc] αὐτός[rpgms] καί[cc] ὁ[dnmp] ὀφθαλμός[nnmpc] αὐτός[rpgms] ἄρχω[viam3p] βαρύνω[vnpm] καί[cc] οὐ[b] δύναμαι[viim3s] βλέπω[vnpa]. **v.3** καί[cc] ὁ[dnms] λύχνος[nnmsc] ὁ[dgms] θεός[ngmsc] πρίν[cs] ἐπισκευάζω[vnap] καί[cc] Σαμουήλ[nnmsp] καθεύδω[viaa3s] ἐν[pd] ὁ[ddms] ναός[ndmsc] ὅς[b] ὁ[dnfs] κιβωτός[nnfsc] ὁ[dgms] θεός[ngmsc]. **v.4** καί[cc] καλέω[viaa3s] κύριος[nnmsc] Σαμουήλ[nvmsp] Σαμουήλ[nvmsp] καί[cc] λέγω[viaa3s] ἰδού[i] ἐγώ[rpn-s]. **v.5** καί[cc] τρέχω[viaa3s] πρός[pa] Ηλι[namsp] καί[cc] λέγω[viaa3s] ἰδού[i] ἐγώ[rpn-s] ὅτι[cs] καλέω[vixa2s] ἐγώ[rpa-s] καί[cc] λέγω[viaa3s] οὐ[b] καλέω[vixa1s] σύ[rpa-s] ἀναστρέφω[vdpa2s] καθεύδω[vdpa2s] καί[cc] ἀναστρέφω[viaa3s] καί[cc] καθεύδω[viaa3s]. **v.6** καί[cc] προστίθημι[viam3s] κύριος[nnmsc] καί[cc] καλέω[viaa3s] Σαμουήλ[nvmsp] Σαμουήλ[nvmsp] καί[cc] πορεύομαι[viap3s] πρός[pa] Ηλι[namsp] ὁ[dans] δεύτερος[b] καί[cc] λέγω[viaa3s] ἰδού[i] ἐγώ[rpn-s] ὅτι[cs] καλέω[vixa2s] ἐγώ[rpa-s] καί[cc] λέγω[viaa3s] οὐ[b] καλέω[vixa1s] σύ[rpa-s] ἀναστρέφω[vdpa2s] καθεύδω[vdpa2s]. **v.7** καί[cc] Σαμουήλ[nnmsp] πρίν[cs] ἤ[cc] γινώσκω[vnaa] θεός[namsc] καί[cc] ἀποκαλύπτω[vnap] αὐτός[rpdms] ῥῆμα[nansc] κύριος[ngmsc]. **v.8** καί[cc] προστίθημι[viam3s] κύριος[nnmsc] καλέω[vnaa] Σαμουήλ[namsp] ἐν[pd] τρίτος[aodmsn] καί[cc] ἀνίστημι[viaa3s] καί[cc] πορεύομαι[viap3s] πρός[pa] Ηλι[namsp] καί[cc] λέγω[viaa3s] ἰδού[i] ἐγώ[rpn-s] ὅτι[cs] καλέω[vixa2s] ἐγώ[rpa-s] καί[cc] σοφίζω[viam3s] Ηλι[nnmsp] ὅτι[cs] κύριος[nnmsc] καλέω[vixa3s] ὁ[dans] παιδάριον[nansc]. **v.9** καί[cc] λέγω[viaa3s] ἀναστρέφω[vdpa2s] καθεύδω[vdpa2s] τέκνον[nnnsc] καί[cc] εἰμί[vifm3s] ἐάν[cs] καλέω[vsaa3s] σύ[rpa-s] καί[cc] λέγω[vifa2s] λαλέω[vdpa2s] κύριος[nvmsc] ὅτι[cs] ἀκούω[vipa3s] ὁ[dnms] δοῦλος[nnmsc] σύ[rpg-s] καί[cc] πορεύομαι[viap3s] Σαμουήλ[nnmsp] καί[cc] κοιμάομαι[viap3s] ἐν[pd] ὁ[ddms] τόπος[ndmsc] αὐτός[rpgms]. **v.10** καί[cc] ἔρχομαι[viaa3s] κύριος[nnmsc] καί[cc] καθίστημι[viaa3s] καί[cc] καλέω[viaa3s] αὐτός[rpams] ὡς[cs] ἅπαξ[b] καί[cc] ἅπαξ[b] καί[cc] λέγω[viaa3s] Σαμουήλ[nnmsp] λαλέω[vdpa2s] ὅτι[cs] ἀκούω[vipa3s] ὁ[dnms] δοῦλος[nnmsc] σύ[rpg-s]. **v.11** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] Σαμουήλ[namsp] ἰδού[i] ἐγώ[rpn-s] ποιέω[vipa1s] ὁ[danp] ῥῆμα[nanpc] ἐγώ[rpg-s] ἐν[pd] Ἰσραήλ[ndmsp] ὥστε[cs] πᾶς[aigmsn] ἀκούω[vppagms] αὐτός[rpanp] ἠχέω[vifa3s] ἀμφότεροι[adnnpn] ὁ[dnnp] οὖς[nnnpc] αὐτός[rpgms].

ἐπιτελέσω. καὶ ἀνήγγελκα αὐτῷ ὅτι ἐκδικῶ ἐγὼ τὸν οἶκον αὐτοῦ 13
ἕως αἰῶνος ἐν ἀδικίαις υἱῶν αὐτοῦ ὅτι κακολογοῦντες θεὸν υἱοὶ
αὐτοῦ καὶ οὐκ ἐνουθέτει αὐτοὺς καὶ οὐδ᾽ οὕτως. ὤμοσα τῷ οἴκῳ 14
Ηλι εἰ ἐξιλασθήσεται ἀδικία οἴκου Ηλι ἐν θυμιάματι καὶ ἐν θυσί-
αις ἕως αἰῶνος. καὶ κοιμᾶται Σαμουηλ ἕως πρωὶ καὶ ὤρθρισεν τὸ 15
πρωὶ καὶ ἤνοιξεν τὰς θύρας οἴκου κυρίου καὶ Σαμουηλ ἐφοβήθη
ἀπαγγεῖλαι τὴν ὅρασιν τῷ Ηλι. καὶ εἶπεν Ηλι πρὸς Σαμουηλ 16
Σαμουηλ τέκνον καὶ εἶπεν ἰδοὺ ἐγώ. καὶ εἶπεν τί τὸ ῥῆμα τὸ 17
λαληθὲν πρὸς σέ μὴ δὴ κρύψῃς ἀπ᾽ ἐμοῦ τάδε ποιήσαι σοι ὁ θε-
ὸς καὶ τάδε προσθείη ἐὰν κρύψῃς ἀπ᾽ ἐμοῦ ῥῆμα ἐκ πάντων τῶν
λόγων τῶν λαληθέντων σοι ἐν τοῖς ὠσίν σου. καὶ ἀπήγγειλεν Σα- 18
μουηλ πάντας τοὺς λόγους καὶ οὐκ ἔκρυψεν ἀπ᾽ αὐτοῦ καὶ εἶπεν
Ηλι κύριος αὐτός τὸ ἀγαθὸν ἐνώπιον αὐτοῦ ποιήσει. καὶ ἐμε- 19
γαλύνθη Σαμουηλ καὶ ἦν κύριος μετ᾽ αὐτοῦ καὶ οὐκ ἔπεσεν ἀπὸ
πάντων τῶν λόγων αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ ἔγνωσαν πᾶς Ισραηλ 20
ἀπὸ Δαν καὶ ἕως Βηρσαβεε ὅτι πιστὸς Σαμουηλ εἰς προφήτην τῷ
κυρίῳ. καὶ προσέθετο κύριος δηλωθῆναι ἐν Σηλωμ ὅτι ἀπεκα- 21
λύφθη κύριος πρὸς Σαμουηλ καὶ ἐπιστεύθη Σαμουηλ προφήτης
γενέσθαι τῷ κυρίῳ εἰς πάντα Ισραηλ ἀπ᾽ ἄκρων τῆς γῆς καὶ ἕως
ἄκρων καὶ Ηλι πρεσβύτης σφόδρα καὶ οἱ υἱοὶ αὐτοῦ πορευόμενοι

---

**v.12** ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] ἐπεγείρω[vifa1s] ἐπί[pa] Ηλι[namsp] πᾶς[aianpn] ὅσος[aranpn] λαλέω[viaa1s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms] ἄρχω[vifm1s] καί[cc] ἐπιτελέω[vifa1s]. **v.13** καί[cc] ἀναγγέλλω[vixa1s] αὐτός[rpdms] ὅτι[cs] ἐκδικέω[vipa1s] ἐγώ[rpn-s] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms] ἕως[pg] αἰών[ngmsc] ἐν[pd] ἀδικία[ndfpc] υἱός[ngmpc] αὐτός[rpgms] ὅτι[cs] κακολογέω[vppanmp] θεός[namsc] υἱός[nnmpc] αὐτός[rpgms] καί[cc] οὐ[b] νουθετέω[viia3s] αὐτός[rpamp] καί[cc] οὐδέ[b] οὕτως[b]. **v.14** ὄμνυμι[viaa1s] ὁ[ddms] οἶκος[ndmsc] Ηλι[ngmsp] εἰ[cs] ἐξιλάσκομαι[vifp3s] ἀδικία[nnfsc] οἶκος[ngmsc] Ηλι[ngmsp] ἐν[pd] θυμίαμα[ndnsc] καί[cc] ἐν[pd] θυσία[ndfpc] ἕως[pg] αἰών[ngmsc]. **v.15** καί[cc] κοιμάομαι[vipm3s] Σαμουήλ[nnmsp] ἕως[pp] πρωΐ[b] καί[cc] ὀρθρίζω[viaa3s] ὁ[dans] πρωΐ[b] καί[cc] ἀνοίγω[viaa3s] ὁ[dafp] θύρα[nafpc] οἶκος[ngmsc] κύριος[ngmsc] καί[cc] Σαμουήλ[nnmsp] φοβέω[viap3s] ἀπαγγέλλω[vnaa] ὁ[dafs] ὅρασις[nafsc] ὁ[ddms] Ηλι[ndmsp]. **v.16** καί[cc] λέγω[viaa3s] Ηλι[nnmsp] πρός[pa] Σαμουήλ[namsp] Σαμουήλ[nvmsp] τέκνον[nvnsc] καί[cc] λέγω[viaa3s] ἰδού[i] ἐγώ[rpn-s]. **v.17** καί[cc] λέγω[viaa3s] τίς[aqnnsn] ὁ[dnns] ῥῆμα[nnnsc] ὁ[dnns] λαλέω[vpapnns] πρός[pa] σύ[rpams] μή[x] δή[x] κρύπτω[vsaa2s] ἀπό[pg] ἐγώ[rpgms] ὅδε[rdanp] ποιέω[voaa3s] σύ[rpdms] ὁ[dnms] θεός[nnmsc] καί[cc] ὅδε[rdanp] προστίθημι[voaa3s] ἐάν[cs] κρύπτω[vsaa2s] ἀπό[pg] ἐγώ[rpgms] ῥῆμα[nansc] ἐκ[pg] πᾶς[aigmpn] ὁ[dgmp] λόγος[ngmpc] ὁ[dgmp] λαλέω[vpapgmp] σύ[rpdms] ἐν[pd] ὁ[ddnp] οὖς[ndnpc] σύ[rpgms]. **v.18** καί[cc] ἀπαγγέλλω[viaa3s] Σαμουήλ[nnmsp] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] καί[cc] οὐ[b] κρύπτω[viaa3s] ἀπό[pg] αὐτός[rpgms] καί[cc] λέγω[viaa3s] Ηλι[nnmsp] κύριος[nnmsc] αὐτός[rpnms] ὁ[dans] ἀγαθός[anansn] ἐνώπιον[pg] αὐτός[rpgms] ποιέω[vifa3s]. **v.19** καί[cc] μεγαλύνω[viap3s] Σαμουήλ[nnmsp] καί[cc] εἰμί[viia3s] κύριος[nnmsc] μετά[pg] αὐτός[rpgms] καί[cc] οὐ[b] πίπτω[viaa3s] ἀπό[pg] πᾶς[aigmpn] ὁ[dgmp] λόγος[ngmpc] αὐτός[rpgms] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc]. **v.20** καί[cc] γινώσκω[viaa3p] πᾶς[ainmsn] Ἰσραήλ[ngmsp] ἀπό[pg] Δάν[ngfsp] καί[cc] ἕως[pg] Βηρσαβεε[ngfsp] ὅτι[cs] πιστός[annmsn] Σαμουήλ[nnmsp] εἰς[pa] προφήτης[namsc] ὁ[ddms] κύριος[ndmsc].

ἐπορεύοντο καὶ πονηρὰ ἡ ὁδὸς αὐτῶν ἐνώπιον κυρίου.
4 καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συναθροίζονται ἀλ-
λόφυλοι εἰς πόλεμον ἐπὶ Ισραηλ καὶ ἐξῆλθεν Ισραηλ εἰς ἀπάν-
τησιν αὐτοῖς εἰς πόλεμον καὶ παρεμβάλλουσιν ἐπὶ Αβενεζερ καὶ
2 οἱ ἀλλόφυλοι παρεμβάλλουσιν ἐν Αφεκ. καὶ παρατάσσονται οἱ
ἀλλόφυλοι εἰς πόλεμον ἐπὶ Ισραηλ καὶ ἔκλινεν ὁ πόλεμος καὶ
ἔπταισεν ἀνὴρ Ισραηλ ἐνώπιον ἀλλοφύλων καὶ ἐπλήγησαν ἐν τῇ
3 παρατάξει ἐν ἀγρῷ τέσσαρες χιλιάδες ἀνδρῶν. καὶ ἦλθεν ὁ λα-
ὸς εἰς τὴν παρεμβολήν καὶ εἶπαν οἱ πρεσβύτεροι Ισραηλ κατὰ τί
ἔπταισεν ἡμᾶς κύριος σήμερον ἐνώπιον ἀλλοφύλων λάβωμεν τὴν
κιβωτὸν τοῦ θεοῦ ἡμῶν ἐκ Σηλωμ καὶ ἐξελθέτω ἐν μέσῳ ἡμῶν καὶ
4 σώσει ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν. καὶ ἀπέστειλεν ὁ λαὸς εἰς
Σηλωμ καὶ αἴρουσιν ἐκεῖθεν τὴν κιβωτὸν κυρίου καθημένου χε-
ρουβιμ καὶ ἀμφότεροι οἱ υἱοὶ Ηλι μετὰ τῆς κιβωτοῦ Οφνι καὶ Φι-
5 νεες. καὶ ἐγενήθη ὡς ἦλθεν κιβωτὸς κυρίου εἰς τὴν παρεμβολήν
6 καὶ ἀνέκραξεν πᾶς Ισραηλ φωνῇ μεγάλῃ καὶ ἤχησεν ἡ γῆ. καὶ
ἤκουσαν οἱ ἀλλόφυλοι τῆς κραυγῆς καὶ εἶπον οἱ ἀλλόφυλοι τίς ἡ
κραυγὴ ἡ μεγάλη αὕτη ἐν παρεμβολῇ τῶν Εβραίων καὶ ἔγνωσαν
7 ὅτι κιβωτὸς κυρίου ἥκει εἰς τὴν παρεμβολήν. καὶ ἐφοβήθησαν

---

**v.21** καί[cc] προστίθημι[viam3s] κύριος[nnmsc] δηλόω[vnap] ἐν[pd] Σηλωμ[ndfsp] ὅτι[cs] ἀποκαλύπτω[viap3s] κύριος[nnmsc] πρός[pa] Σαμουήλ[namsp] καί[cc] πιστεύω[viap3s] Σαμουήλ[nnmsp] προφήτης[nnmsc] γίνομαι[vnam] ὁ[ddms] κύριος[ndmsc] εἰς[pa] πᾶς[aiamsn] Ἰσραήλ[namsp] ἀπό[pg] ἄκρος[angnpn] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἕως[pg] ἄκρος[angnpn] καί[cc] Ηλι[nnmsp] πρεσβύτης[nnmsc] σφόδρα[b] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] αὐτός[rpgms] πορεύομαι[vppmnmp] πορεύομαι[viim3p] καί[cc] πονηρός[annfsn] ὁ[dnfs] ὁδός[nnfsc] αὐτός[rpgmp] ἐνώπιον[pg] κύριος[ngmsc]. **4. v.1** καί[cc] γίνομαι[viap3s] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ἐκεῖνος[rddfp] καί[cc] συναθροίζω[vipm3p] ἀλλόφυλος[annmpn] εἰς[pa] πόλεμος[namsc] ἐπί[pa] Ἰσραήλ[namsp] καί[cc] ἐξέρχομαι[viaa3s] Ἰσραήλ[nnmsp] εἰς[pa] ἀπάντησις[nafsc] αὐτός[rpdmp] εἰς[pa] πόλεμος[namsc] καί[cc] παρεμβάλλω[vipa3p] ἐπί[pa] Αβενεζερ[namsp] καί[cc] ὁ[dnmp] ἀλλόφυλος[annmpn] παρεμβάλλω[vipa3p] ἐν[pd] Αφεκ[nd-sp]. **v.2** καί[cc] παρατάσσω[vipm3p] ὁ[dnmp] ἀλλόφυλος[annmpn] εἰς[pa] πόλεμος[namsc] ἐπί[pa] Ἰσραήλ[namsp] καί[cc] κλίνω[viaa3s] ὁ[dnms] πόλεμος[nnmsc] καί[cc] πταίω[viaa3s] ἀνήρ[nnmsc] Ἰσραήλ[ngmsp] ἐνώπιον[pg] ἀλλόφυλος[angmpn] καί[cc] πλήσσω[viap3p] ἐν[pd] ὁ[ddfs] παράταξις[ndfsc] ἐν[pd] ἀγρός[ndmsc] τέσσαρες[acnfpn] χιλιάς[nnfpc] ἀνήρ[ngmpc]. **v.3** καί[cc] ἔρχομαι[viaa3s] ὁ[dnms] λαός[nnmsc] εἰς[pa] ὁ[dafs] παρεμβολή[nafsc] καί[cc] λέγω[viaa3p] ὁ[dnmp] πρεσβύτερος[annmpc] Ἰσραήλ[ngmsp] κατά[pa] τίς[rqans] πταίω[viaa3s] ἐγώ[rpa-p] κύριος[nnmsc] σήμερον[b] ἐνώπιον[pg] ἀλλόφυλος[angmpn] λαμβάνω[vsaa1p] ὁ[dafs] κιβωτός[nafsc] ὁ[dgms] θεός[ngmsc] ἐγώ[rpg-p] ἐκ[pg] Σηλωμ[ngfsp] καί[cc] ἐξέρχομαι[vdaa3s] ἐν[pd] μέσος[andnsn] ἐγώ[rpg-p] καί[cc] σῴζω[vifa3s] ἐγώ[rpa-p] ἐκ[pg] χείρ[ngfsc] ἐχθρός[angmpn] ἐγώ[rpg-p]. **v.4** καί[cc] ἀποστέλλω[viaa3s] ὁ[dnms] λαός[nnmsc] εἰς[pa] Σηλωμ[nafsp] καί[cc] αἴρω[vipa3p] ἐκεῖθεν[b] ὁ[dafs] κιβωτός[nafsc] κύριος[ngmsc] κάθημαι[vppmgms] χερούβ[nanpc] καί[cc] ἀμφότεροι[adnmpn] ὁ[dnmp] υἱός[nnmpc] Ηλι[ngmsp] μετά[pg] ὁ[dgfs] κιβωτός[ngfsc] Οφνι[nnmsp] καί[cc] Φινεες[nnmsp]. **v.5** καί[cc] γίνομαι[viap3s] ὡς[cs] ἔρχομαι[viaa3s] κιβωτός[nnfsc] κύριος[ngmsc] εἰς[pa] ὁ[dafs] παρεμβολή[nafsc] καί[cc] ἀνακράζω[viaa3s] πᾶς[ainmsn] Ἰσραήλ[nnmsp] φωνή[ndfsc] μέγας[andfsn] καί[cc] ἠχέω[viaa3s] ὁ[dnfs] γῆ[nnfsc]. **v.6** καί[cc] ἀκούω[viaa3p] ὁ[dnmp] ἀλλόφυλος[annmpn] ὁ[dgfs] κραυγή[ngfsc] καί[cc] λέγω[viaa3p] ὁ[dnmp] ἀλλόφυλος[annmpn] τίς[rqnfs] ὁ[dnfs] κραυγή[nnfsc] ὁ[dnfs] μέγας[annfsn] οὗτος[rdnfs] ἐν[pd] παρεμβολή[ndfsc] ὁ[dgmp] Ἑβραῖος[angmpn] καί[cc] γινώσκω[viaa3p] ὅτι[cs] κιβωτός[nnfsc] κύριος[ngmsc] ἥκω[vipa3s] εἰς[pa] ὁ[dafs] παρεμβολή[nafsc].

οἱ ἀλλόφυλοι καὶ εἶπον οὗτοι οἱ θεοὶ ἥκασιν πρὸς αὐτοὺς εἰς τὴν
παρεμβολήν οὐαὶ ἡμῖν ἐξελοῦ ἡμᾶς κύριε σήμερον ὅτι οὐ γέγο-
νεν τοιαύτη ἐχθὲς καὶ τρίτην. οὐαὶ ἡμῖν τίς ἐξελεῖται ἡμᾶς ἐκ 8
χειρὸς τῶν θεῶν τῶν στερεῶν τούτων οὗτοι οἱ θεοὶ οἱ πατάξαντες
τὴν Αἴγυπτον ἐν πάσῃ πληγῇ καὶ ἐν τῇ ἐρήμῳ. κραταιοῦσθε καὶ 9
γίνεσθε εἰς ἄνδρας ἀλλόφυλοι μήποτε δουλεύσητε τοῖς Εβραίοις
καθὼς ἐδούλευσαν ἡμῖν καὶ ἔσεσθε εἰς ἄνδρας καὶ πολεμήσατε
αὐτούς. καὶ ἐπολέμησαν αὐτούς καὶ πταίει ἀνὴρ Ισραηλ καὶ 10
ἔφυγεν ἕκαστος εἰς σκήνωμα αὐτοῦ καὶ ἐγένετο πληγὴ μεγάλη
σφόδρα καὶ ἔπεσαν ἐξ Ισραηλ τριάκοντα χιλιάδες ταγμάτων. καὶ 11
κιβωτὸς θεοῦ ἐλήμφθη καὶ ἀμφότεροι υἱοὶ Ηλι ἀπέθανον Οφνι
καὶ Φινεες. καὶ ἔδραμεν ἀνὴρ Ιεμιναῖος ἐκ τῆς παρατάξεως καὶ 12
ἦλθεν εἰς Σηλωμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ τὰ ἱμάτια αὐτοῦ διερ-
ρηγότα καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. καὶ ἦλθεν καὶ ἰδοὺ Ηλι 13
ἐκάθητο ἐπὶ τοῦ δίφρου παρὰ τὴν πύλην σκοπεύων τὴν ὁδόν ὅτι
ἦν ἡ καρδία αὐτοῦ ἐξεστηκυῖα περὶ τῆς κιβωτοῦ τοῦ θεοῦ καὶ
ὁ ἄνθρωπος εἰσῆλθεν εἰς τὴν πόλιν ἀπαγγεῖλαι καὶ ἀνεβόησεν ἡ
πόλις. καὶ ἤκουσεν Ηλι τὴν φωνὴν τῆς βοῆς καὶ εἶπεν τίς ἡ βοὴ 14
τῆς φωνῆς ταύτης καὶ ὁ ἄνθρωπος σπεύσας εἰσῆλθεν καὶ ἀπήγ-
γειλεν τῷ Ηλι. καὶ Ηλι υἱὸς ἐνενήκοντα ἐτῶν καὶ οἱ ὀφθαλμοὶ 15
αὐτοῦ ἐπανέστησαν καὶ οὐκ ἔβλεπεν καὶ εἶπεν Ηλὶ τοῖς ἀνδρά-

---

**v.7** καί[cc] φοβέω[viap3p] ὁ[dnmp] ἀλλόφυλος[annmpn] καί[cc] λέγω[viaa3p] οὗτος[rdnmp] ὁ[dnmp] θεός[nnmpc] ἥκω[vixa3p] πρός[pa] αὐτός[rpamp] εἰς[pa] ὁ[dafs] παρεμβολή[nafsc] οὐαί[i] ἐγώ[rpd-p] ἐξαιρέω[vdam2s] ἐγώ[rpa-p] κύριος[nvmsc] σήμερον[b] ὅτι[cs] οὐ[b] γίνομαι[vixa3s] τοιοῦτος[adnfsn] ἐχθές[b] καί[cc] τρίτος[aoafsn]. **v.8** οὐαί[i] ἐγώ[rpd-p] τίς[rqnms] ἐξαιρέω[vifm3s] ἐγώ[rpa-p] ἐκ[pg] χείρ[ngfsc] ὁ[dgmp] θεός[ngmpc] ὁ[dgmp] στερεός[angmpn] οὗτος[rdgmp] οὗτος[rdnmp] ὁ[dnmp] θεός[nnmpc] ὁ[dnmp] πατάσσω[vpaanmp] ὁ[dafs] Αἴγυπτος[nafsp] ἐν[pd] πᾶς[aidfsn] πληγή[ndfsc] καί[cc] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc]. **v.9** κραταιόω[vdpm2p] καί[cc] γίνομαι[vdpm2p] εἰς[pa] ἀνήρ[nampc] ἀλλόφυλος[anvmpn] μήποτε[cs] δουλεύω[vsaa2p] ὁ[ddmp] Ἑβραῖος[andmpn] καθώς[cs] δουλεύω[viaa3p] ἐγώ[rpd-p] καί[cc] εἰμί[vifm2p] εἰς[pa] ἀνήρ[nampc] καί[cc] πολεμέω[vdaa2p] αὐτός[rpamp]. **v.10** καί[cc] πολεμέω[viaa3p] αὐτός[rpamp] καί[cc] πταίω[vipa3s] ἀνήρ[nnmsc] Ἰσραήλ[ngmsp] καί[cc] φεύγω[viaa3s] ἕκαστος[ainmsn] εἰς[pa] σκήνωμα[nansc] αὐτός[rpgms] καί[cc] γίνομαι[viam3s] πληγή[nnfsc] μέγας[annfsn] σφόδρα[b] καί[cc] πίπτω[viaa3p] ἐκ[pg] Ἰσραήλ[ngmsp] τριάκοντα[ac—n] χιλιάς[nnfpc] τάγμα[ngnpc]. **v.11** καί[cc] κιβωτός[nnfsc] θεός[ngmsc] λαμβάνω[viap3s] καί[cc] ἀμφότεροι[adnmpn] υἱός[nnmpc] Ηλι[ngmsp] ἀποθνῄσκω[viaa3p] Οφνι[namsp] καί[cc] Φινεες[namsp]. **v.12** καί[cc] τρέχω[viaa3s] ἀνήρ[nnmsc] Ιεμιναῖος[nnmsp] ἐκ[pg] ὁ[dgfs] παράταξις[ngfsc] καί[cc] ἔρχομαι[viaa3s] εἰς[pa] Σηλωμ[nafsp] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] καί[cc] ὁ[dnnp] ἱμάτιον[nnnpc] αὐτός[rpgms] διαρρήγνυμι[vpxannp] καί[cc] γῆ[nnfsc] ἐπί[pg] ὁ[dgfs] κεφαλή[ngfsc] αὐτός[rpgms]. **v.13** καί[cc] ἔρχομαι[viaa3s] καί[cc] ἰδού[i] Ηλι[nnmsp] κάθημαι[viim3s] ἐπί[pg] ὁ[dgms] δίφρος[ngmsc] παρά[pa] ὁ[dafs] πύλη[nafsc] σκοπεύω[vppanms] ὁ[dafs] ὁδός[nafsc] ὅτι[cs] εἰμί[viia3s] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgms] ἐξίστημι[vpxanfs] περί[pg] ὁ[dgfs] κιβωτός[ngfsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] ὁ[dnms] ἄνθρωπος[nnmsc] εἰσέρχομαι[viaa3s] εἰς[pa] ὁ[dafs] πόλις[nafsc] ἀπαγγέλλω[vnaa] καί[cc] ἀναβοάω[viaa3s] ὁ[dnfs] πόλις[nnfsc]. **v.14** καί[cc] ἀκούω[viaa3s] Ηλι[nnmsp] ὁ[dafs] φωνή[nafsc] ὁ[dgfs] βοή[ngfsc] καί[cc] λέγω[viaa3s] τίς[rqnfs] ὁ[dnfs] βοή[nnfsc] ὁ[dgfs] φωνή[ngfsc] οὗτος[rdgfs] καί[cc] ὁ[dnms] ἄνθρωπος[nnmsc] σπεύδω[vpaanms] εἰσέρχομαι[viaa3s] καί[cc] ἀπαγγέλλω[viaa3s] ὁ[ddms] Ηλι[ndmsp].

16 σιν τοῖς περιεστηκόσιν αὐτῷ τίς ἡ φωνὴ τοῦ ἤχους τούτου. καὶ
ὁ ἀνὴρ σπεύσας προσῆλθεν πρὸς Ηλι καὶ εἶπεν αὐτῷ ἐγώ εἰμι
ὁ ἥκων ἐκ τῆς παρεμβολῆς κἀγὼ πέφευγα ἐκ τῆς παρατάξεως
17 σήμερον καὶ εἶπεν τί τὸ γεγονὸς ῥῆμα τέκνον. καὶ ἀπεκρίθη
τὸ παιδάριον καὶ εἶπεν πέφευγεν ἀνὴρ Ισραηλ ἐκ προσώπου ἀλ-
λοφύλων καὶ ἐγένετο πληγὴ μεγάλη ἐν τῷ λαῷ καὶ ἀμφότεροι
18 οἱ υἱοί σου τεθνήκασιν καὶ ἡ κιβωτὸς τοῦ θεοῦ ἐλήμφθη. καὶ
ἐγένετο ὡς ἐμνήσθη τῆς κιβωτοῦ τοῦ θεοῦ καὶ ἔπεσεν ἀπὸ τοῦ δί-
φρου ὀπισθίως ἐχόμενος τῆς πύλης καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ
καὶ ἀπέθανεν ὅτι πρεσβύτης ὁ ἄνθρωπος καὶ βαρύς καὶ αὐτὸς
19 ἔκρινεν τὸν Ισραηλ εἴκοσι ἔτη. καὶ νύμφη αὐτοῦ γυνὴ Φινεες
συνειληφυῖα τοῦ τεκεῖν καὶ ἤκουσεν τὴν ἀγγελίαν ὅτι ἐλήμφθη ἡ
κιβωτὸς τοῦ θεοῦ καὶ ὅτι τέθνηκεν ὁ πενθερὸς αὐτῆς καὶ ὁ ἀνὴρ
αὐτῆς καὶ ὤκλασεν καὶ ἔτεκεν ὅτι ἐπεστράφησαν ἐπ' αὐτὴν ὠδῖ-
20 νες αὐτῆς. καὶ ἐν τῷ καιρῷ αὐτῆς ἀποθνῄσκει καὶ εἶπον αὐτῇ
αἱ γυναῖκες αἱ παρεστηκυῖαι αὐτῇ μὴ φοβοῦ ὅτι υἱὸν τέτοκας καὶ
21 οὐκ ἀπεκρίθη καὶ οὐκ ἐνόησεν ἡ καρδία αὐτῆς. καὶ ἐκάλεσεν
τὸ παιδάριον Οὐαὶ Βαρχαβωθ ὑπὲρ τῆς κιβωτοῦ τοῦ θεοῦ καὶ ὑ-
22 πὲρ τοῦ πενθεροῦ αὐτῆς καὶ ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς. καὶ εἶπαν
ἀπῴκισται δόξα Ισραηλ ἐν τῷ λημφθῆναι τὴν κιβωτὸν κυρίου.

---

**v.15** καί[cc] Ηλι[nnmsp] υἱός[nnmsc] ἐνενήκοντα[ac—n] ἔτος[ngnpc] καί[cc] ὁ[dnmp] ὀφθαλμός[nnmpc] αὐτός[rpgms] ἐπανίστημι[viaa3p] καί[cc] οὐ[b] βλέπω[viia3s] καί[cc] λέγω[viaa3s] Ηλι[nnmsp] ὁ[ddmp] ἀνήρ[ndmpc] ὁ[ddmp] περιΐστημι[vpxadmp] αὐτός[rpdms] τίς[rqnfs] ὁ[dnfs] φωνή[nnfsc] ὁ[dgns] ἦχος[ngnsc] οὗτος[rdgns]. **v.16** καί[cc] ὁ[dnms] ἀνήρ[nnmsc] σπεύδω[vpaanms] προσέρχομαι[viaa3s] πρός[pa] Ηλι[namsp] καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] ἐγώ[rpnms] εἰμί[vipa1s] ὁ[dnms] ἥκω[vppanms] ἐκ[pg] ὁ[dgfs] παρεμβολή[ngfsc] καί&ἐγώ[cc&rpn-s] φεύγω[vixa1s] ἐκ[pg] ὁ[dgfs] παράταξις[ngfsc] σήμερον[b] καί[cc] λέγω[viaa3s] τίς[rqnn'saqnnsn] ὁ[dnns] γίνομαι[vpxanns] ῥῆμα[nnnsc] τέκνον[nvnsc]. **v.17** καί[cc] ἀποκρίνομαι[viap3s] ὁ[dnns] παιδάριον[nnnsc] καί[cc] λέγω[viaa3s] φεύγω[vixa3s] ἀνήρ[nnmsc] Ἰσραήλ[ngmsp] ἐκ[pg] πρόσωπον[ngnsc] ἀλλόφυλος[angmpn] καί[cc] γίνομαι[viam3s] πληγή[nnfsc] μέγας[annfsn] ἐν[pd] ὁ[ddms] λαός[ndmsc] καί[cc] ἀμφότεροι[adnmpn] ὁ[dnmp] υἱός[nnmpc] σύ[rpg-s] θνῄσκω[vixa3p] καί[cc] ὁ[dnfs] κιβωτός[nnfsc] ὁ[dgms] θεός[ngmsc] λαμβάνω[viap3s]. **v.18** καί[cc] γίνομαι[viam3s] ὡς[cs] μιμνῄσκομαι[viap3s] ὁ[dgfs] κιβωτός[ngfsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] πίπτω[viaa3s] ἀπό[pg] ὁ[dgms] δίφρος[ngmsc] ὀπισθίως[b] ἔχω[vppmnms] ὁ[dgfs] πύλη[ngfsc] καί[cc] συντρίβω[viap3s] ὁ[dnms] νῶτος[nnmsc] αὐτός[rpgms] καί[cc] ἀποθνῄσκω[viaa3s] ὅτι[cs] πρεσβύτης[nnmsc] ὁ[dnms] ἄνθρωπος[nnmsc] καί[cc] βαρύς[annmsn] καί[cc] αὐτός[rpnms] κρίνω[viaa3s] ὁ[dams] Ἰσραήλ[namsp] εἴκοσι[ac—n] ἔτος[nanpc]. **v.19** καί[cc] νύμφη[nnfsc] αὐτός[rpgms] γυνή[nnfsc] Φινεες[ngmsp] συλλαμβάνω[vpxanfs] ὁ[dgns] τίκτω[vnaa] καί[cc] ἀκούω[viaa3s] ὁ[dafs] ἀγγελία[nafsc] ὅτι[cs] λαμβάνω[viap3s] ὁ[dnfs] κιβωτός[nnfsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] ὅτι[cs] θνῄσκω[vixa3s] ὁ[dnms] πενθερός[nnmsc] αὐτός[rpgfs] καί[cc] ὁ[dnms] ἀνήρ[nnmsc] αὐτός[rpgfs] καί[cc] ὀκλάζω[viaa3s] καί[cc] τίκτω[viaa3s] ὅτι[cs] ἐπιστρέφω[viap3p] ἐπί[pa] αὐτός[rpafs] ὠδίν[nnfpc] αὐτός[rpgfs]. **v.20** καί[cc] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] αὐτός[rpgfs] ἀποθνῄσκω[vipa3s] καί[cc] λέγω[viaa3p] αὐτός[rpdfs] ὁ[dnfp] γυνή[nnfpc] ὁ[dnfp] παρίστημι[vpxanfp] αὐτός[rpdfs] μή[x] φοβέω[vdpm2s] ὅτι[cs] υἱός[namsc] τίκτω[vixa2s] καί[cc] οὐ[b] ἀποκρίνομαι[viap3s] καί[cc] οὐ[b] νοέω[viaa3s] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgfs]. **v.21** καί[cc] καλέω[viaa3s] ὁ[dans] παιδάριον[nansc] οὐαί[nn-s'pi] Βαρχαβωθ[nn-sp] ὑπέρ[pg] ὁ[dgfs] κιβωτός[ngfsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] ὑπέρ[pg] ὁ[dgms] πενθερός[ngmsc] αὐτός[rpgfs] καί[cc] ὑπέρ[pg] ὁ[dgms] ἀνήρ[ngmsc] αὐτός[rpgfs]. **v.22** καί[cc] λέγω[viaa3p] ἀποικίζω[vipp3s] δόξα[nnfsc] Ἰσραήλ[ngmsp] ἐν[pd] ὁ[ddns] λαμβάνω[vnap] ὁ[dafs] κιβωτός[nafsc] κύριος[ngmsc].

καὶ ἀλλόφυλοι ἔλαβον τὴν κιβωτὸν τοῦ θεοῦ καὶ εἰσήνεγκαν **5**
αὐτὴν ἐξ Αβεννεζερ εἰς Ἄζωτον. καὶ ἔλαβον ἀλλόφυλοι τὴν κιβω- 2
τὸν κυρίου καὶ εἰσήνεγκαν αὐτὴν εἰς οἶκον Δαγων καὶ παρέστη-
σαν αὐτὴν παρὰ Δαγων. καὶ ὤρθρισαν οἱ Ἀζώτιοι καὶ εἰσῆλθον 3
εἰς οἶκον Δαγων καὶ εἶδον καὶ ἰδοὺ Δαγων πεπτωκὼς ἐπὶ πρόσω-
πον αὐτοῦ ἐνώπιον κιβωτοῦ τοῦ θεοῦ καὶ ἤγειραν τὸν Δαγων καὶ
κατέστησαν εἰς τὸν τόπον αὐτοῦ καὶ ἐβαρύνθη χεὶρ κυρίου ἐπὶ
τοὺς Ἀζωτίους καὶ ἐβασάνισεν αὐτοὺς καὶ ἐπάταξεν αὐτοὺς εἰς
τὰς ἕδρας αὐτῶν τὴν Ἄζωτον καὶ τὰ ὅρια αὐτῆς. καὶ ἐγένετο ὅτε 4
ὤρθρισαν τὸ πρωὶ καὶ ἰδοὺ Δαγων πεπτωκὼς ἐπὶ πρόσωπον αὐ-
τοῦ ἐνώπιον κιβωτοῦ διαθήκης κυρίου καὶ ἡ κεφαλὴ Δαγων καὶ
ἀμφότερα τὰ ἴχνη χειρῶν αὐτοῦ ἀφῃρημένα ἐπὶ τὰ ἐμπρόσθια
αμαφεθ ἕκαστον καὶ ἀμφότεροι οἱ καρποὶ τῶν χειρῶν αὐτοῦ πε-
πτωκότες ἐπὶ τὸ πρόθυρον πλὴν ἡ ῥάχις Δαγων ὑπελείφθη. διὰ 5
τοῦτο οὐκ ἐπιβαίνουσιν οἱ ἱερεῖς Δαγων καὶ πᾶς ὁ εἰσπορευόμε-
νος εἰς οἶκον Δαγων ἐπὶ βαθμὸν οἴκου Δαγων ἐν Ἀζώτῳ ἕως τῆς
ἡμέρας ταύτης ὅτι ὑπερβαίνοντες ὑπερβαίνουσιν. καὶ ἐβαρύνθη 6
χεὶρ κυρίου ἐπὶ Ἄζωτον καὶ ἐπήγαγεν αὐτοῖς καὶ ἐξέζεσεν αὐτοῖς
εἰς τὰς ναῦς καὶ μέσον τῆς χώρας αὐτῆς ἀνεφύησαν μύες καὶ
ἐγένετο σύγχυσις θανάτου μεγάλη ἐν τῇ πόλει. καὶ εἶδον οἱ ἄν- 7
δρες Ἀζώτου ὅτι οὕτως καὶ λέγουσιν ὅτι οὐ καθήσεται κιβωτὸς τοῦ
θεοῦ Ισραηλ μεθ᾽ ἡμῶν ὅτι σκληρὰ χεὶρ αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ

---

**5.** **v.1** καί[cc] ἀλλόφυλος[annmpn] λαμβάνω[viaa3p] ὁ[dafs] κιβωτός[nafsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] εἰσφέρω[viaa3p] αὐτός[rpafs] ἐκ[pg] Αβεννεζερ[ngmsp] εἰς[pa] Ἄζωτος[nafsp]. **v.2** καί[cc] λαμβάνω[viaa3p] ἀλλόφυλος[annmpn] ὁ[dafs] κιβωτός[nafsc] κύριος[ngmsc] καί[cc] εἰσφέρω[viaa3p] αὐτός[rpafs] εἰς[pa] οἶκος[namsc] Δαγων[ngmsp] καί[cc] παρίστημι[viaa3p] αὐτός[rpafs] παρά[pg] Δαγων[ngmsp]. **v.3** καί[cc] ὀρθρίζω[viaa3p] ὁ[dnmp] Ἀζώτιος[nnmpp] καί[cc] εἰσέρχομαι[viaa3p] εἰς[pa] οἶκος[namsc] Δαγων[ngmsp] καί[cc] ὁράω[viaa3p] καί[cc] ἰδού[i] Δαγων[nnmsp] πίπτω[vpxanms] ἐπί[pa] πρόσωπον[nansc] αὐτός[rpgms] ἐνώπιον[pg] κιβωτός[ngfsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] ἐγείρω[viaa3p] ὁ[dams] Δαγων[namsp] καί[cc] καθίστημι[viaa3p] εἰς[pa] ὁ[dams] τόπος[namsc] αὐτός[rpgms] καί[cc] βαρύνω[viap3s] χείρ[nnfsc] κύριος[ngmsc] ἐπί[pa] ὁ[damp] Ἀζώτιος[nampp] καί[cc] βασανίζω[viaa3s] αὐτός[rpamp] καί[cc] πατάσσω[viaa3s] αὐτός[rpamp] εἰς[pa] ὁ[dafp] ἕδρα[nafpc] αὐτός[rpgmp] ὁ[dafs] Ἄζωτος[nafsp] καί[cc] ὁ[danp] ὅριον[nanpc] αὐτός[rpgfs]. **v.4** καί[cc] γίνομαι[viam3s] ὅτε[cs] ὀρθρίζω[viaa3p] ὁ[dans] πρωΐ[b] καί[cc] ἰδού[i] Δαγων[nnmsp] πίπτω[vpxanms] ἐπί[pa] πρόσωπον[nansc] αὐτός[rpgms] ἐνώπιον[pg] κιβωτός[ngfsc] διαθήκη[ngfsc] κύριος[ngmsc] καί[cc] ὁ[dnfs] κεφαλή[nnfsc] Δαγων[ngmsp] καί[cc] ἀμφότεροι[adnnpn] ὁ[dnnp] ἴχνος[nanpc] χείρ[ngfpc] αὐτός[rpgms] ἀφαιρέω[vpxpnnp] ἐπί[pa] ὁ[danp] ἐμπρόσθιος[ananpn] αμαφεθ[t] ἕκαστος[ainnsn] καί[cc] ἀμφότεροι[adnmpn] ὁ[dnmp] καρπός[nnmpc] ὁ[dgfp] χείρ[ngfpc] αὐτός[rpgms] πίπτω[vpxanmp] ἐπί[pa] ὁ[dans] πρόθυρον[nansc] πλήν[b] ὁ[dnfs] ῥάχις[nnfsc] Δαγων[ngmsp] ὑπολείπω[viap3s]. **v.5** διά[pa] οὗτος[rdans] οὐ[b] ἐπιβαίνω[vipa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] Δαγων[ngmsp] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] εἰσπορεύομαι[vppmnms] εἰς[pa] οἶκος[namsc] Δαγων[ngmsp] ἐπί[pa] βαθμός[namsc] οἶκος[ngmsc] Δαγων[ngmsp] ἐν[pd] Ἄζωτος[ndfsp] ἕως[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdgfs] ὅτι[cs] ὑπερβαίνω[vppanmp] ὑπερβαίνω[vipa3p]. **v.6** καί[cc] βαρύνω[viap3s] χείρ[nnfsc] κύριος[ngmsc] ἐπί[pa] Ἄζωτος[nafsp] καί[cc] ἐπάγω[viaa3s] αὐτός[rpdmp] καί[cc] ἐκζέω[viaa3s] αὐτός[rpdmp] εἰς[pa] ὁ[dafp] ναῦς[nafpc] καί[cc] μέσος[anansn] ὁ[dgfs] χώρα[ngfsc] αὐτός[rpgfs] ἀναφύω[viaa3p] μῦς[nnmpc] καί[cc] γίνομαι[viam3s] σύγχυσις[nnfsc] θάνατος[ngmsc] μέγας[annfsn] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc].

8 Δαγων θεὸν ἡμῶν. καὶ ἀποστέλλουσιν καὶ συνάγουσιν τοὺς σα-
τράπας τῶν ἀλλοφύλων πρὸς αὐτοὺς καὶ λέγουσιν τί ποιήσωμεν
κιβωτῷ θεοῦ Ισραηλ καὶ λέγουσιν οἱ Γεθθαῖοι μετελθέτω κιβωτὸς
τοῦ θεοῦ πρὸς ἡμᾶς καὶ μετῆλθεν κιβωτὸς τοῦ θεοῦ εἰς Γεθθα.
9 καὶ ἐγενήθη μετὰ τὸ μετελθεῖν αὐτὴν καὶ γίνεται χεὶρ κυρίου ἐν
τῇ πόλει τάραχος μέγας σφόδρα καὶ ἐπάταξεν τοὺς ἄνδρας τῆς
πόλεως ἀπὸ μικροῦ ἕως μεγάλου καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς
10 ἕδρας αὐτῶν καὶ ἐποίησαν ἑαυτοῖς οἱ Γεθθαῖοι ἕδρας. καὶ ἐξα-
ποστέλλουσιν τὴν κιβωτὸν τοῦ θεοῦ εἰς Ἀσκαλῶνα καὶ ἐγενήθη ὡς
εἰσῆλθεν κιβωτὸς θεοῦ εἰς Ἀσκαλῶνα καὶ ἐβόησαν οἱ Ἀσκαλωνῖται
λέγοντες τί ἀπεστρέψατε πρὸς ἡμᾶς τὴν κιβωτὸν τοῦ θεοῦ Ισραηλ
11 θανατῶσαι ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν. καὶ ἐξαποστέλλουσιν καὶ
συνάγουσιν τοὺς σατράπας τῶν ἀλλοφύλων καὶ εἶπον ἐξαποστεί-
λατε τὴν κιβωτὸν τοῦ θεοῦ Ισραηλ καὶ καθισάτω εἰς τὸν τόπον
αὐτῆς καὶ οὐ μὴ θανατώσῃ ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν ὅτι ἐγενήθη
σύγχυσις θανάτου ἐν ὅλῃ τῇ πόλει βαρεῖα σφόδρα ὡς εἰσῆλθεν
12 κιβωτὸς θεοῦ Ισραηλ ἐκεῖ. καὶ οἱ ζῶντες καὶ οὐκ ἀποθανόντες
ἐπλήγησαν εἰς τὰς ἕδρας καὶ ἀνέβη ἡ κραυγὴ τῆς πόλεως εἰς τὸν
οὐρανόν.

**6** καὶ ἦν ἡ κιβωτὸς ἐν ἀγρῷ τῶν ἀλλοφύλων ἑπτὰ μῆνας καὶ ἐξέ-

---

**v.7** καί[cc] ὁράω[viaa3p] ὁ[dnmp] ἀνήρ[nnmpc] Ἄζωτος[ngfsp] ὅτι[cs] οὕτως[b] καί[cc] λέγω[vipa3p] ὅτι[cs] οὐ[b] κάθημαι[vifm3s] κιβωτός[nnfsc] ὁ[dgms] θεός[ngmsc] Ἰσραήλ[ngmsp] μετά[pg] ἐγώ[rpg-p] ὅτι[cs] σκληρός[annfsn] χείρ[nnfsc] αὐτός[rpgms] ἐπί[pa] ἐγώ[rpa-p] καί[cc] ἐπί[pa] Δαγων[namsp] θεός[namsc] ἐγώ[rpg-p]. **v.8** καί[cc] ἀποστέλλω[vipa3p] καί[cc] συνάγω[vipa3p] ὁ[damp] σατράπης[nampc] ὁ[dgmp] ἀλλόφυλος[angmpn] πρός[pa] αὐτός[rpamp] καί[cc] λέγω[vipa3p] τίς[rqans] ποιέω[vsaa1p] κιβωτός[ndfsc] θεός[ngmsc] Ἰσραήλ[ngmsp] καί[cc] λέγω[vipa3p] ὁ[dnmp] Γεθχαῖος[nnmpp] μετέρχομαι[vdaa3s] κιβωτός[nnfsc] ὁ[dgms] θεός[ngmsc] πρός[pa] ἐγώ[rpa-p] καί[cc] μετέρχομαι[viaa3s] κιβωτός[nnfsc] ὁ[dgms] θεός[ngmsc] εἰς[pa] Γεθχα[na-sp]. **v.9** καί[cc] γίνομαι[viap3s] μετά[pa] ὁ[dans] μετέρχομαι[vnaa] αὐτός[rpafs] καί[cc] γίνομαι[vipm3s] χείρ[nnfsc] κύριος[ngmsc] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc] τάραχος[nnmsc] μέγας[annmsn] σφόδρα[b] καί[cc] πατάσσω[viaa3s] ὁ[damp] ἀνήρ[nampc] ὁ[dgfs] πόλις[ngfsc] ἀπό[pg] μικρός[angmsn] ἕως[pg] μέγας[angmsn] καί[cc] πατάσσω[viaa3s] αὐτός[rpamp] εἰς[pa] ὁ[dafp] ἕδρα[nafpc] αὐτός[rpgmp] καί[cc] ποιέω[viaa3p] ἑαυτοῦ[rxdmp] ὁ[dnmp] Γεθχαῖος[nnmpp] ἕδρα[ngfsc]. **v.10** καί[cc] ἐξαποστέλλω[vipa3p] ὁ[dafs] κιβωτός[nafsc] ὁ[dgms] θεός[ngmsc] εἰς[pa] Ἀσκαλών[nafsp] καί[cc] γίνομαι[viap3s] ὡς[cs] εἰσέρχομαι[viaa3s] κιβωτός[nnfsc] θεός[ngmsc] εἰς[pa] Ἀσκαλών[nafsp] καί[cc] βοάω[viaa3p] ὁ[dnmp] Ἀσκαλωνίτης[nnmpp] λέγω[vppanmp] τίς[rqans] ἀποστρέφω[viaa2p] πρός[pa] ἐγώ[rpa-p] ὁ[dafs] κιβωτός[nafsc] ὁ[dgms] θεός[ngmsc] Ἰσραήλ[ngmsp] θανατόω[vnaa] ἐγώ[rpa-p] καί[cc] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-p]. **v.11** καί[cc] ἐξαποστέλλω[vipa3p] καί[cc] συνάγω[vipa3p] ὁ[damp] σατράπης[nampc] ὁ[dgmp] ἀλλόφυλος[angmpn] καί[cc] λέγω[viaa3p] ἐξαποστέλλω[vdaa2p] ὁ[dafs] κιβωτός[nafsc] ὁ[dgms] θεός[ngmsc] Ἰσραήλ[ngmsp] καί[cc] καθίζω[vdaa3s] εἰς[pa] ὁ[dams] τόπος[namsc] αὐτός[rpgfs] καί[cc] οὐ[b] μή[x] θανατόω[vsaa3s] ἐγώ[rpa-p] καί[cc] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-p] ὅτι[cs] γίνομαι[viap3s] σύγχυσις[nnfsc] θάνατος[ngmsc] ἐν[pd] ὅλος[andfsn] ὁ[ddfs] πόλις[ndfsc] βαρύς[annfsn] σφόδρα[b] ὡς[cs] εἰσέρχομαι[viaa3s] κιβωτός[nnfsc] θεός[ngmsc] Ἰσραήλ[ngmsp] ἐκεῖ[b]. **v.12** καί[cc] ὁ[dnmp] ζάω[vppanmp] καί[cc] οὐ[b] ἀποθνῄσκω[vpaanmp] πλήσσω[viap3p] εἰς[pa] ὁ[dafp] ἕδρα[nafpc] καί[cc] ἀναβαίνω[viaa3s] ὁ[dnfs] κραυγή[nnfsc] ὁ[dgfs] πόλις[ngfsc] εἰς[pa] ὁ[dams] οὐρανός[namsc].

ζεσεν ἡ γῆ αὐτῶν μύας. καὶ καλοῦσιν ἀλλόφυλοι τοὺς ἱερεῖς καὶ 2
τοὺς μάντεις καὶ τοὺς ἐπαοιδοὺς αὐτῶν λέγοντες τί ποιήσωμεν
τῇ κιβωτῷ κυρίου γνωρίσατε ἡμῖν ἐν τίνι ἀποστελοῦμεν αὐτὴν εἰς
τὸν τόπον αὐτῆς. καὶ εἶπαν εἰ ἐξαπεστέλλετε ὑμεῖς τὴν κιβωτὸν 3
διαθήκης κυρίου θεοῦ Ισραηλ μὴ δὴ ἐξαποστείλητε αὐτὴν κενήν
ἀλλὰ ἀποδιδόντες ἀπόδοτε αὐτῇ τῆς βασάνου καὶ τότε ἰαθήσεσθε
καὶ ἐξιλασθήσεται ὑμῖν μὴ οὐκ ἀποστῇ ἡ χεὶρ αὐτοῦ ἀφ᾽ ὑμῶν.
καὶ λέγουσιν τί τὸ τῆς βασάνου ἀποδώσομεν αὐτῇ καὶ εἶπαν κατ᾽ 4
ἀριθμὸν τῶν σατραπῶν τῶν ἀλλοφύλων πέντε ἕδρας χρυσᾶς ὅτι
πταῖσμα ἓν ὑμῖν καὶ τοῖς ἄρχουσιν ὑμῶν καὶ τῷ λαῷ. καὶ μῦς 5
χρυσοῦς ὁμοίωμα τῶν μυῶν ὑμῶν τῶν διαφθειρόντων τὴν γῆν καὶ
δώσετε τῷ κυρίῳ δόξαν ὅπως κουφίσῃ τὴν χεῖρα αὐτοῦ ἀφ᾽ ὑμῶν
καὶ ἀπὸ τῶν θεῶν ὑμῶν καὶ ἀπὸ τῆς γῆς ὑμῶν. καὶ ἵνα τί βα- 6
ρύνετε τὰς καρδίας ὑμῶν ὡς ἐβάρυνεν Αἴγυπτος καὶ Φαραω τὴν
καρδίαν αὐτῶν οὐχὶ ὅτε ἐνέπαιξεν αὐτοῖς ἐξαπέστειλαν αὐτούς
καὶ ἀπῆλθον. καὶ νῦν λάβετε καὶ ποιήσατε ἅμαξαν καινὴν καὶ 7
δύο βόας πρωτοτοκούσας ἄνευ τῶν τέκνων καὶ ζεύξατε τὰς βόας
ἐν τῇ ἁμάξῃ καὶ ἀπαγάγετε τὰ τέκνα ἀπὸ ὄπισθεν αὐτῶν εἰς οἶκον.
καὶ λήμψεσθε τὴν κιβωτὸν καὶ θήσετε αὐτὴν ἐπὶ τὴν ἅμαξαν καὶ 8
τὰ σκεύη τὰ χρυσᾶ ἀποδώσετε αὐτῇ τῆς βασάνου καὶ θήσετε ἐν
θέματι βερσεχθαν ἐκ μέρους αὐτῆς καὶ ἐξαποστελεῖτε αὐτὴν καὶ

---

**6. v.1** καί[cc] εἰμί[viia3s] ὁ[dnfs] κιβωτός[nnfsc] ἐν[pd] ἀγρός[ndmsc] ὁ[dgmp] ἀλλόφυλος[angmpn] ἑπτά[ac—n] μήν[nampc] καί[cc] ἐκζέω[viaa3s] ὁ[dnfs] γῆ[nnfsc] αὐτός[rpgmp] μῦς[nampc]. **v.2** καί[cc] καλέω[vipa3p] ἀλλόφυλος[annmpn] ὁ[damp] ἱερεύς[nampc] καί[cc] ὁ[damp] μάντις[nampc] καί[cc] ὁ[damp] ἐπαοιδός[nampc] αὐτός[rpgmp] λέγω[vppanmp] τίς[rqans] ποιέω[vsaa1p] ὁ[ddfs] κιβωτός[ndfsc] κύριος[ngmsc] γνωρίζω[vdaa2p] ἐγώ[rpd-p] ἐν[pd] τίς[rqdns] ἀποστέλλω[vifa1p] αὐτός[rpafs] εἰς[pa] ὁ[dams] τόπος[namsc] αὐτός[rpgfs]. **v.3** καί[cc] λέγω[viaa3p] εἰ[cs] ἐξαποστέλλω[viia2p] σύ[rpn-p] ὁ[dafs] κιβωτός[nafsc] διαθήκη[ngfsc] κύριος[ngmsc] θεός[ngmsc] Ἰσραήλ[ngmsp] μή[x] δή[x] ἐξαποστέλλω[vsaa2p] αὐτός[rpafs] κενός[anafsn] ἀλλά[cc] ἀποδίδωμι[vppanmp] ἀποδίδωμι[vdaa2p] αὐτός[rpdfs] ὁ[dgfs] βάσανος[ngfsc] καί[cc] τότε[b] ἰάομαι[vifp2p] καί[cc] ἐξιλάσκομαι[vifp3s] σύ[rpd-p] μή[x] οὐ[b] ἀφίστημι[vsaa3s] ὁ[dnfs] χείρ[nnfsc] αὐτός[rpgms] ἀπό[pg] σύ[rpg-p]. **v.4** καί[cc] λέγω[vipa3p] τίς[rqnns] ὁ[dnns] ὁ[dgfs] βάσανος[ngfsc] ἀποδίδωμι[vifa1p] αὐτός[rpdfs] καί[cc] λέγω[viaa3p] κατά[pa] ἀριθμός[namsc] ὁ[dgmp] σατράπης[ngmpc] ὁ[dgmp] ἀλλόφυλος[angmpn] πέντε[ac—n] ἕδρα[nafpc] χρυσοῦς[anafpn] ὅτι[cs] πταῖσμα[nnnsc] εἷς[acnnsn] σύ[rpd-p] καί[cc] ὁ[ddmp] ἄρχων[ndmpc] σύ[rpg-p] καί[cc] ὁ[ddms] λαός[ndmsc]. **v.5** καί[cc] μῦς[nnmsc] χρυσοῦς[annmsn] ὁμοίωμα[nnnsc] ὁ[dgmp] μῦς[ngmpc] σύ[rpg-p] ὁ[dgmp] διαφθείρω[vppagmp] ὁ[dafs] γῆ[nafsc] καί[cc] δίδωμι[vifa2p] ὁ[ddms] κύριος[ndmsc] δόξα[nafsc] ὅπως[cs] κουφίζω[vsaa3s] ὁ[dafs] χείρ[nafsc] αὐτός[rpgms] ἀπό[pg] σύ[rpg-p] καί[cc] ἀπό[pg] ὁ[dgmp] θεός[ngmpc] σύ[rpg-p] καί[cc] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] σύ[rpg-p]. **v.6** καί[cc] ἵνα[cs] τίς[rqnns] βαρύνω[vipa2p] ὁ[dafp] καρδία[nafpc] σύ[rpg-p] ὡς[cs] βαρύνω[viaa3s] Αἴγυπτος[nnfsp] καί[cc] Φαραώ[nnmsp] ὁ[dafs] καρδία[nafsc] αὐτός[rpgmp] οὐχί[b] ὅτε[cs] ἐμπαίζω[viaa3s] αὐτός[rpdmp] ἐξαποστέλλω[viaa3p] αὐτός[rpamp] καί[cc] ἀπέρχομαι[viaa3p]. **v.7** καί[cc] νῦν[b] λαμβάνω[vdaa2p] καί[cc] ποιέω[vdaa2p] ἅμαξα[nafsc] καινός[anafsn] καί[cc] δύο[ac—n] βοῦς[nafpc] πρωτοτοκέω[vppaafp] ἄνευ[pg] ὁ[dgnp] τέκνον[ngnpc] καί[cc] ζεύγνυμι[vdaa2p] ὁ[dafp] βοῦς[nampc] ἐν[pd] ὁ[ddfs] ἅμαξα[ndfsc] καί[cc] ἀπάγω[vdaa2p] ὁ[danp] τέκνον[nanpc] ἀπό[pp] ὄπισθε[b] αὐτός[rpgmp] εἰς[pa] οἶκος[namsc].

9 ἀπελάσατε αὐτήν καὶ ἀπελεύσεται. καὶ ὄψεσθε εἰ εἰς ὁδὸν ὁ-
ρίων αὐτῆς πορεύσεται κατὰ Βαιθσαμυς αὐτὸς πεποίηκεν ἡμῖν
τὴν κακίαν ταύτην τὴν μεγάλην καὶ ἐὰν μή καὶ γνωσόμεθα ὅτι οὐ
10 χεὶρ αὐτοῦ ἧπται ἡμῶν ἀλλὰ σύμπτωμα τοῦτο γέγονεν ἡμῖν. καὶ
ἐποίησαν οἱ ἀλλόφυλοι οὕτως καὶ ἔλαβον δύο βόας πρωτοτοκού-
σας καὶ ἔζευξαν αὐτὰς ἐν τῇ ἁμάξῃ καὶ τὰ τέκνα αὐτῶν ἀπεκώ-
11 λυσαν εἰς οἶκον. καὶ ἔθεντο τὴν κιβωτὸν ἐπὶ τὴν ἅμαξαν καὶ τὸ
12 θέμα εργαβ καὶ τοὺς μῦς τοὺς χρυσοῦς. καὶ κατεύθυναν αἱ βόες
ἐν τῇ ὁδῷ εἰς ὁδὸν Βαιθσαμυς ἐν τρίβῳ ἑνὶ ἐπορεύοντο καὶ ἐκο-
πίων καὶ οὐ μεθίσταντο δεξιὰ οὐδὲ ἀριστερά καὶ οἱ σατράπαι τῶν
13 ἀλλοφύλων ἐπορεύοντο ὀπίσω αὐτῆς ἕως ὁρίων Βαιθσαμυς. καὶ
οἱ ἐν Βαιθσαμυς ἐθέριζον θερισμὸν πυρῶν ἐν κοιλάδι καὶ ἦραν ὀ-
φθαλμοὺς αὐτῶν καὶ εἶδον κιβωτὸν κυρίου καὶ ηὐφράνθησαν εἰς
14 ἀπάντησιν αὐτῆς. καὶ ἡ ἅμαξα εἰσῆλθεν εἰς ἀγρὸν Ωσηε τὸν ἐν
Βαιθσαμυς καὶ ἔστησαν ἐκεῖ παρ᾽ αὐτῇ λίθον μέγαν καὶ σχίζουσιν
τὰ ξύλα τῆς ἁμάξης καὶ τὰς βόας ἀνήνεγκαν εἰς ὁλοκαύτωσιν τῷ
15 κυρίῳ. καὶ οἱ Λευῖται ἀνήνεγκαν τὴν κιβωτὸν τοῦ κυρίου καὶ
τὸ θέμα εργαβ μετ᾽ αὐτῆς καὶ τὰ ἐπ᾽ αὐτῆς σκεύη τὰ χρυσᾶ καὶ
ἔθεντο ἐπὶ τοῦ λίθου τοῦ μεγάλου καὶ οἱ ἄνδρες Βαιθσαμυς ἀνή-

---

**v.8** καί[cc] λαμβάνω[vifm2p] ὁ[dafs] κιβωτός[nafsc] καί[cc] τίθημι[vifa2p] αὐτός[rpafs] ἐπί[pa] ὁ[dafs] ἅμαξα[nafsc] καί[cc] ὁ[danp] σκεῦος[nanpc] ὁ[danp] χρυσοῦς[ananpn] ἀποδίδωμι[vifa2p] αὐτός[rpdfs] ὁ[dgfs] βάσανος[ngfsc] καί[cc] τίθημι[vifa2p] ἐν[pd] θέμα[ndnsc] βερσεχθαν[t] ἐκ[pg] μέρος[ngnsc] αὐτός[rpgfs] καί[cc] ἐξαποστέλλω[vifa2p] αὐτός[rpafs] καί[cc] ἀπελαύνω[vdaa2p] αὐτός[rpafs] καί[cc] ἀπέρχομαι[vifm3s]. **v.9** καί[cc] ὁράω[vifm2p] εἰ[x] εἰς[pa] ὁδός[nafsc] ὅριον[ngnpc] αὐτός[rpgfs] πορεύομαι[vifm3s] κατά[pa] Βαιθσαμυς[nafsp] αὐτός[rpnms] ποιέω[vixa3s] ἐγώ[rpd-p] ὁ[dafs] κακία[nafsc] οὗτος[rdafs] ὁ[dafs] μέγας[anafsn] καί[cc] ἐάν[cs] μή[x] καί[b] γινώσκω[vifm1p] ὅτι[cs] οὐ[b] χείρ[nnfsc] αὐτός[rpgms] ἅπτω[vixm3s] ἐγώ[rpg-p] ἀλλά[cc] σύμπτωμα[nnnsc] οὗτος[rdnns] γίνομαι[vixa3s] ἐγώ[rpd-p]. **v.10** καί[cc] ποιέω[viaa3p] ὁ[dnmp] ἀλλόφυλος[annmpn] οὕτως[b] καί[cc] λαμβάνω[viaa3p] δύο[ac—n] βοῦς[nafpc] πρωτοτοκέω[vppaafp] καί[cc] ζεύγνυμι[viaa3p] αὐτός[rpafp] ἐν[pd] ὁ[ddfs] ἅμαξα[ndfsc] καί[cc] ὁ[danp] τέκνον[nanpc] αὐτός[rpgmp] ἀποκωλύω[viaa3p] εἰς[pa] οἶκος[namsc]. **v.11** καί[cc] τίθημι[viam3p] ὁ[dafs] κιβωτός[nafsc] ἐπί[pa] ὁ[dafs] ἅμαξα[nafsc] καί[cc] ὁ[dans] θέμα[nansc] εργαβ[t] καί[cc] ὁ[damp] μῦς[nampc] ὁ[damp] χρυσοῦς[anampn]. **v.12** καί[cc] κατευθύνω[viaa3p] ὁ[dnfp] βοῦς[nnfpc] ἐν[pd] ὁ[ddfs] ὁδός[ndfsc] εἰς[pa] ὁδός[nafsc] Βαιθσαμυς[ngfsp] ἐν[pd] τρίβος[ndfsc] εἷς[acdmsn] πορεύομαι[viim3p] καί[cc] κοπιάω[viia3p] καί[cc] οὐ[b] μεθίστημι[viim3p] δεξιός[ananpn] οὐδέ[cc] ἀριστερός[ananpn] καί[cc] ὁ[dnmp] σατράπης[nnmpc] ὁ[dgmp] ἀλλόφυλος[angmpn] πορεύομαι[viim3p] ὀπίσω[pg] αὐτός[rpgfs] ἕως[pg] ὅριον[ngnpc] Βαιθσαμυς[ngfsp]. **v.13** καί[cc] ὁ[dnmp] ἐν[pd] Βαιθσαμυς[ndfsp] θερίζω[viia3p] θερισμός[namsc] πυρός[ngmpc] ἐν[pd] κοιλάς[ndfsc] καί[cc] αἴρω[viaa3p] ὀφθαλμός[nampc] αὐτός[rpgmp] καί[cc] ὁράω[viaa3p] κιβωτός[nafsc] κύριος[ngmsc] καί[cc] εὐφραίνω[viap3p] εἰς[pa] ἀπάντησις[nafsc] αὐτός[rpgfs]. **v.14** καί[cc] ὁ[dnfs] ἅμαξα[nnfsc] εἰσέρχομαι[viaa3s] εἰς[pa] ἀγρός[namsc] Ωσηε[ngmsp] ὁ[dams] ἐν[pd] Βαιθσαμυς[ndfsp] καί[cc] ἵστημι[viaa3p] ἐκεῖ[b] παρά[pd] αὐτός[rpdfs] λίθος[namsc] μέγας[anamsn] καί[cc] σχίζω[vipa3p] ὁ[danp] ξύλον[nanpc] ὁ[dgfs] ἅμαξα[ngfsc] καί[cc] ὁ[dafp] βοῦς[nampc] ἀναφέρω[viaa3p] εἰς[pa] ὁλοκαύτωσις[nafsc] ὁ[ddms] κύριος[ndmsc].

νεγκαν ὁλοκαυτώσεις καὶ θυσίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῷ κυρίῳ.
καὶ οἱ πέντε σατράπαι τῶν ἀλλοφύλων ἑώρων καὶ ἀνέστρεψαν εἰς 16
Ἀσκαλῶνα τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ αὗται αἱ ἕδραι αἱ χρυσαῖ ἃς ἀ- 17
πέδωκαν οἱ ἀλλόφυλοι τῆς βασάνου τῷ κυρίῳ τῆς Ἀζώτου μίαν τῆς
Γάζης μίαν τῆς Ἀσκαλῶνος μίαν τῆς Γεθ μίαν τῆς Ακκαρων μίαν.
καὶ μῦς οἱ χρυσοῖ κατ' ἀριθμὸν πασῶν πόλεων τῶν ἀλλοφύλων 18
τῶν πέντε σατραπῶν ἐκ πόλεως ἐστερεωμένης καὶ ἕως κώμης τοῦ
Φερεζαίου καὶ ἕως λίθου τοῦ μεγάλου οὗ ἐπέθηκαν ἐπ' αὐτοῦ τὴν
κιβωτὸν διαθήκης κυρίου τοῦ ἐν ἀγρῷ Ωσηε τοῦ Βαιθσαμυσίτου.
καὶ οὐκ ἠσμένισαν οἱ υἱοὶ Ιεχονιου ἐν τοῖς ἀνδράσιν Βαιθσαμυς 19
ὅτι εἶδαν κιβωτὸν κυρίου καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑβδομήκοντα ἄν-
δρας καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν καὶ ἐπένθησεν ὁ λαός ὅτι
ἐπάταξεν κύριος ἐν τῷ λαῷ πληγὴν μεγάλην σφόδρα. καὶ εἶπαν 20
οἱ ἄνδρες οἱ ἐκ Βαιθσαμυς τίς δυνήσεται διελθεῖν ἐνώπιον κυ-
ρίου τοῦ ἁγίου τούτου καὶ πρὸς τίνα ἀναβήσεται κιβωτὸς κυρίου
ἀφ' ἡμῶν. καὶ ἀποστέλλουσιν ἀγγέλους πρὸς τοὺς κατοικοῦν- 21
τας Καριαθιαριμ λέγοντες ἀπεστρόφασιν ἀλλόφυλοι τὴν κιβωτὸν
κυρίου κατάβητε καὶ ἀναγάγετε αὐτὴν πρὸς ἑαυτούς.

καὶ ἔρχονται οἱ ἄνδρες Καριαθιαριμ καὶ ἀνάγουσιν τὴν κιβω- **7**
τὸν διαθήκης κυρίου καὶ εἰσάγουσιν αὐτὴν εἰς οἶκον Αμιναδαβ
τὸν ἐν τῷ βουνῷ καὶ τὸν Ελεαζαρ υἱὸν αὐτοῦ ἡγίασαν φυλάσσειν

---

οἱ πατέρες ἡμῶν καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον κυρίου καὶ
ἐγκατέλιπαν αὐτὸν καὶ ἀπέστρεψαν τὸ πρόσωπον ἀπὸ τῆς σκη-
νῆς κυρίου καὶ ἔδωκαν αὐχένα. καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ 7
ναοῦ καὶ ἔσβεσαν τοὺς λύχνους καὶ θυμίαμα οὐκ ἐθυμίασαν καὶ
ὁλοκαυτώματα οὐ προσήνεγκαν ἐν τῷ ἁγίῳ θεῷ Ισραηλ. καὶ ὠρ- 8
γίσθη ὀργῇ κύριος ἐπὶ τὸν Ιουδαν καὶ ἐπὶ τὴν Ιερουσαλημ καὶ
ἔδωκεν αὐτοὺς εἰς ἔκστασιν καὶ εἰς ἀφανισμὸν καὶ εἰς συρισμόν
ὡς ὑμεῖς ὁρᾶτε τοῖς ὀφθαλμοῖς ὑμῶν. καὶ ἰδοὺ πεπλήγασιν οἱ 9
πατέρες ὑμῶν μαχαίρᾳ καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν
καὶ αἱ γυναῖκες ὑμῶν ἐν αἰχμαλωσίᾳ ἐν γῇ οὐκ αὐτῶν ὃ καὶ νῦν
ἐστιν. ἐπὶ τούτοις νῦν ἐστιν ἐπὶ καρδίας διαθέσθαι διαθήκην 10
κυρίου θεοῦ Ισραηλ καὶ ἀποστρέψει τὴν ὀργὴν θυμοῦ αὐτοῦ ἀφ᾽
ἡμῶν. καὶ νῦν μὴ διαλίπητε ὅτι ἐν ὑμῖν ᾕρέτικεν κύριος στῆναι 11
ἐναντίον αὐτοῦ λειτουργεῖν καὶ εἶναι αὐτῷ λειτουργοῦντας καὶ
θυμιῶντας. καὶ ἀνέστησαν οἱ Λευῖται Μααθ ὁ τοῦ Αμασι καὶ 12
Ιωηλ ὁ τοῦ Αζαριου ἐκ τῶν υἱῶν Κααθ καὶ ἐκ τῶν υἱῶν Μεραρι
Κις ὁ τοῦ Αβδι καὶ Αζαριας ὁ τοῦ Ιαλλεληλ καὶ ἀπὸ τῶν υἱῶν
Γεδσωνι Ιωα ὁ τοῦ Ζεμμαθ καὶ Ιωδαν ὁ τοῦ Ιωαχα. καὶ τῶν υἱῶν 13
Ελισαφαν Σαμβρι καὶ Ιιηλ καὶ τῶν υἱῶν Ασαφ Ζαχαριας καὶ Μαθ-

---

**v.5** καί[cc] λέγω[viaa3s] αὐτός[rpdmp] ἀκούω[vdaa2p] ὁ[dnmp] λευίτης[nnmpp] νῦν[b] ἁγνίζω[vdap2p] καί[cc] ἁγνίζω[vdaa2p] ὁ[dams] οἶκος[namsc] κύριος[ngmsc] θεός[ngmsc] ὁ[dgmp] πατήρ[ngmpc] σύ[rpg-p] καί[cc] ἐκβάλλω[vdaa2p] ὁ[dafs] ἀκαθαρσία[nafsc] ἐκ[pg] ὁ[dgnp] ἅγιος[angnpn]. **v.6** ὅτι[cs] ἀφίστημι[viaa3p] ὁ[dnmp] πατήρ[nnmpc] ἐγώ[rpg-p] καί[cc] ποιέω[viaa3p] ὁ[dans] πονηρός[anansn] ἐναντίον[pg] κύριος[ngmsc] καί[cc] ἐγκαταλείπω[viaa3p] αὐτός[rpams] καί[cc] ἀποστρέφω[viaa3p] ὁ[dans] πρόσωπον[nansc] ἀπό[pg] ὁ[dgfs] σκηνή[ngfsc] κύριος[ngmsc] καί[cc] δίδωμι[viaa3p] αὐχήν[namsc]. **v.7** καί[cc] ἀποκλείω[viaa3p] ὁ[dafp] θύρα[nafpc] ὁ[dgms] ναός[ngmsc] καί[cc] σβέννυμι[viaa3p] ὁ[damp] λύχνος[nampc] καί[cc] θυμίαμα[nansc] οὐ[b] θυμιάω[viaa3p] καί[cc] ὁλοκαύτωμα[nanpc] οὐ[b] προσφέρω[viaa3p] ἐν[pd] ὁ[ddns] ἅγιος[andnsn] θεός[ndmsc] Ἰσραήλ[ngmsp]. **v.8** καί[cc] ὀργίζω[viap3s] ὀργή[ndfsc] κύριος[nnmsc] ἐπί[pa] ὁ[dams] Ἰούδας[namsp] καί[cc] ἐπί[pa] ὁ[dafs] Ἰερουσαλήμ[nafsp] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpamp] εἰς[pa] ἔκστασις[nafsc] καί[cc] εἰς[pa] ἀφανισμός[namsc] καί[cc] εἰς[pa] συρισμός[namsc] ὡς[cs] σύ[rpn-p] ὁράω[vipa2p] ὁ[ddmp] ὀφθαλμός[ndmpc] σύ[rpg-p]. **v.9** καί[cc] ἰδού[i] πλήσσω[vixa3p] ὁ[dnmp] πατήρ[nnmpc] σύ[rpg-p] μάχαιρα[ndfsc] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] σύ[rpg-p] καί[cc] ὁ[dnfp] θυγάτηρ[nnfpc] σύ[rpg-p] καί[cc] ὁ[dnfp] γυνή[nnfpc] σύ[rpg-p] ἐν[pd] αἰχμαλωσία[ndfsc] ἐν[pd] γῆ[ndfsc] οὐ[b] αὐτός[rpgmp] ὅς[rrnns] καί[cc] νῦν[b] εἰμί[vipa3s]. **v.10** ἐπί[pd] οὗτος[rddnp] νῦν[b] εἰμί[vipa3s] ἐπί[pa] καρδία[nafpc] διατίθημι[vnam] διαθήκη[nafsc] κύριος[ngmsc] θεός[ngmsc] Ἰσραήλ[ngmsp] καί[cc] ἀποστρέφω[vifa3s] ὁ[dafs] ὀργή[nafsc] θυμός[ngmsc] αὐτός[rpgms] ἀπό[pg] ἐγώ[rpg-p]. **v.11** καί[cc] νῦν[b] μή[x] διαλείπω[vsaa2p] ὅτι[cs] ἐν[pd] σύ[rpd-p] αἱρετίζω[vixa3s] κύριος[nnmsc] ἵστημι[vnaa] ἐναντίον[pg] αὐτός[rpgms] λειτουργέω[vnpa] καί[cc] εἰμί[vnpa] αὐτός[rpdms] λειτουργέω[vppaamp] καί[cc] θυμιάω[vppaamp]. **v.12** καί[cc] ἀνίστημι[viaa3p] ὁ[dnmp] λευίτης[nnmpp] Μάαθ[nnmsp] ὁ[dnms] ὁ[dgms] Αμασι[ngmsp] καί[cc] Ιωηλ[nnmsp] ὁ[dnms] ὁ[dgms] Αζαριας[ngmsp] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Κααθ[ngmsp] καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Μεραρι[ngmsp] Κίς[nnmsp] ὁ[dnms] ὁ[dgms] Αβδι[ngmsp] καί[cc] Αζαριας[nnmsp] ὁ[dnms] ὁ[dgms] Ιαλλεληλ[ngmsp] καί[cc] ἀπό[pg] ὁ[dgmp] υἱός[ngmpc] Γεδσωνι[ngmsp] Ιωα[nnmsp] ὁ[dnms] ὁ[dgms] Ζεμμαθ[ngmsp] καί[cc] Ιωδαν[nnmsp] ὁ[dnms] ὁ[dgms] Ιωαχα[ngmsp].

14 θανιας. καὶ τῶν υἱῶν Αιμαν Ιιηλ καὶ Σεμεϊ καὶ τῶν υἱῶν Ιδιθων
15 Σαμαιας καὶ Οζιηλ. καὶ συνήγαγον τοὺς ἀδελφοὺς αὐτῶν καὶ
ἡγνίσθησαν κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως διὰ προστάγματος
16 κυρίου καθαρίσαι τὸν οἶκον κυρίου. καὶ εἰσῆλθον οἱ ἱερεῖς ἔσω
εἰς τὸν οἶκον κυρίου ἁγνίσαι καὶ ἐξέβαλον πᾶσαν τὴν ἀκαθαρσίαν
τὴν εὑρεθεῖσαν ἐν τῷ οἴκῳ κυρίου καὶ εἰς τὴν αὐλὴν οἴκου κυ-
ρίου καὶ ἐδέξαντο οἱ Λευῖται ἐκβαλεῖν εἰς τὸν χειμάρρουν Κεδρων
17 ἔξω. καὶ ἤρξαντο τῇ ἡμέρᾳ τῇ πρώτῃ νουμηνίᾳ τοῦ μηνὸς τοῦ
πρώτου ἁγνίσαι καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ τοῦ μηνὸς εἰσῆλθαν εἰς
τὸν ναὸν κυρίου καὶ ἥγνισαν τὸν οἶκον κυρίου ἐν ἡμέραις ὀκτὼ
καὶ τῇ ἡμέρᾳ τῇ ἑκκαιδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου συνετέλεσαν.
18 καὶ εἰσῆλθαν ἔσω πρὸς Εζεκιαν τὸν βασιλέα καὶ εἶπαν ἡγνίσαμεν
πάντα τὰ ἐν οἴκῳ κυρίου τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως καὶ
τὰ σκεύη αὐτοῦ καὶ τὴν τράπεζαν τῆς προθέσεως καὶ τὰ σκεύη
19 αὐτῆς. καὶ πάντα τὰ σκεύη ἃ ἐμίανεν Αχαζ ὁ βασιλεὺς ἐν τῇ
βασιλείᾳ αὐτοῦ ἐν τῇ ἀποστασίᾳ αὐτοῦ ἡτοιμάκαμεν καὶ ἡγνίκα-
20 μεν ἰδού ἐστιν ἐναντίον τοῦ θυσιαστηρίου κυρίου. καὶ ὤρθρισεν
Εζεκιας ὁ βασιλεὺς καὶ συνήγαγεν τοὺς ἄρχοντας τῆς πόλεως καὶ
21 ἀνέβη εἰς οἶκον κυρίου. καὶ ἀνήνεγκεν μόσχους ἑπτά κριοὺς
ἑπτά ἀμνοὺς ἑπτά χιμάρους αἰγῶν ἑπτὰ περὶ ἁμαρτίας περὶ τῆς
βασιλείας καὶ περὶ τῶν ἁγίων καὶ περὶ Ισραηλ καὶ εἶπεν τοῖς υἱοῖς

---

**v.13** καί[cc] ὁ[dgmp] υἱός[ngmpc] Ελισαφαν[ngmsp] Σαμβρι[nnmsp] καί[cc] Ιιηλ[nnmsp] καί[cc] ὁ[dgmp] υἱός[ngmpc] Ἀσάφ[ngmsp] Ζαχαρίας[nnmsp] καί[cc] Μαθχανιας[nnmsp]. **v.14** καί[cc] ὁ[dgmp] υἱός[ngmpc] Αιμαν[ngmsp] Ιιηλ[nnmsp] καί[cc] Σεμεϊ[nnmsp] καί[cc] ὁ[dgmp] υἱός[ngmpc] Ιδιθων[ngmsp] Σαμαιας[nnmsp] καί[cc] Οζιηλ[nnmsp]. **v.15** καί[cc] συνάγω[viaa3p] ὁ[damp] ἀδελφός[nampc] αὐτός[rpgmp] καί[cc] ἁγνίζω[viap3p] κατά[pa] ὁ[dafs] ἐντολή[nafsc] ὁ[dgms] βασιλεύς[ngmsc] διά[pg] πρόσταγμα[ngnsc] κύριος[ngmsc] καθαρίζω[vnaa] ὁ[dams] οἶκος[namsc] κύριος[ngmsc]. **v.16** καί[cc] εἰσέρχομαι[viaa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] ἔσω[b] εἰς[pa] ὁ[dams] οἶκος[namsc] κύριος[ngmsc] ἁγνίζω[vnaa] καί[cc] ἐκβάλλω[viaa3p] πᾶς[aiafsn] ὁ[dafs] ἀκαθαρσία[nafsc] ὁ[dafs] εὑρίσκω[vpapafs] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] κύριος[ngmsc] καί[cc] εἰς[pa] ὁ[dafs] αὐλή[nafsc] οἶκος[ngmsc] κύριος[ngmsc] καί[cc] δέχομαι[viam3p] ὁ[dnmp] λευίτης[nnmpp] ἐκβάλλω[vnaa] εἰς[pa] ὁ[dams] χείμαρρος[namsc] Κεδρών[namsp] ἔξω[b]. **v.17** καί[cc] ἄρχω[viam3p] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] πρῶτος[aodfsn] νουμηνία[ndfsc] ὁ[dgms] μήν[ngmsc] ὁ[dgms] πρῶτος[aogmsn] ἁγνίζω[vnaa] καί[cc] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] ὄγδοος[aodfsn] ὁ[dgms] μήν[ngmsc] εἰσέρχομαι[viaa3p] εἰς[pa] ὁ[dams] ναός[namsc] κύριος[ngmsc] καί[cc] ἁγνίζω[viaa3p] ὁ[dams] οἶκος[namsc] κύριος[ngmsc] ἐν[pd] ἡμέρα[ndfpc] ὀκτώ[ac—n] καί[cc] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] ἑκκαιδέκατος[aodfsn] ὁ[dgms] μήν[ngmsc] ὁ[dgms] πρῶτος[aogmsn] συντελέω[viaa3p]. **v.18** καί[cc] εἰσέρχομαι[viaa3p] ἔσω[b] πρός[pa] Ἑζεκίας[namsp] ὁ[dams] βασιλεύς[namsc] καί[cc] λέγω[viaa3p] ἁγνίζω[viaa1p] πᾶς[aianpn] ὁ[danp] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc] ὁ[dans] θυσιαστήριον[nansc] ὁ[dgfs] ὁλοκαύτωσις[ngfsc] καί[cc] ὁ[danp] σκεῦος[nanpc] αὐτός[rpgns] καί[cc] ὁ[dafs] τράπεζα[nafsc] ὁ[dgfs] πρόθεσις[ngfsc] καί[cc] ὁ[danp] σκεῦος[nanpc] αὐτός[rpgfs]. **v.19** καί[cc] πᾶς[aianpn] ὁ[danp] σκεῦος[nanpc] ὅς[rranp] μιαίνω[viaa3s] Ἀχάζ[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc] αὐτός[rpgms] ἐν[pd] ὁ[ddfs] ἀποστασία[ndfsc] αὐτός[rpgms] ἑτοιμάζω[vixa1p] καί[cc] ἁγνίζω[vixa1p] ἰδού[i] εἰμί[vipa3s] ἐναντίον[pg] ὁ[dgns] θυσιαστήριον[ngnsc] κύριος[ngmsc]. **v.20** καί[cc] ὀρθρίζω[viaa3s] Ἑζεκίας[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] συνάγω[viaa3s] ὁ[damp] ἄρχων[nampc] ὁ[dgfs] πόλις[ngfsc] καί[cc] ἀναβαίνω[viaa3s] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc].

Ααρων τοῖς ἱερεῦσιν ἀναβαίνειν ἐπὶ τὸ θυσιαστήριον κυρίου. καὶ 22
ἔθυσαν τοὺς μόσχους καὶ ἐδέξαντο οἱ ἱερεῖς τὸ αἷμα καὶ προσέ-
χεον ἐπὶ τὸ θυσιαστήριον καὶ ἔθυσαν τοὺς κριοὺς καὶ προσέχεον
τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον καὶ ἔθυσαν τοὺς ἀμνοὺς καὶ περιέ-
χεον τὸ αἷμα τῷ θυσιαστηρίῳ. καὶ προσήγαγον τοὺς χιμάρους 23
τοὺς περὶ ἁμαρτίας ἐναντίον τοῦ βασιλέως καὶ τῆς ἐκκλησίας καὶ
ἐπέθηκαν τὰς χεῖρας αὐτῶν ἐπ᾽ αὐτούς. καὶ ἔθυσαν αὐτοὺς οἱ 24
ἱερεῖς καὶ ἐξιλάσαντο τὸ αἷμα αὐτῶν πρὸς τὸ θυσιαστήριον καὶ
ἐξιλάσαντο περὶ παντὸς Ισραηλ ὅτι περὶ παντὸς Ισραηλ εἶπεν ὁ
βασιλεύς ἡ ὁλοκαύτωσις καὶ τὰ περὶ ἁμαρτίας. καὶ ἔστησεν 25
τοὺς Λευίτας ἐν οἴκῳ κυρίου ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν
κινύραις κατὰ τὴν ἐντολὴν Δαυιδ τοῦ βασιλέως καὶ Γαδ τοῦ ὁρῶν-
τος τῷ βασιλεῖ καὶ Ναθαν τοῦ προφήτου ὅτι δι᾽ ἐντολῆς κυρίου τὸ
πρόσταγμα ἐν χειρὶ τῶν προφητῶν. καὶ ἔστησαν οἱ Λευῖται ἐν 26
ὀργάνοις Δαυιδ καὶ οἱ ἱερεῖς ταῖς σάλπιγξιν. καὶ εἶπεν Εζεκιας 27
ἀνενέγκαι τὴν ὁλοκαύτωσιν ἐπὶ τὸ θυσιαστήριον καὶ ἐν τῷ ἄρ-
ξασθαι ἀναφέρειν τὴν ὁλοκαύτωσιν ἤρξαντο ᾄδειν κυρίῳ καὶ αἱ
σάλπιγγες πρὸς τὰ ὄργανα Δαυιδ βασιλέως Ισραηλ. καὶ πᾶσα 28
ἡ ἐκκλησία προσεκύνει καὶ οἱ ψαλτῳδοὶ ᾄδοντες καὶ αἱ σάλπιγ-
γες σαλπίζουσαι ἕως οὗ συνετελέσθη ἡ ὁλοκαύτωσις. καὶ ὡς 29

---

**v.21** καί[cc] ἀναφέρω[viaa3s] μόσχος[nampc] ἑπτά[ac—n] κριός[nampc] ἑπτά[ac—n] ἀμνός[nampc] ἑπτά[ac—n] χίμαρος[nampc] αἴξ[ngmpc] ἑπτά[ac—n] περί[pg] ἁμαρτία[ngfsc] περί[pg] ὁ[dgfs] βασιλεία[ngfsc] καί[cc] περί[pg] ὁ[dgnp] ἅγιος[angnpn] καί[cc] περί[pg] Ἰσραήλ[ngmsp] καί[cc] λέγω[viaa3s] ὁ[ddmp] υἱός[ndmpc] Ἀαρών[ngmsp] ὁ[ddmp] ἱερεύς[ndmpc] ἀναβαίνω[vnpa] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc] κύριος[ngmsc]. **v.22** καί[cc] θύω[viaa3p] ὁ[damp] μόσχος[nampc] καί[cc] δέχομαι[viam3p] ὁ[dnmp] ἱερεύς[nnmpc] ὁ[dans] αἷμα[nansc] καί[cc] προσχέω[viia3p] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc] καί[cc] θύω[viaa3p] ὁ[damp] κριός[nampc] καί[cc] προσχέω[viia3p] ὁ[dans] αἷμα[nansc] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc] καί[cc] θύω[viaa3p] ὁ[damp] ἀμνός[nampc] καί[cc] περιχέω[viia3p] ὁ[dans] αἷμα[nansc] ὁ[ddns] θυσιαστήριον[ndnsc]. **v.23** καί[cc] προσάγω[viaa3p] ὁ[damp] χίμαρος[nampc] ὁ[damp] περί[pg] ἁμαρτία[ngfsc] ἐναντίον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ὁ[dgfs] ἐκκλησία[ngfsc] καί[cc] ἐπιτίθημι[viaa3p] ὁ[dafp] χείρ[nafpc] αὐτός[rpgmp] ἐπί[pa] αὐτός[rpamp]. **v.24** καί[cc] θύω[viaa3p] αὐτός[rpamp] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ἐξιλάσκομαι[viam3p] ὁ[dans] αἷμα[nansc] αὐτός[rpgmp] πρός[pa] ὁ[dans] θυσιαστήριον[nansc] καί[cc] ἐξιλάσκομαι[viam3p] περί[pg] πᾶς[aigmsn] Ἰσραήλ[ngmsp] ὅτι[cs] περί[pg] πᾶς[aigmsn] Ἰσραήλ[ngmsp] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[dnfs] ὁλοκαύτωσις[nnfsc] καί[cc] ὁ[danp] περί[pg] ἁμαρτία[ngfsc]. **v.25** καί[cc] ἵστημι[viaa3s] ὁ[damp] λευίτης[nampp] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc] ἐν[pd] κύμβαλον[ndnpc] καί[cc] ἐν[pd] νάβλα[ndfpc] καί[cc] ἐν[pd] κινύρα[ndfpc] κατά[pa] ὁ[dafs] ἐντολή[nafsc] Δαυίδ[ngmsp] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] Γάδ[ngmsp] ὁ[dgms] ὁράω[vppagms] ὁ[ddms] βασιλεύς[ndmsc] καί[cc] Ναθάμ[ngmsp] ὁ[dgms] προφήτης[ngmsc] ὅτι[cs] διά[pg] ἐντολή[ngfsc] κύριος[ngmsc] ὁ[dnns] πρόσταγμα[nnnsc] ἐν[pd] χείρ[ndfsc] ὁ[dgmp] προφήτης[ngmpc]. **v.26** καί[cc] ἵστημι[viaa3p] ὁ[dnmp] λευίτης[nnmpp] ἐν[pd] ὄργανον[ndnpc] Δαυίδ[ngmsp] καί[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] ὁ[ddfp] σάλπιγξ[ndfpc]. **v.27** καί[cc] λέγω[viaa3s] Ἑζεκίας[nnmsp] ἀναφέρω[vnaa] ὁ[dafs] ὁλοκαύτωσις[nafsc] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc] καί[cc] ἐν[pd] ὁ[ddns] ἄρχω[vnam] ἀναφέρω[vnpa] ὁ[dafs] ὁλοκαύτωσις[nafsc] ἄρχω[viam3p] ᾄδω[vnpa] κύριος[ndmsc] καί[cc] ὁ[dnfp] σάλπιγξ[nnfpc] πρός[pa] ὁ[danp] ὄργανον[nanpc] Δαυίδ[ngmsp] βασιλεύς[ngmsc] Ἰσραήλ[ngmsp]. **v.28** καί[cc] πᾶς[ainfsn] ὁ[dnfs] ἐκκλησία[nnfsc] προσκυνέω[viia3s] καί[cc] ὁ[dnmp] ψαλτῳδός[nnmpc] ᾄδω[vppanmp] καί[cc] ὁ[dnfp] σάλπιγξ[nnfpc] σαλπίζω[vppanfp] ἕως[pg] ὅς[rrgns] συντελέω[viap3s] ὁ[dnfs] ὁλοκαύτωσις[nnfsc].

συνετέλεσαν ἀναφέροντες ἔκαμψεν ὁ βασιλεὺς καὶ πάντες οἱ εὑ-
30 ρεθέντες καὶ προσεκύνησαν. καὶ εἶπεν Εζεκιας ὁ βασιλεὺς καὶ
οἱ ἄρχοντες τοῖς Λευίταις ὑμνεῖν τὸν κύριον ἐν λόγοις Δαυιδ καὶ
Ασαφ τοῦ προφήτου καὶ ὕμνουν ἐν εὐφροσύνῃ καὶ ἔπεσον καὶ
31 προσεκύνησαν. καὶ ἀπεκρίθη Εζεκιας καὶ εἶπεν νῦν ἐπληρώ-
σατε τὰς χεῖρας ὑμῶν κυρίῳ προσαγάγετε καὶ φέρετε θυσίας καὶ
αἰνέσεως εἰς οἶκον κυρίου καὶ ἀνήνεγκεν ἡ ἐκκλησία θυσίας καὶ
αἰνέσεως εἰς οἶκον κυρίου καὶ πᾶς πρόθυμος τῇ καρδίᾳ ὁλοκαυ-
32 τώσεις. καὶ ἐγένετο ὁ ἀριθμὸς τῆς ὁλοκαυτώσεως ἧς ἀνήνεγκεν
ἡ ἐκκλησία μόσχοι ἑβδομήκοντα κριοὶ ἑκατόν ἀμνοὶ διακόσιοι
33 εἰς ὁλοκαύτωσιν κυρίῳ πάντα ταῦτα. καὶ οἱ ἡγιασμένοι μόσχοι
34 ἑξακόσιοι πρόβατα τρισχίλια. ἀλλ᾽ ἢ οἱ ἱερεῖς ὀλίγοι ἦσαν καὶ
οὐκ ἐδύναντο δεῖραι τὴν ὁλοκαύτωσιν καὶ ἀντελάβοντο αὐτῶν οἱ
ἀδελφοὶ αὐτῶν οἱ Λευῖται ἕως οὗ συνετελέσθη τὸ ἔργον καὶ ἕως
οὗ ἡγνίσθησαν οἱ ἱερεῖς ὅτι οἱ Λευῖται προθύμως ἡγνίσθησαν πα-
35 ρὰ τοὺς ἱερεῖς. καὶ ἡ ὁλοκαύτωσις πολλὴ ἐν τοῖς στέασιν τῆς
τελειώσεως τοῦ σωτηρίου καὶ τῶν σπονδῶν τῆς ὁλοκαυτώσεως καὶ
36 κατωρθώθη τὸ ἔργον ἐν οἴκῳ κυρίου. καὶ ηὐφράνθη Εζεκιας
καὶ πᾶς ὁ λαὸς διὰ τὸ ἡτοιμακέναι τὸν θεὸν τῷ λαῷ ὅτι ἐξάπινα
ἐγένετο ὁ λόγος.

**30** καὶ ἀπέστειλεν Εζεκιας ἐπὶ πάντα Ισραηλ καὶ Ιουδαν καὶ ἐπι-
στολὰς ἔγραψεν ἐπὶ τὸν Εφραιμ καὶ Μανασση ἐλθεῖν εἰς οἶκον

---

**v.29** καί[cc] ὡς[cs] συντελέω[viaa3p] ἀναφέρω[vppanmp] κάμπτω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] εὑρίσκω[vpapnmp] καί[cc] προσκυνέω[viaa3p]. **v.30** καί[cc] λέγω[viaa3s] Ἑζεκίας[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] ὁ[dnmp] ἄρχων[nnmpc] ὁ[ddmp] λευίτης[ndmpp] ὑμνέω[vnpa] ὁ[dams] κύριος[namsc] ἐν[pd] λόγος[ndmpc] Δαυίδ[ngmsp] καί[cc] Ἀσάφ[ngmsp] ὁ[dgms] προφήτης[ngmsc] καί[cc] ὑμνέω[viia3p] ἐν[pd] εὐφροσύνη[ndfsc] καί[cc] πίπτω[viaa3p] καί[cc] προσκυνέω[viaa3p]. **v.31** καί[cc] ἀποκρίνομαι[viap3s] Ἑζεκίας[nnmsp] καί[cc] λέγω[viaa3s] νῦν[b] πληρόω[viaa2p] ὁ[dafp] χείρ[nafpc] σύ[rpg-p] κύριος[ndmsc] προσάγω[vdaa2p] καί[cc] φέρω[vdpa2p] θυσία[nafpc] καί[cc] αἴνεσις[ngfsc] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc] καί[cc] ἀναφέρω[viaa3s] ὁ[dnfs] ἐκκλησία[nnfsc] θυσία[nafpc] καί[cc] αἴνεσις[ngfsc] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc] καί[cc] πᾶς[ainmsn] πρόθυμος[annmsn] ὁ[ddfs] καρδία[ndfsc] ὁλοκαύτωσις[nafpc]. **v.32** καί[cc] γίνομαι[viam3s] ὁ[dnms] ἀριθμός[nnmsc] ὁ[dgfs] ὁλοκαύτωσις[ngfsc] ὅς[rrgfs] ἀναφέρω[viaa3s] ὁ[dnfs] ἐκκλησία[nnfsc] μόσχος[nnmpc] ἑβδομήκοντα[ac—n] κριός[nnmpc] ἑκατόν[ac—n] ἀμνός[nnmpc] διακόσιοι[acnmpn] εἰς[pa] ὁλοκαύτωσις[nafsc] κύριος[ndmsc] πᾶς[ainnpn] οὗτος[rdnnp]. **v.33** καί[cc] ὁ[dnmp] ἁγιάζω[vpxpnmp] μόσχος[nnmpc] ἑξακόσιοι[acnmpn] πρόβατον[nnnpc] τρισχίλιοι[acnnpn]. **v.34** ἀλλά[cc] ἤ[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] ὀλίγος[annmpn] εἰμί[viia3p] καί[cc] οὐ[b] δύναμαι[viim3p] δέρω[vnaa] ὁ[dafs] ὁλοκαύτωσις[nafsc] καί[cc] ἀντιλαμβάνομαι[viam3p] αὐτός[rpgmp] ὁ[dnmp] ἀδελφός[nnmpc] αὐτός[rpgmp] ὁ[dnmp] λευίτης[nnmpp] ἕως[pg] ὅς[rrgns] συντελέω[viap3s] ὁ[dnns] ἔργον[nnnsc] καί[cc] ἕως[pg] ὅς[rrgns] ἁγνίζω[viap3p] ὁ[dnmp] ἱερεύς[nnmpc] ὅτι[cs] ὁ[dnmp] λευίτης[nnmpp] προθύμως[b] ἁγνίζω[viap3p] παρά[pa] ὁ[damp] ἱερεύς[nampc]. **v.35** καί[cc] ὁ[dnfs] ὁλοκαύτωσις[nnfsc] πολύς[annfsn] ἐν[pd] ὁ[ddnp] στέαρ[ndnpc] ὁ[dgfs] τελείωσις[ngfsc] ὁ[dgns] σωτήριον[ngnsc] καί[cc] ὁ[dgfp] σπονδή[ngfpc] ὁ[dgfs] ὁλοκαύτωσις[ngfsc] καί[cc] κατορθόω[viap3s] ὁ[dnns] ἔργον[nnnsc] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc]. **v.36** καί[cc] εὐφραίνω[viap3s] Ἑζεκίας[nnmsp] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] διά[pa] ὁ[dans] ἑτοιμάζω[vnxa] ὁ[dams] θεός[namsc] ὁ[ddms] λαός[ndmsc] ὅτι[cs] ἐξάπινα[b] γίνομαι[viam3s] ὁ[dnms] λόγος[nnmsc].

κυρίου εἰς Ιερουσαλημ ποιῆσαι τὸ φασεκ τῷ κυρίῳ θεῷ Ισραηλ.
καὶ ἐβουλεύσατο ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες καὶ πᾶσα ἡ ἐκκλη- 2
σία ἡ ἐν Ιερουσαλημ ποιῆσαι τὸ φασεκ τῷ μηνὶ τῷ δευτέρῳ. οὐ 3
γὰρ ἠδυνάσθησαν αὐτὸ ποιῆσαι ἐν τῷ καιρῷ ἐκείνῳ ὅτι οἱ ἱερεῖς
οὐχ ἡγνίσθησαν ἱκανοί καὶ ὁ λαὸς οὐ συνήχθη εἰς Ιερουσαλημ.
καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως καὶ ἐναντίον τῆς ἐκ- 4
κλησίας. καὶ ἔστησαν λόγον διελθεῖν κήρυγμα ἐν παντὶ Ισραηλ 5
ἀπὸ Βηρσαβεε ἕως Δαν ἐλθόντας ποιῆσαι τὸ φασεκ κυρίῳ θεῷ Ισ-
ραηλ ἐν Ιερουσαλημ ὅτι πλῆθος οὐκ ἐποίησεν κατὰ τὴν γραφήν.
καὶ ἐπορεύθησαν οἱ τρέχοντες σὺν ταῖς ἐπιστολαῖς παρὰ τοῦ βα- 6
σιλέως καὶ τῶν ἀρχόντων εἰς πάντα Ισραηλ καὶ Ιουδαν κατὰ τὸ
πρόσταγμα τοῦ βασιλέως λέγοντες υἱοὶ Ισραηλ ἐπιστρέψατε πρὸς
θεὸν Αβρααμ καὶ Ισαακ καὶ Ισραηλ καὶ ἐπιστρέψει τοὺς ἀνασεσῳ-
σμένους τοὺς καταλειφθέντας ἀπὸ χειρὸς βασιλέως Ασσουρ. καὶ 7
μὴ γίνεσθε καθὼς οἱ πατέρες ὑμῶν καὶ οἱ ἀδελφοὶ ὑμῶν οἳ ἀπέ-
στησαν ἀπὸ κυρίου θεοῦ πατέρων αὐτῶν καὶ παρέδωκεν αὐτοὺς
εἰς ἐρήμωσιν καθὼς ὑμεῖς ὁρᾶτε. καὶ νῦν μὴ σκληρύνητε τοὺς 8
τραχήλους ὑμῶν δότε δόξαν κυρίῳ τῷ θεῷ καὶ εἰσέλθατε εἰς τὸ
ἁγίασμα αὐτοῦ ὃ ἡγίασεν εἰς τὸν αἰῶνα καὶ δουλεύσατε τῷ κυρίῳ
θεῷ ὑμῶν καὶ ἀποστρέψει ἀφ᾽ ὑμῶν θυμὸν ὀργῆς. ὅτι ἐν τῷ ἐπι- 9

**30. v.1** καί[cc] ἀποστέλλω[viaa3s] Ἑζεκίας[nnmsp] ἐπί[pa] πᾶς[aiamsn] Ἰσραήλ[namsp] καί[cc] Ἰούδας[namsp] καί[cc] ἐπιστολή[nafpc] γράφω[viaa3s] ἐπί[pa] ὁ[dams] Ἐφραίμ[namsp] καί[cc] Μανασσῆ[namsp] ἔρχομαι[vnaa] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc] εἰς[pa] Ἰερουσαλήμ[nafsp] ποιέω[vnaa] ὁ[dans] φασεκ[t] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] Ἰσραήλ[ngmsp]. **v.2** καί[cc] βουλεύω[viam3s] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] ὁ[dnmp] ἄρχων[nnmpc] καί[cc] πᾶς[ainfsn] ὁ[dnfs] ἐκκλησία[nnfsc] ὁ[dnfs] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ποιέω[vnaa] ὁ[dans] φασεκ[t] ὁ[ddms] μήν[ndmsc] ὁ[ddms] δεύτερος[aodmsn]. **v.3** οὐ[b] γάρ[cc] δύναμαι[viap3p] αὐτός[rpans] ποιέω[vnaa] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ἐκεῖνος[rddms] ὅτι[cs] ὁ[dnmp] ἱερεύς[nnmpc] οὐ[b] ἁγνίζω[viap3p] ἱκανός[annmpn] καί[cc] ὁ[dnms] λαός[nnmsc] οὐ[b] συνάγω[viap3s] εἰς[pa] Ἰερουσαλήμ[nafsp]. **v.4** καί[cc] ἀρέσκω[viaa3s] ὁ[dnms] λόγος[nnmsc] ἐναντίον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ἐναντίον[pg] ὁ[dgfs] ἐκκλησία[ngfsc]. **v.5** καί[cc] ἵστημι[viaa3p] λόγος[namsc] διέρχομαι[vnaa] κήρυγμα[nansc] ἐν[pd] πᾶς[aidmsn] Ἰσραήλ[ndmsp] ἀπό[pg] Βηρσαβεε[ngfsp] ἕως[pg] Δάν[ngfsp] ἔρχομαι[vpaaamp] ποιέω[vnaa] ὁ[dans] φασεκ[t] κύριος[ndmsc] θεός[ndmsc] Ἰσραήλ[ngmsp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ὅτι[cs] πλῆθος[nnnsc] οὐ[b] ποιέω[viaa3s] κατά[pa] ὁ[dafs] γραφή[nafsc]. **v.6** καί[cc] πορεύομαι[viap3p] ὁ[dnmp] τρέχω[vppanmp] σύν[pd] ὁ[ddfp] ἐπιστολή[ndfsc] παρά[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ὁ[dgmp] ἄρχων[ngmpc] εἰς[pa] πᾶς[aiamsn] Ἰσραήλ[namsp] καί[cc] Ἰούδας[namsp] κατά[pa] ὁ[dans] πρόσταγμα[nansc] ὁ[dgms] βασιλεύς[ngmsc] λέγω[vppanmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] ἐπιστρέφω[vdaa2p] πρός[pa] θεός[namsc] Ἀβραάμ[ngmsp] καί[cc] Ἰσαάκ[ngmsp] καί[cc] Ἰσραήλ[ngmsp] καί[cc] ἐπιστρέφω[vifa3s] ὁ[damp] ἀνασῴζω[vpxpamp] ὁ[damp] καταλείπω[vpapamp] ἀπό[pg] χείρ[ngfsc] βασιλεύς[ngmsc] Ασσουρ[ngmsp]. **v.7** καί[cc] μή[x] γίνομαι[vdpm2p] καθώς[cs] ὁ[dnmp] πατήρ[nnmpc] σύ[rpg-p] καί[cc] ὁ[dnmp] ἀδελφός[nnmpc] σύ[rpg-p] ὅς[rrnmp] ἀφίστημι[viaa3p] ἀπό[pg] κύριος[ngmsc] θεός[ngmsc] πατήρ[ngmpc] αὐτός[rpgmp] καί[cc] παραδίδωμι[viaa3s] αὐτός[rpamp] εἰς[pa] ἐρήμωσις[nafsc] καθώς[cs] σύ[rpn-p] ὁράω[vipa2p]. **v.8** καί[cc] νῦν[b] μή[x] σκληρύνω[vsaa2p] ὁ[damp] τράχηλος[nampc] σύ[rpg-p] δίδωμι[vdaa2p] δόξα[nafsc] κύριος[ndmsc] ὁ[ddms] θεός[ndmsc] καί[cc] εἰσέρχομαι[vdaa2p] εἰς[pa] ὁ[dans] ἁγίασμα[nansc] αὐτός[rpgms] ὅς[rrans] ἁγιάζω[viaa3s] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] δουλεύω[vdaa2p] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] σύ[rpg-p] καί[cc] ἀποστρέφω[vifa3s] ἀπό[pg] σύ[rpg-p] θυμός[namsc] ὀργή[ngfsc].

στρέφειν ὑμᾶς πρὸς κύριον οἱ ἀδελφοὶ ὑμῶν καὶ τὰ τέκνα ὑμῶν
ἔσονται ἐν οἰκτιρμοῖς ἔναντι πάντων τῶν αἰχμαλωτισάντων αὐτούς
καὶ ἀποστρέψει εἰς τὴν γῆν ταύτην ὅτι ἐλεήμων καὶ οἰκτίρμων
κύριος ὁ θεὸς ἡμῶν καὶ οὐκ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀφ'
10 ἡμῶν ἐὰν ἐπιστρέψωμεν πρὸς αὐτόν. καὶ ἦσαν οἱ τρέχοντες δια-
πορευόμενοι πόλιν ἐκ πόλεως ἐν τῷ ὄρει Εφραιμ καὶ Μανασση
καὶ ἕως Ζαβουλων καὶ ἐγένοντο ὡς καταγελῶντες αὐτῶν καὶ κα-
11 ταμωκώμενοι. ἀλλὰ ἄνθρωποι Ασηρ καὶ ἀπὸ Μανασση καὶ ἀπὸ
12 Ζαβουλων ἐνετράπησαν καὶ ἦλθον εἰς Ιερουσαλημ. καὶ ἐν Ιουδα
ἐγένετο χεὶρ κυρίου δοῦναι αὐτοῖς καρδίαν μίαν ἐλθεῖν τοῦ ποι-
ῆσαι κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως καὶ τῶν ἀρχόντων ἐν λόγῳ
13 κυρίου. καὶ συνήχθησαν εἰς Ιερουσαλημ λαὸς πολὺς τοῦ ποι-
ῆσαι τὴν ἑορτὴν τῶν ἀζύμων ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐκκλησία
14 πολλὴ σφόδρα. καὶ ἀνέστησαν καὶ καθεῖλαν τὰ θυσιαστήρια τὰ
ἐν Ιερουσαλημ καὶ πάντα ἐν οἷς ἐθυμιῶσαν τοῖς ψευδέσιν κατέ-
15 σπασαν καὶ ἔρριψαν εἰς τὸν χειμάρρουν Κεδρων. καὶ ἔθυσαν τὸ
φασεκ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦ δευτέρου καὶ οἱ ἱε-
ρεῖς καὶ οἱ Λευῖται ἐνετράπησαν καὶ ἡγνίσθησαν καὶ εἰσήνεγκαν
16 ὁλοκαυτώματα εἰς οἶκον κυρίου. καὶ ἔστησαν ἐπὶ τὴν στάσιν
αὐτῶν κατὰ τὸ κρίμα αὐτῶν κατὰ τὴν ἐντολὴν Μωυσῆ ἀνθρώπου
τοῦ θεοῦ καὶ οἱ ἱερεῖς ἐδέχοντο τὰ αἵματα ἐκ χειρὸς τῶν Λευι-

---

**v.9** ὅτι[cs] ἐν[pd] ὁ[ddns] ἐπιστρέφω[vnpa] σύ[rpa-p] πρός[pa] κύριος[namsc] ὁ[dnmp] ἀδελφός[nnmpc] σύ[rpg-p] καί[cc] ὁ[dnnp] τέκνον[nnnpc] σύ[rpg-p] εἰμί[vifm3p] ἐν[pd] οἰκτιρμός[ndmpc] ἔναντι[pg] πᾶς[aigmpn] ὁ[dgmp] αἰχμαλωτίζω[vpaagmp] αὐτός[rpamp] καί[cc] ἀποστρέφω[vifa3s] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] οὗτος[rdafs] ὅτι[cs] ἐλεήμων[annmsn] καί[cc] οἰκτίρμων[annmsn] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] καί[cc] οὐ[b] ἀποστρέφω[vifa3s] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgms] ἀπό[pg] ἐγώ[rpg-p] ἐάν[cs] ἐπιστρέφω[vsaa1p] πρός[pa] αὐτός[rpams]. **v.10** καί[cc] εἰμί[viia3p] ὁ[dnmp] τρέχω[vppanmp] διαπορεύομαι[vppmnmp] πόλις[nafsc] ἐκ[pg] πόλις[ngfsc] ἐν[pd] ὁ[ddns] ὄρος[ndnsc] Ἐφραίμ[ngmsp] καί[cc] Μανασσῆ[ngmsp] καί[cc] ἕως[pg] Ζαβουλών[ngmsp] καί[cc] γίνομαι[viam3p] ὡς[cs] καταγελάω[vppanmp] αὐτός[rpgmp] καί[cc] καταμωκάομαι[vppmnmp]. **v.11** ἀλλά[cc] ἄνθρωπος[nnmpc] Ασηρ[ngmsp] καί[cc] ἀπό[pg] Μανασσῆ[ngmsp] καί[cc] ἀπό[pg] Ζαβουλών[ngmsp] ἐντρέπω[viap3p] καί[cc] ἔρχομαι[viaa3p] εἰς[pa] Ἰερουσαλήμ[nafsp]. **v.12** καί[cc] ἐν[pd] Ἰούδας[ndmsp] γίνομαι[viam3s] χείρ[nnfsc] κύριος[ngmsc] δίδωμι[vnaa] αὐτός[rpdmp] καρδία[nafsc] εἷς[acafsn] ἔρχομαι[vnaa] ὁ[dgns] ποιέω[vnaa] κατά[pa] ὁ[dans] πρόσταγμα[nansc] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ὁ[dgmp] ἄρχων[ngmpc] ἐν[pd] λόγος[ndmsc] κύριος[ngmsc]. **v.13** καί[cc] συνάγω[viap3p] εἰς[pa] Ἰερουσαλήμ[nafsp] λαός[nnmsc] πολύς[annmsn] ὁ[dgns] ποιέω[vnaa] ὁ[dafs] ἑορτή[nafsc] ὁ[dgnp] ἄζυμος[angnpn] ἐν[pd] ὁ[ddms] μήν[ndmsc] ὁ[ddms] δεύτερος[aodmsn] ἐκκλησία[nnfsc] πολύς[annfsn] σφόδρα[b]. **v.14** καί[cc] ἀνίστημι[viaa3p] καί[cc] καθαιρέω[viaa3p] ὁ[danp] θυσιαστήριον[nanpc] ὁ[danp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] καί[cc] πᾶς[aianpn] ἐν[pd] ὅς[rrdnp] θυμιάω[viaa3p] ὁ[ddnp] ψευδής[andnpn] κατασπάω[viaa3p] καί[cc] ῥίπτω[viaa3p] εἰς[pa] ὁ[dams] χείμαρρος[namsc] Κεδρών[ng-sp]. **v.15** καί[cc] θύω[viaa3p] ὁ[dans] φασεκ[t] ὁ[ddfs] τεσσαρεσκαιδέκατος[aodfsn] ὁ[dgms] μήν[ngmsc] ὁ[dgms] δεύτερος[aogmsn] καί[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] ἐντρέπω[viap3p] καί[cc] ἁγνίζω[viap3p] καί[cc] εἰσφέρω[viaa3p] ὁλοκαύτωμα[nanpc] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc].

τῶν. ὅτι πλῆθος τῆς ἐκκλησίας οὐχ ἡγνίσθη καὶ οἱ Λευῖται ἦσαν 17
τοῦ θύειν τὸ φασεκ παντὶ τῷ μὴ δυναμένῳ ἁγνισθῆναι τῷ κυρίῳ.
ὅτι τὸ πλεῖστον τοῦ λαοῦ ἀπὸ Εφραιμ καὶ Μανασση καὶ Ισσα- 18
χαρ καὶ Ζαβουλων οὐχ ἡγνίσθησαν ἀλλὰ ἔφαγον τὸ φασεκ παρὰ
τὴν γραφήν καὶ προσηύξατο Εζεκιας περὶ αὐτῶν λέγων κύριος ὁ
ἀγαθὸς ἐξιλασάσθω ὑπὲρ. πάσης καρδίας κατευθυνούσης ἐκζη- 19
τῆσαι κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν καὶ οὐ κατὰ τὴν ἁγνείαν
τῶν ἁγίων. καὶ ἐπήκουσεν κύριος τῷ Εζεκια καὶ ἰάσατο τὸν λα- 20
όν. καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ οἱ εὑρεθέντες ἐν Ιερουσαλημ 21
τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ μεγάλῃ καὶ
καθυμνοῦντες τῷ κυρίῳ ἡμέραν καθ᾽ ἡμέραν καὶ οἱ ἱερεῖς καὶ οἱ
Λευῖται ἐν ὀργάνοις τῷ κυρίῳ. καὶ ἐλάλησεν Εζεκιας ἐπὶ πᾶσαν 22
καρδίαν τῶν Λευιτῶν καὶ τῶν συνιόντων σύνεσιν ἀγαθὴν τῷ κυρίῳ
καὶ συνετέλεσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας θύοντες θυ-
σίας σωτηρίου καὶ ἐξομολογούμενοι τῷ κυρίῳ θεῷ τῶν πατέρων
αὐτῶν. καὶ ἐβουλεύσατο ἡ ἐκκλησία ἅμα ποιῆσαι ἑπτὰ ἡμέρας 23
ἄλλας καὶ ἐποίησαν ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ. ὅτι Εζεκιας ἀ- 24
πήρξατο τῷ Ιουδα τῇ ἐκκλησίᾳ μόσχους χιλίους καὶ ἑπτακισχίλια
πρόβατα καὶ οἱ ἄρχοντες ἀπήρξαντο τῷ λαῷ μόσχους χιλίους καὶ

---

**v.16** καί[cc] ἵστημι[viaa3p] ἐπί[pa] ὁ[dafs] στάσις[nafsc] αὐτός[rpgmp] κατά[pa] ὁ[dans] κρίμα[nansc] αὐτός[rpgmp] κατά[pa] ὁ[dafs] ἐντολή[nafsc] Μωυσῆ[ngmsp] ἄνθρωπος[ngmsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] δέχομαι[viim3p] ὁ[danp] αἷμα[nanpc] ἐκ[pg] χείρ[ngfsc] ὁ[dgmp] λευίτης[ngmpp]. **v.17** ὅτι[cs] πλῆθος[nnnsc] ὁ[dgfs] ἐκκλησία[ngfsc] οὐ[b] ἁγνίζω[viap3s] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] εἰμί[viia3p] ὁ[dgns] θύω[vnpa] ὁ[dans] φασεκ[t] πᾶς[aidmsn] ὁ[ddms] μή[x] δύναμαι[vppmdms] ἁγνίζω[vnap] ὁ[ddms] κύριος[ndmsc]. **v.18** ὅτι[cs] ὁ[dnns] πολύς[annnss] ὁ[dgms] λαός[ngmsc] ἀπό[pg] Ἐφραίμ[ngmsp] καί[cc] Μανασσῆ[ngmsp] καί[cc] Ἰσσαχάρ[ngmsp] καί[cc] Ζαβουλών[ngmsp] οὐ[b] ἁγνίζω[viap3p] ἀλλά[cc] ἐσθίω[viaa3p] ὁ[dans] φασεκ[t] παρά[pa] ὁ[dafs] γραφή[nafsc] καί[cc] προσεύχομαι[viam3s] Ἑζεκίας[nnmsp] περί[pg] αὐτός[rpgmp] λέγω[vppanms] κύριος[nnmsc] ὁ[dnms] ἀγαθός[annmsn] ἐξιλάσκομαι[vdam3s] ὑπέρ[pg]. **v.19** πᾶς[aigfsn] καρδία[ngfsc] κατευθύνω[vpapgfs] ἐκζητέω[vnaa] κύριος[namsc] ὁ[dams] θεός[namsc] ὁ[dgmp] πατήρ[ngmpc] αὐτός[rpgmp] καί[cc] οὐ[b] κατά[pa] ὁ[dafs] ἁγνεία[nafsc] ὁ[dgnp] ἅγιος[angnpn]. **v.20** καί[cc] ἐπακούω[viaa3s] κύριος[nnmsc] ὁ[ddms] Ἑζεκίας[ndmsp] καί[cc] ἰάομαι[viam3s] ὁ[dams] λαός[namsc]. **v.21** καί[cc] ποιέω[viaa3p] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] ὁ[dnmp] εὑρίσκω[vpapnmp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ὁ[dafs] ἑορτή[nafsc] ὁ[dgnp] ἄζυμος[angnpn] ἑπτά[ac—n] ἡμέρα[nafpc] ἐν[pd] εὐφροσύνη[ndfsc] μέγας[andfsn] καί[cc] καθυμνέω[vppanmp] ὁ[ddms] κύριος[ndmsc] ἡμέρα[nafsc] κατά[pa] ἡμέρα[nafsc] καί[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] ἐν[pd] ὄργανον[ndnpc] ὁ[ddms] κύριος[ndmsc]. **v.22** καί[cc] λαλέω[viaa3s] Ἑζεκίας[nnmsp] ἐπί[pa] πᾶς[aiafsn] καρδία[nafsc] ὁ[dgmp] λευίτης[ngmpp] καί[cc] ὁ[dgmp] συνίημι[vppagmp] σύνεσις[nafsc] ἀγαθός[anafsn] ὁ[ddms] κύριος[ndmsc] καί[cc] συντελέω[viaa3p] ὁ[dafs] ἑορτή[nafsc] ὁ[dgnp] ἄζυμος[angnpn] ἑπτά[ac—n] ἡμέρα[nafpc] θύω[vppanmp] θυσία[nafpc] σωτήριον[ngnsc] καί[cc] ἐξομολογέω[vppmnmp] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] ὁ[dgmp] πατήρ[ngmpc] αὐτός[rpgmp]. **v.23** καί[cc] βουλεύω[viam3s] ὁ[dnfs] ἐκκλησία[nnfsc] ἅμα[b] ποιέω[vnaa] ἑπτά[ac—n] ἡμέρα[nafpc] ἄλλος[riafp] καί[cc] ποιέω[viaa3p] ἑπτά[ac—n] ἡμέρα[nafpc] ἐν[pd] εὐφροσύνη[ndfsc].

25 πρόβατα δέκα χιλιάδας καὶ τὰ ἅγια τῶν ἱερέων εἰς πλῆθος. καὶ
ηὐφράνθη πᾶσα ἡ ἐκκλησία οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πᾶσα ἡ
ἐκκλησία Ιουδα καὶ οἱ εὑρεθέντες ἐξ Ισραηλ καὶ οἱ προσήλυτοι
26 οἱ ἐλθόντες ἀπὸ γῆς Ισραηλ καὶ οἱ κατοικοῦντες ἐν Ιουδα. καὶ
ἐγένετο εὐφροσύνη μεγάλη ἐν Ιερουσαλημ ἀπὸ ἡμερῶν Σαλωμων
υἱοῦ Δαυιδ βασιλέως Ισραηλ οὐκ ἐγένετο τοιαύτη ἑορτὴ ἐν Ιερου-
27 σαλημ. καὶ ἀνέστησαν οἱ ἱερεῖς οἱ Λευῖται καὶ ηὐλόγησαν τὸν
λαόν καὶ ἐπηκούσθη ἡ φωνὴ αὐτῶν καὶ ἦλθεν ἡ προσευχὴ αὐτῶν
εἰς τὸ κατοικητήριον τὸ ἅγιον αὐτοῦ εἰς τὸν οὐρανόν.
**31** καὶ ὡς συνετελέσθη πάντα ταῦτα ἐξῆλθεν πᾶς Ισραηλ οἱ εὑρε-
θέντες ἐν πόλεσιν Ιουδα καὶ συνέτριψαν τὰς στήλας καὶ ἐξέκοψαν
τὰ ἄλση καὶ κατέσπασαν τὰ ὑψηλὰ καὶ τοὺς βωμοὺς ἀπὸ πάσης
τῆς Ιουδαίας καὶ Βενιαμιν καὶ ἐξ Εφραιμ καὶ ἀπὸ Μανασση ἕως
εἰς τέλος καὶ ἐπέστρεψαν πᾶς Ισραηλ ἕκαστος εἰς τὴν κληρονο-
2 μίαν αὐτοῦ καὶ εἰς τὰς πόλεις αὐτῶν. καὶ ἔταξεν Εζεκιας τὰς
ἐφημερίας τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τὰς ἐφημερίας ἑκά-
στου κατὰ τὴν ἑαυτοῦ λειτουργίαν τοῖς ἱερεῦσιν καὶ τοῖς Λευίταις
εἰς τὴν ὁλοκαύτωσιν καὶ εἰς τὴν θυσίαν τοῦ σωτηρίου καὶ αἰνεῖν
καὶ ἐξομολογεῖσθαι καὶ λειτουργεῖν ἐν ταῖς πύλαις ἐν ταῖς αὐ-
3 λαῖς οἴκου κυρίου. καὶ μερὶς τοῦ βασιλέως ἐκ τῶν ὑπαρχόντων

---

**v.24** ὅτι[cs] Ἑζεκίας[nnmsp] ἀπάρχομαι[viam3s] ὁ[ddms] Ἰούδας[ndmsp] ὁ[ddfs] ἐκκλησία[ndfsc] μόσχος[nampc] χίλιοι[acampn] καί[cc] ἑπτακισχίλιοι[acanpn] πρόβατον[nanpc] καί[cc] ὁ[dnmp] ἄρχων[nnmpc] ἀπάρχομαι[viam3p] ὁ[ddms] λαός[ndmsc] μόσχος[nampc] χίλιοι[acampn] καί[cc] πρόβατον[nanpc] δέκα[ac—n] χιλιάς[nafpc] καί[cc] ὁ[danp] ἅγιος[ananpn] ὁ[dgmp] ἱερεύς[ngmpc] εἰς[pa] πλῆθος[nansc]. **v.25** καί[cc] εὐφραίνω[viap3s] πᾶς[ainfsn] ὁ[dnfs] ἐκκλησία[nnfsc] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] καί[cc] πᾶς[ainfsn] ὁ[dnfs] ἐκκλησία[nnfsc] Ἰούδας[ngmsp] καί[cc] ὁ[dnmp] εὑρίσκω[vpapnmp] ἐκ[pg] Ἰσραήλ[ngmsp] καί[cc] ὁ[dnmp] προσήλυτος[nnmpc] ὁ[dnmp] ἔρχομαι[vpaanmp] ἀπό[pg] γῆ[ngfsc] Ἰσραήλ[ngmsp] καί[cc] ὁ[dnmp] κατοικέω[vppanmp] ἐν[pd] Ἰούδας[ndmsp]. **v.26** καί[cc] γίνομαι[viam3s] εὐφροσύνη[nnfsc] μέγας[annfsn] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ἀπό[pg] ἡμέρα[ngfpc] Σαλωμών[ngmsp] υἱός[ngmsc] Δαυίδ[ngmsp] βασιλεύς[ngmsc] Ἰσραήλ[ngmsp] οὐ[b] γίνομαι[viam3s] τοιοῦτος[adnfsn] ἑορτή[nnfsc] ἐν[pd] Ἰερουσαλήμ[ndfsp]. **v.27** καί[cc] ἀνίστημι[viaa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] ὁ[dnmp] λευίτης[nnmpp] καί[cc] εὐλογέω[viaa3p] ὁ[dams] λαός[namsc] καί[cc] ἐπακούω[viap3s] ὁ[dnfs] φωνή[nnfsc] αὐτός[rpgmp] καί[cc] ἔρχομαι[viaa3s] ὁ[dnfs] προσευχή[nnfsc] αὐτός[rpgmp] εἰς[pa] ὁ[dans] κατοικητήριον[nansc] ὁ[dans] ἅγιος[anansn] αὐτός[rpgms] εἰς[pa] ὁ[dams] οὐρανός[namsc]. **31. v.1** καί[cc] ὡς[cs] συντελέω[viap3s] πᾶς[ainnpn] οὗτος[rdnnp] ἐξέρχομαι[viaa3s] πᾶς[ainmsn] Ἰσραήλ[nnmsp] ὁ[dnmp] εὑρίσκω[vpapnmp] ἐν[pd] πόλις[ndfpc] Ἰούδας[ngmsp] καί[cc] συντρίβω[viaa3p] ὁ[dafp] στήλη[nafpc] καί[cc] ἐκκόπτω[viaa3p] ὁ[danp] ἄλσος[nanpc] καί[cc] κατασπάω[viaa3p] ὁ[danp] ὑψηλός[ananpn] καί[cc] ὁ[damp] βωμός[nampc] ἀπό[pg] πᾶς[aigfsn] ὁ[dgfs] Ἰουδαία[ngfsp] καί[cc] Βενιαμίν[ngmsp] καί[cc] ἐκ[pg] Ἐφραίμ[ngmsp] καί[cc] ἀπό[pg] Μανασσῆ[ngmsp] ἕως[b] εἰς[pa] τέλος[nansc] καί[cc] ἐπιστρέφω[viaa3p] πᾶς[ainmsn] Ἰσραήλ[nnmsp] ἕκαστος[ainmsn] εἰς[pa] ὁ[dafs] κληρονομία[nafsc] αὐτός[rpgms] καί[cc] εἰς[pa] ὁ[dafp] πόλις[nafpc] αὐτός[rpgmp]. **v.2** καί[cc] τάσσω[viaa3s] Ἑζεκίας[nnmsp] ὁ[dafp] ἐφημερία[nafpc] ὁ[dgmp] ἱερεύς[ngmpc] καί[cc] ὁ[dgmp] λευίτης[ngmpp] καί[cc] ὁ[dafp] ἐφημερία[nafpc] ἕκαστος[aigmsn] κατά[pa] ὁ[dafs] ἑαυτοῦ[rxgms] λειτουργία[nafsc] ὁ[ddmp] ἱερεύς[ndmpc] καί[cc] ὁ[ddmp] λευίτης[ndmpp] εἰς[pa] ὁ[dafs] ὁλοκαύτωσις[nafsc] καί[cc] εἰς[pa] ὁ[dafs] θυσία[nafsc] ὁ[dgns] σωτήριον[ngnsc] καί[cc] αἰνέω[vnpa] καί[cc] ἐξομολογέω[vnpm] καί[cc] λειτουργέω[vnpa] ἐν[pd] ὁ[ddfp] πύλη[ndfpc] ἐν[pd] ὁ[ddfp] αὐλή[ndfpc] οἶκος[ngmsc] κύριος[ngmsc].

αὐτοῦ εἰς τὰς ὁλοκαυτώσεις τὴν πρωινὴν καὶ τὴν δειλινὴν καὶ ὁ-
λοκαυτώσεις εἰς σάββατα καὶ εἰς τὰς νουμηνίας καὶ εἰς τὰς ἑορτὰς
τὰς γεγραμμένας ἐν τῷ νόμῳ κυρίου. καὶ εἶπεν τῷ λαῷ τοῖς κα- 4
τοικοῦσιν ἐν Ιερουσαλημ δοῦναι τὴν μερίδα τῶν ἱερέων καὶ τῶν
Λευιτῶν ὅπως κατισχύσωσιν ἐν τῇ λειτουργίᾳ οἴκου κυρίου. καὶ 5
ὡς προσέταξεν τὸν λόγον ἐπλεόνασαν οἱ υἱοὶ Ισραηλ ἀπαρχὴν σί-
του καὶ οἴνου καὶ ἐλαίου καὶ μέλιτος καὶ πᾶν γένημα ἀγροῦ καὶ
ἐπιδέκατα πάντα εἰς πλῆθος ἤνεγκαν. οἱ υἱοὶ Ισραηλ καὶ Ιουδα 6
καὶ οἱ κατοικοῦντες ἐν ταῖς πόλεσιν Ιουδα καὶ αὐτοὶ ἤνεγκαν ἐπι-
δέκατα μόσχων καὶ προβάτων καὶ ἐπιδέκατα αἰγῶν καὶ ἡγίασαν
τῷ κυρίῳ θεῷ αὐτῶν καὶ εἰσήνεγκαν καὶ ἔθηκαν σωροὺς σωρούς.
ἐν τῷ μηνὶ τῷ τρίτῳ ἤρξαντο οἱ σωροὶ θεμελιοῦσθαι καὶ ἐν τῷ ἑβδό- 7
μῳ μηνὶ συνετελέσθησαν. καὶ ἦλθεν Εζεκιας καὶ οἱ ἄρχοντες καὶ 8
εἶδον τοὺς σωροὺς καὶ ηὐλόγησαν τὸν κύριον καὶ τὸν λαὸν αὐτοῦ
Ισραηλ. καὶ ἐπυνθάνετο Εζεκιας τῶν ἱερέων καὶ τῶν Λευιτῶν ὑ- 9
πὲρ τῶν σωρῶν. καὶ εἶπεν πρὸς αὐτὸν Αζαριας ὁ ἱερεὺς ὁ ἄρχων 10
εἰς οἶκον Σαδωκ καὶ εἶπεν ἐξ οὗ ἦρκται ἡ ἀπαρχὴ φέρεσθαι εἰς
οἶκον κυρίου ἐφάγομεν καὶ ἐπίομεν καὶ κατελίπομεν ὅτι κύριος
ηὐλόγησεν τὸν λαὸν αὐτοῦ καὶ κατελίπομεν ἔτι τὸ πλῆθος τοῦτο.
καὶ εἶπεν Εζεκιας ἑτοιμάσαι παστοφόρια εἰς οἶκον κυρίου καὶ ἡ- 11

---

**v.3** καί[cc] μερίς[nnfsc] ὁ[dgms] βασιλεύς[ngmsc] ἐκ[pg] ὁ[dgnp] ὑπάρχω[vppagnp] αὐτός[rpgms] εἰς[pa] ὁ[dafp] ὁλοκαύτωσις[nafpc] ὁ[dafs] πρωϊνός[anafsn] καί[cc] ὁ[dafs] δειλινός[anafsn] καί[cc] ὁλοκαύτωσις[nafpc] εἰς[pa] σάββατον[nanpc] καί[cc] εἰς[pa] ὁ[dafp] νουμηνία[nafpc] καί[cc] εἰς[pa] ὁ[dafp] ἑορτή[nafpc] ὁ[dafp] γράφω[vpxpafp] ἐν[pd] ὁ[ddms] νόμος[ndmsc] κύριος[ngmsc]. **v.4** καί[cc] λέγω[viaa3s] ὁ[ddms] λαός[ndmsc] ὁ[ddmp] κατοικέω[vppadmp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] δίδωμι[vnaa] ὁ[dafs] μερίς[nafsc] ὁ[dgmp] ἱερεύς[ngmpc] καί[cc] ὁ[dgmp] λευίτης[ngmpp] ὅπως[cs] κατισχύω[vsaa3p] ἐν[pd] ὁ[ddfs] λειτουργία[ndfsc] οἶκος[ngmsc] κύριος[ngmsc]. **v.5** καί[cc] ὡς[cs] προστάσσω[viaa3s] ὁ[dams] λόγος[namsc] πλεονάζω[viaa3p] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] ἀπαρχή[nafsc] σῖτος[ngmsc] καί[cc] οἶνος[ngmsc] καί[cc] ἔλαιον[ngnsc] καί[cc] μέλι[ngnsc] καί[cc] πᾶς[ainnsn] γένημα[nnnsc] ἀγρός[ngmsc] καί[cc] ἐπιδέκατος[aoanpn] πᾶς[aianpn] εἰς[pa] πλῆθος[nansc] φέρω[viaa3p]. **v.6** ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] καί[cc] Ἰούδας[ngmsp] καί[cc] ὁ[dnmp] κατοικέω[vppanmp] ἐν[pd] ὁ[ddfp] πόλις[ndfpc] Ἰούδας[ngmsp] καί[b] αὐτός[rpnmp] φέρω[viaa3p] ἐπιδέκατος[aoanpn] μόσχος[ngmpc] καί[cc] πρόβατον[ngnpc] καί[cc] ἐπιδέκατος[aoanpn] αἴξ[ngmpc] καί[cc] ἁγιάζω[viaa3p] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] αὐτός[rpgmp] καί[cc] εἰσφέρω[viaa3p] καί[cc] τίθημι[viaa3p] σωρός[nampc] σωρός[nampc]. **v.7** ἐν[pd] ὁ[ddms] μήν[ndmsc] ὁ[ddms] τρίτος[aodmsn] ἄρχω[viam3p] ὁ[dnmp] σωρός[nnmpc] θεμελιόω[vnpm] καί[cc] ἐν[pd] ὁ[ddms] ἕβδομος[aodmsn] μήν[ndmsc] συντελέω[viap3p]. **v.8** καί[cc] ἔρχομαι[viaa3s] Ἑζεκίας[nnmsp] καί[cc] ὁ[dnmp] ἄρχων[nnmpc] καί[cc] ὁράω[viaa3p] ὁ[damp] σωρός[nampc] καί[cc] εὐλογέω[viaa3p] ὁ[dams] κύριος[namsc] καί[cc] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] Ἰσραήλ[namsp]. **v.9** καί[cc] πυνθάνομαι[viim3s] Ἑζεκίας[nnmsp] ὁ[dgmp] ἱερεύς[ngmpc] καί[cc] ὁ[dgmp] λευίτης[ngmpp] ὑπέρ[pg] ὁ[dgmp] σωρός[ngmpc]. **v.10** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] Αζαριας[nnmsp] ὁ[dnms] ἱερεύς[nnmsc] ὁ[dnms] ἄρχων[nnmsc] εἰς[pa] οἶκος[namsc] Σαδώκ[ngmsp] καί[cc] λέγω[viaa3s] ἐκ[pg] ὅς[rrgns] ἄρχω[vixm3s] ὁ[dnfs] ἀπαρχή[nnfsc] φέρω[vnpp] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc] ἐσθίω[viaa1p] καί[cc] πίνω[viaa1p] καί[cc] καταλείπω[viaa1p] ὅτι[cs] κύριος[nnmsc] εὐλογέω[viaa3s] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] καί[cc] καταλείπω[viaa1p] ἔτι[b] ὁ[dans] πλῆθος[nansc] οὗτος[rdans].

12 τοίμασαν. καὶ εἰσήνεγκαν ἐκεῖ τὰς ἀπαρχὰς καὶ τὰ ἐπιδέκατα
ἐν πίστει καὶ ἐπ᾽ αὐτῶν ἐπιστάτης Χωνενιας ὁ Λευίτης καὶ Σεμεϊ
13 ὁ ἀδελφὸς αὐτοῦ διαδεχόμενος. καὶ Ιιηλ καὶ Οζαζιας καὶ Ναεθ
καὶ Ασαηλ καὶ Ιεριμωθ καὶ Ιωζαβαθ καὶ Ελιηλ καὶ Σαμαχια καὶ
Μααθ καὶ Βαναιας καὶ οἱ υἱοὶ αὐτοῦ καθεσταμένοι διὰ Χωνενιου
καὶ Σεμεϊ τοῦ ἀδελφοῦ αὐτοῦ καθὼς προσέταξεν ὁ βασιλεὺς Εζε-
14 κιας καὶ Αζαριας ὁ ἡγούμενος οἴκου κυρίου. καὶ Κωρη ὁ τοῦ
Ιεμνα ὁ Λευίτης ὁ πυλωρὸς κατὰ ἀνατολὰς ἐπὶ τῶν δομάτων δοῦ-
15 ναι τὰς ἀπαρχὰς κυρίῳ καὶ τὰ ἅγια τῶν ἁγίων. διὰ χειρὸς Οδομ
καὶ Βενιαμιν καὶ Ἰησοῦς καὶ Σεμεϊ καὶ Αμαριας καὶ Σεχονιας διὰ
χειρὸς τῶν ἱερέων ἐν πίστει δοῦναι τοῖς ἀδελφοῖς αὐτῶν κατὰ τὰς
16 ἐφημερίας κατὰ τὸν μέγαν καὶ τὸν μικρόν. ἐκτὸς τῆς ἐπιγονῆς
τῶν ἀρσενικῶν ἀπὸ τριετοῦς καὶ ἐπάνω παντὶ τῷ εἰσπορευομένῳ
εἰς οἶκον κυρίου εἰς λόγον ἡμερῶν εἰς ἡμέραν εἰς λειτουργίαν
17 ἐφημερίαις διατάξεως αὐτῶν. οὗτος ὁ καταλοχισμὸς τῶν ἱερέων
κατ᾽ οἴκους πατριῶν καὶ οἱ Λευῖται ἐν ταῖς ἐφημερίαις αὐτῶν ἀ-
18 πὸ εἰκοσαετοῦς καὶ ἐπάνω ἐν διατάξει. ἐν καταλοχίαις ἐν πάσῃ
ἐπιγονῇ υἱῶν αὐτῶν καὶ θυγατέρων αὐτῶν εἰς πᾶν τὸ πλῆθος ὅτι
19 ἐν πίστει ἥγνισαν τὸ ἅγιον. τοῖς υἱοῖς Ααρων τοῖς ἱερατεύουσιν
καὶ οἱ ἀπὸ τῶν πόλεων αὐτῶν ἐν πάσῃ πόλει καὶ πόλει ἄνδρες οἳ
ὠνομάσθησαν ἐν ὀνόματι δοῦναι μερίδα παντὶ ἀρσενικῷ ἐν τοῖς

---

**v.11** καί[cc] λέγω[viaa3s] Ἑζεκίας[nnmsp] ἑτοιμάζω[vnaa] παστοφόριον[nanpc] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc] καί[cc] ἑτοιμάζω[viaa3p]. **v.12** καί[cc] εἰσφέρω[viaa3p] ἐκεῖ[b] ὁ[dafp] ἀπαρχή[nafpc] καί[cc] ὁ[danp] ἐπιδέκατος[aoanpn] ἐν[pd] πίστις[ndfsc] καί[cc] ἐπί[pg] αὐτός[rpgmp] ἐπιστάτης[ngmsc] Χωνενιας[nnmsp] ὁ[dnms] λευίτης[nnmsp] καί[cc] Σεμεϊ[nnmsp] ὁ[dnms] ἀδελφός[nnmsc] αὐτός[rpgms] διαδέχομαι[vppmnms]. **v.13** καί[cc] Ιιηλ[nnmsp] καί[cc] Οζαζιας[nnmsp] καί[cc] Ναεθ[nnmsp] καί[cc] Ασαηλ[nnmsp] καί[cc] Ιεριμωθ[nnmsp] καί[cc] Ιωζαβαθ[nnmsp] καί[cc] Ελιηλ[nnmsp] καί[cc] Σαμαχια[nnmsp] καί[cc] Μάαθ[nnmsp] καί[cc] Βαναιας[nnmsp] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] αὐτός[rpgms] καθίστημι[vpxpnmp] διά[pg] Χωνενια[ngmsp] καί[cc] Σεμεϊ[nnmsp] ὁ[dgms] ἀδελφός[ngmsc] αὐτός[rpgms] καθώς[cs] προστάσσω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] Ἑζεκίας[nnmsp] καί[cc] Αζαριας[nnmsp] ὁ[dnms] ἡγέομαι[vppmnms] οἶκος[ngmsc] κύριος[ngmsc]. **v.14** καί[cc] Κωρη[nnmsp] ὁ[dnms] ὁ[dgms] Ιεμνα[ngmsp] ὁ[dnms] λευίτης[nnmsp] ὁ[dnms] πυλωρός[nnmsc] κατά[pa] ἀνατολή[nafpc] ἐπί[pg] ὁ[dgnp] δόμα[ngnpc] δίδωμι[vnaa] ὁ[dafp] ἀπαρχή[nafpc] κύριος[ndmsc] καί[cc] ὁ[danp] ἅγιος[ananpn] ὁ[dgnp] ἅγιος[angnpn]. **v.15** διά[pg] χείρ[ngfsc] Οδομ[ngmsp] καί[cc] Βενιαμίν[ngmsp] καί[cc] Ἰησοῦς[ngmsp] καί[cc] Σεμεϊ[ngmsp] καί[cc] Αμαριας[ngmsp] καί[cc] Σεχονιας[ngmsp] διά[pg] χείρ[ngfsc] ὁ[dgmp] ἱερεύς[ngmpc] ἐν[pd] πίστις[ndfsc] δίδωμι[vnaa] ὁ[ddmp] ἀδελφός[ndmpc] αὐτός[rpgmp] κατά[pa] ὁ[dafp] ἐφημερία[nafpc] κατά[pa] ὁ[dams] μέγας[anamsn] καί[cc] ὁ[dams] μικρός[anamsn]. **v.16** ἐκτός[pg] ὁ[dgfs] ἐπιγονή[ngfsc] ὁ[dgmp] ἀρσενικός[angmpn] ἀπό[pg] τριετής[angnsn] καί[cc] ἐπάνω[b] πᾶς[aidmsn] ὁ[ddms] εἰσπορεύομαι[vppmdms] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc] εἰς[pa] λόγος[namsc] ἡμέρα[ngfpc] εἰς[pa] ἡμέρα[nafsc] εἰς[pa] λειτουργία[nafsc] ἐφημερία[ndfpc] διάταξις[ngfpc] αὐτός[rpgmp]. **v.17** οὗτος[rdnms] ὁ[dnms] καταλοχισμός[nnmsc] ὁ[dgmp] ἱερεύς[ngmpc] κατά[pa] οἶκος[nampc] πατριά[ngfpc] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] ἐν[pd] ὁ[ddfp] ἐφημερία[ndfpc] αὐτός[rpgmp] ἀπό[pg] εἰκοσαετής[angmsn] καί[cc] ἐπάνω[b] ἐν[pd] διάταξις[ndfsc]. **v.18** ἐν[pd] καταλοχία[andfpn] ἐν[pd] πᾶς[aidfsn] ἐπιγονή[ndfsc] υἱός[ngmpc] αὐτός[rpgmp] καί[cc] θυγάτηρ[ngfpc] αὐτός[rpgmp] εἰς[pa] πᾶς[aiansn] ὁ[dans] πλῆθος[nansc] ὅτι[cs] ἐν[pd] πίστις[ndfsc] ἁγνίζω[viaa3p] ὁ[dans] ἅγιος[anansn].

ἱερεῦσιν καὶ παντὶ καταριθμουμένῳ ἐν τοῖς Λευίταις. καὶ ἐποί- 20
ησεν οὕτως Εζεκιας ἐν παντὶ Ιουδα καὶ ἐποίησεν τὸ καλὸν καὶ τὸ
εὐθὲς ἐναντίον τοῦ κυρίου θεοῦ αὐτοῦ. καὶ ἐν παντὶ ἔργῳ ἐν 21
ᾧ ἤρξατο ἐν ἐργασίᾳ ἐν οἴκῳ κυρίου καὶ ἐν τῷ νόμῳ καὶ ἐν τοῖς
προστάγμασιν ἐξεζήτησεν τὸν θεὸν αὐτοῦ ἐξ ὅλης ψυχῆς αὐτοῦ
καὶ ἐποίησεν καὶ εὐοδώθη.

καὶ μετὰ τοὺς λόγους τούτους καὶ τὴν ἀλήθειαν ταύτην ἦλθεν **32**
Σενναχηριμ βασιλεὺς Ἀσσυρίων καὶ ἦλθεν ἐπὶ Ιουδαν καὶ παρε-
νέβαλεν ἐπὶ τὰς πόλεις τὰς τειχήρεις καὶ εἶπεν προκαταλαβέσθαι
αὐτάς. καὶ εἶδεν Εζεκιας ὅτι ἥκει Σενναχηριμ καὶ τὸ πρόσωπον 2
αὐτοῦ τοῦ πολεμῆσαι ἐπὶ Ιερουσαλημ. καὶ ἐβουλεύσατο μετὰ 3
τῶν πρεσβυτέρων αὐτοῦ καὶ τῶν δυνατῶν ἐμφράξαι τὰ ὕδατα τῶν
πηγῶν ἃ ἦν ἔξω τῆς πόλεως καὶ συνεπίσχυσαν αὐτῷ. καὶ συ- 4
νήγαγεν λαὸν πολὺν καὶ ἐνέφραξεν τὰ ὕδατα τῶν πηγῶν καὶ τὸν
ποταμὸν τὸν διορίζοντα διὰ τῆς πόλεως λέγων μὴ ἔλθῃ βασιλεὺς
Ασσουρ καὶ εὕρῃ ὕδωρ πολὺ καὶ κατισχύσῃ. καὶ κατίσχυσεν 5
Εζεκιας καὶ ᾠκοδόμησεν πᾶν τὸ τεῖχος τὸ κατεσκαμμένον καὶ
πύργους καὶ ἔξω προτείχισμα ἄλλο καὶ κατίσχυσεν τὸ ἀνάλημμα
πόλεως Δαυιδ καὶ κατεσκεύασεν ὅπλα πολλά. καὶ ἔθετο ἄρχον- 6
τας τοῦ πολέμου ἐπὶ τὸν λαὸν καὶ συνήχθησαν πρὸς αὐτὸν εἰς
τὴν πλατεῖαν τῆς πύλης τῆς φάραγγος καὶ ἐλάλησεν ἐπὶ καρδίαν

---

**v.19** ὁ[ddmp] υἱός[ndmpc] Ἀαρών[ngmsp] ὁ[ddmp] ἱερατεύω[vppadmp] καί[cc] ὁ[dnmp] ἀπό[pg] ὁ[dgfp] πόλις[ngfpc] αὐτός[rpgmp] ἐν[pd] πᾶς[aidfsn] πόλις[ndfsc] καί[cc] πόλις[ndfsc] ἀνήρ[nnmpc] ὅς[rrnmp] ὀνομάζω[viap3p] ἐν[pd] ὄνομα[ndnsc] δίδωμι[vnaa] μερίς[nafsc] πᾶς[aidmsn] ἀρσενικός[andmsn] ἐν[pd] ὁ[ddmp] ἱερεύς[ndmpc] καί[cc] πᾶς[aidmsn] καταριθμέω[vpppdms] ἐν[pd] ὁ[ddmp] λευίτης[ndmpp]. **v.20** καί[cc] ποιέω[viaa3s] οὕτως[b] Ἑζεκίας[nnmsp] ἐν[pd] πᾶς[aidmsn] Ἰούδας[ndmsp] καί[cc] ποιέω[viaa3s] ὁ[dans] καλός[anansn] καί[cc] ὁ[dans] εὐθής[anansn] ἐναντίον[pg] ὁ[dgms] κύριος[ngmsc] θεός[ngmsc] αὐτός[rpgms]. **v.21** καί[cc] ἐν[pd] πᾶς[aidnsn] ἔργον[ndnsc] ἐν[pd] ὅς[rrdns] ἄρχω[viam3s] ἐν[pd] ἐργασία[ndfsc] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc] καί[cc] ἐν[pd] ὁ[ddms] νόμος[ndmsc] καί[cc] ἐν[pd] ὁ[ddnp] πρόσταγμα[ndnpc] ἐκζητέω[viaa3s] ὁ[dams] θεός[namsc] αὐτός[rpgms] ἐκ[pg] ὅλος[angfsn] ψυχή[ngfsc] αὐτός[rpgms] καί[cc] ποιέω[viaa3s] καί[cc] εὐοδόω[viap3s]. **32. v.1** καί[cc] μετά[pa] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] καί[cc] ὁ[dafs] ἀλήθεια[nafsc] οὗτος[rdafs] ἔρχομαι[viaa3s] Σενναχηριμ[nnmsp] βασιλεύς[nnmsc] Ἀσσύριος[ngmpp] καί[cc] ἔρχομαι[viaa3s] ἐπί[pa] Ἰούδας[namsp] καί[cc] παρεμβάλλω[viaa3s] ἐπί[pa] ὁ[dafp] πόλις[nafpc] ὁ[dafp] τειχήρης[anafpn] καί[cc] λέγω[viaa3s] προκαταλαμβάνω[vnam] αὐτός[rpafp]. **v.2** καί[cc] ὁράω[viaa3s] Ἑζεκίας[nnmsp] ὅτι[cs] ἥκω[vipa3s] Σενναχηριμ[nnmsp] καί[cc] ὁ[dnns] πρόσωπον[nnnsc] αὐτός[rpgms] ὁ[dgns] πολεμέω[vnaa] ἐπί[pa] Ἰερουσαλήμ[nafsp]. **v.3** καί[cc] βουλεύω[viam3s] μετά[pg] ὁ[dgmp] πρεσβύτερος[angmpc] αὐτός[rpgms] καί[cc] ὁ[dgmp] δυνατός[angmpn] ἐμφράσσω[vnaa] ὁ[danp] ὕδωρ[nanpc] ὁ[dgfp] πηγή[ngfpc] ὅς[rrnnp] εἰμί[viia3s] ἔξω[pg] ὁ[dgfs] πόλις[ngfsc] καί[cc] συνεπισχύω[viaa3p] αὐτός[rpdms]. **v.4** καί[cc] συνάγω[viaa3s] λαός[namsc] πολύς[anamsn] καί[cc] ἐμφράσσω[viaa3s] ὁ[danp] ὕδωρ[nanpc] ὁ[dgfp] πηγή[ngfpc] καί[cc] ὁ[dams] ποταμός[namsc] ὁ[dams] διορίζω[vppaams] διά[pg] ὁ[dgfs] πόλις[ngfsc] λέγω[vppanms] μή[x] ἔρχομαι[vsaa3s] βασιλεύς[nnmsc] Ασσουρ[ngmsp] καί[cc] εὑρίσκω[vsaa3s] ὕδωρ[nansc] πολύς[anansn] καί[cc] κατισχύω[vsaa3s]. **v.5** καί[cc] κατισχύω[viaa3s] Ἑζεκίας[nnmsp] καί[cc] οἰκοδομέω[viaa3s] πᾶς[aiansn] ὁ[dans] τεῖχος[nansc] ὁ[dans] κατασκάπτω[vpxpans] καί[cc] πύργος[nampc] καί[cc] ἔξω[b] προτείχισμα[nansc] ἄλλος[rians] καί[cc] κατισχύω[viaa3s] ὁ[dans] ἀνάλημμα[nansc] πόλις[ngfsc] Δαυίδ[ngmsp] καί[cc] κατασκευάζω[viaa3s] ὅπλον[nanpc] πολύς[ananpn].

7 αὐτῶν λέγων. ἰσχύσατε καὶ ἀνδρίζεσθε μὴ πτοηθῆτε ἀπὸ προ-
σώπου βασιλέως Ασσουρ καὶ ἀπὸ προσώπου παντὸς τοῦ ἔθνους
8 τοῦ μετ᾽ αὐτοῦ ὅτι μεθ᾽ ἡμῶν πλείονες ἢ μετ᾽ αὐτοῦ. μετ᾽ αὐτοῦ
βραχίονες σάρκινοι μεθ᾽ ἡμῶν δὲ κύριος ὁ θεὸς ἡμῶν τοῦ σῴζειν
καὶ τοῦ πολεμεῖν τὸν πόλεμον ἡμῶν καὶ κατεθάρσησεν ὁ λαὸς ἐπὶ
9 τοῖς λόγοις Εζεκιου βασιλέως Ιουδα. καὶ μετὰ ταῦτα ἀπέστειλεν
Σενναχηριμ βασιλεὺς Ἀσσυρίων τοὺς παῖδας αὐτοῦ ἐπὶ Ιερου-
σαλημ καὶ αὐτὸς ἐπὶ Λαχις καὶ πᾶσα ἡ στρατιὰ μετ᾽ αὐτοῦ καὶ
ἀπέστειλεν πρὸς Εζεκιαν βασιλέα Ιουδα καὶ πρὸς πάντα Ιουδαν
10 τὸν ἐν Ιερουσαλημ λέγων. οὕτως λέγει Σενναχηριμ ὁ βασιλεὺς
Ἀσσυρίων ἐπὶ τίνι ὑμεῖς πεποίθατε καὶ κάθησθε ἐν τῇ περιοχῇ ἐν
11 Ιερουσαλημ. οὐχὶ Εζεκιας ἀπατᾷ ὑμᾶς τοῦ παραδοῦναι ὑμᾶς
εἰς θάνατον καὶ εἰς λιμὸν καὶ εἰς δίψαν λέγων κύριος ὁ θεὸς ἡμῶν
12 σώσει ἡμᾶς ἐκ χειρὸς βασιλέως Ασσουρ. οὐχ οὗτός ἐστιν Εζε-
κιας ὃς περιεῖλεν τὰ θυσιαστήρια αὐτοῦ καὶ τὰ ὑψηλὰ αὐτοῦ καὶ
εἶπεν τῷ Ιουδα καὶ τοῖς κατοικοῦσιν Ιερουσαλημ λέγων κατέναντι
τοῦ θυσιαστηρίου τούτου προσκυνήσετε καὶ ἐπ᾽ αὐτῷ θυμιάσετε.
13 οὐ γνώσεσθε ὅ τι ἐποίησα ἐγὼ καὶ οἱ πατέρες μου πᾶσι τοῖς λα-
οῖς τῶν χωρῶν μὴ δυνάμενοι ἠδύναντο θεοὶ τῶν ἐθνῶν πάσης τῆς
14 γῆς σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου. τίς ἐν πᾶσι τοῖς θεοῖς

---

**v.6** καί[cc] τίθημι[viam3s] ἄρχων[nampc] ὁ[dgms] πόλεμος[ngmsc] ἐπί[pa] ὁ[dams] λαός[namsc] καί[cc] συνάγω[viap3p] πρός[pa] αὐτός[rpams] εἰς[pa] ὁ[dafs] πλατύς[anafsn] ὁ[dgfs] πύλη[ngfsc] ὁ[dgfs] φάραγξ[ngfsc] καί[cc] λαλέω[viaa3s] ἐπί[pa] καρδία[nafsc] αὐτός[rpgmp] λέγω[vppanms]. **v.7** ἰσχύω[vdaa2p] καί[cc] ἀνδρίζομαι[vdpm2p] μή[x] πτοέω[vsap2p] ἀπό[pg] πρόσωπον[ngnsc] βασιλεύς[ngmsc] Ασσουρ[ngmsp] καί[cc] ἀπό[pg] πρόσωπον[ngnsc] πᾶς[aignsn] ὁ[dgns] ἔθνος[ngnsc] ὁ[dgns] μετά[pg] αὐτός[rpgms] ὅτι[cs] μετά[pg] ἐγώ[rpg-p] πολύς[annmpc] ἤ[cc] μετά[pg] αὐτός[rpgms]. **v.8** μετά[pg] αὐτός[rpgms] βραχίων[nnmpc] σάρκινος[annmpn] μετά[pg] ἐγώ[rpg-p] δέ[cc] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] ὁ[dgns] σῴζω[vnpa] καί[cc] ὁ[dgns] πολεμέω[vnpa] ὁ[dams] πόλεμος[namsc] ἐγώ[rpg-p] καί[cc] καταθαρσύνω[viaa3s] ὁ[dnms] λαός[nnmsc] ἐπί[pd] ὁ[ddmp] λόγος[ndmpc] Ἑζεκίας[ngmsp] βασιλεύς[ngmsc] Ἰούδας[ngmsp]. **v.9** καί[cc] μετά[pa] οὗτος[rdanp] ἀποστέλλω[viaa3s] Σενναχηριμ[nnmsp] βασιλεύς[nnmsc] Ἀσσύριος[ngmpp] ὁ[damp] παῖς[nampc] αὐτός[rpgms] ἐπί[pa] Ἰερουσαλήμ[nafsp] καί[cc] αὐτός[rpnms] ἐπί[pa] Λαχις[nafsp] καί[cc] πᾶς[ainfsn] ὁ[dnfs] στρατιά[nnfsc] μετά[pg] αὐτός[rpgms] καί[cc] ἀποστέλλω[viaa3s] πρός[pa] Ἑζεκίας[namsp] βασιλεύς[namsc] Ἰούδας[ngmsp] καί[cc] πρός[pa] πᾶς[aiamsn] Ἰούδας[namsp] ὁ[dams] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] λέγω[vppanms]. **v.10** οὕτως[b] λέγω[vipa3s] Σενναχηριμ[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] Ἀσσύριος[ngmpp] ἐπί[pd] τίς[rqdns] σύ[rpn-p] πείθω[vixa2p] καί[cc] κάθημαι[vipm2p] ἐν[pd] ὁ[ddfs] περιοχή[ndfsc] ἐν[pd] Ἰερουσαλήμ[ndfsp]. **v.11** οὐχί[b] Ἑζεκίας[nnmsp] ἀπατάω[vipa3s] σύ[rpa-p] ὁ[dgns] παραδίδωμι[vnaa] σύ[rpa-p] εἰς[pa] θάνατος[namsc] καί[cc] εἰς[pa] λιμός[namsc] καί[cc] εἰς[pa] δίψα[nafsc] λέγω[vppanms] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] σῴζω[vifa3s] ἐγώ[rpa-p] ἐκ[pg] χείρ[ngfsc] βασιλεύς[ngmsc] Ασσουρ[ngmsp]. **v.12** οὐ[b] οὗτος[rdnms] εἰμί[vipa3s] Ἑζεκίας[nnmsp] ὅς[rrnms] περιαιρέω[viaa3s] ὁ[danp] θυσιαστήριον[nanpc] αὐτός[rpgms] καί[cc] ὁ[danp] ὑψηλός[ananpn] αὐτός[rpgms] καί[cc] λέγω[viaa3s] ὁ[ddms] Ἰούδας[ndmsp] καί[cc] ὁ[ddmp] κατοικέω[vppadmp] Ἰερουσαλήμ[nafsp] λέγω[vppanms] κατέναντι[pg] ὁ[dgns] θυσιαστήριον[ngnsc] οὗτος[rdgns] προσκυνέω[vifa2p] καί[cc] ἐπί[pd] αὐτός[rpdns] θυμιάω[vifa2p]. **v.13** οὐ[b] γινώσκω[vifm2p] ὅς[rrans] τι-σριανς ποιέω[viaa1s] ἐγώ[rpnms] καί[cc] ὁ[dnmp] πατήρ[nnmpc] ἐγώ[rpgms] πᾶς[aidmpn] ὁ[ddmp] λαός[ndmpc] ὁ[dgfp] χώρα[ngfpc] μή[x] δύναμαι[vppmnmp] δύναμαι[viim3p] θεός[nnmpc] ὁ[dgnp] ἔθνος[ngnpc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] σῴζω[vnaa] ὁ[dams] λαός[namsc] αὐτός[rpgmp] ἐκ[pg] χείρ[ngfsc] ἐγώ[rpgms].

τῶν ἐθνῶν τούτων οὓς ἐξωλέθρευσαν οἱ πατέρες μου μὴ ἠδύναντο
σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου ὅτι δυνήσεται ὁ θεὸς ὑμῶν
σῶσαι ὑμᾶς ἐκ χειρός μου. νῦν μὴ ἀπατάτω ὑμᾶς Εζεκιας καὶ 15
μὴ πεποιθέναι ὑμᾶς ποιείτω κατὰ ταῦτα καὶ μὴ πιστεύετε αὐτῷ
ὅτι οὐ μὴ δύνηται ὁ θεὸς παντὸς ἔθνους καὶ βασιλείας τοῦ σῶσαι
τὸν λαὸν αὐτοῦ ἐκ χειρός μου καὶ ἐκ χειρὸς πατέρων μου ὅτι ὁ
θεὸς ὑμῶν οὐ μὴ σώσει ὑμᾶς ἐκ χειρός μου. καὶ ἔτι ἐλάλησαν 16
οἱ παῖδες αὐτοῦ ἐπὶ κύριον θεὸν καὶ ἐπὶ Εζεκιαν παῖδα αὐτοῦ.
καὶ βιβλίον ἔγραψεν ὀνειδίζειν τὸν κύριον θεὸν Ισραηλ καὶ εἶπεν 17
περὶ αὐτοῦ λέγων ὡς θεοὶ τῶν ἐθνῶν τῆς γῆς οὐκ ἐξείλαντο τοὺς
λαοὺς αὐτῶν ἐκ χειρός μου οὕτως οὐ μὴ ἐξέληται ὁ θεὸς Εζεκιου
λαὸν αὐτοῦ ἐκ χειρός μου. καὶ ἐβόησεν φωνῇ μεγάλῃ Ιουδαϊστὶ 18
ἐπὶ λαὸν Ιερουσαλημ τὸν ἐπὶ τοῦ τείχους τοῦ φοβῆσαι αὐτοὺς καὶ
κατασπάσαι ὅπως προκαταλάβωνται τὴν πόλιν. καὶ ἐλάλησεν 19
ἐπὶ θεὸν Ιερουσαλημ ὡς καὶ ἐπὶ θεοὺς λαῶν τῆς γῆς ἔργα χειρῶν
ἀνθρώπων. καὶ προσηύξατο Εζεκιας ὁ βασιλεὺς καὶ Ησαιας υἱ- 20
ὸς Αμως ὁ προφήτης περὶ τούτων καὶ ἐβόησαν εἰς τὸν οὐρανόν.
καὶ ἀπέστειλεν κύριος ἄγγελον καὶ ἐξέτριψεν πᾶν δυνατὸν πο- 21
λεμιστὴν καὶ ἄρχοντα καὶ στρατηγὸν ἐν τῇ παρεμβολῇ βασιλέως
Ασσουρ καὶ ἀπέστρεψεν μετὰ αἰσχύνης προσώπου εἰς τὴν γῆν
αὐτοῦ καὶ ἦλθεν εἰς οἶκον τοῦ θεοῦ αὐτοῦ καὶ τῶν ἐξελθόντων ἐκ

---

**v.14** τίς$^{rqnms}$ ἐν$^{pd}$ πᾶς$^{aidmpn}$ ὁ$^{ddmp}$ θεός$^{ndmpc}$ ὁ$^{dgnp}$ ἔθνος$^{ngnpc}$ οὗτος$^{rdgnp}$ ὅς$^{rramp}$ ἐξολεθρεύω$^{viaa3p}$ ὁ$^{dnmp}$ πατήρ$^{nnmpc}$ ἐγώ$^{rpgms}$ μή$^{x}$ δύναμαι$^{viim3p}$ σῴζω$^{vnaa}$ ὁ$^{dams}$ λαός$^{namsc}$ αὐτός$^{rpgmp}$ ἐκ$^{pg}$ χείρ$^{ngfsc}$ ἐγώ$^{rpgms}$ ὅτι$^{cs}$ δύναμαι$^{vifm3s}$ ὁ$^{dnms}$ θεός$^{nnmsc}$ σύ$^{rpg-p}$ σῴζω$^{vnaa}$ σύ$^{rpa-p}$ ἐκ$^{pg}$ χείρ$^{ngfsc}$ ἐγώ$^{rpgms}$. **v.15** νῦν$^{b}$ μή$^{x}$ ἀπατάω$^{vdpa3s}$ σύ$^{rpa-p}$ Ἐζεκίας$^{nnmsp}$ καί$^{cc}$ μή$^{x}$ πείθω$^{vnxa}$ σύ$^{rpa-p}$ ποιέω$^{vdpa3s}$ κατά$^{pa}$ οὗτος$^{rdanp}$ καί$^{cc}$ μή$^{x}$ πιστεύω$^{vdpa2p}$ αὐτός$^{rpdms}$ ὅτι$^{cs}$ οὐ$^{b}$ μή$^{x}$ δύναμαι$^{vspm3s}$ ὁ$^{dnms}$ θεός$^{nnmsc}$ πᾶς$^{aignsn}$ ἔθνος$^{ngnsc}$ καί$^{cc}$ βασιλεία$^{ngfsc}$ ὁ$^{dgns}$ σῴζω$^{vnaa}$ ὁ$^{dams}$ λαός$^{namsc}$ αὐτός$^{rpgms}$ ἐκ$^{pg}$ χείρ$^{ngfsc}$ ἐγώ$^{rpgms}$ καί$^{cc}$ ἐκ$^{pg}$ χείρ$^{ngfsc}$ πατήρ$^{ngmpc}$ ἐγώ$^{rpgms}$ ὅτι$^{cs}$ ὁ$^{dnms}$ θεός$^{nnmsc}$ σύ$^{rpg-p}$ οὐ$^{b}$ μή$^{x}$ σῴζω$^{vifa3s}$ σύ$^{rpa-p}$ ἐκ$^{pg}$ χείρ$^{ngfsc}$ ἐγώ$^{rpgms}$. **v.16** καί$^{cc}$ ἔτι$^{b}$ λαλέω$^{viaa3p}$ ὁ$^{dnmp}$ παῖς$^{nnmpc}$ αὐτός$^{rpgms}$ ἐπί$^{pa}$ κύριος$^{namsc}$ θεός$^{namsc}$ καί$^{cc}$ ἐπί$^{pa}$ Ἐζεκίας$^{namsp}$ παῖς$^{namsc}$ αὐτός$^{rpgms}$. **v.17** καί$^{cc}$ βιβλίον$^{nansc}$ γράφω$^{viaa3s}$ ὀνειδίζω$^{vnpa}$ ὁ$^{dams}$ κύριος$^{namsc}$ θεός$^{namsc}$ Ἰσραήλ$^{ngmsp}$ καί$^{cc}$ λέγω$^{viaa3s}$ περί$^{pg}$ αὐτός$^{rpgms}$ λέγω$^{vppanms}$ ὡς$^{cs}$ θεός$^{nnmpc}$ ὁ$^{dgnp}$ ἔθνος$^{ngnpc}$ ὁ$^{dgfs}$ γῆ$^{ngfsc}$ οὐ$^{b}$ ἐξαιρέω$^{viam3p}$ ὁ$^{damp}$ λαός$^{nampc}$ αὐτός$^{rpgmp}$ ἐκ$^{pg}$ χείρ$^{ngfsc}$ ἐγώ$^{rpgms}$ οὕτως$^{b}$ οὐ$^{b}$ μή$^{x}$ ἐξαιρέω$^{vsam3s}$ ὁ$^{dnms}$ θεός$^{nnmsc}$ Ἐζεκίας$^{ngmsp}$ λαός$^{namsc}$ αὐτός$^{rpgms}$ ἐκ$^{pg}$ χείρ$^{ngfsc}$ ἐγώ$^{rpgms}$. **v.18** καί$^{cc}$ βοάω$^{viaa3s}$ φωνή$^{ndfsc}$ μέγας$^{andfsn}$ Ἰουδαϊστί$^{b}$ ἐπί$^{pa}$ λαός$^{namsc}$ Ἰερουσαλήμ$^{ngfsp}$ ὁ$^{dams}$ ἐπί$^{pg}$ ὁ$^{dgns}$ τεῖχος$^{ngnsc}$ ὁ$^{dgns}$ φοβέω$^{vnaa}$ αὐτός$^{rpamp}$ καί$^{cc}$ κατασπάω$^{vnaa}$ ὅπως$^{cs}$ προκαταλαμβάνω$^{vsam3p}$ ὁ$^{dafs}$ πόλις$^{nafsc}$. **v.19** καί$^{cc}$ λαλέω$^{viaa3s}$ ἐπί$^{pa}$ θεός$^{namsc}$ Ἰερουσαλήμ$^{ngfsp}$ ὡς$^{cs}$ καί$^{b}$ ἐπί$^{pa}$ θεός$^{nampc}$ λαός$^{ngmpc}$ ὁ$^{dgfs}$ γῆ$^{ngfsc}$ ἔργον$^{nanpc}$ χείρ$^{ngfpc}$ ἄνθρωπος$^{ngmpc}$. **v.20** καί$^{cc}$ προσεύχομαι$^{viam3s}$ Ἐζεκίας$^{nnmsp}$ ὁ$^{dnms}$ βασιλεύς$^{nnmsc}$ καί$^{cc}$ Ἠσαΐας$^{nnmsp}$ υἱός$^{nnmsc}$ Ἀμώς$^{ngmsp}$ ὁ$^{dnms}$ προφήτης$^{nnmsc}$ περί$^{pg}$ οὗτος$^{rdgnp}$ καί$^{cc}$ βοάω$^{viaa3p}$ εἰς$^{pa}$ ὁ$^{dams}$ οὐρανός$^{namsc}$.

22 κοιλίας αὐτοῦ κατέβαλον αὐτὸν ἐν ῥομφαίᾳ. καὶ ἔσωσεν κύριος
Εζεκιαν καὶ τοὺς κατοικοῦντας ἐν Ιερουσαλημ ἐκ χειρὸς Σεννα-
χηριμ βασιλέως Ασσουρ καὶ ἐκ χειρὸς πάντων καὶ κατέπαυσεν
23 αὐτοὺς κυκλόθεν. καὶ πολλοὶ ἔφερον δῶρα τῷ κυρίῳ εἰς Ιερου-
σαλημ καὶ δόματα τῷ Εζεκια βασιλεῖ Ιουδα καὶ ὑπερήρθη κατ᾽
24 ὀφθαλμοὺς πάντων τῶν ἐθνῶν μετὰ ταῦτα. ἐν ταῖς ἡμέραις ἐ-
κείναις ἠρρώστησεν Εζεκιας ἕως θανάτου καὶ προσηύξατο πρὸς
25 κύριον καὶ ἐπήκουσεν αὐτοῦ καὶ σημεῖον ἔδωκεν αὐτῷ. καὶ οὐ
κατὰ τὸ ἀνταπόδομα ὃ ἔδωκεν αὐτῷ ἀνταπέδωκεν Εζεκιας ἀλλὰ
ὑψώθη ἡ καρδία αὐτοῦ καὶ ἐγένετο ἐπ᾽ αὐτὸν ὀργὴ καὶ ἐπὶ Ιου-
26 δαν καὶ Ιερουσαλημ. καὶ ἐταπεινώθη Εζεκιας ἀπὸ τοῦ ὕψους
τῆς καρδίας αὐτοῦ καὶ οἱ κατοικοῦντες Ιερουσαλημ καὶ οὐκ ἐ-
27 πῆλθεν ἐπ᾽ αὐτοὺς ὀργὴ κυρίου ἐν ταῖς ἡμέραις Εζεκιου. καὶ
ἐγένετο τῷ Εζεκια πλοῦτος καὶ δόξα πολλὴ σφόδρα καὶ θησαυ-
ροὺς ἐποίησεν ἑαυτῷ ἀργυρίου καὶ χρυσίου καὶ τοῦ λίθου τοῦ
τιμίου καὶ εἰς τὰ ἀρώματα καὶ ὁπλοθήκας καὶ εἰς σκεύη ἐπιθυ-
28 μητὰ καὶ πόλεις εἰς τὰ γενήματα σίτου καὶ ἐλαίου καὶ οἴνου
29 καὶ φάτνας παντὸς κτήνους καὶ μάνδρας εἰς τὰ ποίμνια. καὶ
πόλεις ἃς ᾠκοδόμησεν αὐτῷ καὶ ἀποσκευὴν προβάτων καὶ βοῶν
εἰς πλῆθος ὅτι ἔδωκεν αὐτῷ κύριος ἀποσκευὴν πολλὴν σφόδρα.
30 αὐτὸς Εζεκιας ἐνέφραξεν τὴν ἔξοδον τοῦ ὕδατος Γιων τὸ ἄνω καὶ

---

Ασεβιαν καὶ Αννουνον καὶ Ωσαιαν ἀδελφὸν ἐκ τῶν υἱῶν Χανου-
48 ναιου καὶ οἱ υἱοὶ αὐτῶν ἄνδρες εἴκοσι. καὶ ἐκ τῶν ἱεροδούλων
ὧν ἔδωκεν Δαυιδ καὶ οἱ ἡγούμενοι εἰς τὴν ἐργασίαν τῶν Λευιτῶν
ἱερόδουλοι διακόσιοι εἴκοσι πάντων ἐσημάνθη ἡ ὀνοματογραφία.
49 καὶ εὐξάμην ἐκεῖ νηστείαν τοῖς νεανίσκοις ἔναντι τοῦ κυρίου ἡ-
50 μῶν. ζητῆσαι παρ᾽ αὐτοῦ εὐοδίαν ἡμῖν τε καὶ τοῖς συνοῦσιν ἡμῖν
51 τέκνοις ἡμῶν καὶ κτήνεσιν. ἐνετράπην γὰρ αἰτῆσαι τὸν βασιλέα
πεζούς τε καὶ ἱππεῖς καὶ προπομπὴν ἕνεκεν ἀσφαλείας τῆς πρὸς
52 τοὺς ἐναντιουμένους ἡμῖν. εἴπαμεν γὰρ τῷ βασιλεῖ ὅτι ἰσχὺς τοῦ
κυρίου ἡμῶν ἔσται μετὰ τῶν ἐπιζητούντων αὐτὸν εἰς πᾶσαν ἐπα-
53 νόρθωσιν. καὶ πάλιν ἐδεήθημεν τοῦ κυρίου ἡμῶν κατὰ ταῦτα
54 καὶ εὐιλάτου ἐτύχομεν. καὶ ἐχώρισα τῶν φυλάρχων τῶν ἱερέων
ἄνδρας δέκα δύο καὶ Σερεβιαν καὶ Ασαβιαν καὶ μετ᾽ αὐτῶν ἐκ τῶν
55 ἀδελφῶν αὐτῶν ἄνδρας δέκα. καὶ ἔστησα αὐτοῖς τὸ ἀργύριον
καὶ τὸ χρυσίον καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου τοῦ κυρίου ἡμῶν ἃ
αὐτὸς ἐδωρήσατο ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ οἱ μεγι-
56 στᾶνες καὶ πᾶς Ισραηλ. καὶ στήσας παρέδωκα αὐτοῖς ἀργυρίου
τάλαντα ἑξακόσια πεντήκοντα καὶ σκεύη ἀργυρᾶ ταλάντων ἑκα-
τὸν καὶ χρυσίου τάλαντα ἑκατὸν καὶ χρυσώματα εἴκοσι καὶ σκεύη

---

**v.46** καί[cc] ἄγω[viaa1s] ἐγώ[rpd-p] κατά[pa] ὁ[dafs] κραταιός[anafsn] χείρ[nafsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] ἀνήρ[nampc] ἐπιστήμων[anampn] ὁ[dgmp] υἱός[ngmpc] Μοολι[ngmsp] ὁ[dgms] Λευί[ngmsp] ὁ[dgms] Ἰσραήλ[ngmsp] Ἀσεβηβίας[namsp] καί[cc] ὁ[damp] υἱός[nampc] καί[cc] ὁ[damp] ἀδελφός[nampc] δέκα[ac—n] ὀκτώ[ac—n]. **v.47** καί[cc] Ἀσεβείας[namsp] καί[cc] Ἀννοῦνος[namsp] καί[cc] Ὡσαίας[namsp] ἀδελφός[namsc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Χανουναῖος[ngmsp] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] αὐτός[rpgmp] ἀνήρ[nnmpc] εἴκοσι[ac—n]. **v.48** καί[cc] ἐκ[pg] ὁ[dgmp] ἱερόδουλος[ngmpc] ὅς[rrgmp] δίδωμι[viaa3s] Δαυίδ[nnmsp] καί[cc] ὁ[dnmp] ἡγέομαι[vppmnmp] εἰς[pa] ὁ[dafs] ἐργασία[nafsc] ὁ[dgmp] λευίτης[ngmpp] ἱερόδουλος[nnmpc] διακόσιοι[acnmpn] εἴκοσι[ac—n] πᾶς[aigmpn] σημαίνω[viap3s] ὁ[dnfs] ὀνοματογραφία[nnfsc]. **v.49** καί[cc] εὔχομαι[viam1s] ἐκεῖ[b] νηστεία[nafsc] ὁ[ddmp] νεανίσκος[ndmpc] ἔναντι[pg] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p]. **v.50** ζητέω[vnaa] παρά[pg] αὐτός[rpgms] εὐοδία[nafsc] ἐγώ[rpd-p] τέ[cc] καί[cc] ὁ[ddnp] σύνειμι[vppadnp] ἐγώ[rpd-p] τέκνον[ndnpc] ἐγώ[rpg-p] καί[cc] κτῆνος[ndnpc]. **v.51** ἐντρέπω[viap1s] γάρ[cc] αἰτέω[vnaa] ὁ[dams] βασιλεύς[namsc] πεζός[anampn] τέ[cc] καί[cc] ἱππεύς[nampc] καί[cc] προπομπή[nafsc] ἕνεκα[pg] ἀσφάλεια[ngfsc] ὁ[dgfs] πρός[pa] ὁ[damp] ἐναντιόομαι[vppmamp] ἐγώ[rpd-p]. **v.52** λέγω[viaa1p] γάρ[cc] ὁ[ddms] βασιλεύς[ndmsc] ὅτι[cs] ἰσχύς[nnfsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] εἰμί[vifm3s] μετά[pg] ὁ[dgmp] ἐπιζητέω[vppagmp] αὐτός[rpams] εἰς[pa] πᾶς[aiafsn] ἐπανόρθωσις[nafsc]. **v.53** καί[cc] πάλιν[b] δέομαι[viap1p] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] κατά[pa] οὗτος[rdanp] καί[cc] εὐίλατος[angmsn] τυγχάνω[viaa1p]. **v.54** καί[cc] χωρίζω[viaa1s] ὁ[dgmp] φύλαρχος[ngmpc] ὁ[dgmp] ἱερεύς[ngmpc] ἀνήρ[nampc] δέκα[ac—n] δύο[ac—n] καί[cc] Σερεβιας[namsp] καί[cc] Ασαβιας[namsp] καί[cc] μετά[pg] αὐτός[rpgmp] ἐκ[pg] ὁ[dgmp] ἀδελφός[ngmpc] αὐτός[rpgmp] ἀνήρ[nampc] δέκα[ac—n]. **v.55** καί[cc] ἵστημι[viaa1s] αὐτός[rpdmp] ὁ[dans] ἀργύριον[nansc] καί[cc] ὁ[dans] χρυσίον[nansc] καί[cc] ὁ[danp] ἱερός[ananpn] σκεῦος[nanpc] ὁ[dgms] οἶκος[ngmsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] ὅς[rranp] αὐτός[rpnms] δωρέομαι[viam3s] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] ὁ[dnmp] σύμβουλος[nnmpc] αὐτός[rpgms] καί[cc] ὁ[dnmp] μεγιστάν[nnmpc] καί[cc] πᾶς[ainmsn] Ἰσραήλ[nnmsp].

χαλκᾶ ἀπὸ χρηστοῦ χαλκοῦ στίλβοντα χρυσοειδῆ σκεύη δώδεκα.
καὶ εἶπα αὐτοῖς καὶ ὑμεῖς ἅγιοί ἐστε τῷ κυρίῳ καὶ τὰ σκεύη ἅγια 57
καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον εὐχὴ τῷ κυρίῳ κυρίῳ τῶν πατέ-
ρων ἡμῶν. ἀγρυπνεῖτε καὶ φυλάσσετε ἕως τοῦ παραδοῦναι αὐτὰ 58
ὑμᾶς τοῖς φυλάρχοις τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τοῖς ἡγουμέ-
νοις τῶν πατριῶν τοῦ Ισραηλ ἐν Ιερουσαλημ ἐν τοῖς παστοφορίοις
τοῦ οἴκου τοῦ κυρίου ἡμῶν. καὶ οἱ παραλαβόντες οἱ ἱερεῖς καὶ οἱ 59
Λευῖται τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη τὰ ἐν Ιερουσα-
λημ εἰσήνεγκαν εἰς τὸ ἱερὸν τοῦ κυρίου. καὶ ἀναζεύξαντες ἀπὸ 60
τοῦ ποταμοῦ Θερα τῇ δωδεκάτῃ τοῦ πρώτου μηνὸς εἰσήλθομεν
εἰς Ιερουσαλημ κατὰ τὴν κραταιὰν χεῖρα τοῦ κυρίου ἡμῶν τὴν ἐφ'
ἡμῖν καὶ ἐρρύσατο ἡμᾶς ἐπὶ τῆς εἰσόδου ἀπὸ παντὸς ἐχθροῦ καὶ
ἤλθομεν εἰς Ιερουσαλημ. καὶ γενομένης αὐτόθι ἡμέρας τρίτης 61
σταθὲν τὸ ἀργύριον καὶ τὸ χρυσίον παρεδόθη ἐν τῷ οἴκῳ τοῦ κυ-
ρίου ἡμῶν Μαρμωθι Ουρια ἱερεῖ. καὶ μετ' αὐτοῦ Ελεαζαρ ὁ τοῦ 62
Φινεες καὶ ἦσαν μετ' αὐτῶν Ιωσαβδος Ἰησοῦ καὶ Μωεθ Σαβαννου
οἱ Λευῖται πρὸς ἀριθμὸν καὶ ὁλκὴν ἅπαντα καὶ ἐγράφη πᾶσα ἡ
ὁλκὴ αὐτῶν αὐτῇ τῇ ὥρᾳ. οἱ δὲ παραγενόμενοι ἐκ τῆς αἰχμα- 63
λωσίας προσήνεγκαν θυσίας τῷ θεῷ τοῦ Ισραηλ κυρίῳ ταύρους
δώδεκα ὑπὲρ παντὸς Ισραηλ κριοὺς ἐνενήκοντα ἕξ ἄρνας ἑβδο-
μήκοντα δύο τράγους ὑπὲρ σωτηρίου δέκα δύο ἅπαντα θυσίαν τῷ

---

**v.56** καί[cc] ἵστημι[vpaanms] παραδίδωμι[viaa1s] αὐτός[rpdmp] ἀργύριον[ngnsc] τάλαντον[nanpc] ἑξακόσιοι[acanpn] πεντήκοντα[ac—n] καί[cc] σκεῦος[nanpc] ἀργυροῦς[ananpn] τάλαντον[ngnpc] ἑκατόν[ac—n] καί[cc] χρυσίον[ngnsc] τάλαντον[nanpc] ἑκατόν[ac—n] καί[cc] χρύσωμα[nanpc] εἴκοσι[ac—n] καί[cc] σκεῦος[nanpc] χαλκοῦς[ananpn] ἀπό[pg] χρηστός[angmsn] χαλκός[ngmsc] στίλβω[vppaanp] χρυσοειδής[ananpn] σκεῦος[nanpc] δώδεκα[ac—n]. **v.57** καί[cc] λέγω[viaa1s] αὐτός[rpdmp] καί[cc] σύ[rpn-p] ἅγιος[annmpn] εἰμί[vipa2p] ὁ[ddms] κύριος[ndmsc] καί[cc] ὁ[dnnp] σκεῦος[nnnpc] ἅγιος[annnpn] καί[cc] ὁ[dnns] ἀργύριον[nnnsc] καί[cc] ὁ[dnns] χρυσίον[nnnsc] εὐχή[nnfsc] ὁ[ddms] κύριος[ndmsc] κύριος[ndmsc] ὁ[dgmp] πατήρ[ngmpc] ἐγώ[rpg-p]. **v.58** ἀγρυπνέω[vdpa2p] καί[cc] φυλάσσω[vdpa2p] ἕως[cs] ὁ[dgns] παραδίδωμι[vnaa] αὐτός[rpanp] σύ[rpa-p] ὁ[ddmp] φύλαρχος[ndmpc] ὁ[dgmp] ἱερεύς[ngmpc] καί[cc] ὁ[dgmp] λευίτης[ngmpp] καί[cc] ὁ[ddmp] ἡγέομαι[vppmdmp] ὁ[dgfp] πατριά[ngfpc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ἐν[pd] ὁ[ddnp] παστοφόριον[ndnpc] ὁ[dgms] οἶκος[ngmsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p]. **v.59** καί[cc] ὁ[dnmp] παραλαμβάνω[vpaanmp] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] ὁ[dans] ἀργύριον[nansc] καί[cc] ὁ[dans] χρυσίον[nansc] καί[cc] ὁ[danp] σκεῦος[nanpc] ὁ[danp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] εἰσφέρω[viaa3p] εἰς[pa] ὁ[dans] ἱερόν[nansc] ὁ[dgms] κύριος[ngmsc]. **v.60** καί[cc] ἀναζεύγνυμι[vpaanmp] ἀπό[pg] ὁ[dgms] ποταμός[ngmsc] Θερά[ng-sp] ὁ[ddfs] δωδέκατος[aodfsn] ὁ[dgms] πρῶτος[aogmsn] μήν[ngmsc] εἰσέρχομαι[viaa1p] εἰς[pa] Ἰερουσαλήμ[nafsp] κατά[pa] ὁ[dafs] κραταιός[anafsn] χείρ[nafsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] ὁ[dafs] ἐπί[pd] ἐγώ[rpd-p] καί[cc] ῥύομαι[viam3s] ἐγώ[rpa-p] ἐπί[pg] ὁ[dgfs] εἴσοδος[ngfsc] ἀπό[pg] πᾶς[aigmsn] ἐχθρός[angmsn] καί[cc] ἔρχομαι[viaa1p] εἰς[pa] Ἰερουσαλήμ[nafsp]. **v.61** καί[cc] γίνομαι[vpamgfs] αὐτόθι[b] ἡμέρα[ngfsc] τρίτος[aogfsn] ἵστημι[vpapnns] ὁ[dnns] ἀργύριον[nnnsc] καί[cc] ὁ[dnns] χρυσίον[nnnsc] παραδίδωμι[viap3s] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] Μαρμωθι[ndmsp] Ὀυρίας[ngmsp] ἱερεύς[ndmsc]. **v.62** καί[cc] μετά[pg] αὐτός[rpgms] Ἐλεάζαρ[nnmsp] ὁ[dnms] ὁ[dgms] Φινεες[ngmsp] καί[cc] εἰμί[viia3p] μετά[pg] αὐτός[rpgmp] Ἰώσαβδος[nnmsp] Ἰησοῦς[ngmsp] καί[cc] Μωεθ[nnmsp] Σάβαννος[ngmsp] ὁ[dnmp] λευίτης[nnmpp] πρός[pa] ἀριθμός[namsc] καί[cc] ὁλκή[nafsc] ἅπας[annnpn] καί[cc] γράφω[viap3s] πᾶς[ainfsn] ὁ[dnfs] ὁλκή[nnfsc] αὐτός[rpgnp] αὐτός[rtdfs] ὁ[ddfs] ὥρα[ndfsc].

64 κυρίῳ. καὶ ἀπέδωκαν τὰ προστάγματα τοῦ βασιλέως τοῖς βασι-
λικοῖς οἰκονόμοις καὶ τοῖς ἐπάρχοις Κοίλης Συρίας καὶ Φοινίκης
65 καὶ ἐδόξασαν τὸ ἔθνος καὶ τὸ ἱερὸν τοῦ κυρίου. καὶ τούτων τελε-
66 σθέντων προσήλθοσάν μοι οἱ ἡγούμενοι λέγοντες. οὐκ ἐχώρισαν
τὸ ἔθνος τοῦ Ισραηλ καὶ οἱ ἄρχοντες καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται
τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς καὶ τὰς ἀκαθαρσίας αὐτῶν Χαναναίων
καὶ Χετταίων καὶ Φερεζαίων καὶ Ιεβουσαίων καὶ Μωαβιτῶν καὶ
67 Αἰγυπτίων καὶ Ιδουμαίων. συνῴκησαν γὰρ μετὰ τῶν θυγατέρων
αὐτῶν καὶ αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ ἐπεμίγη τὸ σπέρμα τὸ ἅγιον
εἰς τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς καὶ μετεῖχον οἱ προηγούμενοι καὶ
οἱ μεγιστᾶνες τῆς ἀνομίας ταύτης ἀπὸ τῆς ἀρχῆς τοῦ πράγματος.
68 καὶ ἅμα τῷ ἀκοῦσαί με ταῦτα διέρρηξα τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐ-
σθῆτα καὶ κατέτιλα τοῦ τριχώματος τῆς κεφαλῆς καὶ τοῦ πώγωνος
69 καὶ ἐκάθισα σύννους καὶ περίλυπος. καὶ ἐπισυνήχθησαν πρός
με ὅσοι ποτὲ ἐπεκινοῦντο τῷ ῥήματι κυρίου τοῦ Ισραηλ ἐμοῦ πεν-
θοῦντος ἐπὶ τῇ ἀνομίᾳ καὶ ἐκαθήμην περίλυπος ἕως τῆς δειλινῆς
70 θυσίας. καὶ ἐξεγερθεὶς ἐκ τῆς νηστείας διερρηγμένα ἔχων τὰ
ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα κάμψας τὰ γόνατα καὶ ἐκτείνας τὰς
71 χεῖρας πρὸς τὸν κύριον ἔλεγον. κύριε ᾔσχυμμαι ἐντέτραμμαι

---

**v.63** ὁ[dnmp] δέ[cc] παραγίνομαι[vpamnmp] ἐκ[pg] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] προσφέρω[viaa3p] θυσία[nafpc] ὁ[ddms] θεός[ndmsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] κύριος[ndmsc] ταῦρος[nampc] δώδεκα[ac—n] ὑπέρ[pg] πᾶς[aigmsn] Ἰσραήλ[ngmsp] κριός[nampc] ἐνενήκοντα[ac—n] ἕξ[ac—n] ἀρνός[nampc] ἑβδομήκοντα[ac—n] δύο[ac—n] τράγος[nampc] ὑπέρ[pg] σωτήριον[ngnsc] δέκα[ac—n] δύο[ac—n] ἅπας[ananpn] θυσία[nafsc] ὁ[ddms] κύριος[ndmsc]. **v.64** καί[cc] ἀποδίδωμι[viaa3p] ὁ[danp] πρόσταγμα[nanpc] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[ddmp] βασιλικός[andmpn] οἰκονόμος[ndmpc] καί[cc] ὁ[ddmp] ἔπαρχος[ndmpc] Κοίλη[ngfsp] Συρία[ngfsp] καί[cc] Φοινίκη[ngfsp] καί[cc] δοξάζω[viaa3p] ὁ[dans] ἔθνος[nansc] καί[cc] ὁ[dans] ἱερόν[nansc] ὁ[dgms] κύριος[ngmsc]. **v.65** καί[cc] οὗτος[rdgnp] τελέω[vpapgnp] προσέρχομαι[viaa3p] ἐγώ[rpd-s] ὁ[dnmp] ἡγέομαι[vppmnmp] λέγω[vppanmp]. **v.66** οὐ[b] χωρίζω[viaa3p] ὁ[dnns] ἔθνος[nnnsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] καί[cc] ὁ[dnmp] ἄρχων[nnmpc] καί[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] ὁ[danp] ἀλλογενής[ananpn] ἔθνος[nanpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ὁ[dafp] ἀκαθαρσία[nafpc] αὐτός[rpgmp] Χαναναῖος[ngmpp] καί[cc] Χετταῖος[ngmpp] καί[cc] Φερεζαῖος[ngmpp] καί[cc] Ιεβουσαῖος[ngmpp] καί[cc] Μωαβίτης[ngmpp] καί[cc] Αἰγύπτιος[angmpn] καί[cc] Ιδουμαῖος[ngmpp]. **v.67** συνοικέω[viaa3p] γάρ[cc] μετά[pg] ὁ[dgfp] θυγάτηρ[ngfpc] αὐτός[rpgmp] καί[cc] αὐτός[rpnmp] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] αὐτός[rpgmp] καί[cc] ἐπιμίγνυμι[viap3s] ὁ[dnns] σπέρμα[nnnsc] ὁ[dnns] ἅγιος[annnsn] εἰς[pa] ὁ[danp] ἀλλογενής[ananpn] ἔθνος[nanpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] μετέχω[viia3p] ὁ[dnmp] προηγέομαι[vppmnmp] καί[cc] ὁ[dnmp] μεγιστάν[nnmpc] ὁ[dgfs] ἀνομία[ngfsc] οὗτος[rdgfs] ἀπό[pg] ὁ[dgfs] ἀρχή[ngfsc] ὁ[dgns] πρᾶγμα[ngnsc]. **v.68** καί[cc] ἅμα[pd] ὁ[ddns] ἀκούω[vnaa] ἐγώ[rpa-s] οὗτος[rdanp] διαρρήγνυμι[viaa1s] ὁ[danp] ἱμάτιον[nanpc] καί[cc] ὁ[dafs] ἱερός[anafsn] ἐσθής[nafsc] καί[cc] κατατίλλω[viaa3s] ὁ[dgns] τρίχωμα[ngnsc] ὁ[dgfs] κεφαλή[ngfsc] καί[cc] ὁ[dgms] πώγων[ngmsc] καί[cc] καθίζω[viaa1s] σύννους[nnmsc] καί[cc] περίλυπος[annmsn]. **v.69** καί[cc] ἐπισυνάγω[viap3p] πρός[pa] ἐγώ[rpa-s] ὅσος[rrnmpn] ποτέ[b] ἐπικινέομαι[viip3p] ὁ[ddns] ῥῆμα[ndnsc] κύριος[ngmsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐγώ[rpg-s] πενθέω[vppagms] ἐπί[pd] ὁ[ddfs] ἀνομία[ndfsc] καί[cc] κάθημαι[viim1s] περίλυπος[annmsn] ἕως[pg] ὁ[dgfs] δειλινός[angfsn] θυσία[ngfsc]. **v.70** καί[cc] ἐξεγείρω[vpapnms] ἐκ[pg] ὁ[dgfs] νηστεία[ngfsc] διαρρήγνυμι[vpxpanp] ἔχω[vppanms] ὁ[danp] ἱμάτιον[nanpc] καί[cc] ὁ[dafs] ἱερός[anafsn] ἐσθής[nafsc] κάμπτω[vpaanms] ὁ[danp] γόνυ[nanpc] καί[cc] ἐκτείνω[vpaanms] ὁ[dafp] χείρ[nafpc] πρός[pa] ὁ[dams] κύριος[namsc] λέγω[viia1s].

κατὰ πρόσωπόν σου. αἱ γὰρ ἁμαρτίαι ἡμῶν ἐπλεόνασαν ὑπὲρ 72
τὰς κεφαλὰς ἡμῶν αἱ δὲ ἄγνοιαι ἡμῶν ὑπερήνεγκαν ἕως τοῦ οὐ-
ρανοῦ. ἀπὸ τῶν χρόνων τῶν πατέρων ἡμῶν καί ἐσμεν ἐν μεγάλῃ 73
ἁμαρτίᾳ ἕως τῆς ἡμέρας ταύτης. καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν 74
καὶ τῶν πατέρων ἡμῶν παρεδόθημεν σὺν τοῖς ἀδελφοῖς ἡμῶν καὶ
σὺν τοῖς βασιλεῦσιν ἡμῶν καὶ σὺν τοῖς ἱερεῦσιν ἡμῶν τοῖς βα-
σιλεῦσιν τῆς γῆς εἰς ῥομφαίαν καὶ αἰχμαλωσίαν καὶ προνομὴν
μετὰ αἰσχύνης μέχρι τῆς σήμερον ἡμέρας. καὶ νῦν κατὰ πόσον 75
τι ἐγενήθη ἡμῖν ἔλεος παρὰ σοῦ κύριε καταλειφθῆναι ἡμῖν ῥίζαν
καὶ ὄνομα ἐν τῷ τόπῳ τοῦ ἁγιάσματός σου. καὶ τοῦ ἀνακαλύψαι 76
φωστῆρα ἡμῶν ἐν τῷ οἴκῳ τοῦ κυρίου ἡμῶν δοῦναι ἡμῖν τροφὴν
ἐν τῷ καιρῷ τῆς δουλείας ἡμῶν. καὶ ἐν τῷ δουλεύειν ἡμᾶς οὐκ 77
ἐγκατελείφθημεν ὑπὸ τοῦ κυρίου ἡμῶν ἀλλὰ ἐποίησεν ἡμᾶς ἐν
χάριτι ἐνώπιον τῶν βασιλέων Περσῶν. δοῦναι ἡμῖν τροφὴν καὶ 78
δοξάσαι τὸ ἱερὸν τοῦ κυρίου ἡμῶν καὶ ἐγεῖραι τὴν ἔρημον Σιων
δοῦναι ἡμῖν στερέωμα ἐν τῇ Ιουδαίᾳ καὶ Ιερουσαλημ. καὶ νῦν 79
τί ἐροῦμεν κύριε ἔχοντες ταῦτα παρέβημεν γὰρ τὰ προστάγμα-
τά σου ἃ ἔδωκας ἐν χειρὶ τῶν παίδων σου τῶν προφητῶν λέγων
ὅτι. ἡ γῆ εἰς ἣν εἰσέρχεσθε κληρονομῆσαι ἔστιν γῆ μεμολυσμένη 80
μολυσμῷ τῶν ἀλλογενῶν τῆς γῆς καὶ τῆς ἀκαθαρσίας αὐτῶν ἐνέ-
πλησαν αὐτήν. καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ συνοικίσητε τοῖς 81

---

**v.71** κύριος[nvmsc] αἰσχύνω[vixp1s] ἐντρέπω[vixp1s] κατά[pa] πρόσωπον[nansc] σύ[rpg-s]. **v.72** ὁ[dnfp] γάρ[cc] ἁμαρτία[nnfpc] ἐγώ[rpg-p] πλεονάζω[viaa3p] ὑπέρ[pa] ὁ[dafp] κεφαλή[nafpc] ἐγώ[rpg-p] ὁ[dnfp] δέ[cc] ἄγνοια[nnfpc] ἐγώ[rpg-p] ὑπερφέρω[viaa3p] ἕως[pg] ὁ[dgms] οὐρανός[ngmsc]. **v.73** ἀπό[pg] ὁ[dgmp] χρόνος[ngmpc] ὁ[dgmp] πατήρ[ngmpc] ἐγώ[rpg-p] καί[cc] εἰμί[vipa1p] ἐν[pd] μέγας[andfsn] ἁμαρτία[ndfsc] ἕως[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdgfs]. **v.74** καί[cc] διά[pa] ὁ[dafp] ἁμαρτία[nafpc] ἐγώ[rpg-p] καί[cc] ὁ[dgmp] πατήρ[ngmpc] ἐγώ[rpg-p] παραδίδωμι[viap1p] σύν[pd] ὁ[ddmp] ἀδελφός[ndmpc] ἐγώ[rpg-p] καί[cc] σύν[pd] ὁ[ddmp] βασιλεύς[ndmpc] ἐγώ[rpg-p] καί[cc] σύν[pd] ὁ[ddmp] ἱερεύς[ndmpc] ἐγώ[rpg-p] ὁ[ddmp] βασιλεύς[ndmpc] ὁ[dgfs] γῆ[ngfsc] εἰς[pa] ῥομφαία[nafsc] καί[cc] αἰχμαλωσία[nafsc] καί[cc] προνομή[nafsc] μετά[pg] αἰσχύνη[ngfsc] μέχρι[pg] ὁ[dgfs] σήμερον[b] ἡμέρα[ngfsc]. **v.75** καί[cc] νῦν[b] κατά[pa] πόσος[aqansn] τι-σριανς γίνομαι[viap3s] ἐγώ[rpd-p] ἔλεος[nnnsc] παρά[pg] σύ[rpg-s] κύριος[nvmsc] καταλείπω[vnap] ἐγώ[rpd-p] ῥίζα[nafsc] καί[cc] ὄνομα[nansc] ἐν[pd] ὁ[ddms] τόπος[ndmsc] ὁ[dgns] ἁγίασμα[ngnsc] σύ[rpg-s]. **v.76** καί[cc] ὁ[dgns] ἀνακαλύπτω[vnaa] φωστήρ[namsc] ἐγώ[rpg-p] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] δίδωμι[vnaa] ἐγώ[rpd-p] τροφή[nafsc] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ὁ[dgfs] δουλεία[ngfsc] ἐγώ[rpg-p]. **v.77** καί[cc] ἐν[pd] ὁ[ddns] δουλεύω[vnpa] ἐγώ[rpa-p] οὐ[b] ἐγκαταλείπω[viap1p] ὑπό[pg] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] ἀλλά[cc] ποιέω[viaa3s] ἐγώ[rpa-p] ἐν[pd] χάρις[ndfsc] ἐνώπιον[pg] ὁ[dgmp] βασιλεύς[ngmpc] Πέρσης[ngmpp]. **v.78** δίδωμι[vnaa] ἐγώ[rpd-p] τροφή[nafsc] καί[cc] δοξάζω[vnaa] ὁ[dans] ἱερόν[nansc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] καί[cc] ἐγείρω[vnaa] ὁ[dafs] ἔρημος[nafsc] Σιών[ngfsp] δίδωμι[vnaa] ἐγώ[rpd-p] στερέωμα[nansc] ἐν[pd] ὁ[ddfs] Ἰουδαία[ndfsp] καί[cc] Ἰερουσαλήμ[ndfsp]. **v.79** καί[cc] νῦν[b] τίς[rqans] λέγω[vifa1p] κύριος[nvmsc] ἔχω[vppanmp] οὗτος[rdanp] παραβαίνω[viaa1p] γάρ[cc] ὁ[danp] πρόσταγμα[nanpc] σύ[rpg-s] ὅς[rranp] δίδωμι[viaa2s] ἐν[pd] χείρ[ndfsc] ὁ[dgmp] παῖς[ngmpc] σύ[rpg-s] ὁ[dgmp] προφήτης[ngmpc] λέγω[vppanms] ὅτι[cs]. **v.80** ὁ[dnfs] γῆ[nnfsc] εἰς[pa] ὅς[rrafs] εἰσέρχομαι[vipm2p] κληρονομέω[vnaa] εἰμί[vipa3s] γῆ[nnfsc] μολύνω[vpxpnfs] μολυσμός[ndmsc] ὁ[dgmp] ἀλλογενής[angmpn] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ὁ[dgfs] ἀκαθαρσία[ngfsc] αὐτός[rpgmp] ἐμπίπλημι[viaa3p] αὐτός[rpafs].

υἱοῖς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ὑμῶν.
82 καὶ οὐ ζητήσετε εἰρηνεῦσαι τὰ πρὸς αὐτοὺς τὸν ἅπαντα χρόνον
ἵνα ἰσχύσαντες φάγητε τὰ ἀγαθὰ τῆς γῆς καὶ κατακληρονομήσητε
83 τοῖς υἱοῖς ὑμῶν ἕως αἰῶνος. καὶ τὰ συμβαίνοντα πάντα ἡμῖν γί-
γνεται διὰ τὰ ἔργα ἡμῶν τὰ πονηρὰ καὶ τὰς μεγάλας ἁμαρτίας
84 ἡμῶν. σὺ γάρ κύριε ἐκούφισας τὰς ἁμαρτίας ἡμῶν καὶ ἔδωκας
ἡμῖν τοιαύτην ῥίζαν πάλιν ἀνεκάμψαμεν παραβῆναι τὸν νόμον
85 σου εἰς τὸ ἐπιμιγῆναι τῇ ἀκαθαρσίᾳ τῶν ἐθνῶν τῆς γῆς. οὐχὶ
ὠργίσθης ἡμῖν ἀπολέσαι ἡμᾶς ἕως τοῦ μὴ καταλιπεῖν ῥίζαν καὶ
86 σπέρμα καὶ ὄνομα ἡμῶν. κύριε τοῦ Ισραηλ ἀληθινὸς εἶ κατε-
87 λείφθημεν γὰρ ῥίζα ἐν τῇ σήμερον. ἰδοὺ νῦν ἐσμεν ἐνώπιόν σου
ἐν ταῖς ἀνομίαις ἡμῶν οὐ γὰρ ἔστιν στῆναι ἔτι ἔμπροσθέν σου ἐπὶ
88 τούτοις. καὶ ὅτε προσευχόμενος Εσδρας ἀνθωμολογεῖτο κλαίων
χαμαιπετὴς ἔμπροσθεν τοῦ ἱεροῦ ἐπισυνήχθησαν πρὸς αὐτὸν ἀ-
πὸ Ιερουσαλημ ὄχλος πολὺς σφόδρα ἄνδρες καὶ γυναῖκες καὶ
89 νεανίαι κλαυθμὸς γὰρ ἦν μέγας ἐν τῷ πλήθει. καὶ φωνήσας Ιε-
χονιας Ιεηλου τῶν υἱῶν Ισραηλ εἶπεν Εσδρα ἡμεῖς ἡμάρτομεν εἰς
τὸν κύριον καὶ συνῳκίσαμεν γυναῖκας ἀλλογενεῖς ἐκ τῶν ἐθνῶν
90 τῆς γῆς καὶ νῦν ἐστιν ἐλπὶς τῷ Ισραηλ. ἐν τούτῳ γενέσθω ἡμῖν
ὁρκωμοσία πρὸς τὸν κύριον ἐκβαλεῖν πάσας τὰς γυναῖκας ἡμῶν
τὰς ἐκ τῶν ἀλλογενῶν σὺν τοῖς τέκνοις αὐτῶν ὡς ἐκρίθη σοι καὶ

---

**v.81** καί[cc] νῦν[b] ὁ[dafp] θυγάτηρ[nafpc] σύ[rpg-p] μή[x] συνοικίζω[vsaa2p] ὁ[ddmp] υἱός[ndmpc] αὐτός[rpgmp] καί[cc] ὁ[dafp] θυγάτηρ[nafpc] αὐτός[rpgmp] μή[x] λαμβάνω[vsaa2p] ὁ[ddmp] υἱός[ndmpc] σύ[rpg-p]. **v.82** καί[cc] οὐ[b] ζητέω[vifa2p] εἰρηνεύω[vnaa] ὁ[danp] πρός[pa] αὐτός[rpamp] ὁ[dams] ἅπας[anamsn] χρόνος[namsc] ἵνα[cs] ἰσχύω[vpaanmp] ἐσθίω[vsaa2p] ὁ[danp] ἀγαθός[ananpn] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] κατακληρονομέω[vsaa2p] ὁ[ddmp] υἱός[ndmpc] σύ[rpg-p] ἕως[pg] αἰών[ngmsc]. **v.83** καί[cc] ὁ[dnnp] συμβαίνω[vppannp] πᾶς[ainnpn] ἐγώ[rpd-p] γίνομαι[vipm3s] διά[pa] ὁ[danp] ἔργον[nanpc] ἐγώ[rpg-p] ὁ[danp] πονηρός[ananpn] καί[cc] ὁ[dafp] μέγας[anafpn] ἁμαρτία[nafpc] ἐγώ[rpg-p]. **v.84** σύ[rpn-s] γάρ[cc] κύριος[nvmsc] κουφίζω[viaa2s] ὁ[dafp] ἁμαρτία[nafpc] ἐγώ[rpg-p] καί[cc] δίδωμι[viaa2s] ἐγώ[rpd-p] τοιοῦτος[adafsn] ῥίζα[nafsc] πάλιν[b] ἀνακάμπτω[viaa1p] παραβαίνω[vnaa] ὁ[dams] νόμος[namsc] σύ[rpg-s] εἰς[pa] ὁ[dans] ἐπιμίγνυμι[vnap] ὁ[ddfs] ἀκαθαρσία[ndfsc] ὁ[dgnp] ἔθνος[ngnpc] ὁ[dgfs] γῆ[ngfsc]. **v.85** οὐχί[b] ὀργίζω[viap2s] ἐγώ[rpd-p] ἀπόλλυμι[vnaa] ἐγώ[rpa-p] ἕως[cs] ὁ[dgns] μή[x] καταλείπω[vnaa] ῥίζα[nafsc] καί[cc] σπέρμα[nansc] καί[cc] ὄνομα[nansc] ἐγώ[rpg-p]. **v.86** κύριος[nvmsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἀληθινός[annmsn] εἰμί[vipa2s] καταλείπω[viap1p] γάρ[cc] ῥίζα[nnfsc] ἐν[pd] ὁ[ddfs] σήμερον[b]. **v.87** ἰδού[i] νῦν[b] εἰμί[vipa1p] ἐνώπιον[pg] σύ[rpg-s] ἐν[pd] ὁ[ddfp] ἀνομία[ndfpc] ἐγώ[rpg-p] οὐ[b] γάρ[cc] εἰμί[vipa3s] ἵστημι[vnaa] ἔτι[b] ἔμπροσθεν[pg] σύ[rpg-s] ἐπί[pd] οὗτος[rddnp]. **v.88** καί[cc] ὅτε[cs] προσεύχομαι[vppmnms] Εσδρας[nnmsp] ἀνθομολογέομαι[viim3s] κλαίω[vppanms] χαμαιπετής[annmsn] ἔμπροσθεν[pg] ὁ[dgns] ἱερόν[ngnsc] ἐπισυνάγω[viap3p] πρός[pa] αὐτός[rpams] ἀπό[pg] Ἰερουσαλήμ[ngfsp] ὄχλος[nnmsc] πολύς[annmsn] σφόδρα[b] ἀνήρ[nnmpc] καί[cc] γυνή[nnfpc] καί[cc] νεανίας[nnmpc] κλαυθμός[nnmsc] γάρ[cc] εἰμί[viia3s] μέγας[annmsn] ἐν[pd] ὁ[ddns] πλῆθος[ndnsc]. **v.89** καί[cc] φωνέω[vpaanms] Ἰεχονίας[nnmsp] Ἰέηλος[ngmsp] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] λέγω[viaa3s] Ἔσδρας[ndmsp] ἐγώ[rpn-p] ἁμαρτάνω[viaa1p] εἰς[pa] ὁ[dams] κύριος[namsc] καί[cc] συνοικίζω[viaa1p] γυνή[nafpc] ἀλλογενής[anafpn] ἐκ[pg] ὁ[dgnp] ἔθνος[ngnpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] νῦν[b] εἰμί[vipa3s] ἐλπίς[nnfsc] ὁ[ddms] Ἰσραήλ[ndmsp].

ὅσοι πειθαρχοῦσιν τῷ νόμῳ τοῦ κυρίου. ἀναστὰς ἐπιτέλει πρὸς 91
σὲ γὰρ τὸ πρᾶγμα καὶ ἡμεῖς μετὰ σοῦ ἰσχὺν ποιεῖν. καὶ ἀναστὰς 92
Εσδρας ὥρκισεν τοὺς φυλάρχους τῶν ἱερέων καὶ Λευιτῶν παντὸς
τοῦ Ισραηλ ποιῆσαι κατὰ ταῦτα καὶ ὤμοσαν.

καὶ ἀναστὰς Εσδρας ἀπὸ τῆς αὐλῆς τοῦ ἱεροῦ ἐπορεύθη εἰς τὸ **9**
παστοφόριον Ιωαναν τοῦ Ελιασιβου. καὶ αὐλισθεὶς ἐκεῖ ἄρτου 2
οὐκ ἐγεύσατο οὐδὲ ὕδωρ ἔπιεν πενθῶν ὑπὲρ τῶν ἀνομιῶν τῶν με-
γάλων τοῦ πλήθους. καὶ ἐγένετο κήρυγμα ἐν ὅλῃ τῇ Ιουδαίᾳ καὶ 3
Ιερουσαλημ πᾶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας συναχθῆναι εἰς Ιερου-
σαλημ. καὶ ὅσοι ἂν μὴ ἀπαντήσωσιν ἐν δυσὶν ἢ τρισὶν ἡμέραις 4
κατὰ τὸ κρίμα τῶν προκαθημένων πρεσβυτέρων ἀνιερωθήσονται
τὰ κτήνη αὐτῶν καὶ αὐτὸς ἀλλοτριωθήσεται ἀπὸ τοῦ πλήθους τῆς
αἰχμαλωσίας. καὶ ἐπισυνήχθησαν οἱ ἐκ τῆς φυλῆς Ιουδα καὶ 5
Βενιαμιν ἐν τρισὶν ἡμέραις εἰς Ιερουσαλημ οὗτος ὁ μὴν ἔνατος
τῇ εἰκάδι τοῦ μηνός. καὶ συνεκάθισαν πᾶν τὸ πλῆθος ἐν τῇ 6
εὐρυχώρῳ τοῦ ἱεροῦ τρέμοντες διὰ τὸν ἐνεστῶτα χειμῶνα. καὶ 7
ἀναστὰς Εσδρας εἶπεν αὐτοῖς ὑμεῖς ἠνομήσατε καὶ συνῳκίσατε
γυναῖκας ἀλλογενεῖς τοῦ προσθεῖναι ἁμαρτίαν τῷ Ισραηλ. καὶ 8
νῦν δότε ὁμολογίαν δόξαν τῷ κυρίῳ θεῷ τῶν πατέρων ἡμῶν. καὶ 9
ποιήσατε τὸ θέλημα αὐτοῦ καὶ χωρίσθητε ἀπὸ τῶν ἐθνῶν τῆς γῆς

---

**v.90** ἐν[pd] οὗτος[rddns] γίνομαι[vdam3s] ἐγώ[rpd-p] ὁρκωμοσία[nnfsc] πρός[pa] ὁ[dams] κύριος[namsc] ἐκβάλλω[vnaa] πᾶς[aiafpn] ὁ[dafp] γυνή[nafpc] ἐγώ[rpg-p] ὁ[dafp] ἐκ[pg] ὁ[dgmp] ἀλλογενής[angmpn] σύν[pd] ὁ[ddnp] τέκνον[ndnpc] αὐτός[rpgmp] ὡς[cs] κρίνω[viap3s] σύ[rpd-s] καί[cc] ὅσος[rrnmpn] πειθαρχέω[vipa3p] ὁ[ddms] νόμος[ndmsc] ὁ[dgms] κύριος[ngmsc]. **v.91** ἀνίστημι[vpaanms] ἐπιτελέω[vdpa2s] πρός[pa] σύ[rpa-s] γάρ[cc] ὁ[dans] πρᾶγμα[nansc] καί[cc] ἐγώ[rpn-p] μετά[pg] σύ[rpg-s] ἰσχύς[nafsc] ποιέω[vnpa]. **v.92** καί[cc] ἀνίστημι[vpaanms] Εσδρας[nnmsp] ὁρκίζω[viaa3s] ὁ[damp] φύλαρχος[nampc] ὁ[dgmp] ἱερεύς[ngmpc] καί[cc] λευίτης[ngmpp] πᾶς[aigmsn] ὁ[dgms] Ἰσραήλ[ngmsp] ποιέω[vnaa] κατά[pa] οὗτος[rdanp] καί[cc] ὄμνυμι[viaa3p]. **9.** **v.1** καί[cc] ἀνίστημι[vpaanms] Εσδρας[nnmsp] ἀπό[pg] ὁ[dgfs] αὐλή[ngfsc] ὁ[dgns] ἱερόν[ngnsc] πορεύομαι[viap3s] εἰς[pa] ὁ[dans] παστοφόριον[nansc] Ἰωανάν[ngmsp] ὁ[dgms] Ἐλιάσιβος[ngmsp]. **v.2** καί[cc] αὐλίζομαι[vpapnms] ἐκεῖ[b] ἄρτος[ngmsc] οὐ[b] γεύω[viam3s] οὐδέ[cc] ὕδωρ[nansc] πίνω[viaa3s] πενθέω[vppanms] ὑπέρ[pg] ὁ[dgfp] ἀνομία[ngfpc] ὁ[dgfp] μέγας[angfpn] ὁ[dgns] πλῆθος[ngnsc]. **v.3** καί[cc] γίνομαι[viam3s] κήρυγμα[nnnsc] ἐν[pd] ὅλος[andfsn] ὁ[ddfs] Ἰουδαία[ndfsp] καί[cc] Ἰερουσαλήμ[ndfsp] πᾶς[aidmpn] ὁ[ddmp] ἐκ[pg] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] συνάγω[vnap] εἰς[pa] Ἰερουσαλήμ[nafsp]. **v.4** καί[cc] ὅσος[rrnmpn] ἄν[x] μή[x] ἀπαντάω[vsaa3p] ἐν[pd] δύο[acdfpn] ἤ[cc] τρεῖς[acdfpn] ἡμέρα[ndfpc] κατά[pa] ὁ[dans] κρίμα[nansc] ὁ[dgmp] προκάθημαι[vppmgmp] πρεσβύτερος[angmpc] ἀνιερόω[vifp3p] ὁ[dnnp] κτῆνος[nnnpc] αὐτός[rpgmp] καί[cc] αὐτός[rpnms] ἀλλοτριόω[vifp3s] ἀπό[pg] ὁ[dgns] πλῆθος[ngnsc] ὁ[dgfs] αἰχμαλωσία[ngfsc]. **v.5** καί[cc] ἐπισυνάγω[viap3p] ὁ[dnmp] ἐκ[pg] ὁ[dgfs] φυλή[ngfsc] Ἰούδας[ngmsp] καί[cc] Βενιαμίν[ngmsp] ἐν[pd] τρεῖς[acdfpn] ἡμέρα[ndfpc] εἰς[pa] Ἰερουσαλήμ[nafsp] οὗτος[rdnms] ὁ[dnms] μήν[nnmsc] ἔνατος[aonmsn] ὁ[ddfs] εἰκάς[ndfsc] ὁ[dgms] μήν[ngmsc]. **v.6** καί[cc] συγκαθίζω[viaa3p] πᾶς[ainnsn] ὁ[dnns] πλῆθος[nnnsc] ἐν[pd] ὁ[ddfs] εὐρύχωρος[andfsn] ὁ[dgns] ἱερόν[ngnsc] τρέμω[vppanmp] διά[pa] ὁ[dams] ἐνίστημι[vpxaams] χειμών[namsc]. **v.7** καί[cc] ἀνίστημι[vpaanms] Εσδρας[nnmsp] λέγω[viaa3s] αὐτός[rpdmp] σύ[rpn-p] ἀνομέω[viaa2p] καί[cc] συνοικίζω[viaa2p] γυνή[nafpc] ἀλλογενής[anafpn] ὁ[dgns] προστίθημι[vnaa] ἁμαρτία[nafsc] ὁ[ddms] Ἰσραήλ[ndmsp]. **v.8** καί[cc] νῦν[b] δίδωμι[vdaa2p] ὁμολογία[nafsc] δόξα[nafsc] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] ὁ[dgmp] πατήρ[ngmpc] ἐγώ[rpg-p].

10 καὶ ἀπὸ τῶν γυναικῶν τῶν ἀλλογενῶν. καὶ ἐφώνησαν ἅπαν τὸ
πλῆθος καὶ εἶπον μεγάλῃ τῇ φωνῇ οὕτως ὡς εἴρηκας ποιήσομεν.
11 ἀλλὰ τὸ πλῆθος πολὺ καὶ ἡ ὥρα χειμερινή καὶ οὐκ ἰσχύομεν στῆ-
ναι αἴθριοι καὶ οὐχ εὕρομεν καὶ τὸ ἔργον ἡμῖν οὐκ ἔστιν ἡμέρας
12 μιᾶς οὐδὲ δύο ἐπὶ πλεῖον γὰρ ἡμάρτομεν ἐν τούτοις. στήτωσαν
δὲ οἱ προηγούμενοι τοῦ πλήθους καὶ πάντες οἱ ἐκ τῶν κατοικιῶν
ἡμῶν ὅσοι ἔχουσιν γυναῖκας ἀλλογενεῖς παραγενηθήτωσαν λα-
13 βόντες χρόνον. καὶ ἑκάστου δὲ τόπου τοὺς πρεσβυτέρους καὶ
τοὺς κριτὰς ἕως τοῦ λῦσαι τὴν ὀργὴν τοῦ κυρίου ἀφ᾽ ἡμῶν τοῦ
14 πράγματος τούτου. Ιωναθας Αζαηλου καὶ Ιεζιας Θοκανου ἐπε-
δέξαντο κατὰ ταῦτα καὶ Μοσολλαμος καὶ Λευις καὶ Σαββαταιος
15 συνεβράβευσαν αὐτοῖς. καὶ ἐποίησαν κατὰ πάντα ταῦτα οἱ ἐκ
16 τῆς αἰχμαλωσίας. καὶ ἐπελέξατο ἑαυτῷ Εσδρας ὁ ἱερεὺς ἄνδρας
ἡγουμένους τῶν πατριῶν αὐτῶν κατ᾽ ὄνομα πάντας καὶ συνεκά-
θισαν τῇ νουμηνίᾳ τοῦ μηνὸς τοῦ δεκάτου ἐτάσαι τὸ πρᾶγμα.
17 καὶ ἤχθη ἐπὶ πέρας τὰ κατὰ τοὺς ἄνδρας τοὺς ἐπισυνέχοντας γυ-
18 ναῖκας ἀλλογενεῖς ἕως τῆς νουμηνίας τοῦ πρώτου μηνός. καὶ
εὑρέθησαν τῶν ἱερέων οἱ ἐπισυναχθέντες ἀλλογενεῖς γυναῖκας ἔ-
19 χοντες. ἐκ τῶν υἱῶν Ἰησοῦ τοῦ Ιωσεδεκ καὶ τῶν ἀδελφῶν Μασηας
20 καὶ Ελεαζαρος καὶ Ιωριβος καὶ Ιωδανος. καὶ ἐπέβαλον τὰς χεῖ-
ρας ἐκβαλεῖν τὰς γυναῖκας αὐτῶν καὶ εἰς ἐξιλασμὸν κριοὺς ὑπὲρ

---

**v.9** καί[cc] ποιέω[vdaa2p] ὁ[dans] θέλημα[nansc] αὐτός[rpgms] καί[cc] χωρίζω[vdap2p] ἀπό[pg] ὁ[dgnp] ἔθνος[ngnpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἀπό[pg] ὁ[dgfp] γυνή[ngfpc] ὁ[dgfp] ἀλλογενής[angfpn]. **v.10** καί[cc] φωνέω[viaa3p] ἅπας[annnsn] ὁ[dnns] πλῆθος[nnnsc] καί[cc] λέγω[viaa3p] μέγας[andfsn] ὁ[ddfs] φωνή[ndfsc] οὕτως[b] ὡς[cs] λέγω[vixa2s] ποιέω[vifa1p]. **v.11** ἀλλά[cc] ὁ[dnns] πλῆθος[nnnsc] πολύς[annnsn] καί[cc] ὁ[dnfs] ὥρα[nnfsc] χειμερινός[annfsn] καί[cc] οὐ[b] ἰσχύω[vipa1p] ἵστημι[vnaa] αἴθριος[annmpn] καί[cc] οὐ[b] εὑρίσκω[viaa1p] καί[cc] ὁ[dnns] ἔργον[nnnsc] ἐγώ[rpd-p] οὐ[b] εἰμί[vipa3s] ἡμέρα[ngfsc] εἷς[acgfsn] οὐδέ[cc] δύο[ac—n] ἐπί[pa] πολύς[anansc] γάρ[cc] ἁμαρτάνω[viaa1p] ἐν[pd] οὗτος[rddnp]. **v.12** ἵστημι[vdaa3p] δέ[cc] ὁ[dnmp] προηγέομαι[vppmnmp] ὁ[dgns] πλῆθος[ngnsc] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] ἐκ[pg] ὁ[dgfp] κατοικία[ngfpc] ἐγώ[rpg-p] ὅσος[rrnmpn] ἔχω[vipa3p] γυνή[nafpc] ἀλλογενής[anafpn] παραγίνομαι[vdap3p] λαμβάνω[vpaanmp] χρόνος[namsc]. **v.13** καί[cc] ἕκαστος[aigmsn] δέ[cc] τόπος[ngmsc] ὁ[damp] πρεσβύτερος[anampc] καί[cc] ὁ[damp] κριτής[nampc] ἕως[cs] ὁ[dgns] λύω[vnaa] ὁ[dafs] ὀργή[nafsc] ὁ[dgms] κύριος[ngmsc] ἀπό[pg] ἐγώ[rpg-p] ὁ[dgns] πρᾶγμα[ngnsc] οὗτος[rdgns]. **v.14** Ἰωνάθας[nnmsp] Ἀζάηλος[ngmsp] καί[cc] Ιεζιας[nnmsp] Θοκᾶνος[ngmsp] ἐπιδέχομαι[viam3p] κατά[pa] οὗτος[rdanp] καί[cc] Μοσολλαμος[nnmsp] καί[cc] Λευίς[nnmsp] καί[cc] Σαββαταιος[nnmsp] συμβραβεύω[viaa3p] αὐτός[rpdmp]. **v.15** καί[cc] ποιέω[viaa3p] κατά[pa] πᾶς[aianpn] οὗτος[rdanp] ὁ[dnmp] ἐκ[pg] ὁ[dgfs] αἰχμαλωσία[ngfsc]. **v.16** καί[cc] ἐπιλέγω[viam3s] ἑαυτοῦ[rxdms] Εσδρας[nnmsp] ὁ[dnms] ἱερεύς[nnmsc] ἀνήρ[nampc] ἡγέομαι[vppmamp] ὁ[dgfp] πατριά[ngfpc] αὐτός[rpgfp] κατά[pa] ὄνομα[nansc] πᾶς[aiampn] καί[cc] συγκαθίζω[viaa3p] ὁ[ddfs] νουμηνία[ndfsc] ὁ[dgms] μήν[ngmsc] ὁ[dgms] δέκατος[aogmsn] ἐτάζω[vnaa] ὁ[dans] πρᾶγμα[nansc]. **v.17** καί[cc] ἄγω[viap3s] ἐπί[pa] πέρας[nansc] ὁ[danp] κατά[pa] ὁ[damp] ἀνήρ[nampc] ὁ[damp] ἐπισυνέχω[vppaamp] γυνή[nafpc] ἀλλογενής[anafpn] ἕως[pg] ὁ[dgfs] νουμηνία[ngfsc] ὁ[dgms] πρῶτος[aogmsn] μήν[ngmsc]. **v.18** καί[cc] εὑρίσκω[viap3p] ὁ[dgmp] ἱερεύς[ngmpc] ὁ[dnmp] ἐπισυνάγω[vpapnmp] ἀλλογενής[anafpn] γυνή[nafpc] ἔχω[vppanmp]. **v.19** ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Ἰησοῦς[ngmsp] ὁ[dgms] Ιωσεδεκ[ngmsp] καί[cc] ὁ[dgmp] ἀδελφός[ngmpc] Μασηας[nnmsp] καί[cc] Ελεαζαρος[nnmsp] καί[cc] Ιωριβος[nnmsp] καί[cc] Ιωδανος[nnmsp].

τῆς ἀγνοίας αὐτῶν. καὶ ἐκ τῶν υἱῶν Εμμηρ Ανανιας καὶ Ζα- 21
βδαιος καὶ Μανης καὶ Σαμαιος καὶ Ιιηλ καὶ Αζαριας. καὶ ἐκ 22
τῶν υἱῶν Φαισουρ Ελιωναις Μασσιας Ισμαηλος καὶ Ναθαναηλος
καὶ Ωκιδηλος καὶ Σαλθας. καὶ ἐκ τῶν Λευιτῶν Ιωζαβδος καὶ 23
Σεμεϊς καὶ Κωλιος οὗτος Καλιτας καὶ Παθαιος καὶ Ωουδας καὶ
Ιωανας. ἐκ τῶν ἱεροψαλτῶν Ελιασιβος Βακχουρος. ἐκ τῶν θυ- 24, 25
ρωρῶν Σαλλουμος καὶ Τολβανης. ἐκ τοῦ Ισραηλ ἐκ τῶν υἱῶν 26
Φορος Ιερμας καὶ Ιεζιας καὶ Μελχιας καὶ Μιαμινος καὶ Ελεαζα-
ρος καὶ Ασιβιας καὶ Βανναιας. ἐκ τῶν υἱῶν Ηλαμ Ματανιας καὶ 27
Ζαχαριας Ιεζριηλος καὶ Ωβαδιος καὶ Ιερεμωθ καὶ Ηλιας. καὶ ἐκ 28
τῶν υἱῶν Ζαμοθ Ελιαδας Ελιασιμος Οθονιας Ιαριμωθ καὶ Σαβα-
θος καὶ Ζερδαιας. καὶ ἐκ τῶν υἱῶν Βηβαι Ιωαννης καὶ Ανανιας 29
καὶ Ζαβδος καὶ Εμαθις. καὶ ἐκ τῶν υἱῶν Μανι Ωλαμος Μα- 30
μουχος Ιεδαιος Ιασουβος καὶ Ασαηλος καὶ Ιερεμωθ. καὶ ἐκ τῶν 31
υἱῶν Αδδι Νααθος καὶ Μοοσσιας Λακκουνος καὶ Ναϊδος καὶ Βε-
σκασπασμυς καὶ Σεσθηλ καὶ Βαλνουος καὶ Μανασσηας. καὶ ἐκ 32
τῶν υἱῶν Ανναν Ελιωνας καὶ Ασαιας καὶ Μελχιας καὶ Σαββαιας
καὶ Σιμων Χοσαμαιος. καὶ ἐκ τῶν υἱῶν Ασομ Μαλτανναιος καὶ 33
Ματταθιας καὶ Σαβανναιους καὶ Ελιφαλατ καὶ Μανασσης καὶ Σε-
μεϊ. καὶ ἐκ τῶν υἱῶν Βαανι Ιερεμιας Μομδιος Μαηρος Ιουηλ 34
Μαμδαι καὶ Πεδιας καὶ Ανως Καραβασιων καὶ Ελιασιβος καὶ Μα-

---

**v.20** καί[cc] ἐπιβάλλω[viaa3p] ὁ[dafp] χείρ[nafpc] ἐκβάλλω[vnaa] ὁ[dafp] γυνή[nafpc] αὐτός[rpgmp] καί[cc] εἰς[pa] ἐξιλασμός[namsc] κριός[nampc] ὑπέρ[pg] ὁ[dgfs] ἄγνοια[ngfsc] αὐτός[rpgmp]. **v.21** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Εμμηρ[ngmsp] Ανανιας[nnmsp] καί[cc] Ζαβδαιος[nnmsp] καί[cc] Μανης[nnmsp] καί[cc] Σαμαιος[nnmsp] καί[cc] Ιιηλ[nnmsp] καί[cc] Αζαριας[nnmsp]. **v.22** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Φαισουρ[ngmsp] Ελιωναις[nnmsp] Μασσιας[nnmsp] Ισμαηλος[nnmsp] καί[cc] Ναθαναηλος[nnmsp] καί[cc] Ωκιδηλος[nnmsp] καί[cc] Σαλθας[nnmsp]. **v.23** καί[cc] ἐκ[pg] ὁ[dgmp] λευίτης[ngmpp] Ιωζαβδος[nnmsp] καί[cc] Σεμεϊς[nnmsp] καί[cc] Κωλιος[nnmsp] οὗτος[rdnms] Καλιτας[nnmsp] καί[cc] Παθαιος[nnmsp] καί[cc] Ωουδας[nnmsp] καί[cc] Ιωανας[nnmsp]. **v.24** ἐκ[pg] ὁ[dgmp] ἱεροψάλτης[ngmpc] Ελιασιβος[nnmsp] Βακχουρος[nnmsp]. **v.25** ἐκ[pg] ὁ[dgmp] θυρωρός[ngmpc] Σαλλουμος[nnmsp] καί[cc] Τολβανης[nnmsp]. **v.26** ἐκ[pg] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Φορος[ngmsp] Ιερμας[nnmsp] καί[cc] Ιεζιας[nnmsp] καί[cc] Μελχιας[nnmsp] καί[cc] Μιαμινος[nnmsp] καί[cc] Ελεαζαρος[nnmsp] καί[cc] Ασιβιας[nnmsp] καί[cc] Βανναιας[nnmsp]. **v.27** ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Ηλαμ[ngmsp] Ματανιας[nnmsp] καί[cc] Ζαχαρίας[nnmsp] Ιεζριηλος[nnmsp] καί[cc] Ωβαδιος[nnmsp] καί[cc] Ιερεμωθ[nnmsp] καί[cc] Ηλιας[nnmsp]. **v.28** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Ζαμοθ[ngmsp] Ελιαδας[nnmsp] Ελιασιμος[nnmsp] Οθονιας[nnmsp] Ιαριμωθ[nnmsp] καί[cc] Σαβαθος[nnmsp] καί[cc] Ζερδαιας[nnmsp]. **v.29** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Βηβαι[ngmsp] Ἰωάννης[nnmsp] καί[cc] Ανανιας[nnmsp] καί[cc] Ζαβδος[nnmsp] καί[cc] Εμαθις[nnmsp]. **v.30** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Μανι[ngmsp] Ωλαμος[nnmsp] Μαμουχος[nnmsp] Ιεδαιος[nnmsp] Ιασουβος[nnmsp] καί[cc] Ασαηλος[nnmsp] καί[cc] Ιερεμωθ[nnmsp]. **v.31** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Αδδι[ngmsp] Νααθος[nnmsp] καί[cc] Μοοσσιας[nnmsp] Λακκουνος[nnmsp] καί[cc] Ναϊδος[nnmsp] καί[cc] Βεσκασπασμυς[nnmsp] καί[cc] Σεσθηλ[nnmsp] καί[cc] Βαλνουος[nnmsp] καί[cc] Μανασσήας[nnmsp]. **v.32** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Ανναν[ngmsp] Ελιωνας[nnmsp] καί[cc] Ασαιας[nnmsp] καί[cc] Μελχιας[nnmsp] καί[cc] Σαββαιας[nnmsp] καί[cc] Σίμων[nnmsp] Χοσαμαιος[nnmsp]. **v.33** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Ασομ[ngmsp] Μαλτανναιος[nnmsp] καί[cc] Ματταθίας[nnmsp] καί[cc] Σαβανναιους[nnmsp] καί[cc] Ελιφαλατ[nnmsp] καί[cc] Μανασσής[nnmsp] καί[cc] Σεμεϊ[nnmsp].

μνιταναιμος Ελιασις Βαννους Ελιαλις Σομεϊς Σελεμιας Ναθανιας
καὶ ἐκ τῶν υἱῶν Εζωρα Σεσσις Εζριλ Αζαηλος Σαματος Ζαμβρις
35 Ιωσηπος. καὶ ἐκ τῶν υἱῶν Νοομα Μαζιτιας Ζαβαδαιας Ηδαις
36 Ιουηλ Βαναιας. πάντες οὗτοι συνῴκισαν γυναῖκας ἀλλογενεῖς
37 καὶ ἀπέλυσαν αὐτὰς σὺν τέκνοις. καὶ κατῴκησαν οἱ ἱερεῖς καὶ
οἱ Λευῖται καὶ οἱ ἐκ τοῦ Ισραηλ ἐν Ιερουσαλημ καὶ ἐν τῇ χώρᾳ
τῇ νουμηνίᾳ τοῦ ἑβδόμου μηνός καὶ οἱ υἱοὶ Ισραηλ ἐν ταῖς κα-
38 τοικίαις αὐτῶν. καὶ συνήχθη πᾶν τὸ πλῆθος ὁμοθυμαδὸν ἐπὶ
39 τὸ εὐρύχωρον τοῦ πρὸς ἀνατολὰς τοῦ ἱεροῦ πυλῶνος. καὶ εἶπον
Εσδρα τῷ ἀρχιερεῖ καὶ ἀναγνώστῃ κομίσαι τὸν νόμον Μωυσέως
40 τὸν παραδοθέντα ὑπὸ τοῦ κυρίου θεοῦ Ισραηλ. καὶ ἐκόμισεν
Εσδρας ὁ ἀρχιερεὺς τὸν νόμον παντὶ τῷ πλήθει ἀπὸ ἀνθρώπου
ἕως γυναικὸς καὶ πᾶσιν τοῖς ἱερεῦσιν ἀκοῦσαι τοῦ νόμου νουμη-
41 νίᾳ τοῦ ἑβδόμου μηνός. καὶ ἀνεγίγνωσκεν ἐν τῷ πρὸ τοῦ ἱεροῦ
πυλῶνος εὐρυχώρῳ ἀπὸ ὄρθρου ἕως μεσημβρινοῦ ἐνώπιον ἀν-
δρῶν τε καὶ γυναικῶν καὶ ἐπέδωκαν πᾶν τὸ πλῆθος τὸν νοῦν εἰς
42 τὸν νόμον. καὶ ἔστη Εσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ νόμου
43 ἐπὶ τοῦ ξυλίνου βήματος τοῦ κατασκευασθέντος. καὶ ἔστησαν
παρ᾽ αὐτῷ Ματταθιας Σαμμους Ανανιας Αζαριας Ουριας Εζεκιας
44 Βααλσαμος ἐκ δεξιῶν. καὶ ἐξ εὐωνύμων Φαδαιος Μισαηλ Μελ-

---

**v.34** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Βαανι[ngmsp] Ἰερεμίας[nnmsp] Μομδιος[nnmsp] Μαηρος[nnmsp] Ιουηλ[nnmsp] Μαμδαι[nnmsp] καί[cc] Πεδιας[nnmsp] καί[cc] Ανως[nnmsp] Καραβασιων[nnmsp] καί[cc] Ελιασιβος[nnmsp] καί[cc] Μαμνιταναιμος[nnmsp] Ελιασις[nnmsp] Βαννους[nnmsp] Ελιαλις[nnmsp] Σομεϊς[nnmsp] Σελεμιας[nnmsp] Ναθανιας[nnmsp] καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Εζωρα[ngmsp] Σεσσις[nnmsp] Εζριλ[nnmsp] Αζαηλος[nnmsp] Σαματος[nnmsp] Ζαμβρις[nnmsp] Ιωσηπος[nnmsp]. **v.35** καί[cc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] Νοομα[ngmsp] Μαζιτιας[nnmsp] Ζαβαδαιας[nnmsp] Ηδαις[nnmsp] Ιουηλ[nnmsp] Βαναιας[nnmsp]. **v.36** πᾶς[ainmpn] οὗτος[rdnmp] συνοικίζω[viaa3p] γυνή[nafpc] ἀλλογενής[anafpn] καί[cc] ἀπολύω[viaa3p] αὐτός[rpafp] σύν[pd] τέκνον[ndnpc]. **v.37** καί[cc] κατοικέω[viaa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] καί[cc] ὁ[dnmp] ἐκ[pg] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] καί[cc] ἐν[pd] ὁ[ddfs] χώρα[ndfsc] ὁ[ddfs] νουμηνία[ndfsc] ὁ[dgms] ἕβδομος[aogmsn] μήν[ngmsc] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] ἐν[pd] ὁ[ddfp] κατοικία[ndfpc] αὐτός[rpgmp]. **v.38** καί[cc] συνάγω[viap3s] πᾶς[ainnsn] ὁ[dnns] πλῆθος[nnnsc] ὁμοθυμαδόν[b] ἐπί[pa] ὁ[dans] εὐρύχωρος[anansn] ὁ[dgms] πρός[pa] ἀνατολή[nafpc] ὁ[dgns] ἱερόν[ngnsc] πυλών[ngmsc]. **v.39** καί[cc] λέγω[viaa3p] Εσδρας[ndmsp] ὁ[ddms] ἀρχιερεύς[ndmsc] καί[cc] ἀναγνώστης[ndmsc] κομίζω[vnaa] ὁ[dams] νόμος[namsc] Μωϋσῆς[ngmsp] ὁ[dams] παραδίδωμι[vpapams] ὑπό[pg] ὁ[dgms] κύριος[ngmsc] θεός[ngmsc] Ἰσραήλ[ngmsp]. **v.40** καί[cc] κομίζω[viaa3s] Εσδρας[nnmsp] ὁ[dnms] ἀρχιερεύς[nnmsc] ὁ[dams] νόμος[namsc] πᾶς[aidnsn] ὁ[ddns] πλῆθος[ndnsc] ἀπό[pg] ἄνθρωπος[ngmsc] ἕως[pg] γυνή[ngfsc] καί[cc] πᾶς[aidmpn] ὁ[ddmp] ἱερεύς[ndmpc] ἀκούω[vnaa] ὁ[dgms] νόμος[ngmsc] νουμηνία[ndfsc] ὁ[dgms] ἕβδομος[aogmsn] μήν[ngmsc]. **v.41** καί[cc] ἀναγινώσκω[viia3s] ἐν[pd] ὁ[ddns] πρό[pg] ὁ[dgns] ἱερόν[ngnsc] πυλών[ngmsc] εὐρύχωρος[andnsn] ἀπό[pg] ὄρθρος[ngmsc] ἕως[pg] μεσημβρινός[angnsn] ἐνώπιον[pg] ἀνήρ[ngmpc] τέ[cc] καί[cc] γυνή[ngfpc] καί[cc] ἐπιδίδωμι[viaa3p] πᾶς[ainnsn] ὁ[dnns] πλῆθος[nnnsc] ὁ[dams] νοῦς[namsc] εἰς[pa] ὁ[dams] νόμος[namsc]. **v.42** καί[cc] ἵστημι[viaa3s] Εσδρας[nnmsp] ὁ[dnms] ἱερεύς[nnmsc] καί[cc] ἀναγνώστης[nnmsc] ὁ[dgms] νόμος[ngmsc] ἐπί[pg] ὁ[dgns] ξύλινος[angnsn] βῆμα[ngnsc] ὁ[dgns] κατασκευάζω[vpapgns]. **v.43** καί[cc] ἵστημι[viaa3p] παρά[pd] αὐτός[rpdms] Ματταθίας[nnmsp] Σαμμους[nnmsp] Ανανιας[nnmsp] Αζαριας[nnmsp] Ουριας[nnmsp] Ἑζεκίας[nnmsp] Βααλσαμος[nnmsp] ἐκ[pg] δεξιός[angnpn].

χιας Λωθασουβος Ναβαριας Ζαχαριας. καὶ ἀναλαβὼν Εσδρας τὸ 45
βιβλίον τοῦ νόμου ἐνώπιον τοῦ πλήθους προεκάθητο γὰρ ἐπιδό-
ξως ἐνώπιον πάντων. καὶ ἐν τῷ λῦσαι τὸν νόμον πάντες ὀρθοὶ 46
ἔστησαν καὶ εὐλόγησεν Εσδρας τῷ κυρίῳ θεῷ ὑψίστῳ θεῷ σα-
βαωθ παντοκράτορι. καὶ ἐπεφώνησεν πᾶν τὸ πλῆθος αμην καὶ 47
ἄραντες ἄνω τὰς χεῖρας προσπεσόντες ἐπὶ τὴν γῆν προσεκύνησαν
τῷ κυρίῳ. Ἰησοῦς καὶ Αννιουθ καὶ Σαραβιας Ιαδινος Ιακουβος 48
Σαββαταιος Αυταιας Μαιαννας καὶ Καλιτας Αζαριας καὶ Ιωζαβδος
Ανανιας Φαλιας οἱ Λευῖται ἐδίδασκον τὸν νόμον κυρίου καὶ πρὸς
τὸ πλῆθος ἀνεγίνωσκον τὸν νόμον τοῦ κυρίου ἐμφυσιοῦντες ἅμα
τὴν ἀνάγνωσιν. καὶ εἶπεν Ατταρατης Εσδρα τῷ ἀρχιερεῖ καὶ ἀνα- 49
γνώστῃ καὶ τοῖς Λευίταις τοῖς διδάσκουσι τὸ πλῆθος ἐπὶ πάντας.
ἡ ἡμέρα αὕτη ἐστὶν ἁγία τῷ κυρίῳ καὶ πάντες ἔκλαιον ἐν τῷ ἀ- 50
κοῦσαι τοῦ νόμου. βαδίσαντες οὖν φάγετε λιπάσματα καὶ πίετε 51
γλυκάσματα καὶ ἀποστείλατε ἀποστολὰς τοῖς μὴ ἔχουσιν. ἁγία 52
γὰρ ἡ ἡμέρα τῷ κυρίῳ καὶ μὴ λυπεῖσθε ὁ γὰρ κύριος δοξάσει
ὑμᾶς. καὶ οἱ Λευῖται ἐκέλευον τῷ δήμῳ παντὶ λέγοντες ἡ ἡμέρα 53
αὕτη ἁγία μὴ λυπεῖσθε. καὶ ᾤχοντο πάντες φαγεῖν καὶ πιεῖν 54
καὶ εὐφραίνεσθαι καὶ δοῦναι ἀποστολὰς τοῖς μὴ ἔχουσιν καὶ εὐ-
φρανθῆναι μεγάλως. ὅτι καὶ ἐνεφυσιώθησαν ἐν τοῖς ῥήμασιν οἷς 55
ἐδιδάχθησαν καὶ ἐπισυνήχθησαν.

---

**v.44** καί[cc] ἐκ[pg] εὐώνυμος[angnpn] Φαδαιος[nnmsp] Μισαηλ[nnmsp] Μελχιας[nnmsp] Λωθασουβος[nnmsp] Ναβαριας[nnmsp] Ζαχαρίας[nnmsp]. **v.45** καί[cc] ἀναλαμβάνω[vpaanms] Εσδρας[nnmsp] ὁ[dans] βιβλίον[nansc] ὁ[dgms] νόμος[ngmsc] ἐνώπιον[pg] ὁ[dgns] πλῆθος[ngnsc] προκάθημαι[viim3s] γάρ[cc] ἐπιδόξως[b] ἐνώπιον[pg] πᾶς[aigmpn]. **v.46** καί[cc] ἐν[pd] ὁ[ddns] λύω[vnaa] ὁ[dams] νόμος[namsc] πᾶς[ainmpn] ὀρθός[annmpn] ἵστημι[viaa3p] καί[cc] εὐλογέω[viaa3s] Εσδρας[nnmsp] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] ὕψιστος[andmsn] θεός[ndmsc] σαβαώθ[t] παντοκράτωρ[ndmsc]. **v.47** καί[cc] ἐπιφωνέω[viaa3s] πᾶς[ainnsn] ὁ[dnns] πλῆθος[nnnsc] ἀμήν[t] καί[cc] αἴρω[vpaanmp] ἄνω[b] ὁ[dafp] χείρ[nafpc] προσπίπτω[vpaanmp] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] προσκυνέω[viaa3p] ὁ[ddms] κύριος[ndmsc]. **v.48** Ἰησοῦς[nnmsp] καί[cc] Αννιουθ[nnmsp] καί[cc] Σαραβιας[nnmsp] Ιαδινος[nnmsp] Ιακουβος[nnmsp] Σαββαταιος[nnmsp] Αυταιας[nnmsp] Μαιαννας[nnmsp] καί[cc] Καλιτας[nnmsp] Αζαριας[nnmsp] καί[cc] Ιωζαβδος[nnmsp] Ανανιας[nnmsp] Φαλιας[nnmsp] ὁ[dnmp] λευίτης[nnmpp] διδάσκω[viia3p] ὁ[dams] νόμος[namsc] κύριος[ngmsc] καί[cc] πρός[pa] ὁ[dans] πλῆθος[nansc] ἀναγινώσκω[viia3p] ὁ[dams] νόμος[namsc] ὁ[dgms] κύριος[ngmsc] ἐμφυσιόω[vppanmp] ἅμα[b] ὁ[dafs] ἀνάγνωσις[nafsc]. **v.49** καί[cc] λέγω[viaa3s] Ατταρατης[nnmsp] Εσδρας[ndmsp] ὁ[ddms] ἀρχιερεύς[ndmsc] καί[cc] ἀναγνώστης[ndmsc] καί[cc] ὁ[ddmp] λευίτης[ndmpp] ὁ[ddmp] διδάσκω[vppadmp] ὁ[dans] πλῆθος[nansc] ἐπί[pa] πᾶς[aiampn]. **v.50** ὁ[dnfs] ἡμέρα[nnfsc] οὗτος[rdnfs] εἰμί[vipa3s] ἅγιος[annfsn] ὁ[ddms] κύριος[ndmsc] καί[cc] πᾶς[ainmpn] κλαίω[viia3p] ἐν[pd] ὁ[ddns] ἀκούω[vnaa] ὁ[dgms] νόμος[ngmsc]. **v.51** βαδίζω[vpaanmp] οὖν[cc] ἐσθίω[vdaa2p] λίπασμα[nanpc] καί[cc] πίνω[vdaa2p] γλύκασμα[nanpc] καί[cc] ἀποστέλλω[vdaa2p] ἀποστολή[nafpc] ὁ[ddmp] μή[x] ἔχω[vppadmp]. **v.52** ἅγιος[annfsn] γάρ[cc] ὁ[dnfs] ἡμέρα[nnfsc] ὁ[ddms] κύριος[ndmsc] καί[cc] μή[x] λυπέω[vdpm2p] ὁ[dnms] γάρ[cc] κύριος[nnmsc] δοξάζω[vifa3s] σύ[rpa-p]. **v.53** καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] κελεύω[viia3p] ὁ[ddms] δῆμος[ndmsc] πᾶς[aidmsn] λέγω[vppanmp] ὁ[dnfs] ἡμέρα[nnfsc] οὗτος[rdnfs] ἅγιος[annfsn] μή[x] λυπέω[vdpm2p]. **v.54** καί[cc] οἴχομαι[viim3p] πᾶς[ainmpn] ἐσθίω[vnaa] καί[cc] πίνω[vnaa] καί[cc] εὐφραίνω[vnpm] καί[cc] δίδωμι[vnaa] ἀποστολή[nafpc] ὁ[ddmp] μή[x] ἔχω[vppadmp] καί[cc] εὐφραίνω[vnap] μεγάλως[b]. **v.55** ὅτι[cs] καί[cc] ἐμφυσιόω[viap3p] ἐν[pd] ὁ[ddnp] ῥῆμα[ndnpc] ὅς[rrdnp] διδάσκω[viap3p] καί[cc] ἐπισυνάγω[viap3p].

# ΕΣΔΡΑΣ

**1** καὶ ἐν τῷ πρώτῳ ἔτει Κύρου τοῦ βασιλέως Περσῶν τοῦ τελε-
σθῆναι λόγον κυρίου ἀπὸ στόματος Ιερεμιου ἐξήγειρεν κύριος τὸ
πνεῦμα Κύρου βασιλέως Περσῶν καὶ παρήγγειλεν φωνὴν ἐν πά-
2 σῃ βασιλείᾳ αὐτοῦ καί γε ἐν γραπτῷ λέγων. οὕτως εἶπεν Κῦρος
βασιλεὺς Περσῶν πάσας τὰς βασιλείας τῆς γῆς ἔδωκέν μοι κύριος
ὁ θεὸς τοῦ οὐρανοῦ καὶ αὐτὸς ἐπεσκέψατο ἐπ᾽ ἐμὲ τοῦ οἰκοδομῆ-
3 σαι αὐτῷ οἶκον ἐν Ιερουσαλημ τῇ ἐν τῇ Ιουδαίᾳ. τίς ἐν ὑμῖν ἀπὸ
παντὸς τοῦ λαοῦ αὐτοῦ καὶ ἔσται ὁ θεὸς αὐτοῦ μετ᾽ αὐτοῦ καὶ
ἀναβήσεται εἰς Ιερουσαλημ τὴν ἐν τῇ Ιουδαίᾳ καὶ οἰκοδομησάτω
4 τὸν οἶκον θεοῦ Ισραηλ αὐτὸς ὁ θεὸς ὁ ἐν Ιερουσαλημ. καὶ πᾶς
ὁ καταλειπόμενος ἀπὸ πάντων τῶν τόπων οὗ αὐτὸς παροικεῖ ἐκεῖ
καὶ λήμψονται αὐτὸν ἄνδρες τοῦ τόπου αὐτοῦ ἐν ἀργυρίῳ καὶ
χρυσίῳ καὶ ἀποσκευῇ καὶ κτήνεσιν μετὰ τοῦ ἑκουσίου εἰς οἶκον
5 τοῦ θεοῦ τοῦ ἐν Ιερουσαλημ. καὶ ἀνέστησαν ἄρχοντες τῶν πα-
τριῶν τῷ Ιουδα καὶ Βενιαμιν καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται πάντων
ὧν ἐξήγειρεν ὁ θεὸς τὸ πνεῦμα αὐτῶν τοῦ ἀναβῆναι οἰκοδομῆσαι
6 τὸν οἶκον κυρίου τὸν ἐν Ιερουσαλημ. καὶ πάντες οἱ κυκλόθεν
ἐνίσχυσαν ἐν χερσὶν αὐτῶν ἐν σκεύεσιν ἀργυρίου ἐν χρυσῷ ἐν ἀ-

---

**1. v.1** καί[cc] ἐν[pd] ὁ[ddns] πρῶτος[aodnsn] ἔτος[ndnsc] Κῦρος[ngmsp] ὁ[dgms] βασιλεύς[ngmsc] Πέρσης[ngmpp] ὁ[dgns] τελέω[vnap] λόγος[namsc] κύριος[ngmsc] ἀπό[pg] στόμα[ngnsc] Ἰερεμίας[ngmsp] ἐξεγείρω[viaa3s] κύριος[nnmsc] ὁ[dans] πνεῦμα[nansc] Κῦρος[ngmsp] βασιλεύς[ngmsc] Πέρσης[ngmpp] καί[cc] παραγγέλλω[viaa3s] φωνή[nafsc] ἐν[pd] πᾶς[aidfsn] βασιλεία[ndfsc] αὐτός[rpgms] καί[cc] γέ[x] ἐν[pd] γραπτόν[ndnsc] λέγω[vppanms]. **v.2** οὕτως[b] λέγω[viaa3s] Κῦρος[nnmsp] βασιλεύς[nnmsc] Πέρσης[ngmpp] πᾶς[aiafpn] ὁ[dafp] βασιλεία[nafpc] ὁ[dgfs] γῆ[ngfsc] δίδωμι[viaa3s] ἐγώ[rpd-s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] αὐτός[rpnms] ἐπισκέπτομαι[viam3s] ἐπί[pa] ἐγώ[rpa-s] ὁ[dgns] οἰκοδομέω[vnaa] αὐτός[rpdms] οἶκος[namsc] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ὁ[ddfs] ἐν[pd] ὁ[ddfs] Ἰουδαία[ndfsp]. **v.3** τίς[rqnms] ἐν[pd] σύ[rpd-p] ἀπό[pg] πᾶς[aigmsn] ὁ[dgms] λαός[ngmsc] αὐτός[rpgms] καί[cc] εἰμί[vifm3s] ὁ[dnms] θεός[nnmsc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms] καί[cc] ἀναβαίνω[vifm3s] εἰς[pa] Ἰερουσαλήμ[nafsp] ὁ[dafs] ἐν[pd] ὁ[ddfs] Ἰουδαία[ndfsp] καί[cc] οἰκοδομέω[vdaa3s] ὁ[dams] οἶκος[namsc] θεός[ngmsc] Ἰσραήλ[ngmsp] αὐτός[rpnms] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] ἐν[pd] Ἰερουσαλήμ[ndfsp]. **v.4** καί[cc] πᾶς[ainmsn] ὁ[dnms] καταλείπω[vpppnms] ἀπό[pg] πᾶς[aigmpn] ὁ[dgmp] τόπος[ngmpc] ὅς[b] αὐτός[rpnms] παροικέω[vipa3s] ἐκεῖ[b] καί[cc] λαμβάνω[vifm3p] αὐτός[rpams] ἀνήρ[nnmpc] ὁ[dgms] τόπος[ngmsc] αὐτός[rpgms] ἐν[pd] ἀργύριον[ndnsc] καί[cc] χρυσίον[ndnsc] καί[cc] ἀποσκευή[ndfsc] καί[cc] κτῆνος[ndnpc] μετά[pg] ὁ[dgms] ἑκούσιος[angmsn] εἰς[pa] οἶκος[namsc] ὁ[dgms] θεός[ngmsc] ὁ[dgms] ἐν[pd] Ἰερουσαλήμ[ndfsp]. **v.5** καί[cc] ἀνίστημι[viaa3p] ἄρχων[nnmpc] ὁ[dgfp] πατριά[ngfpc] ὁ[ddms] Ἰούδας[ndmsp] καί[cc] Βενιαμίν[ndmsp] καί[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] λευίτης[nnmpp] πᾶς[aigmpn] ὅς[rrgmp] ἐξεγείρω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dans] πνεῦμα[nansc] αὐτός[rpgmp] ὁ[dgns] ἀναβαίνω[vnaa] οἰκοδομέω[vnaa] ὁ[dams] οἶκος[namsc] κύριος[ngmsc] ὁ[dams] ἐν[pd] Ἰερουσαλήμ[ndfsp].

ποσκευῇ καὶ ἐν κτήνεσιν καὶ ἐν ξενίοις πάρεξ τῶν ἐν ἑκουσίοις.
καὶ ὁ βασιλεὺς Κῦρος ἐξήνεγκεν τὰ σκεύη οἴκου κυρίου ἃ ἔλαβεν 7
Ναβουχοδονοσορ ἀπὸ Ιερουσαλημ καὶ ἔδωκεν αὐτὰ ἐν οἴκῳ θεοῦ
αὐτοῦ. καὶ ἐξήνεγκεν αὐτὰ Κῦρος βασιλεὺς Περσῶν ἐπὶ χεῖρα 8
Μιθραδάτου γασβαρηνου καὶ ἠρίθμησεν αὐτὰ τῷ Σασαβασαρ ἄρ-
χοντι τοῦ Ιουδα. καὶ οὗτος ὁ ἀριθμὸς αὐτῶν ψυκτῆρες χρυσοῖ 9
τριάκοντα καὶ ψυκτῆρες ἀργυροῖ χίλιοι παρηλλαγμένα ἐννέα καὶ
εἴκοσι. κεφφουρη χρυσοῖ τριάκοντα καὶ ἀργυροῖ διακόσιοι καὶ 10
σκεύη ἕτερα χίλια. πάντα τὰ σκεύη τῷ χρυσῷ καὶ τῷ ἀργύρῳ 11
πεντακισχίλια καὶ τετρακόσια τὰ πάντα ἀναβαίνοντα μετὰ Σασα-
βασαρ ἀπὸ τῆς ἀποικίας ἐκ Βαβυλῶνος εἰς Ιερουσαλημ.

καὶ οὗτοι οἱ υἱοὶ τῆς χώρας οἱ ἀναβαίνοντες ἀπὸ τῆς αἰχμαλω- **2**
σίας τῆς ἀποικίας ἧς ἀπῴκισεν Ναβουχοδονοσορ βασιλεὺς Βαβυ-
λῶνος εἰς Βαβυλῶνα καὶ ἐπέστρεψαν εἰς Ιερουσαλημ καὶ Ιουδα
ἀνὴρ εἰς πόλιν αὐτοῦ. οἳ ἦλθον μετὰ Ζοροβαβελ Ἰησοῦς Νεεμιας 2
Σαραιας Ρεελιας Μαρδοχαιος Βαλασαν Μασφαρ Βαγουι Ρεουμ
Βαανα ἀνδρῶν ἀριθμὸς λαοῦ Ισραηλ. υἱοὶ Φορος δισχίλιοι ἑ- 3
κατὸν ἑβδομήκοντα δύο. υἱοὶ Σαφατια τριακόσιοι ἑβδομήκοντα 4
δύο. υἱοὶ Ηρα ἑπτακόσιοι ἑβδομήκοντα πέντε. υἱοὶ Φααθμωαβ 5, 6
τοῖς υἱοῖς Ιησουε Ιωαβ δισχίλιοι ὀκτακόσιοι δέκα δύο. υἱοὶ Αιλαμ 7

---

**v.6** καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] κυκλόθεν[b] ἐνισχύω[viaa3p] ἐν[pd] χείρ[ndfpc] αὐτός[rpgmp] ἐν[pd] σκεῦος[ndnpc] ἀργύριον[ngnsc] ἐν[pd] χρυσοῦς[andmsn] ἐν[pd] ἀποσκευή[ndfsc] καί[cc] ἐν[pd] κτῆνος[ndnpc] καί[cc] ἐν[pd] ξένιος[ndnpc] πάρεξ[pg] ὁ[dgmp] ἐν[pd] ἑκούσιος[andmpn]. **v.7** καί[cc] ὁ[dnms] βασιλεύς[nnmsc] Κῦρος[nnmsp] ἐκφέρω[viaa3s] ὁ[danp] σκεῦος[nanpc] οἶκος[ngmsc] κύριος[ngmsc] ὅς[rranp] λαμβάνω[viaa3s] Ναβουχοδονοσορ[nnmsp] ἀπό[pg] Ἰερουσαλήμ[ngfsp] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpanp] ἐν[pd] οἶκος[ndmsc] θεός[ngmsc] αὐτός[rpgms]. **v.8** καί[cc] ἐκφέρω[viaa3s] αὐτός[rpanp] Κῦρος[nnmsp] βασιλεύς[nnmsc] Πέρσης[ngmpp] ἐπί[pa] χείρ[nafsc] Μιθραδάτης[ngmsp] γασβαρηνός[ngmsc] καί[cc] ἀριθμέω[viaa3s] αὐτός[rpanp] ὁ[ddms] Σασαβασαρ[ndmsp] ἄρχων[ndmsc] ὁ[dgms] Ἰούδας[ngmsp]. **v.9** καί[cc] οὗτος[rdnms] ὁ[dnms] ἀριθμός[nnmsc] αὐτός[rpgmp] ψυκτήρ[nnmpc] χρυσοῦς[annmpn] τριάκοντα[ac—n] καί[cc] ψυκτήρ[nnmpc] ἀργυροῦς[annmpn] χίλιοι[acnmpn] παραλλάσσω[vpxpnnp] ἐννέα[ac—n] καί[cc] εἴκοσι[ac—n]. **v.10** κεφφουρη[t] χρυσοῦς[annmpn] τριάκοντα[ac—n] καί[cc] ἀργυροῦς[annmpn] διακόσιοι[acnmpn] καί[cc] σκεῦος[nnnpc] ἕτερος[ainnpn] χίλιοι[acnnpn]. **v.11** πᾶς[ainnpn] ὁ[dnnp] σκεῦος[nnnpc] ὁ[ddms] χρυσοῦς[andmsn] καί[cc] ὁ[ddms] ἄργυρος[ndmsc] πεντακισχίλιοι[acnnpn] καί[cc] τετρακόσιοι[acnnpn] ὁ[dnnp] πᾶς[ainnpn] ἀναβαίνω[vppannp] μετά[pg] Σασαβασαρ[ngmsp] ἀπό[pg] ὁ[dgfs] ἀποικία[ngfsc] ἐκ[pg] Βαβυλών[ngfsp] εἰς[pa] Ἰερουσαλήμ[nafsp].
**2. v.1** καί[cc] οὗτος[rdnmp] ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgfs] χώρα[ngfsc] ὁ[dnmp] ἀναβαίνω[vppanmp] ἀπό[pg] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] ὁ[dgfs] ἀποικία[ngfsc] ὅς[rrgfs] ἀποικίζω[viaa3s] Ναβουχοδονοσορ[nnmsp] βασιλεύς[nnmsc] Βαβυλών[ngfsp] εἰς[pa] Βαβυλών[nafsp] καί[cc] ἐπιστρέφω[viaa3p] εἰς[pa] Ἰερουσαλήμ[nafsp] καί[cc] Ἰούδας[namsp] ἀνήρ[nnmsc] εἰς[pa] πόλις[nafsc] αὐτός[rpgms]. **v.2** ὅς[rrnmp] ἔρχομαι[viaa3p] μετά[pg] Ζοροβαβέλ[ngmsp] Ἰησοῦς[nnmsp] Νεεμιας[nnmsp] Σαραιας[nnmsp] Ρεελιας[nnmsp] Μαρδοχαιος[nnmsp] Βαλασαν[nnmsp] Μασφαρ[nnmsp] Βαγουι[nnmsp] Ρεουμ[nnmsp] Βαανα[nnmsp] ἀνήρ[ngmpc] ἀριθμός[nnmsc] λαός[ngmsc] Ἰσραήλ[ngmsp]. **v.3** υἱός[nnmpc] Φορος[ngmsp] δισχίλιοι[acnmpn] ἑκατόν[ac—n] ἑβδομήκοντα[ac—n] δύο[ac—n]. **v.4** υἱός[nnmpc] Σαφατια[ngmsp] τριακόσιοι[acnmpn] ἑβδομήκοντα[ac—n] δύο[ac—n]. **v.5** υἱός[nnmpc] Ηρα[ngmsp] ἑπτακόσιοι[acnmpn] ἑβδομήκοντα[ac—n] πέντε[ac—n]. **v.6** υἱός[nnmpc] Φααθμωαβ[ngmsp] ὁ[ddmp] υἱός[ndmpc] Ιησουε[ngmsp] Ιωαβ[ngmsp] δισχίλιοι[acnmpn] ὀκτακόσιοι[acnmpn] δέκα[ac—n] δύο[ac—n].

8 χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες. υἱοὶ Ζαθουα ἐννακόσιοι
9, 10 τεσσαράκοντα πέντε. υἱοὶ Ζακχου ἑπτακόσιοι ἑξήκοντα. υἱοὶ
11 Βανουι ἑξακόσιοι τεσσαράκοντα δύο. υἱοὶ Βαβι ἑξακόσιοι εἴ-
12, 13 κοσι τρεῖς. υἱοὶ Ασγαδ τρισχίλιοι διακόσιοι εἴκοσι δύο. υἱοὶ
14 Αδωνικαμ ἑξακόσιοι ἑξήκοντα ἕξ. υἱοὶ Βαγοι δισχίλιοι πεντή-
15, 16 κοντα ἕξ. υἱοὶ Αδιν τετρακόσιοι πεντήκοντα τέσσαρες. υἱοὶ
17 Ατηρ τῷ Εζεκια ἐνενήκοντα ὀκτώ. υἱοὶ Βασου τριακόσιοι εἴκοσι
18, 19 τρεῖς. υἱοὶ Ιωρα ἑκατὸν δέκα δύο. υἱοὶ Ασεμ διακόσιοι εἴκοσι
20, 21 τρεῖς. υἱοὶ Γαβερ ἐνενήκοντα πέντε. υἱοὶ Βαιθλεεμ ἑκατὸν εἴ-
22, 23 κοσι τρεῖς. υἱοὶ Νετωφα πεντήκοντα ἕξ. υἱοὶ Αναθωθ ἑκατὸν
24, 25 εἴκοσι ὀκτώ. υἱοὶ Ασμωθ τεσσαράκοντα δύο. υἱοὶ Καριαθιαριμ
26 Καφιρα καὶ Βηρωθ ἑπτακόσιοι τεσσαράκοντα τρεῖς. υἱοὶ Αραμα
27 καὶ Γαβαα ἑξακόσιοι εἴκοσι εἷς. ἄνδρες Μαχμας ἑκατὸν εἴκοσι
28, 29 δύο. ἄνδρες Βαιθηλ καὶ Αια τετρακόσιοι εἴκοσι τρεῖς. υἱοὶ
30 Ναβου πεντήκοντα δύο. υἱοὶ Μαγεβως ἑκατὸν πεντήκοντα ἕξ.
31, 32 υἱοὶ Ηλαμ-αρ χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες. υἱοὶ Ηραμ
33 τριακόσιοι εἴκοσι. υἱοὶ Λοδ Αρωθ καὶ Ωνω ἑπτακόσιοι εἴκοσι
34, 35 πέντε. υἱοὶ Ιεριχω τριακόσιοι τεσσαράκοντα πέντε. υἱοὶ Σαναα
36 τρισχίλιοι ἑξακόσιοι τριάκοντα. καὶ οἱ ἱερεῖς υἱοὶ Ιεδουα τῷ οἴκῳ

**v.7** υἱός[nnmpc] Αιλαμ[ngmsp] χίλιοι[acnmpn] διακόσιοι[acnmpn] πεντήκοντα[ac—n] τέσσαρες[acnmpn]. **v.8** υἱός[nnmpc] Ζαθουα[ngmsp] ἐννακόσιοι[acnmpn] τεσσαράκοντα[ac—n] πέντε[ac—n]. **v.9** υἱός[nnmpc] Ζακχου[ngmsp] ἑπτακόσιοι[acnmpn] ἑξήκοντα[ac—n]. **v.10** υἱός[nnmpc] Βανουι[ngmsp] ἑξακόσιοι[acnmpn] τεσσαράκοντα[ac—n] δύο[ac—n]. **v.11** υἱός[nnmpc] Βαβι[ngmsp] ἑξακόσιοι[acnmpn] εἴκοσι[ac—n] τρεῖς[acnmpn]. **v.12** υἱός[nnmpc] Ασγαδ[ngmsp] τρισχίλιοι[acnmpn] διακόσιοι[acnmpn] εἴκοσι[ac—n] δύο[ac—n]. **v.13** υἱός[nnmpc] Αδωνικαμ[ngmsp] ἑξακόσιοι[acnmpn] ἑξήκοντα[ac—n] ἕξ[ac—n]. **v.14** υἱός[nnmpc] Βαγοι[ngmsp] δισχίλιοι[acnmpn] πεντήκοντα[ac—n] ἕξ[ac—n]. **v.15** υἱός[nnmpc] Αδιν[ngmsp] τετρακόσιοι[acnmpn] πεντήκοντα[ac—n] τέσσαρες[acnmpn]. **v.16** υἱός[nnmpc] Ατηρ[ngmsp] ὁ[ddms] Ἑζεκίας[ndmsp] ἐνενήκοντα[ac—n] ὀκτώ[ac—n]. **v.17** υἱός[nnmpc] Βασου[ngmsp] τριακόσιοι[acnmpn] εἴκοσι[ac—n] τρεῖς[acnmpn]. **v.18** υἱός[nnmpc] Ιωρα[ngmsp] ἑκατόν[ac—n] δέκα[ac—n] δύο[ac—n]. **v.19** υἱός[nnmpc] Ασεμ[ng-sp] διακόσιοι[acnmpn] εἴκοσι[ac—n] τρεῖς[acnmpn]. **v.20** υἱός[nnmpc] Γαβερ[ngmsp] ἐνενήκοντα[ac—n] πέντε[ac—n]. **v.21** υἱός[nnmpc] Βαιθλεεμ[ng-sp] ἑκατόν[ac—n] εἴκοσι[ac—n] τρεῖς[acnmpn]. **v.22** υἱός[nnmpc] Νετωφα[ng-sp] πεντήκοντα[ac—n] ἕξ[ac—n]. **v.23** υἱός[nnmpc] Αναθωχ[ng-pp] ἑκατόν[ac—n] εἴκοσι[ac—n] ὀκτώ[ac—n]. **v.24** υἱός[nnmpc] Ασμωθ[ngmsp] τεσσαράκοντα[ac—n] δύο[ac—n]. **v.25** υἱός[nnmpc] Καριαθιαριμ[ng-pp] Καφιρα[ng-sp] καί[cc] Βηρωθ[ng-sp] ἑπτακόσιοι[acnmpn] τεσσαράκοντα[ac—n] τρεῖς[acnmpn]. **v.26** υἱός[nnmpc] Αραμα[ng-sp] καί[cc] Γαβαα[ng-sp] ἑξακόσιοι[acnmpn] εἴκοσι[ac—n] εἷς[acnmsn]. **v.27** ἀνήρ[nnmpc] Μαχμας[ng-sp] ἑκατόν[ac—n] εἴκοσι[ac—n] δύο[ac—n]. **v.28** ἀνήρ[nnmpc] Βαιθηλ[ngfsp] καί[cc] Αια[ng-sp] τετρακόσιοι[acnmpn] εἴκοσι[ac—n] τρεῖς[acnmpn]. **v.29** υἱός[nnmpc] Ναβου[ng-sp] πεντήκοντα[ac—n] δύο[ac—n]. **v.30** υἱός[nnmpc] Μαγεβως[ng-sp] ἑκατόν[ac—n] πεντήκοντα[ac—n] ἕξ[ac—n]. **v.31** υἱός[nnmpc] Ηλαμαρ[ng-sp] χίλιοι[acnmpn] διακόσιοι[acnmpn] πεντήκοντα[ac—n] τέσσαρες[acnmpn]. **v.32** υἱός[nnmpc] Ηραμ[ngmsp] τριακόσιοι[acnmpn] εἴκοσι[ac—n]. **v.33** υἱός[nnmpc] Λοδ[ngfsp] Αρωθ[ngmsp] καί[cc] Ωνω[ngmsp] ἑπτακόσιοι[acnmpn] εἴκοσι[ac—n] πέντε[ac—n]. **v.34** υἱός[nnmpc] Ἰεριχώ[ngfsp] τριακόσιοι[acnmpn] τεσσαράκοντα[ac—n] πέντε[ac—n]. **v.35** υἱός[nnmpc] Σαναα[ng-sp] τρισχίλιοι[acnmpn] ἑξακόσιοι[acnmpn] τριάκοντα[ac—n].

Ἰησοῦ ἐννακόσιοι ἑβδομήκοντα τρεῖς. υἱοὶ Εμμηρ χίλιοι πεντή- 37
κοντα δύο. υἱοὶ Φασσουρ χίλιοι διακόσιοι τεσσαράκοντα ἑπτά. 38
υἱοὶ Ηρεμ χίλιοι ἑπτά. καὶ οἱ Λευῖται υἱοὶ Ἰησοῦ καὶ Καδμιηλ 39, 40
τοῖς υἱοῖς Ωδουια ἑβδομήκοντα τέσσαρες. οἱ ᾄδοντες υἱοὶ Ασαφ 41
ἑκατὸν εἴκοσι ὀκτώ. υἱοὶ τῶν πυλωρῶν υἱοὶ Σαλουμ υἱοὶ Ατηρ 42
υἱοὶ Τελμων υἱοὶ Ακουβ υἱοὶ Ατιτα υἱοὶ Σαβαου οἱ πάντες ἑκατὸν
τριάκοντα ἐννέα. οἱ ναθιναῖοι υἱοὶ Σουια υἱοὶ Ασουφε υἱοὶ Τα- 43
βαωθ. υἱοὶ Κηραος υἱοὶ Σωηα υἱοὶ Φαδων. υἱοὶ Λαβανω υἱοὶ 44, 45
Αγαβα υἱοὶ Ακαβωθ. υἱοὶ Αγαβ υἱοὶ Σαμαλαι υἱοὶ Αναν. υἱοὶ 46, 47
Κεδελ υἱοὶ Γαερ υἱοὶ Ρεηα. υἱοὶ Ρασων υἱοὶ Νεκωδα υἱοὶ Γαζεμ. 48
υἱοὶ Ουσα υἱοὶ Φασῃ υἱοὶ Βασι. υἱοὶ Ασενα υἱοὶ Μαωνιμ υἱοὶ 49, 50
Ναφισων. υἱοὶ Βακβουκ υἱοὶ Ακιφα υἱοὶ Αρουρ. υἱοὶ Βασα- 51, 52
λωθ υἱοὶ Μαουδα υἱοὶ Αρησα. υἱοὶ Βαρκους υἱοὶ Σισαρα υἱοὶ 53
Θεμα. υἱοὶ Νασουε υἱοὶ Ατουφα. υἱοὶ Αβδησελμα υἱοὶ Σατι υἱ- 54, 55
οὶ Ασεφηραθ υἱοὶ Φαδουρα. υἱοὶ Ιεηλα υἱοὶ Δαρκων υἱοὶ Γεδηλ. 56
υἱοὶ Σαφατια υἱοὶ Ατιλ υἱοὶ Φαχεραθ-ασεβωιν υἱοὶ Ημι. πάντες 57, 58
οἱ ναθινιν καὶ υἱοὶ Αβδησελμα τριακόσιοι ἐνενήκοντα δύο. καὶ 59
οὗτοι οἱ ἀναβάντες ἀπὸ Θελμελεθ Θελαρησα Χαρουβ Ηδαν Εμ-
μηρ καὶ οὐκ ἠδυνάσθησαν τοῦ ἀναγγεῖλαι οἶκον πατριᾶς αὐτῶν

---

Βαιτυλουα καὶ εὕροσαν ἐφεστῶτα ἐπ' αὐτῇ Οζιαν καὶ τοὺς πρε-
σβυτέρους τῆς πόλεως Χαβριν καὶ Χαρμιν. ὡς δὲ εἶδον αὐτὴν 7
καὶ ἦν ἠλλοιωμένον τὸ πρόσωπον αὐτῆς καὶ τὴν στολὴν μετα-
βεβληκυῖαν αὐτῆς καὶ ἐθαύμασαν ἐπὶ τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ
σφόδρα καὶ εἶπαν αὐτῇ. ὁ θεὸς τῶν πατέρων ἡμῶν δῴη σε εἰς χά- 8
ριν καὶ τελειώσαι τὰ ἐπιτηδεύματά σου εἰς γαυρίαμα υἱῶν Ισραηλ
καὶ ὕψωμα Ιερουσαλημ. καὶ προσεκύνησεν τῷ θεῷ καὶ εἶπεν 9
πρὸς αὐτούς ἐπιτάξατε ἀνοῖξαί μοι τὴν πύλην τῆς πόλεως καὶ ἐ-
ξελεύσομαι εἰς τελείωσιν τῶν λόγων ὧν ἐλαλήσατε μετ' ἐμοῦ καὶ
συνέταξαν τοῖς νεανίσκοις ἀνοῖξαι αὐτῇ καθότι ἐλάλησεν. καὶ 10
ἐποίησαν οὕτως καὶ ἐξῆλθεν Ιουδιθ αὐτὴ καὶ ἡ παιδίσκη αὐτῆς
μετ' αὐτῆς ἀπεσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλεως ἕως οὗ
κατέβη τὸ ὄρος ἕως διῆλθεν τὸν αὐλῶνα καὶ οὐκέτι ἐθεώρουν αὐ-
τήν. καὶ ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν καὶ συνήντησεν 11

**v.4** καί[cc] λαμβάνω[viaa3s] σανδάλιον[nanpc] εἰς[pa] ὁ[damp] πούς[nampc] αὐτός[rpgfs] καί[cc] περιτίθημι[viam3s] ὁ[damp] χλιδών[nampc] καί[cc] ὁ[danp] ψέλιον[nanpc] καί[cc] ὁ[damp] δακτύλιος[nampc] καί[cc] ὁ[danp] ἐνώτιον[nanpc] καί[cc] πᾶς[aiamsn] ὁ[dams] κόσμος[namsc] αὐτός[rpgfs] καί[cc] καλλωπίζω[viam3s] σφόδρα[b] εἰς[pa] ἀπάτησις[nafsc] ὀφθαλμός[ngmpc] ἀνήρ[ngmpc] ὅσος[rrnmpn] ἄν[x] ὁράω[vsaa3p] αὐτός[rpafs]. **v.5** καί[cc] δίδωμι[viaa3s] ὁ[ddfs] ἅβρα[ndfsc] αὐτός[rpgfs] ἀσκοπυτίνη[nafsc] οἶνος[ngmsc] καί[cc] καψάκης[namsc] ἔλαιον[ngnsc] καί[cc] πήρα[nafsc] πληρόω[viaa3s] ἄλφιτον[ngnpc] καί[cc] παλάθη[ngfsc] καί[cc] ἄρτος[ngmpc] καθαρός[angmpn] καί[cc] περιδιπλόω[viaa3s] πᾶς[aianpn] ὁ[danp] ἀγγεῖον[nanpc] αὐτός[rpgfs] καί[cc] ἐπιτίθημι[viaa3s] αὐτός[rpdfs]. **v.6** καί[cc] ἐξέρχομαι[viaa3p] ἐπί[pa] ὁ[dafs] πύλη[nafsc] ὁ[dgfs] πόλις[ngfsc] Βαιτυλουα[ngfsp] καί[cc] εὑρίσκω[viaa3p] ἐφίστημι[vpxaams] ἐπί[pd] αὐτός[rpdfs] Ὀζίας[namsp] καί[cc] ὁ[damp] πρεσβύτερος[anampc] ὁ[dgfs] πόλις[ngfsc] Χαβριν[na-sp] καί[cc] Χαρμιν[na-sp]. **v.7** ὡς[cs] δέ[cc] ὁράω[viaa3p] αὐτός[rpafs] καί[cc] εἰμί[viia3s] ἀλλοιόω[vpxpnns] ὁ[dnns] πρόσωπον[nnnsc] αὐτός[rpgfs] καί[cc] ὁ[dafs] στολή[nafsc] μεταβάλλω[vpxaafs] αὐτός[rpgfs] καί[cc] θαυμάζω[viaa3p] ἐπί[pd] ὁ[ddns] κάλλος[ndnsc] αὐτός[rpgfs] ἐπί[pa] πολύς[anansn] σφόδρα[b] καί[cc] λέγω[viaa3p] αὐτός[rpdfs]. **v.8** ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] πατήρ[ngmpc] ἐγώ[rpg-p] δίδωμι[voaa3s] σύ[rpafs] εἰς[pa] χάρις[nafsc] καί[cc] τελειόω[voaa3s] ὁ[danp] ἐπιτήδευμα[nanpc] σύ[rpgfs] εἰς[pa] γαυρίαμα[nansc] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] καί[cc] ὕψωμα[nansc] Ἰερουσαλήμ[ngfsp]. **v.9** καί[cc] προσκυνέω[viaa3s] ὁ[ddms] θεός[ndmsc] καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpamp] ἐπιτάσσω[vdaa2p] ἀνοίγω[vnaa] ἐγώ[rpd-s] ὁ[dafs] πύλη[nafsc] ὁ[dgfs] πόλις[ngfsc] καί[cc] ἐξέρχομαι[vifm1s] εἰς[pa] τελείωσις[nafsc] ὁ[dgmp] λόγος[ngmpc] ὅς[rrgmp] λαλέω[viaa2p] μετά[pg] ἐγώ[rpg-s] καί[cc] συντάσσω[viaa3p] ὁ[ddmp] νεανίσκος[ndmpc] ἀνοίγω[vnaa] αὐτός[rpdfs] καθότι[cs] λαλέω[viaa3s]. **v.10** καί[cc] ποιέω[viaa3p] οὕτως[b] καί[cc] ἐξέρχομαι[viaa3s] Ἰουδίθ[nnfsp] αὐτός[rpnfs] καί[cc] ὁ[dnfs] παιδίσκη[nnfsc] αὐτός[rpgfs] μετά[pg] αὐτός[rpgfs] ἀποσκοπεύω[viia3p] δέ[cc] αὐτός[rpafs] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgfs] πόλις[ngfsc] ἕως[pg] ὅς[rrgns] καταβαίνω[viaa3s] ὁ[dans] ὄρος[nansc] ἕως[cs] διέρχομαι[viaa3s] ὁ[dams] αὐλών[namsc] καί[cc] οὐκέτι[b] θεωρέω[viia3p] αὐτός[rpafs].

12 αὐτῇ προφυλακὴ τῶν Ἀσσυρίων. καὶ συνέλαβον αὐτὴν καὶ ἐ-
πηρώτησαν τίνων εἶ καὶ πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ καὶ εἶπεν
θυγάτηρ εἰμὶ τῶν Εβραίων καὶ ἀποδιδράσκω ἀπὸ προσώπου αὐ-
13 τῶν ὅτι μέλλουσιν δίδοσθαι ὑμῖν εἰς κατάβρωμα. κἀγὼ ἔρχομαι
εἰς τὸ πρόσωπον Ολοφέρνου ἀρχιστρατήγου δυνάμεως ὑμῶν τοῦ
ἀπαγγεῖλαι ῥήματα ἀληθείας καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁ-
δὸν καθ᾽ ἣν πορεύσεται καὶ κυριεύσει πάσης τῆς ὀρεινῆς καὶ οὐ
14 διαφωνήσει τῶν ἀνδρῶν αὐτοῦ σὰρξ μία οὐδὲ πνεῦμα ζωῆς. ὡς
δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ῥήματα αὐτῆς καὶ κατενόησαν τὸ πρό-
σωπον αὐτῆς καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα
15 καὶ εἶπαν πρὸς αὐτήν. σέσωκας τὴν ψυχήν σου σπεύσασα κατα-
βῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν καὶ νῦν πρόσελθε ἐπὶ τὴν
σκηνὴν αὐτοῦ καὶ ἀφ᾽ ἡμῶν προπέμψουσίν σε ἕως παραδώσουσίν
16 σε εἰς χεῖρας αὐτοῦ. ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ μὴ φοβηθῇς τῇ
καρδίᾳ σου ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου καὶ εὖ σε ποιή-
17 σει. καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν καὶ παρέζευξαν αὐτῇ
καὶ τῇ ἅβρᾳ αὐτῆς καὶ ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν Ολοφέρνου.
18 καὶ ἐγένετο συνδρομὴ ἐν πάσῃ τῇ παρεμβολῇ διεβοήθη γὰρ εἰς τὰ
σκηνώματα ἡ παρουσία αὐτῆς καὶ ἐλθόντες ἐκύκλουν αὐτήν ὡς
εἱστήκει ἔξω τῆς σκηνῆς Ολοφέρνου ἕως προσήγγειλαν αὐτῷ περὶ
19 αὐτῆς. καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς καὶ ἐθαύμαζον τοὺς

---

**v.11** καί[cc] πορεύομαι[viim3p] ἐν[pd] ὁ[ddms] αὐλών[ndmsc] εἰς[pa] εὐθύς[anafsn] καί[cc] συναντάω[viaa3s] αὐτός[rpdfs] προφυλακή[nnfsc] ὁ[dgmp] Ἀσσύριος[ngmpp]. **v.12** καί[cc] συλλαμβάνω[viaa3p] αὐτός[rpafs] καί[cc] ἐπερωτάω[viaa3p] τίς[rqgmp] εἰμί[vipa2s] καί[cc] πόθεν[b] ἔρχομαι[vipm2s] καί[cc] ποῦ[b] πορεύομαι[vipm2s] καί[cc] λέγω[viaa3s] θυγάτηρ[nnfsc] εἰμί[vipa1s] ὁ[dgmp] Ἑβραῖος[angmpn] καί[cc] ἀποδιδράσκω[vipa1s] ἀπό[pg] πρόσωπον[ngnsc] αὐτός[rpgmp] ὅτι[cs] μέλλω[vipa3p] δίδωμι[vnpp] σύ[rpd-p] εἰς[pa] κατάβρωμα[nansc]. **v.13** καί&ἐγώ[cc&rpn-s] ἔρχομαι[vipm1s] εἰς[pa] ὁ[dans] πρόσωπον[nansc] Ολοφέρνης[ngmsp] ἀρχιστράτηγος[ngmsc] δύναμις[ngfsc] σύ[rpg-p] ὁ[dgns] ἀπαγγέλλω[vnaa] ῥῆμα[nanpc] ἀλήθεια[ngfsc] καί[cc] δείκνυμι[vifa1s] πρό[pg] πρόσωπον[ngnsc] αὐτός[rpgms] ὁδός[nafsc] κατά[pa] ὅς[rrafs] πορεύομαι[vifm3s] καί[cc] κυριεύω[vifa3s] πᾶς[aigfsn] ὁ[dgfs] ὀρεινός[ngfsc] καί[cc] οὐ[b] διαφωνέω[vifa3s] ὁ[dgmp] ἀνήρ[ngmpc] αὐτός[rpgms] σάρξ[nnfsc] εἷς[acnfsn] οὐδέ[cc] πνεῦμα[nnnsc] ζωή[ngfsc]. **v.14** ὡς[cs] δέ[cc] ἀκούω[viaa3p] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[danp] ῥῆμα[nanpc] αὐτός[rpgfs] καί[cc] κατανοέω[viaa3p] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgfs] καί[cc] εἰμί[viia3s] ἐναντίον[pg] αὐτός[rpgmp] θαυμάσιος[annnsn] ὁ[ddns] κάλλος[ndnsc] σφόδρα[b] καί[cc] λέγω[viaa3p] πρός[pa] αὐτός[rpafs]. **v.15** σῴζω[vixa2s] ὁ[dafs] ψυχή[nafsc] σύ[rpg-s] σπεύδω[vpaanfs] καταβαίνω[vnaa] εἰς[pa] πρόσωπον[nansc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-p] καί[cc] νῦν[b] προσέρχομαι[vdaa2s] ἐπί[pa] ὁ[dafs] σκηνή[nafsc] αὐτός[rpgms] καί[cc] ἀπό[pg] ἐγώ[rpg-p] προπέμπω[vifa3p] σύ[rpa-s] ἕως[cs] παραδίδωμι[vifa3p] σύ[rpa-s] εἰς[pa] χείρ[nafpc] αὐτός[rpgms]. **v.16** ἐάν[cs] δέ[cc] ἵστημι[vsaa2s] ἐναντίον[pg] αὐτός[rpgms] μή[x] φοβέω[vsap2s] ὁ[ddfs] καρδία[ndfsc] σύ[rpg-s] ἀλλά[cc] ἀναγγέλλω[vdaa2s] κατά[pa] ὁ[danp] ῥῆμα[nanpc] σύ[rpg-s] καί[cc] εὖ[b] σύ[rpa-s] ποιέω[vifa3s]. **v.17** καί[cc] ἐπιλέγω[viaa3p] ἐκ[pg] αὐτός[rpgmp] ἀνήρ[nampc] ἑκατόν[ac—n] καί[cc] παραζεύγνυμι[viaa3p] αὐτός[rpdfs] καί[cc] ὁ[ddfs] ἅβρα[ndfsc] αὐτός[rpgfs] καί[cc] ἄγω[viaa3p] αὐτός[rpafp] ἐπί[pa] ὁ[dafs] σκηνή[nafsc] Ολοφέρνης[ngmsp]. **v.18** καί[cc] γίνομαι[viam3s] συνδρομή[nnfsc] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] παρεμβολή[ndfsc] διαβοάω[viap3s] γάρ[cc] εἰς[pa] ὁ[danp] σκήνωμα[nanpc] ὁ[dnfs] παρουσία[nnfsc] αὐτός[rpgfs] καί[cc] ἔρχομαι[vpaanmp] κυκλόω[viia3p] αὐτός[rpafs] ὡς[cs] ἵστημι[viya3s] ἔξω[pg] ὁ[dgfs] σκηνή[ngfsc] Ολοφέρνης[ngmsp] ἕως[cs] προσαγγέλλω[viaa3p] αὐτός[rpdms] περί[pg] αὐτός[rpgfs].

υἱοὺς Ισραηλ ἀπʼ αὐτῆς καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐ-
τοῦ τίς καταφρονήσει τοῦ λαοῦ τούτου ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας
τοιαύτας ὅτι οὐ καλόν ἐστιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα οἳ
ἀφεθέντες δυνήσονται κατασοφίσασθαι πᾶσαν τὴν γῆν. καὶ ἐ- 20
ξῆλθον οἱ παρακαθεύδοντες Ολοφέρνῃ καὶ πάντες οἱ θεράποντες
αὐτοῦ καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκηνήν. καὶ ἦν Ολοφέρ- 21
νης ἀναπαυόμενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπίῳ ὃ ἦν ἐκ
πορφύρας καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν κα-
θυφασμένων. καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς καὶ ἐξῆλθεν εἰς 22
τὸ προσκήνιον καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ. ὡς 23
δὲ ἦλθεν κατὰ πρόσωπον αὐτοῦ Ιουδιθ καὶ τῶν θεραπόντων αὐ-
τοῦ ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου αὐτῆς καὶ
πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ καὶ ἤγειραν αὐτὴν
οἱ δοῦλοι αὐτοῦ.

καὶ εἶπεν πρὸς αὐτὴν Ολοφέρνης θάρσησον γύναι μὴ φοβη- **11**
θῇς τῇ καρδίᾳ σου ὅτι ἐγὼ οὐκ ἐκάκωσα ἄνθρωπον ὅστις ᾑρέτικεν
δουλεύειν βασιλεῖ Ναβουχοδονοσορ πάσης τῆς γῆς. καὶ νῦν ὁ 2
λαός σου ὁ κατοικῶν τὴν ὀρεινὴν εἰ μὴ ἐφαύλισάν με οὐκ ἂν ἦρα
τὸ δόρυ μου ἐπʼ αὐτούς ἀλλὰ αὐτοὶ ἑαυτοῖς ἐποίησαν ταῦτα. καὶ 3
νῦν λέγε μοι τίνος ἕνεκεν ἀπέδρας ἀπʼ αὐτῶν καὶ ἦλθες πρὸς ἡ-
μᾶς ἥκεις γὰρ εἰς σωτηρίαν θάρσει ἐν τῇ νυκτὶ ταύτῃ ζήσῃ καὶ εἰς

---

**v.19** καί[cc] θαυμάζω[viia3p] ἐπί[pd] ὁ[ddns] κάλλος[ndnsc] αὐτός[rpgfs] καί[cc] θαυμάζω[viia3p] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp] ἀπό[pg] αὐτός[rpgfs] καί[cc] λέγω[viaa3s] ἕκαστος[ainmsn] πρός[pa] ὁ[dams] πλησίον[b] αὐτός[rpgms] τίς[rqnms] καταφρονέω[vifa3s] ὁ[dgms] λαός[ngmsc] οὗτος[rdgms] ὅς[rrnms] ἔχω[vipa3s] ἐν[pd] ἑαυτοῦ[rxdms] γυνή[nafpc] τοιοῦτος[adafpn] ὅτι[cs] οὐ[b] καλός[anansn] εἰμί[vipa3s] ὑπολείπω[vnpp] ἐκ[pg] αὐτός[rpgmp] ἀνήρ[namsc] εἷς[acamsn] ὅς[rrnmp] ἀφίημι[vpapnmp] δύναμαι[vifm3p] κατασοφίζομαι[vnam] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc]. **v.20** καί[cc] ἐξέρχομαι[viaa3p] ὁ[dnmp] παρακαθεύδω[vppanmp] Ολοφέρνης[ndmsp] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] θεράπων[nnmpc] αὐτός[rpgms] καί[cc] εἰσάγω[viaa3p] αὐτός[rpafs] εἰς[pa] ὁ[dafs] σκηνή[nafsc]. **v.21** καί[cc] εἰμί[viia3s] Ολοφέρνης[nnmsp] ἀναπαύω[vppmnms] ἐπί[pg] ὁ[dgfs] κλίνη[ngfsc] αὐτός[rpgms] ἐν[pd] ὁ[ddns] κωνώπιον[ndnsc] ὅς[rrnns] εἰμί[viia3s] ἐκ[pg] πορφύρα[ngfsc] καί[cc] χρυσίον[ngnsc] καί[cc] σμάραγδος[ngmsc] καί[cc] λίθος[ngmpc] πολυτελής[angmpn] καθυφαίνω[vpxpgmp]. **v.22** καί[cc] ἀναγγέλλω[viaa3p] αὐτός[rpdms] περί[pg] αὐτός[rpgfs] καί[cc] ἐξέρχομαι[viaa3s] εἰς[pa] ὁ[dans] προσκήνιον[nansc] καί[cc] λαμπάς[nnfpc] ἀργυροῦς[annfpn] προάγω[vppanfp] αὐτός[rpgms]. **v.23** ὡς[cs] δέ[cc] ἔρχομαι[viaa3s] κατά[pa] πρόσωπον[nansc] αὐτός[rpgms] Ἰουδίθ[nnfsp] καί[cc] ὁ[dgmp] θεράπων[ngmpc] αὐτός[rpgms] θαυμάζω[viaa3p] πᾶς[ainmpn] ἐπί[pd] ὁ[ddns] κάλλος[ndnsc] ὁ[dgns] πρόσωπον[ngnsc] αὐτός[rpgfs] καί[cc] πίπτω[vpaanfs] ἐπί[pa] πρόσωπον[nansc] προσκυνέω[viaa3s] αὐτός[rpdms] καί[cc] ἐγείρω[viaa3p] αὐτός[rpafs] ὁ[dnmp] δοῦλος[nnmpc] αὐτός[rpgms]. **11. v.1** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpafs] Ολοφέρνης[nnmsp] θαρσέω[vdaa2s] γυνή[nvfsc] μή[x] φοβέω[vsap2s] ὁ[ddfs] καρδία[ndfsc] σύ[rpg-s] ὅτι[cs] ἐγώ[rpn-s] οὐ[b] κακόω[viaa1s] ἄνθρωπος[namsc] ὅστις[rrnms] αἱρετίζω[vixa3s] δουλεύω[vnpa] βασιλεύς[ndmsc] Ναβουχοδονοσορ[ndmsp] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc]. **v.2** καί[cc] νῦν[b] ὁ[dnms] λαός[nnmsc] σύ[rpg-s] ὁ[dnms] κατοικέω[vppanms] ὁ[dafs] ὀρεινός[nafsc] εἰ[cs] μή[x] φαυλίζω[viaa3p] ἐγώ[rpa-s] οὐ[b] ἄν[x] αἴρω[viaa1s] ὁ[dans] δόρυ[nansc] ἐγώ[rpg-s] ἐπί[pa] αὐτός[rpamp] ἀλλά[cc] αὐτός[rpnmp] ἑαυτοῦ[rxdmp] ποιέω[viaa3p] οὗτος[rdanp].

4 τὸ λοιπόν. οὐ γὰρ ἔστιν ὃς ἀδικήσει σε ἀλλ᾽ εὖ σε ποιήσει καθὰ
γίνεται τοῖς δούλοις τοῦ κυρίου μου βασιλέως Ναβουχοδονοσορ.
5 καὶ εἶπεν πρὸς αὐτὸν Ιουδιθ δέξαι τὰ ῥήματα τῆς δούλης σου καὶ
λαλησάτω ἡ παιδίσκη σου κατὰ πρόσωπόν σου καὶ οὐκ ἀναγγελῶ
6 ψεῦδος τῷ κυρίῳ μου ἐν τῇ νυκτὶ ταύτῃ. καὶ ἐὰν κατακολουθή-
σῃς τοῖς λόγοις τῆς παιδίσκης σου τελείως πρᾶγμα ποιήσει μετὰ
σοῦ ὁ θεός καὶ οὐκ ἀποπεσεῖται ὁ κύριός μου τῶν ἐπιτηδευμάτων
7 αὐτοῦ. ζῇ γὰρ βασιλεὺς Ναβουχοδονοσορ πάσης τῆς γῆς καὶ ζῇ
τὸ κράτος αὐτοῦ ὃς ἀπέστειλέν σε εἰς κατόρθωσιν πάσης ψυχῆς
ὅτι οὐ μόνον ἄνθρωποι διὰ σὲ δουλεύουσιν αὐτῷ ἀλλὰ καὶ τὰ θη-
ρία τοῦ ἀγροῦ καὶ τὰ κτήνη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ διὰ τῆς
ἰσχύος σου ζήσονται ἐπὶ Ναβουχοδονοσορ καὶ πάντα τὸν οἶκον
8 αὐτοῦ. ἠκούσαμεν γὰρ τὴν σοφίαν σου καὶ τὰ πανουργεύματα
τῆς ψυχῆς σου καὶ ἀνηγγέλη πάσῃ τῇ γῇ ὅτι σὺ μόνος ἀγαθὸς
ἐν πάσῃ βασιλείᾳ καὶ δυνατὸς ἐν ἐπιστήμῃ καὶ θαυμαστὸς ἐν
9 στρατεύμασιν πολέμου. καὶ νῦν ὁ λόγος ὃν ἐλάλησεν Αχιωρ
ἐν τῇ συνεδρίᾳ σου ἠκούσαμεν τὰ ῥήματα αὐτοῦ ὅτι περιεποιή-
σαντο αὐτὸν οἱ ἄνδρες Βαιτυλουα καὶ ἀνήγγειλεν αὐτοῖς πάντα
10 ὅσα ἐξελάλησεν παρὰ σοί. διό δέσποτα κύριε μὴ παρέλθῃς τὸν
λόγον αὐτοῦ ἀλλὰ κατάθου αὐτὸν ἐν τῇ καρδίᾳ σου ὅτι ἐστὶν ἀ-
ληθής οὐ γὰρ ἐκδικᾶται τὸ γένος ἡμῶν οὐ κατισχύει ῥομφαία

---

**v.3** καί[cc] νῦν[b] λέγω[vdpa2s] ἐγώ[rpd-s] τίς[rqgns] ἕνεκα[pg] ἀποδιδράσκω[viaa2s] ἀπό[pg] αὐτός[rpgmp] καί[cc] ἔρχομαι[viaa2s] πρός[pa] ἐγώ[rpa-p] ἥκω[vipa2s] γάρ[cc] εἰς[pa] σωτηρία[nafsc] θαρσέω[vdpa2s] ἐν[pd] ὁ[ddfs] νύξ[ndfsc] οὗτος[rddfs] ζάω[vifm2s] καί[cc] εἰς[pa] ὁ[dans] λοιπός[anansn]. **v.4** οὐ[b] γάρ[cc] εἰμί[vipa3s] ὅς[rrnms] ἀδικέω[vifa3s] σύ[rpa-s] ἀλλά[cc] εὖ[b] σύ[rpa-s] ποιέω[vifa3s] καθά[cs] γίνομαι[vipm3s] ὁ[ddmp] δοῦλος[ndmpc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-s] βασιλεύς[ngmsc] Ναβουχοδονοσορ[ngmsp]. **v.5** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] Ἰουδίθ[nnfsp] δέχομαι[vdam2s] ὁ[danp] ῥῆμα[nanpc] ὁ[dgfs] δούλη[ngfsc] σύ[rpg-s] καί[cc] λαλέω[vdaa3s] ὁ[dnfs] παιδίσκη[nnfsc] σύ[rpg-s] κατά[pa] πρόσωπον[nansc] σύ[rpg-s] καί[cc] οὐ[b] ἀναγγέλλω[vifa1s] ψεῦδος[nansc] ὁ[ddms] κύριος[ndmsc] ἐγώ[rpg-s] ἐν[pd] ὁ[ddfs] νύξ[ndfsc] οὗτος[rddfs]. **v.6** καί[cc] ἐάν[cs] κατακολουθέω[vsaa2s] ὁ[ddmp] λόγος[ndmpc] ὁ[dgfs] παιδίσκη[ngfsc] σύ[rpg-s] τελείως[b] πρᾶγμα[nansc] ποιέω[vifa3s] μετά[pg] σύ[rpg-s] ὁ[dnms] θεός[nnmsc] καί[cc] οὐ[b] ἀποπίπτω[vifm3s] ὁ[dnms] κύριος[nnmsc] ἐγώ[rpg-s] ὁ[dgnp] ἐπιτήδευμα[ngnpc] αὐτός[rpgms]. **v.7** ζάω[vipa3s] γάρ[cc] βασιλεύς[nnmsc] Ναβουχοδονοσορ[nnmsp] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ζάω[vipa3s] ὁ[dnns] κράτος[nnnsc] αὐτός[rpgms] ὅς[rrnms] ἀποστέλλω[viaa3s] σύ[rpa-s] εἰς[pa] κατόρθωσις[nafsc] πᾶς[aigfsn] ψυχή[ngfsc] ὅτι[cs] οὐ[b] μόνος[b] ἄνθρωπος[nnmpc] διά[pa] σύ[rpa-s] δουλεύω[vipa3p] αὐτός[rpdms] ἀλλά[cc] καί[b] ὁ[dnnp] θηρίον[nnnpc] ὁ[dgms] ἀγρός[ngmsc] καί[cc] ὁ[dnnp] κτῆνος[nnnpc] καί[cc] ὁ[dnnp] πετεινός[nnnpc] ὁ[dgms] οὐρανός[ngmsc] διά[pg] ὁ[dgfs] ἰσχύς[ngfsc] σύ[rpg-s] ζάω[vifm3p] ἐπί[pa] Ναβουχοδονοσορ[namsp] καί[cc] πᾶς[aiamsn] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms]. **v.8** ἀκούω[viaa1p] γάρ[cc] ὁ[dafs] σοφία[nafsc] σύ[rpg-s] καί[cc] ὁ[danp] πανούργευμα[nanpc] ὁ[dgfs] ψυχή[ngfsc] σύ[rpg-s] καί[cc] ἀναγγέλλω[viap3s] πᾶς[aidfsn] ὁ[ddfs] γῆ[ndfsc] ὅτι[cs] σύ[rpn-s] μόνος[annmsn] ἀγαθός[annmsn] ἐν[pd] πᾶς[aidfsn] βασιλεία[ndfsc] καί[cc] δυνατός[annmsn] ἐν[pd] ἐπιστήμη[ndfsc] καί[cc] θαυμαστός[annmsn] ἐν[pd] στράτευμα[ndnpc] πόλεμος[ngmsc]. **v.9** καί[cc] νῦν[b] ὁ[dnms] λόγος[nnmsc] ὅς[rrams] λαλέω[viaa3s] Αχιωρ[nnmsp] ἐν[pd] ὁ[ddfs] συνεδρία[ndfsc] σύ[rpg-s] ἀκούω[viaa1p] ὁ[danp] ῥῆμα[nanpc] αὐτός[rpgms] ὅτι[cs] περιποιέω[viam3p] αὐτός[rpams] ὁ[dnmp] ἀνήρ[nnmpc] Βαιτυλουα[ngfsp] καί[cc] ἀναγγέλλω[viaa3s] αὐτός[rpdmp] πᾶς[aianpn] ὅσος[aranpn] ἐκλαλέω[viaa3s] παρά[pd] σύ[rpd-s].

ἐπ᾽ αὐτούς ἐὰν μὴ ἁμάρτωσιν εἰς τὸν θεὸν αὐτῶν. καὶ νῦν ἵνα 11
μὴ γένηται ὁ κύριός μου ἔκβολος καὶ ἄπρακτος καὶ ἐπιπεσεῖται
θάνατος ἐπὶ πρόσωπον αὐτῶν καὶ κατελάβετο αὐτοὺς ἁμάρτημα
ἐν ᾧ παροργιοῦσιν τὸν θεὸν αὐτῶν ὁπηνίκα ἂν ποιήσωσιν ἀτο-
πίαν. ἐπεὶ παρεξέλιπεν αὐτοὺς τὰ βρώματα καὶ ἐσπανίσθη πᾶν 12
ὕδωρ ἐβουλεύσαντο ἐπιβαλεῖν τοῖς κτήνεσιν αὐτῶν καὶ πάντα ὅσα
διεστείλατο αὐτοῖς ὁ θεὸς τοῖς νόμοις αὐτοῦ μὴ φαγεῖν διέγνω-
σαν δαπανῆσαι. καὶ τὰς ἀπαρχὰς τοῦ σίτου καὶ τὰς δεκάτας τοῦ 13
οἴνου καὶ τοῦ ἐλαίου ἃ διεφύλαξαν ἁγιάσαντες τοῖς ἱερεῦσιν τοῖς
παρεστηκόσιν ἐν Ιερουσαλημ ἀπέναντι τοῦ προσώπου τοῦ θεοῦ
ἡμῶν κεκρίκασιν ἐξαναλῶσαι ὧν οὐδὲ ταῖς χερσὶν καθῆκεν ἅψα-
σθαι οὐδένα τῶν ἐκ τοῦ λαοῦ. καὶ ἀπεστάλκασιν εἰς Ιερουσαλημ 14
ὅτι καὶ οἱ ἐκεῖ κατοικοῦντες ἐποίησαν ταῦτα τοὺς μετακομίσοντας
αὐτοῖς τὴν ἄφεσιν παρὰ τῆς γερουσίας. καὶ ἔσται ὡς ἂν ἀναγγεί- 15
λῃ αὐτοῖς καὶ ποιήσωσιν δοθήσονταί σοι εἰς ὄλεθρον ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ. ὅθεν ἐγὼ ἡ δούλη σου ἐπιγνοῦσα ταῦτα πάντα ἀπέδρων 16
ἀπὸ προσώπου αὐτῶν καὶ ἀπέστειλέν με ὁ θεὸς ποιῆσαι μετὰ σοῦ
πράγματα ἐφ᾽ οἷς ἐκστήσεται πᾶσα ἡ γῆ ὅσοι ἐὰν ἀκούσωσιν αὐ-
τά. ὅτι ἡ δούλη σου θεοσεβής ἐστιν καὶ θεραπεύουσα νυκτὸς 17
καὶ ἡμέρας τὸν θεὸν τοῦ οὐρανοῦ καὶ νῦν μενῶ παρὰ σοί κύριέ
μου καὶ ἐξελεύσεται ἡ δούλη σου κατὰ νύκτα εἰς τὴν φάραγγα

---

**v.10** διό[cc] δεσπότης[nvmsc] κύριος[nvmsc] μή[x] παρέρχομαι[vsaa2s] ὁ[dams] λόγος[namsc] αὐτός[rpgms] ἀλλά[cc] κατατίθημι[vdam2s] αὐτός[rpams] ἐν[pd] ὁ[ddfs] καρδία[ndfsc] σύ[rpg-s] ὅτι[cs] εἰμί[vipa3s] ἀληθής[annmsn] οὐ[b] γάρ[cc] ἐκδικάζω[vife3s] ὁ[dnns] γένος[nnnsc] ἐγώ[rpg-p] οὐ[b] κατισχύω[vipa3s] ῥομφαία[nnfsc] ἐπί[pa] αὐτός[rpamp] ἐάν[cs] μή[x] ἁμαρτάνω[vsaa3p] εἰς[pa] ὁ[dams] θεός[namsc] αὐτός[rpgmp]. **v.11** καί[cc] νῦν[b] ἵνα[cs] μή[x] γίνομαι[vsam3s] ὁ[dnms] κύριος[nnmsc] ἐγώ[rpg-s] ἔκβολος[annmsn] καί[cc] ἄπρακτος[annmsn] καί[cc] ἐπιπίπτω[vifm3s] θάνατος[nnmsc] ἐπί[pa] πρόσωπον[nansc] αὐτός[rpgmp] καί[cc] καταλαμβάνω[viam3s] αὐτός[rpamp] ἁμάρτημα[nnnsc] ἐν[pd] ὅς[rrdns] παροργίζω[vifa3p] ὁ[dams] θεός[namsc] αὐτός[rpgmp] ὁπηνίκα[b] ἄν[x] ποιέω[vsaa3p] ἀτοπία[nafsc]. **v.12** ἐπεί[cs] παρεκλείπω[viaa3s] αὐτός[rpamp] ὁ[dnnp] βρῶμα[nnnpc] καί[cc] σπανίζω[viap3s] πᾶς[ainnsn] ὕδωρ[nnnsc] βουλεύω[viam3p] ἐπιβάλλω[vnaa] ὁ[ddnp] κτῆνος[ndnpc] αὐτός[rpgmp] καί[cc] πᾶς[aianpn] ὅσος[aranpn] διαστέλλω[viam3s] αὐτός[rpdmp] ὁ[dnms] θεός[nnmsc] ὁ[ddmp] νόμος[ndmpc] αὐτός[rpgms] μή[x] ἐσθίω[vnaa] διαγινώσκω[viaa3p] δαπανάω[vnaa]. **v.13** καί[cc] ὁ[dafp] ἀπαρχή[nafpc] ὁ[dgms] σῖτος[ngmsc] καί[cc] ὁ[dafp] δέκατος[aoafpn] ὁ[dgms] οἶνος[ngmsc] καί[cc] ὁ[dgns] ἔλαιον[ngnsc] ὅς[rranp] διαφυλάσσω[viaa3p] ἁγιάζω[vpaanmp] ὁ[ddmp] ἱερεύς[ndmpc] ὁ[ddmp] παρίστημι[vpxadmp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ἀπέναντι[pg] ὁ[dgns] πρόσωπον[ngnsc] ὁ[dgms] θεός[ngmsc] ἐγώ[rpg-p] κρίνω[vixa3p] ἐξαναλίσκω[vnaa] ὅς[rrgnp] οὐδέ[b] ὁ[ddfp] χείρ[ndfpc] καθήκω[viia3s] ἅπτω[vnam] οὐδείς[riams] ὁ[dgmp] ἐκ[pg] ὁ[dgms] λαός[ngmsc]. **v.14** καί[cc] ἀποστέλλω[vixa3p] εἰς[pa] Ἰερουσαλήμ[nafsp] ὅτι[cs] καί[cc] ὁ[dnmp] ἐκεῖ[b] κατοικέω[vppanmp] ποιέω[viaa3p] οὗτος[rdanp] ὁ[damp] μετακομίζω[vpfaamp] αὐτός[rpdmp] ὁ[dafs] ἄφεσις[nafsc] παρά[pg] ὁ[dgfs] γερουσία[ngfsc]. **v.15** καί[cc] εἰμί[vifm3s] ὡς[cs] ἄν[x] ἀναγγέλλω[vsaa3s] αὐτός[rpdmp] καί[cc] ποιέω[vsaa3p] δίδωμι[vifp3p] σύ[rpd-s] εἰς[pa] ὄλεθρος[namsc] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs]. **v.16** ὅθεν[b] ἐγώ[rpn-s] ὁ[dnfs] δούλη[nnfsc] σύ[rpg-s] ἐπιγινώσκω[vpaanfs] οὗτος[rdanp] πᾶς[aianpn] ἀποδιδράσκω[viaa1s] ἀπό[pg] πρόσωπον[ngnsc] αὐτός[rpgmp] καί[cc] ἀποστέλλω[viaa3s] ἐγώ[rpa-s] ὁ[dnms] θεός[nnmsc] ποιέω[vnaa] μετά[pg] σύ[rpg-s] πρᾶγμα[nanpc] ἐπί[pd] ὅς[rrdnp] ἐξίστημι[vifm3s] πᾶς[ainfsn] ὁ[dnfs] γῆ[nnfsc] ὅσος[rrnmpn] ἐάν[x] ἀκούω[vsaa3p] αὐτός[rpanp].

καὶ προσεύξομαι πρὸς τὸν θεόν καὶ ἐρεῖ μοι πότε ἐποίησαν τὰ
18 ἁμαρτήματα αὐτῶν. καὶ ἐλθοῦσα προσανοίσω σοι καὶ ἐξελεύσῃ
σὺν πάσῃ τῇ δυνάμει σου καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεταί σοι ἐξ αὐ-
19 τῶν. καὶ ἄξω σε διὰ μέσου τῆς Ιουδαίας ἕως τοῦ ἐλθεῖν ἀπέναντι
Ιερουσαλημ καὶ θήσω τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς καὶ ἄξεις
αὐτοὺς ὡς πρόβατα οἷς οὐκ ἔστιν ποιμήν καὶ οὐ γρύξει κύων τῇ
γλώσσῃ αὐτοῦ ἀπέναντί σου ὅτι ταῦτα ἐλαλήθη μοι κατὰ πρόγνω-
20 σίν μου καὶ ἀπηγγέλη μοι καὶ ἀπεστάλην ἀναγγεῖλαί σοι. καὶ
ἤρεσαν οἱ λόγοι αὐτῆς ἐναντίον Ολοφέρνου καὶ ἐναντίον πάντων
τῶν θεραπόντων αὐτοῦ καὶ ἐθαύμασαν ἐπὶ τῇ σοφίᾳ αὐτῆς καὶ
21 εἶπαν. οὐκ ἔστιν τοιαύτη γυνὴ ἀπ' ἄκρου ἕως ἄκρου τῆς γῆς ἐν
22 καλῷ προσώπῳ καὶ συνέσει λόγων. καὶ εἶπεν πρὸς αὐτὴν Ολο-
φέρνης εὖ ἐποίησεν ὁ θεὸς ἀποστείλας σε ἔμπροσθεν τοῦ λαοῦ
τοῦ γενηθῆναι ἐν χερσὶν ἡμῶν κράτος ἐν δὲ τοῖς φαυλίσασι τὸν
23 κύριόν μου ἀπώλειαν. καὶ νῦν ἀστεία εἶ σὺ ἐν τῷ εἴδει σου καὶ
ἀγαθὴ ἐν τοῖς λόγοις σου ὅτι ἐὰν ποιήσῃς καθὰ ἐλάλησας ὁ θεός
σου ἔσται μου θεός καὶ σὺ ἐν οἴκῳ βασιλέως Ναβουχοδονοσορ
καθήσῃ καὶ ἔσῃ ὀνομαστὴ παρὰ πᾶσαν τὴν γῆν.
**12** καὶ ἐκέλευσεν εἰσαγαγεῖν αὐτὴν οὗ ἐτίθετο τὰ ἀργυρώματα
αὐτοῦ καὶ συνέταξεν καταστρῶσαι αὐτῇ ἀπὸ τῶν ὀψοποιημάτων

---

**v.17** ὅτι[cs] ὁ[dnfs] δούλη[nnfsc] σύ[rpg-s] θεοσεβής[annfsn] εἰμί[vipa3s] καί[cc] θεραπεύω[vppanfs] νύξ[ngfsc] καί[cc] ἡμέρα[ngfsc] ὁ[dams] θεός[namsc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] νῦν[b] μένω[vifa1s] παρά[pd] σύ[rpd-s] κύριος[nvmsc] ἐγώ[rpg-s] καί[cc] ἐξέρχομαι[vifm3s] ὁ[dnfs] δούλη[nnfsc] σύ[rpg-s] κατά[pa] νύξ[nafsc] εἰς[pa] ὁ[dafs] φάραγξ[nafsc] καί[cc] προσεύχομαι[vifm1s] πρός[pa] ὁ[dams] θεός[namsc] καί[cc] λέγω[vifa3s] ἐγώ[rpd-s] πότε[b] ποιέω[viaa3p] ὁ[danp] ἁμάρτημα[nanpc] αὐτός[rpgmp]. **v.18** καί[cc] ἔρχομαι[vpaanfs] προσαναφέρω[vifa1s] σύ[rpd-s] καί[cc] ἐξέρχομαι[vifm2s] σύν[pd] πᾶς[aidfsn] ὁ[ddfs] δύναμις[ndfsc] σύ[rpg-s] καί[cc] οὐ[b] εἰμί[vipa3s] ὅς[rrnms] ἀνθίστημι[vifm3s] σύ[rpd-s] ἐκ[pg] αὐτός[rpgmp]. **v.19** καί[cc] ἄγω[vifa1s] σύ[rpa-s] διά[pg] μέσος[angnsn] ὁ[dgfs] Ἰουδαία[ngfsp] ἕως[cs] ὁ[dgns] ἔρχομαι[vnaa] ἀπέναντι[pg] Ἰερουσαλήμ[ngfsp] καί[cc] τίθημι[vifa1s] ὁ[dams] δίφρος[namsc] σύ[rpg-s] ἐν[pd] μέσος[andnsn] αὐτός[rpgfs] καί[cc] ἄγω[vifa2s] αὐτός[rpamp] ὡς[cs] πρόβατον[nanpc] ὅς[rrdnp] οὐ[b] εἰμί[vipa3s] ποιμήν[nnmsc] καί[cc] οὐ[b] γρύζω[vifa3s] κύων[nnmsc] ὁ[ddfs] γλῶσσα[ndfsc] αὐτός[rpgms] ἀπέναντι[pg] σύ[rpg-s] ὅτι[cs] οὗτος[rdnnp] λαλέω[viap3s] ἐγώ[rpd-s] κατά[pa] πρόγνωσις[nafsc] ἐγώ[rpg-s] καί[cc] ἀπαγγέλλω[viap3s] ἐγώ[rpd-s] καί[cc] ἀποστέλλω[viap1s] ἀναγγέλλω[vnaa] σύ[rpd-s]. **v.20** καί[cc] ἀρέσκω[viaa3p] ὁ[dnmp] λόγος[nnmpc] αὐτός[rpgfs] ἐναντίον[pg] Ολοφέρνης[ngmsp] καί[cc] ἐναντίον[pg] πᾶς[aigmpn] ὁ[dgmp] θεράπων[ngmpc] αὐτός[rpgms] καί[cc] θαυμάζω[viaa3p] ἐπί[pd] ὁ[ddfs] σοφία[ndfsc] αὐτός[rpgfs] καί[cc] λέγω[viaa3p]. **v.21** οὐ[b] εἰμί[vipa3s] τοιοῦτος[adnfsn] γυνή[nnfsc] ἀπό[pg] ἄκρος[angnsn] ἕως[pg] ἄκρος[angnsn] ὁ[dgfs] γῆ[ngfsc] ἐν[pd] καλός[andnsn] πρόσωπον[ndnsc] καί[cc] σύνεσις[ndfsc] λόγος[ngmpc]. **v.22** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpafs] Ολοφέρνης[nnmsp] εὖ[b] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἀποστέλλω[vpaanms] σύ[rpa-s] ἔμπροσθεν[pg] ὁ[dgms] λαός[ngmsc] ὁ[dgns] γίνομαι[vnap] ἐν[pd] χείρ[ndfpc] ἐγώ[rpg-p] κράτος[nansc] ἐν[pd] δέ[cc] ὁ[ddmp] φαυλίζω[vpaadmp] ὁ[dams] κύριος[namsc] ἐγώ[rpg-s] ἀπώλεια[nafsc]. **v.23** καί[cc] νῦν[b] ἀστεῖος[annfsn] εἰμί[vipa2s] σύ[rpn-s] ἐν[pd] ὁ[ddns] εἶδος[ndnsc] σύ[rpg-s] καί[cc] ἀγαθός[annfsn] ἐν[pd] ὁ[ddmp] λόγος[ndmpc] σύ[rpg-s] ὅτι[cs] ἐάν[cs] ποιέω[vsaa2s] καθά[cs] λαλέω[viaa2s] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] εἰμί[vifm3s] ἐγώ[rpg-s] θεός[nnmsc] καί[cc] σύ[rpn-s] ἐν[pd] οἶκος[ndmsc] βασιλεύς[ngmsc] Ναβουχοδονοσορ[ngmsp] κάθημαι[vifm2s] καί[cc] εἰμί[vifm2s] ὀνομαστός[annfsn] παρά[pa] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc].

αὐτοῦ καὶ τοῦ οἴνου αὐτοῦ πίνειν. καὶ εἶπεν Ιουδιθ οὐ φάγομαι 2
ἐξ αὐτῶν ἵνα μὴ γένηται σκάνδαλον ἀλλ᾽ ἐκ τῶν ἠκολουθηκότων
μοι χορηγηθήσεται. καὶ εἶπεν πρὸς αὐτὴν Ολοφέρνης ἐὰν δὲ 3
ἐκλίπῃ τὰ ὄντα μετὰ σοῦ πόθεν ἐξοίσομέν σοι δοῦναι ὅμοια αὐ-
τοῖς οὐ γάρ ἐστιν μεθ᾽ ἡμῶν ἐκ τοῦ γένους σου. καὶ εἶπεν Ιουδιθ 4
πρὸς αὐτόν ζῇ ἡ ψυχή σου κύριέ μου ὅτι οὐ δαπανήσει ἡ δούλη
σου τὰ ὄντα μετ᾽ ἐμοῦ ἕως ἂν ποιήσῃ κύριος ἐν χειρί μου ἃ ἐβου-
λεύσατο. καὶ ἠγάγοσαν αὐτὴν οἱ θεράποντες Ολοφέρνου εἰς τὴν 5
σκηνήν καὶ ὕπνωσεν μέχρι μεσούσης τῆς νυκτός καὶ ἀνέστη πρὸς
τὴν ἑωθινὴν φυλακήν. καὶ ἀπέστειλεν πρὸς Ολοφέρνην λέγουσα 6
ἐπιταξάτω δὴ ὁ κύριός μου ἐᾶσαι τὴν δούλην σου ἐπὶ προσευχὴν
ἐξελθεῖν. καὶ προσέταξεν Ολοφέρνης τοῖς σωματοφύλαξιν μὴ 7
διακωλύειν αὐτήν καὶ παρέμεινεν ἐν τῇ παρεμβολῇ ἡμέρας τρεῖς
καὶ ἐξεπορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα Βαιτυλουα καὶ ἐβα-
πτίζετο ἐν τῇ παρεμβολῇ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος. καὶ ὡς ἀνέβη 8
ἐδέετο τοῦ κυρίου θεοῦ Ισραηλ κατευθῦναι τὴν ὁδὸν αὐτῆς εἰς ἀ-
νάστημα τῶν υἱῶν τοῦ λαοῦ αὐτοῦ. καὶ εἰσπορευομένη καθαρὰ 9
παρέμενεν ἐν τῇ σκηνῇ μέχρι οὗ προσηνέγκατο τὴν τροφὴν αὐ-
τῆς πρὸς ἑσπέραν. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐποίησεν 10
Ολοφέρνης πότον τοῖς δούλοις αὐτοῦ μόνοις καὶ οὐκ ἐκάλεσεν

---

**12.** **v.1** καί[cc] κελεύω[viaa3s] εἰσάγω[vnaa] αὐτός[rpafs] ὅς[b] τίθημι[viip3s] ὁ[dnnp] ἀργύρωμα[nnnpc] αὐτός[rpgms] καί[cc] συντάσσω[viaa3s] καταστρώννυμι[vnaa] αὐτός[rpdfs] ἀπό[pg] ὁ[dgnp] ὀψοποίημα[ngnpc] αὐτός[rpgms] καί[cc] ὁ[dgms] οἶνος[ngmsc] αὐτός[rpgms] πίνω[vnpa]. **v.2** καί[cc] λέγω[viaa3s] Ἰουδίθ[nnfsp] οὐ[b] ἐσθίω[vifm1s] ἐκ[pg] αὐτός[rpgnp] ἵνα[cs] μή[x] γίνομαι[vsam3s] σκάνδαλον[nnnsc] ἀλλά[cc] ἐκ[pg] ὁ[dgnp] ἀκολουθέω[vpxagnp] ἐγώ[rpd-s] χορηγέω[vifp3s]. **v.3** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpafs] Ολοφέρνης[nnmsp] ἐάν[cs] δέ[cc] ἐκλείπω[vsaa3s] ὁ[dnnp] εἰμί[vppannp] μετά[pg] σύ[rpg-s] πόθεν[b] ἐκφέρω[vifa1p] σύ[rpd-s] δίδωμι[vnaa] ὅμοιος[ananpn] αὐτός[rpdnp] οὐ[b] γάρ[cc] εἰμί[vipa3s] μετά[pg] ἐγώ[rpg-p] ἐκ[pg] ὁ[dgns] γένος[ngnsc] σύ[rpg-s]. **v.4** καί[cc] λέγω[viaa3s] Ἰουδίθ[nnfsp] πρός[pa] αὐτός[rpams] ζάω[vipa3s] ὁ[dnfs] ψυχή[nnfsc] σύ[rpg-s] κύριος[nvmsc] ἐγώ[rpg-s] ὅτι[cs] οὐ[b] δαπανάω[vifa3s] ὁ[dnfs] δούλη[nnfsc] σύ[rpg-s] ὁ[danp] εἰμί[vppaanp] μετά[pg] ἐγώ[rpg-s] ἕως[cs] ἄν[x] ποιέω[vsaa3s] κύριος[nnmsc] ἐν[pd] χείρ[ndfsc] ἐγώ[rpg-s] ὅς[rranp] βουλεύω[viam3s]. **v.5** καί[cc] ἄγω[viaa3p] αὐτός[rpafs] ὁ[dnmp] θεράπων[nnmpc] Ολοφέρνης[ngmsp] εἰς[pa] ὁ[dafs] σκηνή[nafsc] καί[cc] ὑπνόω[viaa3s] μέχρι[pg] μεσόω[vppagfs] ὁ[dgfs] νύξ[ngfsc] καί[cc] ἀνίστημι[viaa3s] πρός[pa] ὁ[dafs] ἑωθινός[anafsn] φυλακή[nafsc]. **v.6** καί[cc] ἀποστέλλω[viaa3s] πρός[pa] Ολοφέρνης[namsp] λέγω[vppanfs] ἐπιτάσσω[vdaa3s] δή[x] ὁ[dnms] κύριος[nnmsc] ἐγώ[rpg-s] ἐάω[vnaa] ὁ[dafs] δούλη[nafsc] σύ[rpg-s] ἐπί[pa] προσευχή[nafsc] ἐξέρχομαι[vnaa]. **v.7** καί[cc] προστάσσω[viaa3s] Ολοφέρνης[nnmsp] ὁ[ddmp] σωματοφύλαξ[ndmpc] μή[x] διακωλύω[vnpa] αὐτός[rpafs] καί[cc] παραμένω[viaa3s] ἐν[pd] ὁ[ddfs] παρεμβολή[ndfsc] ἡμέρα[nafpc] τρεῖς[acafpn] καί[cc] ἐκπορεύομαι[viim3s] κατά[pa] νύξ[nafsc] εἰς[pa] ὁ[dafs] φάραγξ[nafsc] Βαιτυλουα[ngfsp] καί[cc] βαπτίζω[viim3s] ἐν[pd] ὁ[ddfs] παρεμβολή[ndfsc] ἐπί[pg] ὁ[dgfs] πηγή[ngfsc] ὁ[dgns] ὕδωρ[ngnsc]. **v.8** καί[cc] ὡς[cs] ἀναβαίνω[viaa3s] δέομαι[viim3s] ὁ[dgms] κύριος[ngmsc] θεός[ngmsc] Ἰσραήλ[ngmsp] κατευθύνω[vnaa] ὁ[dafs] ὁδός[nafsc] αὐτός[rpgfs] εἰς[pa] ἀνάστημα[nansc] ὁ[dgmp] υἱός[ngmpc] ὁ[dgms] λαός[ngmsc] αὐτός[rpgms]. **v.9** καί[cc] εἰσπορεύομαι[vppmnfs] καθαρός[annfsn] παραμένω[viia3s] ἐν[pd] ὁ[ddfs] σκηνή[ndfsc] μέχρι[pg] ὅς[rrgns] προσφέρω[viam3s] ὁ[dafs] τροφή[nafsc] αὐτός[rpgfs] πρός[pa] ἑσπέρα[nafsc].

11 εἰς τὴν κλῆσιν οὐδένα τῶν πρὸς ταῖς χρείαις. καὶ εἶπεν Βαγῴᾳ
τῷ εὐνούχῳ ὃς ἦν ἐφεστηκὼς ἐπὶ πάντων τῶν αὐτοῦ πεῖσον δὴ
πορευθεὶς τὴν γυναῖκα τὴν Εβραίαν ἥ ἐστιν παρὰ σοί τοῦ ἐλθεῖν
12 πρὸς ἡμᾶς καὶ φαγεῖν καὶ πιεῖν μεθ᾽ ἡμῶν. ἰδοὺ γὰρ αἰσχρὸν τῷ
προσώπῳ ἡμῶν εἰ γυναῖκα τοιαύτην παρήσομεν οὐχ ὁμιλήσαντες
13 αὐτῇ ὅτι ἐὰν ταύτην μὴ ἐπισπασώμεθα καταγελάσεται ἡμῶν. καὶ
ἐξῆλθεν Βαγώας ἀπὸ προσώπου Ολοφέρνου καὶ εἰσῆλθεν πρὸς
αὐτὴν καὶ εἶπεν μὴ ὀκνησάτω δὴ ἡ παιδίσκη ἡ καλὴ αὕτη ἐλ-
θοῦσα πρὸς τὸν κύριόν μου δοξασθῆναι κατὰ πρόσωπον αὐτοῦ
καὶ πίεσαι μεθ᾽ ἡμῶν εἰς εὐφροσύνην οἶνον καὶ γενηθῆναι ἐν τῇ ἡ-
μέρᾳ ταύτῃ ὡς θυγάτηρ μία τῶν υἱῶν Ασσουρ αἳ παρεστήκασιν ἐν
14 οἴκῳ Ναβουχοδονοσορ. καὶ εἶπεν πρὸς αὐτὸν Ιουδιθ καὶ τίς εἰμι
ἐγὼ ἀντεροῦσα τῷ κυρίῳ μου ὅτι πᾶν ὃ ἔσται ἐν τοῖς ὀφθαλμοῖς
αὐτοῦ ἀρεστόν σπεύσασα ποιήσω καὶ ἔσται τοῦτό μοι ἀγαλλίαμα
15 ἕως ἡμέρας θανάτου μου. καὶ διαναστᾶσα ἐκοσμήθη τῷ ἱματι-
σμῷ καὶ παντὶ τῷ κόσμῳ τῷ γυναικείῳ καὶ προσῆλθεν ἡ δούλη
αὐτῆς καὶ ἔστρωσεν αὐτῇ κατέναντι Ολοφέρνου χαμαὶ τὰ κώδια
ἃ ἔλαβεν παρὰ Βαγώου εἰς τὴν καθημερινὴν δίαιταν αὐτῆς εἰς
16 τὸ ἐσθίειν κατακλινομένην ἐπ᾽ αὐτῶν. καὶ εἰσελθοῦσα ἀνέπεσεν
Ιουδιθ καὶ ἐξέστη ἡ καρδία Ολοφέρνου ἐπ᾽ αὐτήν καὶ ἐσαλεύθη
ἡ ψυχὴ αὐτοῦ καὶ ἦν κατεπίθυμος σφόδρα τοῦ συγγενέσθαι μετ᾽

---

**v.10** καί[cc] γίνομαι[viam3s] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] τέταρτος[aodfsn] ποιέω[viaa3s] Ολοφέρνης[nnmsp] πότος[namsc] ὁ[ddmp] δοῦλος[ndmpc] αὐτός[rpgms] μόνος[andmpn] καί[cc] οὐ[b] καλέω[viaa3s] εἰς[pa] ὁ[dafs] κλῆσις[nafsc] οὐδείς[riams] ὁ[dgmp] πρός[pd] ὁ[ddfp] χρεία[ndfpc]. **v.11** καί[cc] λέγω[viaa3s] Βαγώας[ndmsp] ὁ[ddms] εὐνοῦχος[ndmsc] ὅς[rrnms] εἰμί[viia3s] ἐφίστημι[vpxanms] ἐπί[pg] πᾶς[aignpn] ὁ[dgnp] αὐτός[rpgms] πείθω[vdaa2s] δή[x] πορεύομαι[vpapnms] ὁ[dafs] γυνή[nafsc] ὁ[dafs] Ἐβραῖος[anafsn] ὅς[rrnfs] εἰμί[vipa3s] παρά[pd] σύ[rpd-s] ὁ[dgns] ἔρχομαι[vnaa] πρός[pa] ἐγώ[rpa-p] καί[cc] ἐσθίω[vnaa] καί[cc] πίνω[vnaa] μετά[pg] ἐγώ[rpg-p]. **v.12** ἰδού[i] γάρ[cc] αἰσχρός[annnsn] ὁ[ddns] πρόσωπον[ndnsc] ἐγώ[rpg-p] εἰ[cs] γυνή[nafsc] τοιοῦτος[adafsn] παρίημι[vifa1p] οὐ[b] ὁμιλέω[vpaanmp] αὐτός[rpdfs] ὅτι[cs] ἐάν[cs] οὗτος[rdafs] μή[x] ἐπισπάομαι[vsam1p] καταγελάω[vifm3s] ἐγώ[rpg-p]. **v.13** καί[cc] ἐξέρχομαι[viaa3s] Βαγώας[nnmsp] ἀπό[pg] πρόσωπον[ngnsc] Ολοφέρνης[ngmsp] καί[cc] εἰσέρχομαι[viaa3s] πρός[pa] αὐτός[rpafs] καί[cc] λέγω[viaa3s] μή[x] ὀκνέω[vdaa3s] δή[x] ὁ[dnfs] παιδίσκη[nnfsc] ὁ[dnfs] καλός[annfsn] οὗτος[rdnfs] ἔρχομαι[vpaanfs] πρός[pa] ὁ[dams] κύριος[namsc] ἐγώ[rpg-s] δοξάζω[vnap] κατά[pa] πρόσωπον[nansc] αὐτός[rpgms] καί[cc] πίνω[vifm2s] μετά[pg] ἐγώ[rpg-p] εἰς[pa] εὐφροσύνη[nafsc] οἶνος[namsc] καί[cc] γίνομαι[vnap] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] οὗτος[rddfs] ὡς[cs] θυγάτηρ[nnfsc] εἷς[acnfsn] ὁ[dgmp] υἱός[ngmpc] Ασσουρ[ngmsp] ὅς[rrnfp] παρίστημι[vixa3p] ἐν[pd] οἶκος[ndmsc] Ναβουχοδονοσορ[ngmsp]. **v.14** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] Ἰουδίθ[nnfsp] καί[cc] τίς[rqnfs] εἰμί[vipa1s] ἐγώ[rpn-s] ἀντιλέγω[vpfanfs] ὁ[ddms] κύριος[ndmsc] ἐγώ[rpg-s] ὅτι[cs] πᾶς[aiansn] ὅς[rrnns] εἰμί[vifm3s] ἐν[pd] ὁ[ddmp] ὀφθαλμός[ndmpc] αὐτός[rpgms] ἀρεστός[annnsn] σπεύδω[vpaanfs] ποιέω[vifa1s] καί[cc] εἰμί[vifm3s] οὗτος[rdnns] ἐγώ[rpd-s] ἀγαλλίαμα[nnnsc] ἕως[pg] ἡμέρα[ngfsc] θάνατος[ngmsc] ἐγώ[rpg-s]. **v.15** καί[cc] διανίστημι[vpaanfs] κοσμέω[viap3s] ὁ[ddms] ἱματισμός[ndmsc] καί[cc] πᾶς[aidmsn] ὁ[ddms] κόσμος[ndmsc] ὁ[ddms] γυναικεῖος[andmsn] καί[cc] προσέρχομαι[viaa3s] ὁ[dnfs] δούλη[nnfsc] αὐτός[rpgfs] καί[cc] στρωννύω[viaa3s] αὐτός[rpdfs] κατέναντι[pg] Ολοφέρνης[ngmsp] χαμαί[b] ὁ[danp] κώδιον[nanpc] ὅς[rranp] λαμβάνω[viaa3s] παρά[pg] Βαγώας[ngmsp] εἰς[pa] ὁ[dafs] καθημερινός[anafsn] δίαιτα[nafsc] αὐτός[rpgfs] εἰς[pa] ὁ[dans] ἐσθίω[vnpa] κατακλίνω[vpppafs] ἐπί[pg] αὐτός[rpgnp].

αὐτῆς καὶ ἐτήρει καιρὸν τοῦ ἀπατῆσαι αὐτὴν ἀφ᾽ ἧς ἡμέρας εἶδεν
αὐτήν. καὶ εἶπεν πρὸς αὐτὴν Ολοφέρνης πίε δὴ καὶ γενήθητι 17
μεθ᾽ ἡμῶν εἰς εὐφροσύνην. καὶ εἶπεν Ιουδιθ πίομαι δή κύριε ὅτι 18
ἐμεγαλύνθη τὸ ζῆν μου ἐν ἐμοὶ σήμερον παρὰ πάσας τὰς ἡμέρας
τῆς γενέσεώς μου. καὶ λαβοῦσα ἔφαγεν καὶ ἔπιεν κατέναντι αὐ- 19
τοῦ ἃ ἡτοίμασεν ἡ δούλη αὐτῆς. καὶ ηὐφράνθη Ολοφέρνης ἀπ᾽ 20
αὐτῆς καὶ ἔπιεν οἶνον πολὺν σφόδρα ὅσον οὐκ ἔπιεν πώποτε ἐν
ἡμέρᾳ μιᾷ ἀφ᾽ οὗ ἐγεννήθη.

ὡς δὲ ὀψία ἐγένετο ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύειν καὶ **13**
Βαγώας συνέκλεισεν τὴν σκηνὴν ἔξωθεν καὶ ἀπέκλεισεν τοὺς πα-
ρεστῶτας ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ καὶ ἀπῴχοντο εἰς τὰς
κοίτας αὐτῶν ἦσαν γὰρ πάντες κεκοπωμένοι διὰ τὸ ἐπὶ πλεῖον
γεγονέναι τὸν πότον. ὑπελείφθη δὲ Ιουδιθ μόνη ἐν τῇ σκηνῇ καὶ 2
Ολοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλίνην αὐτοῦ ἦν γὰρ περικεχυ-
μένος αὐτῷ ὁ οἶνος. καὶ εἶπεν Ιουδιθ τῇ δούλῃ αὐτῆς στῆναι ἔξω 3
τοῦ κοιτῶνος αὐτῆς καὶ ἐπιτηρεῖν τὴν ἔξοδον αὐτῆς καθάπερ καθ᾽
ἡμέραν ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν αὐτῆς καὶ τῷ
Βαγώᾳ ἐλάλησεν κατὰ τὰ ῥήματα ταῦτα. καὶ ἀπήλθοσαν πάντες 4
ἐκ προσώπου καὶ οὐδεὶς κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ
ἕως μεγάλου καὶ στᾶσα Ιουδιθ παρὰ τὴν κλίνην αὐτοῦ εἶπεν ἐν
τῇ καρδίᾳ αὐτῆς κύριε ὁ θεὸς πάσης δυνάμεως ἐπίβλεψον ἐν τῇ

---

**v.16** καί[cc] εἰσέρχομαι[vpaanfs] ἀναπίπτω[viaa3s] Ἰουδίθ[nnfsp] καί[cc] ἐξίστημι[viaa3s] ὁ[dnfs] καρδία[nnfsc] Ολοφέρνης[ngmsp] ἐπί[pa] αὐτός[rpafs] καί[cc] σαλεύω[viap3s] ὁ[dnfs] ψυχή[nnfsc] αὐτός[rpgms] καί[cc] εἰμί[viia3s] κατεπίθυμος[annmsn] σφόδρα[b] ὁ[dgns] συγγίνομαι[vnam] μετά[pg] αὐτός[rpgfs] καί[cc] τηρέω[viia3s] καιρός[namsc] ὁ[dgns] ἀπατάω[vnaa] αὐτός[rpafs] ἀπό[pg] ὅς[rrgfs] ἡμέρα[ngfsc] ὁράω[viaa3s] αὐτός[rpafs]. **v.17** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpafs] Ολοφέρνης[nnmsp] πίνω[vdaa2s] δή[x] καί[cc] γίνομαι[vdap2s] μετά[pg] ἐγώ[rpg-p] εἰς[pa] εὐφροσύνη[nafsc]. **v.18** καί[cc] λέγω[viaa3s] Ἰουδίθ[nnfsp] πίνω[vifm1s] δή[x] κύριος[nvmsc] ὅτι[cs] μεγαλύνω[viap3s] ὁ[dnns] ζάω[vnpa] ἐγώ[rpg-s] ἐν[pd] ἐγώ[rpd-s] σήμερον[b] παρά[pa] πᾶς[aiafpn] ὁ[dafp] ἡμέρα[nafpc] ὁ[dgfs] γένεσις[ngfsc] ἐγώ[rpg-s]. **v.19** καί[cc] λαμβάνω[vpaanfs] ἐσθίω[viaa3s] καί[cc] πίνω[viaa3s] κατέναντι[pg] αὐτός[rpgms] ὅς[rranp] ἑτοιμάζω[viaa3s] ὁ[dnfs] δούλη[nnfsc] αὐτός[rpgfs]. **v.20** καί[cc] εὐφραίνω[viap3s] Ολοφέρνης[nnmsp] ἀπό[pg] αὐτός[rpgfs] καί[cc] πίνω[viaa3s] οἶνος[namsc] πολύς[anamsn] σφόδρα[b] ὅσος[rransn] οὐ[b] πίνω[viaa3s] πώποτε[b] ἐν[pd] ἡμέρα[ndfsc] εἷς[acdfsn] ἀπό[pg] ὅς[rrgns] γεννάω[viap3s]. **13.** **v.1** ὡς[cs] δέ[cc] ὀψία[nnfsc] γίνομαι[viam3s] σπουδάζω[viaa3p] ὁ[dnmp] δοῦλος[nnmpc] αὐτός[rpgms] ἀναλύω[vnpa] καί[cc] Βαγώας[nnmsp] συγκλείω[viaa3s] ὁ[dafs] σκηνή[nafsc] ἔξωθεν[b] καί[cc] ἀποκλείω[viaa3s] ὁ[damp] παρίστημι[vpxaamp] ἐκ[pg] πρόσωπον[ngnsc] ὁ[dgms] κύριος[ngmsc] αὐτός[rpgms] καί[cc] ἀποίχομαι[viim3p] εἰς[pa] ὁ[dafp] κοίτη[nafpc] αὐτός[rpgmp] εἰμί[viia3p] γάρ[cc] πᾶς[ainmpn] κοπόω[vpxpnmp] διά[pa] ὁ[dans] ἐπί[pa] πολύς[anansc] γίνομαι[vnxa] ὁ[dams] πότος[namsc]. **v.2** ὑπολείπω[viap3s] δέ[cc] Ἰουδίθ[nnfsp] μόνος[annfsn] ἐν[pd] ὁ[ddfs] σκηνή[ndfsc] καί[cc] Ολοφέρνης[nnmsp] προπίπτω[vpxanms] ἐπί[pa] ὁ[dafs] κλίνη[nafsc] αὐτός[rpgms] εἰμί[viia3s] γάρ[cc] περιχέω[vpxpnms] αὐτός[rpdms] ὁ[dnms] οἶνος[nnmsc]. **v.3** καί[cc] λέγω[viaa3s] Ἰουδίθ[nnfsp] ὁ[ddfs] δούλη[ndfsc] αὐτός[rpgfs] ἵστημι[vnaa] ἔξω[pg] ὁ[dgms] κοιτών[ngmsc] αὐτός[rpgfs] καί[cc] ἐπιτηρέω[vnpa] ὁ[dafs] ἔξοδος[nafsc] αὐτός[rpgfs] καθάπερ[cs] κατά[pa] ἡμέρα[nafsc] ἐξέρχομαι[vnfm] γάρ[cc] φημί[viaa3'sviia3s] ἐπί[pa] ὁ[dafs] προσευχή[nafsc] αὐτός[rpgfs] καί[cc] ὁ[ddms] Βαγώας[ndmsp] λαλέω[viaa3s] κατά[pa] ὁ[danp] ῥῆμα[nanpc] οὗτος[rdanp].

ὥρᾳ ταύτῃ ἐπὶ τὰ ἔργα τῶν χειρῶν μου εἰς ὕψωμα Ιερουσαλημ.
5 ὅτι νῦν καιρὸς ἀντιλαβέσθαι τῆς κληρονομίας σου καὶ ποιῆσαι τὸ
6 ἐπιτήδευμά μου εἰς θραῦσμα ἐχθρῶν οἳ ἐπανέστησαν ἡμῖν. καὶ
προσελθοῦσα τῷ κανόνι τῆς κλίνης ὃς ἦν πρὸς κεφαλῆς Ολοφέρ-
7 νου καθεῖλεν τὸν ἀκινάκην αὐτοῦ ἀπ᾽ αὐτοῦ. καὶ ἐγγίσασα τῆς
κλίνης ἐδράξατο τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ καὶ εἶπεν κραταί-
8 ωσόν με κύριε ὁ θεὸς Ισραηλ ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἐπάταξεν
εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν τῇ ἰσχύι αὐτῆς καὶ ἀφεῖλεν τὴν κε-
9 φαλὴν αὐτοῦ ἀπ᾽ αὐτοῦ. καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς
στρωμνῆς καὶ ἀφεῖλε τὸ κωνώπιον ἀπὸ τῶν στύλων καὶ μετ᾽ ὀλίγον
ἐξῆλθεν καὶ παρέδωκεν τῇ ἅβρᾳ αὐτῆς τὴν κεφαλὴν Ολοφέρνου.
10 καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν πήραν τῶν βρωμάτων αὐτῆς καὶ ἐξῆλ-
θον αἱ δύο ἅμα κατὰ τὸν ἐθισμὸν αὐτῶν ἐπὶ τὴν προσευχήν καὶ
διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλωσαν τὴν φάραγγα ἐκείνην καὶ
προσανέβησαν τὸ ὄρος Βαιτυλουα καὶ ἦλθοσαν πρὸς τὰς πύλας
11 αὐτῆς. καὶ εἶπεν Ιουδιθ μακρόθεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυ-
λῶν ἀνοίξατε ἀνοίξατε δὴ τὴν πύλην μεθ᾽ ἡμῶν ὁ θεὸς ὁ θεὸς ἡμῶν
ποιῆσαι ἔτι ἰσχὺν ἐν Ισραηλ καὶ κράτος κατὰ τῶν ἐχθρῶν καθὰ
12 καὶ σήμερον ἐποίησεν. καὶ ἐγένετο ὡς ἤκουσαν οἱ ἄνδρες τῆς
πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς ἐσπούδασαν τοῦ καταβῆναι ἐπὶ

---

**v.4** καί[cc] ἀπέρχομαι[viaa3p] πᾶς[ainmpn] ἐκ[pg] πρόσωπον[ngnsc] καί[cc] οὐδείς[rinms] καταλείπω[viap3s] ἐν[pd] ὁ[ddms] κοιτών[ndmsc] ἀπό[pg] μικρός[angmsn] ἕως[pg] μέγας[angmsn] καί[cc] ἵστημι[vpaanfs] Ἰουδίθ[nnfsp] παρά[pa] ὁ[dafs] κλίνη[nafsc] αὐτός[rpgms] λέγω[viaa3s] ἐν[pd] ὁ[ddfs] καρδία[ndfsc] αὐτός[rpgfs] κύριος[nvmsc] ὁ[dnms] θεός[nnmsc] πᾶς[aigfsn] δύναμις[ngfsc] ἐπιβλέπω[vdaa2s] ἐν[pd] ὁ[ddfs] ὥρα[ndfsc] οὗτος[rddfs] ἐπί[pa] ὁ[danp] ἔργον[nanpc] ὁ[dgfp] χείρ[ngfpc] ἐγώ[rpg-s] εἰς[pa] ὕψωμα[nansc] Ἰερουσαλήμ[ngfsp]. **v.5** ὅτι[cs] νῦν[b] καιρός[nnmsc] ἀντιλαμβάνομαι[vnam] ὁ[dgfs] κληρονομία[ngfsc] σύ[rpg-s] καί[cc] ποιέω[vnaa] ὁ[dans] ἐπιτήδευμα[nansc] ἐγώ[rpg-s] εἰς[pa] θραῦσμα[nansc] ἐχθρός[angmpn] ὅς[rrnmp] ἐπανίστημι[viaa3p] ἐγώ[rpd-p]. **v.6** καί[cc] προσέρχομαι[vpaanfs] ὁ[ddms] κανών[ndmsc] ὁ[dgfs] κλίνη[ngfsc] ὅς[rrnms] εἰμί[viia3s] πρός[pg] κεφαλή[ngfsc] Ολοφέρνης[ngmsp] καθαιρέω[viaa3s] ὁ[dams] ἀκινάκης[namsc] αὐτός[rpgms] ἀπό[pg] αὐτός[rpgms]. **v.7** καί[cc] ἐγγίζω[vpaanfs] ὁ[dgfs] κλίνη[ngfsc] δράσσομαι[viam3s] ὁ[dgfs] κόμη[ngfsc] ὁ[dgfs] κεφαλή[ngfsc] αὐτός[rpgms] καί[cc] λέγω[viaa3s] κραταιόω[vdaa2s] ἐγώ[rpa-s] κύριος[nvmsc] ὁ[dnms] θεός[nnmsc] Ἰσραήλ[ngmsp] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] οὗτος[rddfs]. **v.8** καί[cc] πατάσσω[viaa3s] εἰς[pa] ὁ[dams] τράχηλος[namsc] αὐτός[rpgms] δίς[b] ἐν[pd] ὁ[ddfs] ἰσχύς[ndfsc] αὐτός[rpgfs] καί[cc] ἀφαιρέω[viaa3s] ὁ[dafs] κεφαλή[nafsc] αὐτός[rpgms] ἀπό[pg] αὐτός[rpgms]. **v.9** καί[cc] ἀποκυλίω[viaa3s] ὁ[dans] σῶμα[nansc] αὐτός[rpgms] ἀπό[pg] ὁ[dgfs] στρωμνή[ngfsc] καί[cc] ἀφαιρέω[viaa3s] ὁ[dans] κωνώπιον[nansc] ἀπό[pg] ὁ[dgmp] στῦλος[ngmpc] καί[cc] μετά[pa] ὀλίγος[anansn] ἐξέρχομαι[viaa3s] καί[cc] παραδίδωμι[viaa3s] ὁ[ddfs] ἅβρα[ndfsc] αὐτός[rpgfs] ὁ[dafs] κεφαλή[nafsc] Ολοφέρνης[ngmsp]. **v.10** καί[cc] ἐμβάλλω[viaa3s] αὐτός[rpafs] εἰς[pa] ὁ[dafs] πήρα[nafsc] ὁ[dgnp] βρῶμα[ngnpc] αὐτός[rpgfs] καί[cc] ἐξέρχομαι[viaa3p] ὁ[dnfp] δύο[ac—n] ἅμα[b] κατά[pa] ὁ[dams] ἐθισμός[namsc] αὐτός[rpgfp] ἐπί[pa] ὁ[dafs] προσευχή[nafsc] καί[cc] διέρχομαι[vpaanfp] ὁ[dafs] παρεμβολή[nafsc] κυκλόω[viaa3p] ὁ[dafs] φάραγξ[nafsc] ἐκεῖνος[rdafs] καί[cc] προσαναβαίνω[viaa3p] ὁ[dans] ὄρος[nansc] Βαιτυλουα[ngfsp] καί[cc] ἔρχομαι[viaa3p] πρός[pa] ὁ[dafp] πύλη[nafpc] αὐτός[rpgfs]. **v.11** καί[cc] λέγω[viaa3s] Ἰουδίθ[nnfsp] μακρόθεν[b] ὁ[ddmp] φυλάσσω[vppadmp] ἐπί[pg] ὁ[dgfp] πύλη[ngfpc] ἀνοίγω[vdaa2p] ἀνοίγω[vdaa2p] δή[x] ὁ[dafs] πύλη[nafsc] μετά[pg] ἐγώ[rpg-p] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] ποιέω[vnaa] ἔτι[b] ἰσχύς[nafsc] ἐν[pd] Ἰσραήλ[ndmsp] καί[cc] κράτος[nansc] κατά[pg] ὁ[dgmp] ἐχθρός[angmpn] καθά[cs] καί[b] σήμερον[b] ποιέω[viaa3s].

τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους
τῆς πόλεως. καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου 13
αὐτῶν ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτήν καὶ ἤνοιξαν τὴν
πύλην καὶ ὑπεδέξαντο αὐτὰς καὶ ἅψαντες πῦρ εἰς φαῦσιν περιε-
κύκλωσαν αὐτάς. ἡ δὲ εἶπεν πρὸς αὐτοὺς φωνῇ μεγάλῃ αἰνεῖτε 14
τὸν θεόν αἰνεῖτε αἰνεῖτε τὸν θεόν ὃς οὐκ ἀπέστησεν τὸ ἔλεος αὐ-
τοῦ ἀπὸ τοῦ οἴκου Ισραηλ ἀλλ᾽ ἔθραυσε τοὺς ἐχθροὺς ἡμῶν διὰ
χειρός μου ἐν τῇ νυκτὶ ταύτῃ. καὶ προελοῦσα τὴν κεφαλὴν ἐκ 15
τῆς πήρας ἔδειξεν καὶ εἶπεν αὐτοῖς ἰδοὺ ἡ κεφαλὴ Ολοφέρνου
ἀρχιστρατήγου δυνάμεως Ασσουρ καὶ ἰδοὺ τὸ κωνώπιον ἐν ᾧ κα-
τέκειτο ἐν ταῖς μέθαις αὐτοῦ καὶ ἐπάταξεν αὐτὸν ὁ κύριος ἐν χειρὶ
θηλείας. καὶ ζῇ κύριος ὃς διεφύλαξέν με ἐν τῇ ὁδῷ μου ᾗ ἐπο- 16
ρεύθην ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώλειαν αὐτοῦ
καὶ οὐκ ἐποίησεν ἁμάρτημα μετ᾽ ἐμοῦ εἰς μίασμα καὶ αἰσχύνην.
καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα καὶ κύψαντες προσεκύνησαν τῷ 17
θεῷ καὶ εἶπαν ὁμοθυμαδόν εὐλογητὸς εἶ ὁ θεὸς ἡμῶν ὁ ἐξουδε-
νώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμερον τοὺς ἐχθροὺς τοῦ λαοῦ σου. καὶ 18
εἶπεν αὐτῇ Οζιας εὐλογητὴ σύ θύγατερ τῷ θεῷ τῷ ὑψίστῳ παρὰ
πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς καὶ εὐλογημένος κύριος ὁ
θεός ὃς ἔκτισεν τοὺς οὐρανοὺς καὶ τὴν γῆν ὃς κατεύθυνέν σε εἰς

---

**v.12** καί[cc] γίνομαι[viam3s] ὡς[cs] ἀκούω[viaa3p] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgfs] πόλις[ngfsc] αὐτός[rpgfs] ὁ[dafs] φωνή[nafsc] αὐτός[rpgfs] σπουδάζω[viaa3p] ὁ[dgns] καταβαίνω[vnaa] ἐπί[pa] ὁ[dafs] πύλη[nafsc] ὁ[dgfs] πόλις[ngfsc] αὐτός[rpgmp] καί[cc] συγκαλέω[viaa3p] ὁ[damp] πρεσβύτερος[anampc] ὁ[dgfs] πόλις[ngfsc]. **v.13** καί[cc] συντρέχω[viaa3p] πᾶς[ainmpn] ἀπό[pg] μικρός[angmsn] ἕως[pg] μέγας[angmsn] αὐτός[rpgmp] ὅτι[cs] παράδοξος[annnsn] εἰμί[viia3s] αὐτός[rpdmp] ὁ[dans] ἔρχομαι[vnaa] αὐτός[rpafs] καί[cc] ἀνοίγω[viaa3p] ὁ[dafs] πύλη[nafsc] καί[cc] ὑποδέχομαι[viam3p] αὐτός[rpafp] καί[cc] ἅπτω[vpaanmp] πῦρ[nansc] εἰς[pa] φαῦσις[nafsc] περικυκλόω[viaa3p] αὐτός[rpafp]. **v.14** ὁ[dnfs] δέ[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpamp] φωνή[ndfsc] μέγας[andfsn] αἰνέω[vdpa2p] ὁ[dams] θεός[namsc] αἰνέω[vdpa2p] αἰνέω[vdpa2p] ὁ[dams] θεός[namsc] ὅς[rrnms] οὐ[b] ἀφίστημι[viaa3s] ὁ[dans] ἔλεος[nansc] αὐτός[rpgms] ἀπό[pg] ὁ[dgms] οἶκος[ngmsc] Ἰσραήλ[ngmsp] ἀλλά[cc] θραύω[viaa3s] ὁ[damp] ἐχθρός[anampn] ἐγώ[rpg-p] διά[pg] χείρ[ngfsc] ἐγώ[rpg-s] ἐν[pd] ὁ[ddfs] νύξ[ndfsc] οὗτος[rddfs]. **v.15** καί[cc] προαιρέω[vpaanfs] ὁ[dafs] κεφαλή[nafsc] ἐκ[pg] ὁ[dgfs] πήρα[ngfsc] δείκνυμι[viaa3s] καί[cc] λέγω[viaa3s] αὐτός[rpdmp] ἰδού[i] ὁ[dnfs] κεφαλή[nnfsc] Ολοφέρνης[ngmsp] ἀρχιστράτηγος[ngmsc] δύναμις[ngfsc] Ασσουρ[ngmsp] καί[cc] ἰδού[i] ὁ[dnns] κωνώπιον[nnnsc] ἐν[pd] ὅς[rrdns] κατάκειμαι[viip3s] ἐν[pd] ὁ[ddfp] μέθη[ndfpc] αὐτός[rpgms] καί[cc] πατάσσω[viaa3s] αὐτός[rpams] ὁ[dnms] κύριος[nnmsc] ἐν[pd] χείρ[ndfsc] θῆλυς[angfsn]. **v.16** καί[cc] ζάω[vipa3s] κύριος[nnmsc] ὅς[rrnms] διαφυλάσσω[viaa3s] ἐγώ[rpa-s] ἐν[pd] ὁ[ddfs] ὁδός[ndfsc] ἐγώ[rpg-s] ὅς[rrdfs] πορεύομαι[viap1s] ὅτι[cs] ἀπατάω[viaa3s] αὐτός[rpams] ὁ[dnns] πρόσωπον[nnnsc] ἐγώ[rpg-s] εἰς[pa] ἀπώλεια[nafsc] αὐτός[rpgms] καί[cc] οὐ[b] ποιέω[viaa3s] ἁμάρτημα[nansc] μετά[pg] ἐγώ[rpg-s] εἰς[pa] μίασμα[nansc] καί[cc] αἰσχύνη[nafsc]. **v.17** καί[cc] ἐξίστημι[viaa3s] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] σφόδρα[b] καί[cc] κύπτω[vpaanmp] προσκυνέω[viaa3p] ὁ[ddms] θεός[ndmsc] καί[cc] λέγω[viaa3p] ὁμοθυμαδόν[b] εὐλογητός[annmsn] εἰμί[vipa2s] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] ὁ[dnms] ἐξουδενόω[vpaanms] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] σήμερον[b] ὁ[damp] ἐχθρός[anampn] ὁ[dgms] λαός[ngmsc] σύ[rpg-s].

19 τραῦμα κεφαλῆς ἄρχοντος ἐχθρῶν ἡμῶν. ὅτι οὐκ ἀποστήσεται
ἡ ἐλπίς σου ἀπὸ καρδίας ἀνθρώπων μνημονευόντων ἰσχὺν θεοῦ
20 ἕως αἰῶνος. καὶ ποιῆσαι σοι αὐτὰ ὁ θεὸς εἰς ὕψος αἰώνιον τοῦ
ἐπισκέψασθαί σε ἐν ἀγαθοῖς ἀνθ᾽ ὧν οὐκ ἐφείσω τῆς ψυχῆς σου
διὰ τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν ἀλλ᾽ ἐπεξῆλθες τῷ πτώματι
ἡμῶν ἐπ᾽ εὐθεῖαν πορευθεῖσα ἐνώπιον τοῦ θεοῦ ἡμῶν καὶ εἶπαν
πᾶς ὁ λαός γένοιτο γένοιτο.

**14** καὶ εἶπεν πρὸς αὐτοὺς Ιουδιθ ἀκούσατε δή μου ἀδελφοί καὶ
λαβόντες τὴν κεφαλὴν ταύτην κρεμάσατε αὐτὴν ἐπὶ τῆς ἐπάλξεως
2 τοῦ τείχους ὑμῶν. καὶ ἔσται ἡνίκα ἐὰν διαφαύσῃ ὁ ὄρθρος καὶ
ἐξέλθῃ ὁ ἥλιος ἐπὶ τὴν γῆν ἀναλήμψεσθε ἕκαστος τὰ σκεύη τὰ
πολεμικὰ ὑμῶν καὶ ἐξελεύσεσθε πᾶς ἀνὴρ ἰσχύων ἔξω τῆς πό-
λεως καὶ δώσετε ἀρχηγὸν εἰς αὐτοὺς ὡς καταβαίνοντες ἐπὶ τὸ
πεδίον εἰς τὴν προφυλακὴν υἱῶν Ασσουρ καὶ οὐ καταβήσεσθε.
3 καὶ ἀναλαβόντες οὗτοι τὰς πανοπλίας αὐτῶν πορεύσονται εἰς τὴν
παρεμβολὴν αὐτῶν καὶ ἐγεροῦσι τοὺς στρατηγοὺς τῆς δυνάμεως
Ασσουρ καὶ συνδραμοῦνται ἐπὶ τὴν σκηνὴν Ολοφέρνου καὶ οὐχ
εὑρήσουσιν αὐτόν καὶ ἐπιπεσεῖται ἐπ᾽ αὐτοὺς φόβος καὶ φεύξονται
4 ἀπὸ προσώπου ὑμῶν. καὶ ἐπακολουθήσαντες ὑμεῖς καὶ πάντες
οἱ κατοικοῦντες πᾶν ὅριον Ισραηλ καταστρώσατε αὐτοὺς ἐν ταῖς

---

**v.18** καί[cc] λέγω[viaa3s] αὐτός[rpdfs] Ὀζίας[nnmsp] εὐλογητός[annfsn] σύ[rpn-s] θυγάτηρ[nvfsc] ὁ[ddms] θεός[ndmsc] ὁ[ddms] ὕψιστος[andmsn] παρά[pa] πᾶς[aiafpn] ὁ[dafp] γυνή[nafpc] ὁ[dafp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] εὐλογέω[vpxpnms] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὅς[rrnms] κτίζω[viaa3s] ὁ[damp] οὐρανός[nampc] καί[cc] ὁ[dafs] γῆ[nafsc] ὅς[rrnms] κατευθύνω[viaa3s] σύ[rpa-s] εἰς[pa] τραῦμα[nansc] κεφαλή[ngfsc] ἄρχων[ngmsc] ἐχθρός[angmpn] ἐγώ[rpg-p]. **v.19** ὅτι[cs] οὐ[b] ἀφίστημι[vifm3s] ὁ[dnfs] ἐλπίς[nnfsc] σύ[rpg-s] ἀπό[pg] καρδία[ngfsc] ἄνθρωπος[ngmpc] μνημονεύω[vppagmp] ἰσχύς[nafsc] θεός[ngmsc] ἕως[pg] αἰών[ngmsc]. **v.20** καί[cc] ποιέω[voaa3s] σύ[rpd-s] αὐτός[rpanp] ὁ[dnms] θεός[nnmsc] εἰς[pa] ὕψος[nansc] αἰώνιος[anansn] ὁ[dgns] ἐπισκέπτομαι[vnam] σύ[rpa-s] ἐν[pd] ἀγαθός[andnpn] ἀντί[pg] ὅς[rrgnp] οὐ[b] φείδομαι[viam2s] ὁ[dgfs] ψυχή[ngfsc] σύ[rpg-s] διά[pa] ὁ[dafs] ταπείνωσις[nafsc] ὁ[dgns] γένος[ngnsc] ἐγώ[rpg-p] ἀλλά[cc] ἐπεξέρχομαι[viaa2s] ὁ[ddns] πτῶμα[ndnsc] ἐγώ[rpg-p] ἐπί[pa] εὐθύς[anafsn] πορεύομαι[vpapnfs] ἐνώπιον[pg] ὁ[dgms] θεός[ngmsc] ἐγώ[rpg-p] καί[cc] λέγω[viaa3p] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] γίνομαι[voam3s] γίνομαι[voam3s]. **14. v.1** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpamp] Ἰουδίθ[nnfsp] ἀκούω[vdaa2p] δή[x] ἐγώ[rpg-s] ἀδελφός[nvmpc] καί[cc] λαμβάνω[vpaanmp] ὁ[dafs] κεφαλή[nafsc] οὗτος[rdafs] κρεμάννυμι[vdaa2p] αὐτός[rpafs] ἐπί[pg] ὁ[dgfs] ἔπαλξις[ngfsc] ὁ[dgns] τεῖχος[ngnsc] σύ[rpg-p]. **v.2** καί[cc] εἰμί[vifm3s] ἡνίκα[cs] ἐάν[cs] διαφαύσκω[vsaa3s] ὁ[dnms] ὄρθρος[nnmsc] καί[cc] ἐξέρχομαι[vsaa3s] ὁ[dnms] ἥλιος[nnmsc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] ἀναλαμβάνω[vifm2p] ἕκαστος[ainmsn] ὁ[danp] σκεῦος[nanpc] ὁ[danp] πολεμικός[ananpn] σύ[rpg-p] καί[cc] ἐξέρχομαι[vifm2p] πᾶς[ainmsn] ἀνήρ[nnmsc] ἰσχύω[vppanms] ἔξω[pg] ὁ[dgfs] πόλις[ngfsc] καί[cc] δίδωμι[vifa2p] ἀρχηγός[namsc] εἰς[pa] αὐτός[rpamp] ὡς[cs] καταβαίνω[vppanmp] ἐπί[pa] ὁ[dans] πεδίον[nansc] εἰς[pa] ὁ[dafs] προφυλακή[nafsc] υἱός[ngmpc] Ασσουρ[ngmsp] καί[cc] οὐ[b] καταβαίνω[vifm2p]. **v.3** καί[cc] ἀναλαμβάνω[vpaanmp] οὗτος[rdnmp] ὁ[dafp] πανοπλία[nafpc] αὐτός[rpgmp] πορεύομαι[vifm3p] εἰς[pa] ὁ[dafs] παρεμβολή[nafsc] αὐτός[rpgmp] καί[cc] ἐγείρω[vifa3p] ὁ[damp] στρατηγός[nampc] ὁ[dgfs] δύναμις[ngfsc] Ασσουρ[ngmsp] καί[cc] συντρέχω[vifm3p] ἐπί[pa] ὁ[dafs] σκηνή[nafsc] Ολοφέρνης[ngmsp] καί[cc] οὐ[b] εὑρίσκω[vifa3p] αὐτός[rpams] καί[cc] ἐπιπίπτω[vifm3s] ἐπί[pa] αὐτός[rpamp] φόβος[nnmsc] καί[cc] φεύγω[vifm3p] ἀπό[pg] πρόσωπον[ngnsc] σύ[rpg-p].

ὁδοῖς αὐτῶν. πρὸ δὲ τοῦ ποιῆσαι ταῦτα καλέσατέ μοι Αχιωρ 5
τὸν Αμμανίτην ἵνα ἰδὼν ἐπιγνοῖ τὸν ἐκφαυλίσαντα τὸν οἶκον τοῦ
Ισραηλ καὶ αὐτὸν ὡς εἰς θάνατον ἀποστείλαντα εἰς ἡμᾶς. καὶ 6
ἐκάλεσαν τὸν Αχιωρ ἐκ τοῦ οἴκου Οζια ὡς δὲ ἦλθεν καὶ εἶδεν τὴν
κεφαλὴν Ολοφέρνου ἐν χειρὶ ἀνδρὸς ἑνὸς ἐν τῇ ἐκκλησίᾳ τοῦ λα-
οῦ ἔπεσεν ἐπὶ πρόσωπον καὶ ἐξελύθη τὸ πνεῦμα αὐτοῦ. ὡς δὲ 7
ἀνέλαβον αὐτόν προσέπεσεν τοῖς ποσὶν Ιουδιθ καὶ προσεκύνησεν
τῷ προσώπῳ αὐτῆς καὶ εἶπεν εὐλογημένη σὺ ἐν παντὶ σκηνώ-
ματι Ιουδα καὶ ἐν παντὶ ἔθνει οἵτινες ἀκούσαντες τὸ ὄνομά σου
ταραχθήσονται. καὶ νῦν ἀνάγγειλόν μοι ὅσα ἐποίησας ἐν ταῖς 8
ἡμέραις ταύταις καὶ ἀπήγγειλεν αὐτῷ Ιουδιθ ἐν μέσῳ τοῦ λαοῦ
πάντα ὅσα ἦν πεποιηκυῖα ἀφ᾽ ἧς ἡμέρας ἐξῆλθεν ἕως οὗ ἐλάλει
αὐτοῖς. ὡς δὲ ἐπαύσατο λαλοῦσα ἠλάλαξεν ὁ λαὸς φωνῇ μεγάλῃ 9
καὶ ἔδωκεν φωνὴν εὐφρόσυνον ἐν τῇ πόλει αὐτῶν. ἰδὼν δὲ Αχιωρ 10
πάντα ὅσα ἐποίησεν ὁ θεὸς τοῦ Ισραηλ ἐπίστευσεν τῷ θεῷ σφόδρα
καὶ περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ καὶ προσετέθη
εἰς τὸν οἶκον Ισραηλ ἕως τῆς ἡμέρας ταύτης. ἡνίκα δὲ ὁ ὄρθρος 11
ἀνέβη καὶ ἐκρέμασαν τὴν κεφαλὴν Ολοφέρνου ἐκ τοῦ τείχους
καὶ ἀνέλαβεν πᾶς ἀνὴρ τὰ ὅπλα αὐτοῦ καὶ ἐξήλθοσαν κατὰ σπεί-
ρας ἐπὶ τὰς ἀναβάσεις τοῦ ὄρους. οἱ δὲ υἱοὶ Ασσουρ ὡς εἶδον 12

---

**v.4** καί[cc] ἐπακολουθέω[vpaanmp] σύ[rpn-p] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] κατοικέω[vppanmp] πᾶς[aiansn] ὅριον[nansc] Ἰσραήλ[ngmsp] καταστρώννυμι[vdaa2p] αὐτός[rpamp] ἐν[pd] ὁ[ddfp] ὁδός[ndfpc] αὐτός[rpgmp]. **v.5** πρό[pg] δέ[cc] ὁ[dgns] ποιέω[vnaa] οὗτος[rdanp] καλέω[vdaa2p] ἐγώ[rpd-s] Αχιωρ[namsp] ὁ[dams] Αμμανίτης[namsp] ἵνα[cs] ὁράω[vpaanms] ἐπιγινώσκω[vsaa3s] ὁ[dams] ἐκφαυλίζω[vpaaams] ὁ[dams] οἶκος[namsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] καί[cc] αὐτός[rpams] ὡς[cs] εἰς[pa] θάνατος[namsc] ἀποστέλλω[vpaaams] εἰς[pa] ἐγώ[rpa-p]. **v.6** καί[cc] καλέω[viaa3p] ὁ[dams] Αχιωρ[namsp] ἐκ[pg] ὁ[dgms] οἶκος[ngmsc] Οζιας[ngmsp] ὡς[cs] δέ[cc] ἔρχομαι[viaa3s] καί[cc] ὁράω[viaa3s] ὁ[dafs] κεφαλή[nafsc] Ολοφέρνης[ngmsp] ἐν[pd] χείρ[ndfsc] ἀνήρ[ngmsc] εἷς[acgmsn] ἐν[pd] ὁ[ddfs] ἐκκλησία[ndfsc] ὁ[dgms] λαός[ngmsc] πίπτω[viaa3s] ἐπί[pa] πρόσωπον[nansc] καί[cc] ἐκλύω[viap3s] ὁ[dnns] πνεῦμα[nnnsc] αὐτός[rpgms]. **v.7** ὡς[cs] δέ[cc] ἀναλαμβάνω[viaa3p] αὐτός[rpams] προσπίπτω[viaa3s] ὁ[ddmp] πούς[ndmpc] Ἰουδίθ[ngfsp] καί[cc] προσκυνέω[viaa3s] ὁ[ddns] πρόσωπον[ndnsc] αὐτός[rpgfs] καί[cc] λέγω[viaa3s] εὐλογέω[vpxpnfs] σύ[rpn-s] ἐν[pd] πᾶς[aidnsn] σκήνωμα[ndnsc] Ἰούδας[ngmsp] καί[cc] ἐν[pd] πᾶς[aidnsn] ἔθνος[ndnsc] ὅστις[rrnmp] ἀκούω[vpaanmp] ὁ[dans] ὄνομα[nansc] σύ[rpg-s] ταράσσω[vifp3p]. **v.8** καί[cc] νῦν[b] ἀναγγέλλω[vdaa2s] ἐγώ[rpd-s] ὅσος[aranpn] ποιέω[viaa2s] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] οὗτος[rddfp] καί[cc] ἀπαγγέλλω[viaa3s] αὐτός[rpdms] Ἰουδίθ[nnfsp] ἐν[pd] μέσος[andnsn] ὁ[dgms] λαός[ngmsc] πᾶς[aianpn] ὅσος[rranp] εἰμί[viia3s] ποιέω[vpxannp] ἀπό[pg] ὅς[rrgfs] ἡμέρα[ngfsc] ἐξέρχομαι[viaa3s] ἕως[pg] ὅς[rrgns] λαλέω[viia3s] αὐτός[rpdmp]. **v.9** ὡς[cs] δέ[cc] παύω[viam3s] λαλέω[vppanfs] ἀλαλάζω[viaa3s] ὁ[dnms] λαός[nnmsc] φωνή[ndfsc] μέγας[andfsn] καί[cc] δίδωμι[viaa3s] φωνή[nafsc] εὐφρόσυνος[anafsn] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc] αὐτός[rpgmp]. **v.10** ὁράω[vpaanms] δέ[cc] Αχιωρ[nnmsp] πᾶς[aianpn] ὅσος[aranpn] ποιέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] πιστεύω[viaa3s] ὁ[ddms] θεός[ndmsc] σφόδρα[b] καί[cc] περιτέμνω[viam3s] ὁ[dafs] σάρξ[nafsc] ὁ[dgfs] ἀκροβυστία[ngfsc] αὐτός[rpgms] καί[cc] προστίθημι[viap3s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] Ἰσραήλ[ngmsp] ἕως[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdgfs]. **v.11** ἡνίκα[cs] δέ[cc] ὁ[dnms] ὄρθρος[nnmsc] ἀναβαίνω[viaa3s] καί[cc] κρεμάννυμι[viaa3p] ὁ[dafs] κεφαλή[nafsc] Ολοφέρνης[ngmsp] ἐκ[pg] ὁ[dgns] τεῖχος[ngnsc] καί[cc] ἀναλαμβάνω[viaa3s] πᾶς[ainmsn] ἀνήρ[nnmsc] ὁ[danp] ὅπλον[nanpc] αὐτός[rpgms] καί[cc] ἐξέρχομαι[viaa3p] κατά[pa] σπεῖρα[nafpc] ἐπί[pa] ὁ[dafp] ἀνάβασις[nafpc] ὁ[dgns] ὄρος[ngnsc].

αὐτούς διέπεμψαν ἐπὶ τοὺς ἡγουμένους αὐτῶν οἱ δὲ ἦλθον ἐπὶ
τοὺς στρατηγοὺς καὶ χιλιάρχους καὶ ἐπὶ πάντα ἄρχοντα αὐτῶν.
13 καὶ παρεγένοντο ἐπὶ τὴν σκηνὴν Ολοφέρνου καὶ εἶπαν τῷ ὄντι
ἐπὶ πάντων τῶν αὐτοῦ ἔγειρον δὴ τὸν κύριον ἡμῶν ὅτι ἐτόλμησαν
οἱ δοῦλοι καταβαίνειν ἐφ' ἡμᾶς εἰς πόλεμον ἵνα ἐξολεθρευθῶσιν
14 εἰς τέλος. καὶ εἰσῆλθεν Βαγώας καὶ ἔκρουσε τὴν αὐλαίαν τῆς
15 σκηνῆς ὑπενόει γὰρ καθεύδειν αὐτὸν μετὰ Ιουδιθ. ὡς δ' οὐθεὶς
ἐπήκουσεν διαστείλας εἰσῆλθεν εἰς τὸν κοιτῶνα καὶ εὗρεν αὐτὸν
ἐπὶ τῆς χελωνίδος ἐρριμμένον νεκρόν καὶ ἡ κεφαλὴ αὐτοῦ ἀφῄ-
16 ρητο ἀπ' αὐτοῦ. καὶ ἐβόησεν φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ καὶ
17 στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς καὶ διέρρηξεν τὰ ἱμάτια αὐτοῦ. καὶ
εἰσῆλθεν εἰς τὴν σκηνήν οὗ ἦν Ιουδιθ καταλύουσα καὶ οὐχ εὗρεν
18 αὐτήν καὶ ἐξεπήδησεν εἰς τὸν λαὸν καὶ ἐβόησεν. ἠθέτησαν οἱ
δοῦλοι ἐποίησεν αἰσχύνην μία γυνὴ τῶν Εβραίων εἰς τὸν οἶκον
τοῦ βασιλέως Ναβουχοδονοσορ ὅτι ἰδοὺ Ολοφέρνης χαμαί καὶ ἡ
19 κεφαλὴ οὐκ ἔστιν ἐπ' αὐτῷ. ὡς δὲ ἤκουσαν ταῦτα τὰ ῥήματα
οἱ ἄρχοντες τῆς δυνάμεως Ασσουρ τοὺς χιτῶνας αὐτῶν διέρρηξαν
καὶ ἐταράχθη αὐτῶν ἡ ψυχὴ σφόδρα καὶ ἐγένετο αὐτῶν κραυγὴ
καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ τῆς παρεμβολῆς.
**15** καὶ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν ὄντες ἐξέστησαν ἐπὶ τὸ
2 γεγονός. καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τρόμος καὶ φόβος καὶ οὐκ ἦν

---

ἐξ αὐτῶν εὐνοίας πρὸς ἡμᾶς. ἑστάκαμεν αὐτοῖς τά τε ὅρια τῆς 34
Ιουδαίας καὶ τοὺς τρεῖς νομοὺς Αφαιρεμα καὶ Λυδδα καὶ Ραθα-
μιν προσετέθησαν τῇ Ιουδαίᾳ ἀπὸ τῆς Σαμαρίτιδος καὶ πάντα τὰ
συγκυροῦντα αὐτοῖς πᾶσιν τοῖς θυσιάζουσιν εἰς Ιεροσόλυμα ἀντὶ
τῶν βασιλικῶν ὧν ἐλάμβανεν ὁ βασιλεὺς παρ᾽ αὐτῶν τὸ πρότερον
κατ᾽ ἐνιαυτὸν ἀπὸ τῶν γενημάτων τῆς γῆς καὶ τῶν ἀκροδρύων.
καὶ τὰ ἄλλα τὰ ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δεκατῶν καὶ τῶν 35
τελῶν τῶν ἀνηκόντων ἡμῖν καὶ τὰς τοῦ ἁλὸς λίμνας καὶ τοὺς ἀ-
νήκοντας ἡμῖν στεφάνους πάντα ἐπαρκέσομεν αὐτοῖς. καὶ οὐκ 36
ἀθετηθήσεται οὐδὲ ἓν τούτων ἀπὸ τοῦ νῦν εἰς τὸν ἅπαντα χρόνον.
νῦν οὖν ἐπιμέλεσθε τοῦ ποιῆσαι τούτων ἀντίγραφον καὶ δοθήτω 37
Ιωναθαν καὶ τεθήτω ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐν τόπῳ ἐπισήμῳ. καὶ 38
εἶδεν Δημήτριος ὁ βασιλεὺς ὅτι ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ
καὶ οὐδὲν αὐτῷ ἀνθειστήκει καὶ ἀπέλυσεν πάσας τὰς δυνάμεις
αὐτοῦ ἕκαστον εἰς τὸν ἴδιον τόπον πλὴν τῶν ξένων δυνάμεων ὧν
ἐξενολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν καὶ ἤχθραναν αὐτῷ πᾶ-
σαι αἱ δυνάμεις αἱ ἀπὸ τῶν πατέρων. Τρύφων δὲ ἦν τῶν παρὰ 39
Ἀλεξάνδρου τὸ πρότερον καὶ εἶδεν ὅτι πᾶσαι αἱ δυνάμεις κατα-
γογγύζουσιν κατὰ τοῦ Δημητρίου καὶ ἐπορεύθη πρὸς Ιμαλκουε
τὸν Αʹῤαβα ὃς ἔτρεφεν Ἀντίοχον τὸ παιδάριον τὸν τοῦ Ἀλεξάνδρου.

---

**v.33** ὁ[ddns] ἔθνος[ndnsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] φίλος[andmpn] ἐγώ[rpg-p] καί[cc] συντηρέω[vipa3p] ὁ[danp] πρός[pa] ἐγώ[rpa-p] δίκαιος[ananpn] κρίνω[viaa1p] ἀγαθός[anansn] ποιέω[vnaa] χάριν[pg] ὁ[dgfs] ἐκ[pg] αὐτός[rpgmp] εὔνοια[ngfsc] πρός[pa] ἐγώ[rpa-p]. **v.34** ἵστημι[vixa1p] αὐτός[rpdmp] ὁ[danp] τέ[cc] ὅριον[nanpc] ὁ[dgfs] Ἰουδαία[ngfsp] καί[cc] ὁ[damp] τρεῖς[acampn] νομός[nampc] Αφαιρεμα[na-sp] καί[cc] Λύδδα[na-sp] καί[cc] Ραθαμιν[na-sp] προστίθημι[viap3p] ὁ[ddfs] Ἰουδαία[ndfsp] ἀπό[pg] ὁ[dgfs] Σαμαρῖτις[ngfsp] καί[cc] πᾶς[aianpn] ὁ[danp] συγκυρέω[vppaanp] αὐτός[rpdmp] πᾶς[aidmpn] ὁ[ddmp] θυσιάζω[vppadmp] εἰς[pa] Ἱεροσόλυμα[nafsp] ἀντί[pg] ὁ[dgnp] βασιλικός[angnpn] ὅς[rrgnp] λαμβάνω[viia3s] ὁ[dnms] βασιλεύς[nnmsc] παρά[pg] αὐτός[rpgmp] ὁ[dans] πρότερος[anansn] κατά[pa] ἐνιαυτός[namsc] ἀπό[pg] ὁ[dgnp] γένημα[ngnpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ὁ[dgnp] ἀκρόδρυα[ngnpc]. **v.35** καί[cc] ὁ[danp] ἄλλος[aianpn] ὁ[danp] ἀνήκω[vppaanp] ἐγώ[rpd-p] ἀπό[pg] ὁ[dgns] νῦν[b] ὁ[dgfp] δέκατος[aogfpn] καί[cc] ὁ[dgnp] τέλος[ngnpc] ὁ[dgnp] ἀνήκω[vppagnp] ἐγώ[rpd-p] καί[cc] ὁ[dafp] ὁ[dgms] ἅλς[ngmsc] λίμνη[nafpc] καί[cc] ὁ[damp] ἀνήκω[vppaamp] ἐγώ[rpd-p] στέφανος[nampc] πᾶς[aianpn] ἐπαρκέω[vifa1p] αὐτός[rpdmp]. **v.36** καί[cc] οὐ[b] ἀθετέω[vifp3s] οὐδέ[b] εἷς[acnnsn] οὗτος[rdgnp] ἀπό[pg] ὁ[dgns] νῦν[b] εἰς[pa] ὁ[dams] ἅπας[anamsn] χρόνος[namsc]. **v.37** νῦν[b] οὖν[cc] ἐπιμελέομαι[vipm2p] ὁ[dgns] ποιέω[vnaa] οὗτος[rdgnp] ἀντίγραφον[nansc] καί[cc] δίδωμι[vdap3s] Ιωναθαν[ndmsp] καί[cc] τίθημι[vdap3s] ἐν[pd] ὁ[ddns] ὄρος[ndnsc] ὁ[ddns] ἅγιος[andnsn] ἐν[pd] τόπος[ndmsc] ἐπίσημος[andmsn]. **v.38** καί[cc] ὁράω[viaa3s] Δημήτριος[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] ὅτι[cs] ἡσυχάζω[viaa3s] ὁ[dnfs] γῆ[nnfsc] ἐνώπιον[pg] αὐτός[rpgms] καί[cc] οὐδείς[rinns] αὐτός[rpdms] ἀνθίστημι[viya3s] καί[cc] ἀπολύω[viaa3s] πᾶς[aiafpn] ὁ[dafp] δύναμις[nafpc] αὐτός[rpgms] ἕκαστος[aiamsn] εἰς[pa] ὁ[dams] ἴδιος[anamsn] τόπος[namsc] πλήν[pg] ὁ[dgfp] ξένος[angfpn] δύναμις[ngfpc] ὅς[rrgfp] ξενολογέω[viaa3s] ἀπό[pg] ὁ[dgfp] νῆσος[ngfpc] ὁ[dgnp] ἔθνος[ngnpc] καί[cc] ἐχθραίνω[viaa3p] αὐτός[rpdms] πᾶς[ainfpn] ὁ[dnfp] δύναμις[nnfpc] ὁ[dnfp] ἀπό[pg] ὁ[dgmp] πατήρ[ngmpc]. **v.39** Τρύφων[nnmsp] δέ[cc] εἰμί[viia3s] ὁ[dgmp] παρά[pg] Ἀλέξανδρος[ngmsp] ὁ[dans] πρότερος[anansn] καί[cc] ὁράω[viaa3s] ὅτι[cs] πᾶς[ainfpn] ὁ[dnfp] δύναμις[nnfpc] καταγογγύζω[vipa3p] κατά[pg] ὁ[dgms] Δημήτριος[ngmsp] καί[cc] πορεύομαι[viap3s] πρός[pa] Ιμαλκουε[namsp] ὁ[dams] Αʹῤαψ[namsp] ὅς[rrnms] τρέφω[viia3s] Ἀντίοχος[namsp] ὁ[dans] παιδάριον[nansc] ὁ[dams] ὁ[dgms] Ἀλέξανδρος[ngmsp].

40 καὶ προσήδρευεν αὐτῷ ὅπως παραδοῖ αὐτὸν αὐτῷ ὅπως βασιλεύ-
σῃ ἀντὶ τοῦ πατρὸς αὐτοῦ καὶ ἀπήγγειλεν αὐτῷ ὅσα συνετέλεσεν
ὁ Δημήτριος καὶ τὴν ἔχθραν ἣν ἐχθραίνουσιν αὐτῷ αἱ δυνάμεις
41 αὐτοῦ καὶ ἔμεινεν ἐκεῖ ἡμέρας πολλάς. καὶ ἀπέστειλεν Ιωναθαν
πρὸς Δημήτριον τὸν βασιλέα ἵνα ἐκβάλῃ τοὺς ἐκ τῆς ἄκρας ἐξ
Ιερουσαλημ καὶ τοὺς ἐν τοῖς ὀχυρώμασιν ἦσαν γὰρ πολεμοῦν-
42 τες τὸν Ισραηλ. καὶ ἀπέστειλεν Δημήτριος πρὸς Ιωναθαν λέγων
οὐ ταῦτα μόνον ποιήσω σοι καὶ τῷ ἔθνει σου ἀλλὰ δόξῃ δοξάσω
43 σε καὶ τὸ ἔθνος σου ἐὰν εὐκαιρίας τύχω. νῦν οὖν ὀρθῶς ποιή-
σεις ἀποστείλας μοι ἄνδρας οἳ συμμαχήσουσίν μοι ὅτι ἀπέστησαν
44 πᾶσαι αἱ δυνάμεις μου. καὶ ἀπέστειλεν Ιωναθαν ἄνδρας τρισχι-
λίους δυνατοὺς ἰσχύι αὐτῷ εἰς Ἀντιόχειαν καὶ ἦλθον πρὸς τὸν
45 βασιλέα καὶ ηὐφράνθη ὁ βασιλεὺς ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. καὶ ἐπι-
συνήχθησαν οἱ ἀπὸ τῆς πόλεως εἰς μέσον τῆς πόλεως εἰς ἀνδρῶν
46 δώδεκα μυριάδας καὶ ἠβούλοντο ἀνελεῖν τὸν βασιλέα. καὶ ἔφυ-
γεν ὁ βασιλεὺς εἰς τὴν αὐλήν καὶ κατελάβοντο οἱ ἐκ τῆς πόλεως
47 τὰς διόδους τῆς πόλεως καὶ ἤρξαντο πολεμεῖν. καὶ ἐκάλεσεν ὁ
βασιλεὺς τοὺς Ιουδαίους ἐπὶ βοήθειαν καὶ ἐπισυνήχθησαν πρὸς
αὐτὸν πάντες ἅμα καὶ διεσπάρησαν ἐν τῇ πόλει καὶ ἀπέκτειναν
48 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς μυριάδας δέκα. καὶ ἐνεπύρισαν τὴν
πόλιν καὶ ἔλαβον σκῦλα πολλὰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ἔσωσαν

---

**v.40** καί[cc] προσεδρεύω[viia3s] αὐτός[rpdms] ὅπως[cs] παραδίδωμι[vsaa3s] αὐτός[rpams] αὐτός[rpdms] ὅπως[cs] βασιλεύω[vsaa3s] ἀντί[pg] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgms] καί[cc] ἀπαγγέλλω[viaa3s] αὐτός[rpdms] ὅσος[aranpn] συντελέω[viaa3s] ὁ[dnms] Δημήτριος[nnmsp] καί[cc] ὁ[dafs] ἔχθρα[nafsc] ὅς[rrafs] ἐχθραίνω[vipa3p] αὐτός[rpdms] ὁ[dnfp] δύναμις[nnfpc] αὐτός[rpgms] καί[cc] μένω[viaa3s] ἐκεῖ[b] ἡμέρα[nafpc] πολύς[anafpn]. **v.41** καί[cc] ἀποστέλλω[viaa3s] Ιωναθαν[nnmsp] πρός[pa] Δημήτριος[namsp] ὁ[dams] βασιλεύς[namsc] ἵνα[cs] ἐκβάλλω[vsaa3s] ὁ[damp] ἐκ[pg] ὁ[dgfs] ἄκρα[ngfsc] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp] καί[cc] ὁ[damp] ἐν[pd] ὁ[ddnp] ὀχύρωμα[ndnpc] εἰμί[viia3p] γάρ[cc] πολεμέω[vppanmp] ὁ[dams] Ἰσραήλ[namsp]. **v.42** καί[cc] ἀποστέλλω[viaa3s] Δημήτριος[nnmsp] πρός[pa] Ιωναθαν[namsp] λέγω[vppanms] οὐ[b] οὗτος[rdanp] μόνος[b] ποιέω[vifa1s] σύ[rpd-s] καί[cc] ὁ[ddns] ἔθνος[ndnsc] σύ[rpg-s] ἀλλά[cc] δόξα[ndfsc] δοξάζω[vifa1s] σύ[rpa-s] καί[cc] ὁ[dans] ἔθνος[nansc] σύ[rpg-s] ἐάν[cs] εὐκαιρία[nafpc] τυγχάνω[vsaa1s]. **v.43** νῦν[b] οὖν[cc] ὀρθῶς[b] ποιέω[vifa2s] ἀποστέλλω[vpaanms] ἐγώ[rpd-s] ἀνήρ[nampc] ὅς[rrnmp] συμμαχέω[vifa3p] ἐγώ[rpd-s] ὅτι[cs] ἀφίστημι[viaa3p] πᾶς[ainfpn] ὁ[dnfp] δύναμις[nnfpc] ἐγώ[rpg-s]. **v.44** καί[cc] ἀποστέλλω[viaa3s] Ιωναθαν[nnmsp] ἀνήρ[nampc] τρισχίλιοι[acampn] δυνατός[anampn] ἰσχύς[ndfsc] αὐτός[rpdms] εἰς[pa] Ἀντιόχεια[nafsp] καί[cc] ἔρχομαι[viaa3p] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] καί[cc] εὐφραίνω[viap3s] ὁ[dnms] βασιλεύς[nnmsc] ἐπί[pd] ὁ[ddfs] ἔφοδος[ndfsc] αὐτός[rpgmp]. **v.45** καί[cc] ἐπισυνάγω[viap3p] ὁ[dnmp] ἀπό[pg] ὁ[dgfs] πόλις[ngfsc] εἰς[pa] μέσος[anansn] ὁ[dgfs] πόλις[ngfsc] εἰς[pa] ἀνήρ[ngmpc] δώδεκα[ac—n] μυριάς[nafpc] καί[cc] βούλομαι[viim3p] ἀναιρέω[vnaa] ὁ[dams] βασιλεύς[namsc]. **v.46** καί[cc] φεύγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] εἰς[pa] ὁ[dafs] αὐλή[nafsc] καί[cc] καταλαμβάνω[viam3p] ὁ[dnmp] ἐκ[pg] ὁ[dgfs] πόλις[ngfsc] ὁ[dafp] δίοδος[nafpc] ὁ[dgfs] πόλις[ngfsc] καί[cc] ἄρχω[viam3p] πολεμέω[vnpa]. **v.47** καί[cc] καλέω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[damp] Ἰουδαῖος[anampn] ἐπί[pa] βοήθεια[nafsc] καί[cc] ἐπισυνάγω[viap3p] πρός[pa] αὐτός[rpams] πᾶς[ainmpn] ἅμα[b] καί[cc] διασπείρω[viap3p] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc] καί[cc] ἀποκτείνω[viaa3p] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] εἰς[pa] μυριάς[nafpc] δέκα[ac—n].

τὸν βασιλέα. καὶ εἶδον οἱ ἀπὸ τῆς πόλεως ὅτι κατεκράτησαν οἱ 49
Ιουδαῖοι τῆς πόλεως ὡς ἠβούλοντο καὶ ἠσθένησαν ταῖς διανοίαις
αὐτῶν καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα μετὰ δεήσεως λέγοντες.
δὸς ἡμῖν δεξιὰς καὶ παυσάσθωσαν οἱ Ιουδαῖοι πολεμοῦντες ἡ- 50
μᾶς καὶ τὴν πόλιν. καὶ ἔρριψαν τὰ ὅπλα καὶ ἐποίησαν εἰρήνην 51
καὶ ἐδοξάσθησαν οἱ Ιουδαῖοι ἐναντίον τοῦ βασιλέως καὶ ἐνώπιον
πάντων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ καὶ ἐπέστρεψαν εἰς Ιερουσαλημ
ἔχοντες σκῦλα πολλά. καὶ ἐκάθισεν Δημήτριος ὁ βασιλεὺς ἐπὶ 52
θρόνου τῆς βασιλείας αὐτοῦ καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ.
καὶ ἐψεύσατο πάντα ὅσα εἶπεν καὶ ἠλλοτριώθη τῷ Ιωναθαν καὶ 53
οὐκ ἀνταπέδωκεν τὰς εὐνοίας ἃς ἀνταπέδωκεν αὐτῷ καὶ ἔθλιβεν
αὐτὸν σφόδρα. μετὰ δὲ ταῦτα ἀπέστρεψεν Τρύφων καὶ Ἀντίοχος 54
μετ' αὐτοῦ παιδάριον νεώτερον καὶ ἐβασίλευσεν καὶ ἐπέθετο διά-
δημα. καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις ἃς ἀ- 55
πεσκοράκισεν Δημήτριος καὶ ἐπολέμησαν πρὸς αὐτόν καὶ ἔφυγεν
καὶ ἐτροπώθη. καὶ ἔλαβεν Τρύφων τὰ θηρία καὶ κατεκράτησεν 56
τῆς Ἀντιοχείας. καὶ ἔγραψεν Ἀντίοχος ὁ νεώτερος Ιωναθη λέγων 57
ἵστημί σοι τὴν ἀρχιερωσύνην καὶ καθίστημί σε ἐπὶ τῶν τεσσάρων
νομῶν καὶ εἶναί σε τῶν φίλων τοῦ βασιλέως. καὶ ἀπέστειλεν αὐ- 58
τῷ χρυσώματα καὶ διακονίαν καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν πίνειν

---

**v.48** καί[cc] ἐμπυρίζω[viaa3p] ὁ[dafs] πόλις[nafsc] καί[cc] λαμβάνω[viaa3p] σκῦλον[nanpc] πολύς[ananpn] ἐν[pd] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfsc] καί[cc] σῴζω[viaa3p] ὁ[dams] βασιλεύς[namsc]. **v.49** καί[cc] ὁράω[viaa3p] ὁ[dnmp] ἀπό[pg] ὁ[dgfs] πόλις[ngfsc] ὅτι[cs] κατακρατέω[viaa3p] ὁ[dnmp] Ἰουδαῖος[annmpn] ὁ[dgfs] πόλις[ngfsc] ὡς[cs] βούλομαι[viim3p] καί[cc] ἀσθενέω[viaa3p] ὁ[ddfp] διάνοια[ndfpc] αὐτός[rpgmp] καί[cc] κράζω[viaa3p] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] μετά[pg] δέησις[ngfsc] λέγω[vppanmp]. **v.50** δίδωμι[vdaa2s] ἐγώ[rpd-p] δεξιός[anafpn] καί[cc] παύω[vdam3p] ὁ[dnmp] Ἰουδαῖος[annmpn] πολεμέω[vppanmp] ἐγώ[rpa-p] καί[cc] ὁ[dafs] πόλις[nafsc]. **v.51** καί[cc] ῥίπτω[viaa3p] ὁ[danp] ὅπλον[nanpc] καί[cc] ποιέω[viaa3p] εἰρήνη[nafsc] καί[cc] δοξάζω[viap3p] ὁ[dnmp] Ἰουδαῖος[annmpn] ἐναντίον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ἐνώπιον[pg] πᾶς[aigmpn] ὁ[dgmp] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc] αὐτός[rpgms] καί[cc] ἐπιστρέφω[viaa3p] εἰς[pa] Ἰερουσαλήμ[nafsp] ἔχω[vppanmp] σκῦλον[nanpc] πολύς[ananpn]. **v.52** καί[cc] καθίζω[viaa3s] Δημήτριος[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] ἐπί[pg] θρόνος[ngmsc] ὁ[dgfs] βασιλεία[ngfsc] αὐτός[rpgms] καί[cc] ἡσυχάζω[viaa3s] ὁ[dnfs] γῆ[nnfsc] ἐνώπιον[pg] αὐτός[rpgms]. **v.53** καί[cc] ψεύδομαι[viam3s] πᾶς[aianpn] ὅσος[aranpn] λέγω[viaa3s] καί[cc] ἀλλοτριόω[viap3s] ὁ[ddms] Ιωναθαν[ndmsp] καί[cc] οὐ[b] ἀνταποδίδωμι[viaa3s] ὁ[dafp] εὔνοια[nafpc] ὅς[rrafp] ἀνταποδίδωμι[viaa3s] αὐτός[rpdms] καί[cc] θλίβω[viia3s] αὐτός[rpams] σφόδρα[b]. **v.54** μετά[pa] δέ[cc] οὗτος[rdanp] ἀποστρέφω[viaa3s] Τρύφων[nnmsp] καί[cc] Ἀντίοχος[nnmsp] μετά[pg] αὐτός[rpgms] παιδάριον[nnnsc] νέος[annnsc] καί[cc] βασιλεύω[viaa3s] καί[cc] ἐπιτίθημι[viam3s] διάδημα[nansc]. **v.55** καί[cc] ἐπισυνάγω[viap3p] πρός[pa] αὐτός[rpams] πᾶς[ainfpn] ὁ[dnfp] δύναμις[nnfpc] ὅς[rrafp] ἀποσκορακίζω[viaa3s] Δημήτριος[nnmsp] καί[cc] πολεμέω[viaa3p] πρός[pa] αὐτός[rpams] καί[cc] φεύγω[viaa3s] καί[cc] τροπόω[viap3s]. **v.56** καί[cc] λαμβάνω[viaa3s] Τρύφων[nnmsp] ὁ[danp] θηρίον[nanpc] καί[cc] κατακρατέω[viaa3s] ὁ[dgfs] Ἀντιόχεια[ngfsp]. **v.57** καί[cc] γράφω[viaa3s] Ἀντίοχος[nnmsp] ὁ[dnms] νέος[annmsc] Ιωναθαν[ndmsp] λέγω[vppanms] ἵστημι[vipa1s] σύ[rpd-s] ὁ[dafs] ἀρχιερωσύνη[nafsc] καί[cc] καθίστημι[vipa1s] σύ[rpa-s] ἐπί[pg] ὁ[dgmp] τέσσαρες[acgmpn] νομός[ngmpc] καί[cc] εἰμί[vnpa] σύ[rpa-s] ὁ[dgmp] φίλος[angmpn] ὁ[dgms] βασιλεύς[ngmsc].

ἐν χρυσώμασιν καὶ εἶναι ἐν πορφύρᾳ καὶ ἔχειν πόρπην χρυσῆν.
59 καὶ Σιμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησεν στρατηγὸν ἀπὸ τῆς
60 κλίμακος Τύρου ἕως τῶν ὁρίων Αἰγύπτου. καὶ ἐξῆλθεν Ιωναθαν
καὶ διεπορεύετο πέραν τοῦ ποταμοῦ καὶ ἐν ταῖς πόλεσιν καὶ ἠ-
θροίσθησαν πρὸς αὐτὸν πᾶσα δύναμις Συρίας εἰς συμμαχίαν καὶ
ἦλθεν εἰς Ἀσκαλῶνα καὶ ἀπήντησαν αὐτῷ οἱ ἐκ τῆς πόλεως ἐν-
61 δόξως. καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς Γάζαν καὶ ἀπέκλεισαν οἱ ἀπὸ
Γάζης καὶ περιεκάθισεν περὶ αὐτὴν καὶ ἐνεπύρισεν τὰ περιπόλια
62 αὐτῆς ἐν πυρὶ καὶ ἐσκύλευσεν αὐτά. καὶ ἠξίωσαν οἱ ἀπὸ Γάζης
Ιωναθαν καὶ ἔδωκεν αὐτοῖς δεξιὰς καὶ ἔλαβεν τοὺς υἱοὺς τῶν ἀρ-
χόντων αὐτῶν εἰς ὅμηρα καὶ ἐξαπέστειλεν αὐτοὺς εἰς Ιερουσαλημ
63 καὶ διῆλθεν τὴν χώραν ἕως Δαμασκοῦ. καὶ ἤκουσεν Ιωναθαν
ὅτι παρῆσαν οἱ ἄρχοντες Δημητρίου εἰς Κηδες τὴν ἐν τῇ Γαλιλαίᾳ
μετὰ δυνάμεως πολλῆς βουλόμενοι μεταστῆσαι αὐτὸν τῆς χρείας.
64 καὶ συνήντησεν αὐτοῖς τὸν δὲ ἀδελφὸν αὐτοῦ Σιμωνα κατέλιπεν
65 ἐν τῇ χώρᾳ. καὶ παρενέβαλεν Σιμων ἐπὶ Βαιθσουρα καὶ ἐπολέ-
66 μει αὐτὴν ἡμέρας πολλὰς καὶ συνέκλεισεν αὐτήν. καὶ ἠξίωσαν
αὐτὸν τοῦ δεξιὰς λαβεῖν καὶ ἔδωκεν αὐτοῖς καὶ ἐξέβαλεν αὐτοὺς
ἐκεῖθεν καὶ κατελάβετο τὴν πόλιν καὶ ἔθετο ἐπ᾽ αὐτὴν φρουράν.
67 καὶ Ιωναθαν καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλον ἐπὶ τὸ ὕδωρ

---

**v.58** καί[cc] ἀποστέλλω[viaa3s] αὐτός[rpdms] χρύσωμα[nanpc] καί[cc] διακονία[nafsc] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdms] ἐξουσία[nafsc] πίνω[vnpa] ἐν[pd] χρύσωμα[ndnpc] καί[cc] εἰμί[vnpa] ἐν[pd] πορφύρα[ndfsc] καί[cc] ἔχω[vnpa] πόρπη[nafsc] χρυσοῦς[anafsn]. **v.59** καί[cc] Σίμων[namsp] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] καθίστημι[viaa3s] στρατηγός[namsc] ἀπό[pg] ὁ[dgfs] κλῖμαξ[ngfsc] Τύρος[ngfsp] ἕως[pg] ὁ[dgnp] ὅριον[ngnpc] Αἴγυπτος[ngfsp]. **v.60** καί[cc] ἐξέρχομαι[viaa3s] Ιωναθαν[nnmsp] καί[cc] διαπορεύομαι[viim3s] πέραν[pg] ὁ[dgms] ποταμός[ngmsc] καί[cc] ἐν[pd] ὁ[ddfp] πόλις[ndfpc] καί[cc] ἀθροίζω[viap3p] πρός[pa] αὐτός[rpams] πᾶς[ainfsn] δύναμις[nnfsc] Συρία[ngfsp] εἰς[pa] συμμαχία[nafsc] καί[cc] ἔρχομαι[viaa3s] εἰς[pa] Ἀσκαλών[na-sp] καί[cc] ἀπαντάω[viaa3p] αὐτός[rpdms] ὁ[dnmp] ἐκ[pg] ὁ[dgfs] πόλις[ngfsc] ἐνδόξως[b]. **v.61** καί[cc] ἀπέρχομαι[viaa3s] ἐκεῖθεν[b] εἰς[pa] Γάζα[nafsp] καί[cc] ἀποκλείω[viaa3p] ὁ[dnmp] ἀπό[pg] Γάζα[ngfsp] καί[cc] περικαθίζω[viaa3s] περί[pa] αὐτός[rpafs] καί[cc] ἐμπυρίζω[viaa3s] ὁ[danp] περιπόλιον[nanpc] αὐτός[rpgfs] ἐν[pd] πῦρ[ndnsc] καί[cc] σκυλεύω[viaa3s] αὐτός[rpanp]. **v.62** καί[cc] ἀξιόω[viaa3p] ὁ[dnmp] ἀπό[pg] Γάζα[ngfsp] Ιωναθαν[ngmsp] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdmp] δεξιός[anafpn] καί[cc] λαμβάνω[viaa3s] ὁ[damp] υἱός[nampc] ὁ[dgmp] ἄρχων[ngmpc] αὐτός[rpgmp] εἰς[pa] ὅμηρος[nanpc] καί[cc] ἐξαποστέλλω[viaa3s] αὐτός[rpamp] εἰς[pa] Ἰερουσαλήμ[nafsp] καί[cc] διέρχομαι[viaa3s] ὁ[dafs] χώρα[nafsc] ἕως[pg] Δαμασκός[ngfsp]. **v.63** καί[cc] ἀκούω[viaa3s] Ιωναθαν[nnmsp] ὅτι[cs] πάρειμι[viia3p] ὁ[dnmp] ἄρχων[nnmpc] Δημήτριος[ngmsp] εἰς[pa] Κηδες[nafsp] ὁ[dafs] ἐν[pd] ὁ[ddfs] Γαλιλαία[ndfsp] μετά[pg] δύναμις[ngfsc] πολύς[angfsn] βούλομαι[vppmnmp] μεθίστημι[vnaa] αὐτός[rpams] ὁ[dgfs] χρεία[ngfsc]. **v.64** καί[cc] συναντάω[viaa3s] αὐτός[rpdmp] ὁ[dams] δέ[cc] ἀδελφός[namsc] αὐτός[rpgms] Σίμων[namsp] καταλείπω[viaa3s] ἐν[pd] ὁ[ddfs] χώρα[ndfsc]. **v.65** καί[cc] παρεμβάλλω[viaa3s] Σίμων[nnmsp] ἐπί[pa] Βαιθσουρα[nafsp] καί[cc] πολεμέω[viia3s] αὐτός[rpafs] ἡμέρα[nafpc] πολύς[anafpn] καί[cc] συγκλείω[viaa3s] αὐτός[rpafs]. **v.66** καί[cc] ἀξιόω[viaa3p] αὐτός[rpams] ὁ[dgns] δεξιός[anafpn] λαμβάνω[vnaa] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdmp] καί[cc] ἐκβάλλω[viaa3s] αὐτός[rpamp] ἐκεῖθεν[b] καί[cc] καταλαμβάνω[viam3s] ὁ[dafs] πόλις[nafsc] καί[cc] τίθημι[viam3s] ἐπί[pa] αὐτός[rpafs] φρουρά[nafsc].

τοῦ Γεννησαρ καὶ ὤρθρισαν τὸ πρωὶ εἰς τὸ πεδίον Ασωρ. καὶ ἰδοὺ 68
ἡ παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ ἐν τῷ πεδίῳ καὶ ἐξέβαλον
ἔνεδρον ἐπ᾽ αὐτὸν ἐν τοῖς ὄρεσιν αὐτοὶ δὲ ἀπήντησαν ἐξ ἐναντίας.
τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τόπων αὐτῶν καὶ συνῆψαν πόλε- 69
μον. καὶ ἔφυγον οἱ παρὰ Ιωναθου πάντες οὐδὲ εἷς κατελείφθη 70
ἀπ᾽ αὐτῶν πλὴν Ματταθιας ὁ τοῦ Αψαλωμου καὶ Ιουδας ὁ τοῦ
Χαλφι ἄρχοντες τῆς στρατιᾶς τῶν δυνάμεων. καὶ διέρρηξεν Ιω- 71
ναθαν τὰ ἱμάτια αὐτοῦ καὶ ἐπέθετο γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ
καὶ προσηύξατο. καὶ ὑπέστρεψεν πρὸς αὐτοὺς πολέμῳ καὶ ἐτρο- 72
πώσατο αὐτούς καὶ ἔφυγον. καὶ εἶδον οἱ φεύγοντες παρ᾽ αὐτοῦ 73
καὶ ἐπέστρεψαν ἐπ᾽ αὐτὸν καὶ ἐδίωκον μετ᾽ αὐτοῦ ἕως Κεδες ἕως
τῆς παρεμβολῆς αὐτῶν καὶ παρενέβαλον ἐκεῖ. καὶ ἔπεσον ἐκ 74
τῶν ἀλλοφύλων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους καὶ
ἐπέστρεψεν Ιωναθαν εἰς Ιερουσαλημ.

καὶ εἶδεν Ιωναθαν ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ καὶ ἐπελέξατο **12**
ἄνδρας καὶ ἀπέστειλεν εἰς Ῥωμην στῆσαι καὶ ἀνανεώσασθαι τὴν
πρὸς αὐτοὺς φιλίαν. καὶ πρὸς Σπαρτιάτας καὶ τόπους ἑτέρους ἀ- 2
πέστειλεν ἐπιστολὰς κατὰ τὰ αὐτά. καὶ ἐπορεύθησαν εἰς Ῥωμην 3
καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον καὶ εἶπον Ιωναθαν ὁ ἀρχιερεὺς
καὶ τὸ ἔθνος τῶν Ιουδαίων ἀπέστειλεν ἡμᾶς ἀνανεώσασθαι τὴν φι-

---

**v.67** καί[cc] Ιωναθαν[nnmsp] καί[cc] ὁ[dnfs] παρεμβολή[nnfsc] αὐτός[rpgms] παρεμβάλλω[viaa3p] ἐπί[pa] ὁ[dans] ὕδωρ[nansc] ὁ[dgms] Γεννησαρ[ng-sp] καί[cc] ὀρθρίζω[viaa3p] ὁ[dans] πρωΐ[b] εἰς[pa] ὁ[dans] πεδίον[nansc] Ασωρ[ng-sp]. **v.68** καί[cc] ἰδού[i] ὁ[dnfs] παρεμβολή[nnfsc] ἀλλόφυλος[angmpn] ἀπαντάω[viia3s] αὐτός[rpdms] ἐν[pd] ὁ[ddns] πεδίον[ndnsc] καί[cc] ἐκβάλλω[viaa3p] ἔνεδρον[nansc] ἐπί[pa] αὐτός[rpams] ἐν[pd] ὁ[ddnp] ὄρος[ndnpc] αὐτός[rpnmp] δέ[cc] ἀπαντάω[viaa3p] ἐκ[pg] ἐναντίος[angfsn]. **v.69** ὁ[dnnp] δέ[cc] ἔνεδρον[nnnpc] ἐξανίστημι[viaa3p] ἐκ[pg] ὁ[dgmp] τόπος[ngmpc] αὐτός[rpgmp] καί[cc] συνάπτω[viaa3p] πόλεμος[namsc]. **v.70** καί[cc] φεύγω[viaa3p] ὁ[dnmp] παρά[pg] Ιωναθαν[ngmsp] πᾶς[ainmpn] οὐδέ[b] εἷς[acnmsn] καταλείπω[viap3s] ἀπό[pg] αὐτός[rpgmp] πλήν[b] Ματταθίας[nnmsp] ὁ[dnms] ὁ[dgms] Αψαλωμος[ngmsp] καί[cc] Ἰούδας[nnmsp] ὁ[dnms] ὁ[dgms] Χαλφι[ngmsp] ἄρχων[nnmpc] ὁ[dgfs] στρατιά[ngfsc] ὁ[dgfp] δύναμις[ngfpc]. **v.71** καί[cc] διαρρήγνυμι[viaa3s] Ιωναθαν[nnmsp] ὁ[danp] ἱμάτιον[nanpc] αὐτός[rpgms] καί[cc] ἐπιτίθημι[viam3s] γῆ[nafsc] ἐπί[pa] ὁ[dafs] κεφαλή[nafsc] αὐτός[rpgms] καί[cc] προσεύχομαι[viam3s]. **v.72** καί[cc] ὑποστρέφω[viaa3s] πρός[pa] αὐτός[rpamp] πόλεμος[ndmsc] καί[cc] τροπόω[viam3s] αὐτός[rpamp] καί[cc] φεύγω[viaa3p]. **v.73** καί[cc] ὁράω[viaa3p] ὁ[dnmp] φεύγω[vppanmp] παρά[pg] αὐτός[rpgms] καί[cc] ἐπιστρέφω[viaa3p] ἐπί[pa] αὐτός[rpams] καί[cc] διώκω[viia3p] μετά[pg] αὐτός[rpgms] ἕως[pg] Κεδες[ng-sp] ἕως[pg] ὁ[dgfs] παρεμβολή[ngfsc] αὐτός[rpgmp] καί[cc] παρεμβάλλω[viaa3p] ἐκεῖ[b]. **v.74** καί[cc] πίπτω[viaa3p] ἐκ[pg] ὁ[dgmp] ἀλλόφυλος[angmpn] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] εἰς[pa] ἀνήρ[nampc] τρισχίλιοι[acampn] καί[cc] ἐπιστρέφω[viaa3s] Ιωναθαν[nnmsp] εἰς[pa] Ἰερουσαλήμ[nafsp]. **12. v.1** καί[cc] ὁράω[viaa3s] Ιωναθαν[nnmsp] ὅτι[cs] ὁ[dnms] καιρός[nnmsc] αὐτός[rpdms] συνεργέω[vipa3s] καί[cc] ἐπιλέγω[viam3s] ἀνήρ[nampc] καί[cc] ἀποστέλλω[viaa3s] εἰς[pa] Ῥωμη[nafsp] ἵστημι[vnaa] καί[cc] ἀνανεόω[vnam] ὁ[dafs] πρός[pa] αὐτός[rpamp] φιλία[nafsc]. **v.2** καί[cc] πρός[pa] Σπαρτιᾶται[nafpp] καί[cc] τόπος[nampc] ἕτερος[aiampn] ἀποστέλλω[viaa3s] ἐπιστολή[nafpc] κατά[pa] ὁ[danp] αὐτός[rpanp].

4 λίαν ἑαυτοῖς καὶ τὴν συμμαχίαν κατὰ τὸ πρότερον. καὶ ἔδωκαν
ἐπιστολὰς αὐτοῖς πρὸς αὐτοὺς κατὰ τόπον ὅπως προπέμπωσιν
5 αὐτοὺς εἰς γῆν Ιουδα μετ᾽ εἰρήνης. καὶ τοῦτο τὸ ἀντίγραφον
6 τῶν ἐπιστολῶν ὧν ἔγραψεν Ιωναθαν τοῖς Σπαρτιάταις. Ιωναθαν
ἀρχιερεὺς καὶ ἡ γερουσία τοῦ ἔθνους καὶ οἱ ἱερεῖς καὶ ὁ λοι-
7 πὸς δῆμος τῶν Ιουδαίων Σπαρτιάταις τοῖς ἀδελφοῖς χαίρειν. ἔτι
πρότερον ἀπεστάλησαν ἐπιστολαὶ πρὸς Ονιαν τὸν ἀρχιερέα πα-
ρὰ Ἀρείου τοῦ βασιλεύοντος ἐν ὑμῖν ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν ὡς
8 τὸ ἀντίγραφον ὑπόκειται. καὶ ἐπεδέξατο ὁ Ονιας τὸν ἄνδρα τὸν
ἀπεσταλμένον ἐνδόξως καὶ ἔλαβεν τὰς ἐπιστολάς ἐν αἷς διεσα-
9 φεῖτο περὶ συμμαχίας καὶ φιλίας. ἡμεῖς οὖν ἀπροσδεεῖς τούτων
ὄντες παράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια τὰ ἐν ταῖς χερσὶν ἡ-
10 μῶν. ἐπειράθημεν ἀποστεῖλαι τὴν πρὸς ὑμᾶς ἀδελφότητα καὶ
φιλίαν ἀνανεώσασθαι πρὸς τὸ μὴ ἐξαλλοτριωθῆναι ὑμῶν πολλοὶ
11 γὰρ καιροὶ διῆλθον ἀφ᾽ οὗ ἀπεστείλατε πρὸς ἡμᾶς. ἡμεῖς οὖν
ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς καὶ ταῖς λοιπαῖς
καθηκούσαις ἡμέραις μιμνῃσκόμεθα ὑμῶν ἐφ᾽ ὧν προσφέρομεν
θυσιῶν καὶ ἐν ταῖς προσευχαῖς ὡς δέον ἐστὶν καὶ πρέπον μνημο-
12, 13 νεύειν ἀδελφῶν. εὐφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν. ἡμᾶς δὲ
ἐκύκλωσαν πολλαὶ θλίψεις καὶ πόλεμοι πολλοί καὶ ἐπολέμησαν

---

**v.3** καί[cc] πορεύομαι[viap3p] εἰς[pa] Ῥωμη[nafsp] καί[cc] εἰσέρχομαι[viaa3p] εἰς[pa] ὁ[dans] βουλευτήριον[nansc] καί[cc] λέγω[viaa3p] Ιωναθαν[nnmsp] ὁ[dnms] ἀρχιερεύς[nnmsc] καί[cc] ὁ[dans] ἔθνος[nansc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] ἀποστέλλω[viaa3s] ἐγώ[rpa-p] ἀνανεόω[vnam] ὁ[dafs] φιλία[nafsc] ἑαυτοῦ[rxdmp] καί[cc] ὁ[dafs] συμμαχία[nafsc] κατά[pa] ὁ[dans] πρότερος[anansn]. **v.4** καί[cc] δίδωμι[viaa3p] ἐπιστολή[nafpc] αὐτός[rpdmp] πρός[pa] αὐτός[rpamp] κατά[pa] τόπος[namsc] ὅπως[cs] προπέμπω[vspa3p] αὐτός[rpamp] εἰς[pa] γῆ[nafsc] Ἰούδας[ngmsp] μετά[pg] εἰρήνη[ngfsc]. **v.5** καί[cc] οὗτος[rdnns] ὁ[dnns] ἀντίγραφον[nnnsc] ὁ[dgfp] ἐπιστολή[ngfpc] ὅς[rrgfp] γράφω[viaa3s] Ιωναθαν[nnmsp] ὁ[ddmp] Σπαρτιᾶται[ndmpp]. **v.6** Ιωναθαν[nnmsp] ἀρχιερεύς[nnmsc] καί[cc] ὁ[dnfs] γερουσία[nnfsc] ὁ[dgns] ἔθνος[ngnsc] καί[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnms] λοιπός[annmsn] δῆμος[nnmsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] Σπαρτιᾶται[ndmpp] ὁ[ddmp] ἀδελφός[ndmpc] χαίρω[vnpa]. **v.7** ἔτι[b] πρότερος[b] ἀποστέλλω[viap3p] ἐπιστολή[nnfpc] πρός[pa] Ονιας[namsp] ὁ[dams] ἀρχιερεύς[namsc] παρά[pg] Ἄρειος[ngmsp] ὁ[dgms] βασιλεύω[vppagms] ἐν[pd] σύ[rpd-p] ὅτι[cs] εἰμί[vipa2p] ἀδελφός[nnmpc] ἐγώ[rpg-p] ὡς[cs] ὁ[dnns] ἀντίγραφον[nnnsc] ὑπόκειμαι[vipp3s]. **v.8** καί[cc] ἐπιδέχομαι[viam3s] ὁ[dnms] Ονιας[nnmsp] ὁ[dams] ἀνήρ[namsc] ὁ[dams] ἀποστέλλω[vpxpams] ἐνδόξως[b] καί[cc] λαμβάνω[viaa3s] ὁ[dafp] ἐπιστολή[nafpc] ἐν[pd] ὅς[rrdfp] διασαφέω[viip3s] περί[pg] συμμαχία[ngfsc] καί[cc] φιλία[ngfsc]. **v.9** ἐγώ[rpn-p] οὖν[cc] ἀπροσδεής[annmpn] οὗτος[rdgmp] εἰμί[vppanmp] παράκλησις[nafsc] ἔχω[vppanmp] ὁ[danp] βιβλίον[nanpc] ὁ[danp] ἅγιος[ananpn] ὁ[danp] ἐν[pd] ὁ[ddfp] χείρ[ndfpc] ἐγώ[rpg-p]. **v.10** πειράω[viap1p] ἀποστέλλω[vnaa] ὁ[dafs] πρός[pa] σύ[rpa-p] ἀδελφότης[nafsc] καί[cc] φιλία[nafsc] ἀνανεόω[vnam] πρός[pa] ὁ[dans] μή[x] ἐξαλλοτριόομαι[vnap] σύ[rpg-p] πολύς[annmpn] γάρ[cc] καιρός[nnmpc] διέρχομαι[viaa3p] ἀπό[pg] ὅς[rrgns] ἀποστέλλω[viaa2p] πρός[pa] ἐγώ[rpa-p]. **v.11** ἐγώ[rpn-p] οὖν[cc] ἐν[pd] πᾶς[aidmsn] καιρός[ndmsc] ἀδιαλείπτως[b] ἐν[pd] τέ[cc] ὁ[ddfp] ἑορτή[ndfpc] καί[cc] ὁ[ddfp] λοιπός[andfpn] καθήκω[vppadfp] ἡμέρα[ndfpc] μιμνῄσκομαι[vipm1p] σύ[rpg-p] ἐπί[pg] ὅς[rrgfp] προσφέρω[vipa1p] θυσία[ngfpc] καί[cc] ἐν[pd] ὁ[ddfp] προσευχή[ndfpc] ὡς[cs] δεῖ[vppaans] εἰμί[vipa3s] καί[cc] πρέπω[vppaans] μνημονεύω[vnpa] ἀδελφός[ngmpc]. **v.12** εὐφραίνω[vipm1p] δέ[cc] ἐπί[pd] ὁ[ddfs] δόξα[ndfsc] σύ[rpg-p].

ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν. οὐκ ἠβουλόμεθα οὖν παρε- 14
νοχλῆσαι ὑμῖν καὶ τοῖς λοιποῖς συμμάχοις καὶ φίλοις ἡμῶν ἐν
τοῖς πολέμοις τούτοις. ἔχομεν γὰρ τὴν ἐξ οὐρανοῦ βοήθειαν 15
βοηθοῦσαν ἡμῖν καὶ ἐρρύσθημεν ἀπὸ τῶν ἐχθρῶν καὶ ἐταπεινώ-
θησαν οἱ ἐχθροὶ ἡμῶν. ἐπελέξαμεν οὖν Νουμήνιον Ἀντιόχου 16
καὶ Ἀντίπατρον Ἰάσονος καὶ ἀπεστάλκαμεν πρὸς Ῥωμαίους ἀνα-
νεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν καὶ συμμαχίαν τὴν πρότερον.
ἐνετειλάμεθα οὖν αὐτοῖς καὶ πρὸς ὑμᾶς πορευθῆναι καὶ ἀσπάσα- 17
σθαι ὑμᾶς καὶ ἀποδοῦναι ὑμῖν τὰς παρ᾽ ἡμῶν ἐπιστολὰς περὶ τῆς
ἀνανεώσεως καὶ τῆς ἀδελφότητος ἡμῶν. καὶ νῦν καλῶς ποιή- 18
σετε ἀντιφωνήσαντες ἡμῖν πρὸς ταῦτα. καὶ τοῦτο τὸ ἀντίγραφον 19
τῶν ἐπιστολῶν ὧν ἀπέστειλαν Ονια. Αρειος βασιλεὺς Σπαρτια- 20
τῶν Ονια ἱερεῖ μεγάλῳ χαίρειν. εὑρέθη ἐν γραφῇ περί τε τῶν 21
Σπαρτιατῶν καὶ Ιουδαίων ὅτι εἰσὶν ἀδελφοὶ καὶ ὅτι εἰσὶν ἐκ γέ-
νους Αβρααμ. καὶ νῦν ἀφ᾽ οὗ ἔγνωμεν ταῦτα καλῶς ποιήσετε 22
γράφοντες ἡμῖν περὶ τῆς εἰρήνης ὑμῶν. καὶ ἡμεῖς δὲ ἀντιγρά- 23
φομεν ὑμῖν τὰ κτήνη ὑμῶν καὶ ἡ ὕπαρξις ὑμῶν ἡμῖν ἐστιν καὶ
τὰ ἡμῶν ὑμῖν ἐστιν ἐντελλόμεθα οὖν ὅπως ἀπαγγείλωσιν ὑμῖν
κατὰ ταῦτα. καὶ ἤκουσεν Ιωναθαν ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες 24
Δημητρίου μετὰ δυνάμεως πολλῆς ὑπὲρ τὸ πρότερον τοῦ πολε-
μῆσαι πρὸς αὐτόν. καὶ ἀπῆρεν ἐξ Ιερουσαλημ καὶ ἀπήντησεν 25

---

**v.13** ἐγώ[rpa-p] δέ[cc] κυκλόω[viaa3p] πολύς[annfpn] θλῖψις[nnfpc] καί[cc] πόλεμος[nnmpc] πολύς[annmpn] καί[cc] πολεμέω[viaa3p] ἐγώ[rpa-p] ὁ[dnmp] βασιλεύς[nnmpc] ὁ[dnmp] κύκλος[pg] ἐγώ[rpg-p]. **v.14** οὐ[b] βούλομαι[viim1p] οὖν[cc] παρενοχλέω[vnaa] σύ[rpd-p] καί[cc] ὁ[ddmp] λοιπός[andmpn] σύμμαχος[andmpn] καί[cc] φίλος[andmpn] ἐγώ[rpg-p] ἐν[pd] ὁ[ddmp] πόλεμος[ndmpc] οὗτος[rddmp]. **v.15** ἔχω[vipa1p] γάρ[cc] ὁ[dafs] ἐκ[pg] οὐρανός[ngmsc] βοήθεια[nafsc] βοηθέω[vppaafs] ἐγώ[rpd-p] καί[cc] ῥύομαι[viap1p] ἀπό[pg] ὁ[dgmp] ἐχθρός[angmpn] καί[cc] ταπεινόω[viap3p] ὁ[dnmp] ἐχθρός[annmpn] ἐγώ[rpg-p]. **v.16** ἐπιλέγω[viaa1p] οὖν[cc] Νουμήνιος[namsp] Ἀντίοχος[ngmsp] καί[cc] Ἀντίπατρος[namsp] Ἰάσων[ngmsp] καί[cc] ἀποστέλλω[vixa1p] πρός[pd] Ῥωμαῖοι[ndmpp] ἀνανεόω[vnam] ὁ[dafs] πρός[pa] αὐτός[rpamp] φιλία[nafsc] καί[cc] συμμαχία[nafsc] ὁ[dafs] πρότερος[b]. **v.17** ἐντέλλομαι[viam1p] οὖν[cc] αὐτός[rpdmp] καί[cc] πρός[pa] σύ[rpa-p] πορεύομαι[vnap] καί[cc] ἀσπάζομαι[vnam] σύ[rpa-p] καί[cc] ἀποδίδωμι[vnaa] σύ[rpd-p] ὁ[dafp] παρά[pg] ἐγώ[rpg-p] ἐπιστολή[nafpc] περί[pg] ὁ[dgfs] ἀνανέωσις[ngfsc] καί[cc] ὁ[dgfs] ἀδελφότης[ngfsc] ἐγώ[rpg-p]. **v.18** καί[cc] νῦν[b] καλῶς[b] ποιέω[vifa2p] ἀντιφωνέω[vpaanmp] ἐγώ[rpd-p] πρός[pa] οὗτος[rdanp]. **v.19** καί[cc] οὗτος[rdans] ὁ[dans] ἀντίγραφον[nansc] ὁ[dgfp] ἐπιστολή[ngfpc] ὅς[rrgfp] ἀποστέλλω[viaa3p] Ονιας[ndmsp]. **v.20** Αρειος[nnmsp] βασιλεύς[nnmsc] Σπαρτιᾶται[ngmpp] Ονιας[ndmsp] ἱερεύς[ndmsc] μέγας[andmsn] χαίρω[vnpa]. **v.21** εὑρίσκω[viap3s] ἐν[pd] γραφή[ndfsc] περί[pg] τέ[cc] ὁ[dgmp] Σπαρτιᾶται[ngmpp] καί[cc] Ἰουδαῖος[angmpn] ὅτι[cs] εἰμί[vipa3p] ἀδελφός[nnmpc] καί[cc] ὅτι[cs] εἰμί[vipa3p] ἐκ[pg] γένος[ngnsc] Ἀβραάμ[ngmsp]. **v.22** καί[cc] νῦν[b] ἀπό[pg] ὅς[rrgns] γινώσκω[viaa1p] οὗτος[rdanp] καλῶς[b] ποιέω[vifa2p] γράφω[vppanmp] ἐγώ[rpd-p] περί[pg] ὁ[dgfs] εἰρήνη[ngfsc] σύ[rpg-p]. **v.23** καί[b] ἐγώ[rpn-p] δέ[cc] ἀντιγράφω[vipa1p] σύ[rpd-p] ὁ[dnnp] κτῆνος[nnnpc] σύ[rpg-p] καί[cc] ὁ[dnfs] ὕπαρξις[nnfsc] σύ[rpg-p] ἐγώ[rpd-p] εἰμί[vipa3s] καί[cc] ὁ[dnnp] ἐγώ[rpg-p] σύ[rpd-p] εἰμί[vipa3s] ἐντέλλομαι[vipm1p] οὖν[cc] ὅπως[cs] ἀπαγγέλλω[vsaa3p] σύ[rpd-p] κατά[pa] οὗτος[rdanp]. **v.24** καί[cc] ἀκούω[viaa3s] Ιωναθαν[nnmsp] ὅτι[cs] ἐπιστρέφω[viaa3p] ὁ[dnmp] ἄρχων[nnmpc] Δημήτριος[ngmsp] μετά[pg] δύναμις[ngfsc] πολύς[angfsn] ὑπέρ[pa] ὁ[dans] πρότερος[anansn] ὁ[dgns] πολεμέω[vnaa] πρός[pa] αὐτός[rpams].

αὐτοῖς εἰς τὴν Αμαθῖτιν χώραν οὐ γὰρ ἔδωκεν αὐτοῖς ἀνοχὴν τοῦ
26 ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτοῦ. καὶ ἀπέστειλεν κατασκόπους
εἰς τὴν παρεμβολὴν αὐτῶν καὶ ἐπέστρεψαν καὶ ἀπήγγειλαν αὐ-
27 τῷ ὅτι οὕτως τάσσονται ἐπιπεσεῖν ἐπ' αὐτοὺς τὴν νύκτα. ὡς δὲ
ἔδυ ὁ ἥλιος ἐπέταξεν Ιωναθαν τοῖς παρ' αὐτοῦ γρηγορεῖν καὶ εἶ-
ναι ἐπὶ τοῖς ὅπλοις ἑτοιμάζεσθαι εἰς πόλεμον δι' ὅλης τῆς νυκτὸς
28 καὶ ἐξέβαλεν προφύλακας κύκλῳ τῆς παρεμβολῆς. καὶ ἤκου-
σαν οἱ ὑπεναντίοι ὅτι ἡτοίμασται Ιωναθαν καὶ οἱ παρ' αὐτοῦ εἰς
πόλεμον καὶ ἐφοβήθησαν καὶ ἔπτηξαν τῇ καρδίᾳ αὐτῶν καὶ ἀνέ-
29 καυσαν πυρὰς ἐν τῇ παρεμβολῇ αὐτῶν. Ιωναθαν δὲ καὶ οἱ παρ'
αὐτοῦ οὐκ ἔγνωσαν ἕως πρωί ἔβλεπον γὰρ τὰ φῶτα καιόμενα.
30 καὶ κατεδίωξεν Ιωναθαν ὀπίσω αὐτῶν καὶ οὐ κατέλαβεν αὐτούς
31 διέβησαν γὰρ τὸν Ἐλεύθερον ποταμόν. καὶ ἐξέκλινεν Ιωναθαν
ἐπὶ τοὺς Α'ῥαβας τοὺς καλουμένους Ζαβαδαίους καὶ ἐπάταξεν
32 αὐτοὺς καὶ ἔλαβεν τὰ σκῦλα αὐτῶν. καὶ ἀναζεύξας ἦλθεν εἰς
33 Δαμασκὸν καὶ διώδευσεν ἐν πάσῃ τῇ χώρᾳ. καὶ Σιμων ἐξῆλθεν
καὶ διώδευσεν ἕως Ἀσκαλῶνος καὶ τὰ πλησίον ὀχυρώματα καὶ
34 ἐξέκλινεν εἰς Ιοππην καὶ προκατελάβετο αὐτήν. ἤκουσεν γὰρ
ὅτι βούλονται τὸ ὀχύρωμα παραδοῦναι τοῖς παρὰ Δημητρίου καὶ
35 ἔθετο ἐκεῖ φρουράν ὅπως φυλάσσωσιν αὐτήν. καὶ ἐπέστρεψεν
Ιωναθαν καὶ ἐξεκκλησίασεν τοὺς πρεσβυτέρους τοῦ λαοῦ καὶ ἐ-

---

**v.25** καί[cc] ἀπαίρω[viaa3s] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp] καί[cc] ἀπαντάω[viaa3s] αὐτός[rpdmp] εἰς[pa] ὁ[dafs] Ἁμαθῖτις[nafsp] χώρα[nafsc] οὐ[b] γάρ[cc] δίδωμι[viaa3s] αὐτός[rpdmp] ἀνοχή[nafsc] ὁ[dgns] ἐμβατεύω[vnaa] εἰς[pa] ὁ[dafs] χώρα[nafsc] αὐτός[rpgms]. **v.26** καί[cc] ἀποστέλλω[viaa3s] κατάσκοπος[nampc] εἰς[pa] ὁ[dafs] παρεμβολή[nafsc] αὐτός[rpgmp] καί[cc] ἐπιστρέφω[viaa3p] καί[cc] ἀπαγγέλλω[viaa3p] αὐτός[rpdms] ὅτι[cs] οὕτως[b] τάσσω[vipm3p] ἐπιπίπτω[vnaa] ἐπί[pa] αὐτός[rpamp] ὁ[dafs] νύξ[nafsc]. **v.27** ὡς[cs] δέ[cc] δύω[viaa3s] ὁ[dnms] ἥλιος[nnmsc] ἐπιτάσσω[viaa3s] Ιωναθαν[nnmsp] ὁ[ddmp] παρά[pg] αὐτός[rpgms] γρηγορέω[vnpa] καί[cc] εἰμί[vnpa] ἐπί[pd] ὁ[ddnp] ὅπλον[ndnpc] ἑτοιμάζω[vnpm] εἰς[pa] πόλεμος[namsc] διά[pg] ὅλος[angfsn] ὁ[dgfs] νύξ[ngfsc] καί[cc] ἐκβάλλω[viaa3s] προφύλαξ[nampc] κύκλος[pg] ὁ[dgfs] παρεμβολή[ngfsc]. **v.28** καί[cc] ἀκούω[viaa3p] ὁ[dnmp] ὑπεναντίος[annmpn] ὅτι[cs] ἑτοιμάζω[vixm3s] Ιωναθαν[nnmsp] καί[cc] ὁ[dnmp] παρά[pg] αὐτός[rpgms] εἰς[pa] πόλεμος[namsc] καί[cc] φοβέω[viap3p] καί[cc] πτήσσω[viaa3p] ὁ[ddfs] καρδία[ndfsc] αὐτός[rpgmp] καί[cc] ἀνακαίω[viaa3p] πυρά[nafpc] ἐν[pd] ὁ[ddfs] παρεμβολή[ndfsc] αὐτός[rpgmp]. **v.29** Ιωναθαν[nnmsp] δέ[cc] καί[cc] ὁ[dnmp] παρά[pg] αὐτός[rpgms] οὐ[b] γινώσκω[viaa3p] ἕως[pp] πρωΐ[b] βλέπω[viia3p] γάρ[cc] ὁ[danp] φῶς[nanpc] καίω[vppmanp]. **v.30** καί[cc] καταδιώκω[viaa3s] Ιωναθαν[nnmsp] ὀπίσω[pg] αὐτός[rpgmp] καί[cc] οὐ[b] καταλαμβάνω[viaa3s] αὐτός[rpamp] διαβαίνω[viaa3p] γάρ[cc] ὁ[dams] Ἐλεύθερος[namsp] ποταμός[namsc]. **v.31** καί[cc] ἐκκλίνω[viaa3s] Ιωναθαν[nnmsp] ἐπί[pa] ὁ[damp] Α'ῥαψ[nampp] ὁ[damp] καλέω[vpppamp] Ζαβαδαῖοι[nampp] καί[cc] πατάσσω[viaa3s] αὐτός[rpamp] καί[cc] λαμβάνω[viaa3s] ὁ[danp] σκῦλον[nanpc] αὐτός[rpgmp]. **v.32** καί[cc] ἀναζεύγνυμι[vpaanms] ἔρχομαι[viaa3s] εἰς[pa] Δαμασκός[nafsp] καί[cc] διοδεύω[viaa3s] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] χώρα[ndfsc]. **v.33** καί[cc] Σίμων[nnmsp] ἐξέρχομαι[viaa3s] καί[cc] διοδεύω[viaa3s] ἕως[pg] Ἀσκαλών[ng-sp] καί[cc] ὁ[danp] πλησίον[b] ὀχύρωμα[nanpc] καί[cc] ἐκκλίνω[viaa3s] εἰς[pa] Ἰόππη[nafsp] καί[cc] προκαταλαμβάνω[viam3s] αὐτός[rpafs]. **v.34** ἀκούω[viaa3s] γάρ[cc] ὅτι[cs] βούλομαι[vipm3p] ὁ[dans] ὀχύρωμα[nansc] παραδίδωμι[vnaa] ὁ[ddmp] παρά[pg] Δημήτριος[ngmsp] καί[cc] τίθημι[viam3s] ἐκεῖ[b] φρουρά[nafsc] ὅπως[cs] φυλάσσω[vspa3p] αὐτός[rpafs].

βουλεύετο μετ᾽ αὐτῶν τοῦ οἰκοδομῆσαι ὀχυρώματα ἐν τῇ Ιουδαίᾳ.
καὶ προσυψῶσαι τὰ τείχη Ιερουσαλημ καὶ ὑψῶσαι ὕψος μέγα ἀ- 36
νὰ μέσον τῆς ἄκρας καὶ τῆς πόλεως εἰς τὸ διαχωρίζειν αὐτὴν τῆς
πόλεως ἵνα ᾖ αὕτη κατὰ μόνας ὅπως μήτε ἀγοράζωσιν μήτε πω-
λῶσιν. καὶ συνήχθησαν τοῦ οἰκοδομεῖν τὴν πόλιν καὶ ἔπεσεν 37
τοῦ τείχους τοῦ χειμάρρου τοῦ ἐξ ἀπηλιώτου καὶ ἐπεσκεύασεν τὸ
καλούμενον Χαφεναθα. καὶ Σιμων ᾠκοδόμησεν τὴν Αδιδα ἐν τῇ 38
Σεφηλα καὶ ὠχύρωσεν αὐτὴν καὶ ἐπέστησεν θύρας καὶ μοχλούς.
καὶ ἐζήτησεν Τρύφων βασιλεῦσαι τῆς Ἀσίας καὶ περιθέσθαι τὸ 39
διάδημα καὶ ἐκτεῖναι χεῖρα ἐπ᾽ Ἀντίοχον τὸν βασιλέα. καὶ εὐ- 40
λαβήθη μήποτε οὐκ ἐάσῃ αὐτὸν Ιωναθαν καὶ μήποτε πολεμήσῃ
πρὸς αὐτόν καὶ ἐζήτει συλλαβεῖν αὐτὸν τοῦ ἀπολέσαι καὶ ἀπάρας
ἦλθεν εἰς Βαιθσαν. καὶ ἐξῆλθεν Ιωναθαν εἰς ἀπάντησιν αὐτῷ ἐν 41
τεσσαράκοντα χιλιάσιν ἀνδρῶν ἐπιλελεγμέναις εἰς παράταξιν καὶ
ἦλθεν εἰς Βαιθσαν. καὶ εἶδεν Τρύφων ὅτι ἦλθεν μετὰ δυνάμεως 42
πολλῆς καὶ ἐκτεῖναι χεῖρας ἐπ᾽ αὐτὸν εὐλαβήθη. καὶ ἐπεδέξατο 43
αὐτὸν ἐνδόξως καὶ συνέστησεν αὐτὸν πᾶσιν τοῖς φίλοις αὐτοῦ καὶ
ἔδωκεν αὐτῷ δόματα καὶ ἐπέταξεν τοῖς φίλοις αὐτοῦ καὶ ταῖς δυ-
νάμεσιν αὐτοῦ ὑπακούειν αὐτοῦ ὡς αὐτοῦ. καὶ εἶπεν τῷ Ιωναθαν 44
ἵνα τί ἐκόπωσας πάντα τὸν λαὸν τοῦτον πολέμου μὴ ἐνεστηκότος
ἡμῖν. καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν ἐπίλε- 45

---

**v.35** καί[cc] ἐπιστρέφω[viaa3s] Ιωναθαν[nnmsp] καί[cc] ἐξεκκλησιάζω[viaa3s] ὁ[damp] πρεσβύτερος[anampc] ὁ[dgms] λαός[ngmsc] καί[cc] βουλεύω[viim3s] μετά[pg] αὐτός[rpgmp] ὁ[dgns] οἰκοδομέω[vnaa] ὀχύρωμα[nanpc] ἐν[pd] ὁ[ddfs] Ἰουδαία[ndfsp]. **v.36** καί[cc] προσυψόω[vnaa] ὁ[danp] τεῖχος[nanpc] Ἰερουσαλήμ[ngfsp] καί[cc] ὑψόω[vnaa] ὕψος[nansc] μέγας[anansn] ἀνά[pa] μέσος[anansn] ὁ[dgfs] ἄκρα[ngfsc] καί[cc] ὁ[dgfs] πόλις[ngfsc] εἰς[pa] ὁ[dans] διαχωρίζω[vnpa] αὐτός[rpafs] ὁ[dgfs] πόλις[ngfsc] ἵνα[cs] εἰμί[vspa3s] οὗτος[rdnfs] κατά[pa] μόνος[anafpn] ὅπως[cs] μήτε[cc] ἀγοράζω[vspa3p] μήτε[cc] πωλέω[vspa3p]. **v.37** καί[cc] συνάγω[viap3p] ὁ[dgns] οἰκοδομέω[vnpa] ὁ[dafs] πόλις[nafsc] καί[cc] πίπτω[viaa3s] ὁ[dgns] τεῖχος[ngnsc] ὁ[dgms] χείμαρρος[ngmsc] ὁ[dgms] ἐκ[pg] ἀπηλιώτης[ngmsc] καί[cc] ἐπισκευάζω[viaa3s] ὁ[dans] καλέω[vpppans] Χαφεναθα[na-sp]. **v.38** καί[cc] Σίμων[nnmsp] οἰκοδομέω[viaa3s] ὁ[dafs] Αδιδα[nafsp] ἐν[pd] ὁ[ddfs] Σεφηλα[ndfsp] καί[cc] ὀχυρόω[viaa3s] αὐτός[rpafs] καί[cc] ἐφίστημι[viaa3s] θύρα[nafpc] καί[cc] μοχλός[nampc]. **v.39** καί[cc] ζητέω[viaa3s] Τρύφων[nnmsp] βασιλεύω[vnaa] ὁ[dgfs] Ἀσία[ngfsp] καί[cc] περιτίθημι[vnam] ὁ[dans] διάδημα[nansc] καί[cc] ἐκτείνω[vnaa] χείρ[nafsc] ἐπί[pa] Ἀντίοχος[namsp] ὁ[dams] βασιλεύς[namsc]. **v.40** καί[cc] εὐλαβέομαι[viap3s] μήποτε[cs] οὐ[b] ἐάω[vsaa3s] αὐτός[rpams] Ιωναθαν[nnmsp] καί[cc] μήποτε[x] πολεμέω[vsaa3s] πρός[pa] αὐτός[rpams] καί[cc] ζητέω[viia3s] συλλαμβάνω[vnaa] αὐτός[rpams] ὁ[dgns] ἀπόλλυμι[vnaa] καί[cc] ἀπαίρω[vpaanms] ἔρχομαι[viaa3s] εἰς[pa] Βαιθσαν[na-sp]. **v.41** καί[cc] ἐξέρχομαι[viaa3s] Ιωναθαν[nnmsp] εἰς[pa] ἀπάντησις[nafsc] αὐτός[rpdms] ἐν[pd] τεσσαράκοντα[ac—n] χιλιάς[ndfpc] ἀνήρ[ngmpc] ἐπιλέγω[vpxpdfp] εἰς[pa] παράταξις[nafsc] καί[cc] ἔρχομαι[viaa3s] εἰς[pa] Βαιθσαν[na-sp]. **v.42** καί[cc] ὁράω[viaa3s] Τρύφων[nnmsp] ὅτι[cs] ἔρχομαι[viaa3s] μετά[pg] δύναμις[ngfsc] πολύς[angfsn] καί[cc] ἐκτείνω[vnaa] χείρ[nafpc] ἐπί[pa] αὐτός[rpams] εὐλαβέομαι[viap3s]. **v.43** καί[cc] ἐπιδέχομαι[viam3s] αὐτός[rpams] ἐνδόξως[b] καί[cc] συνίστημι[viaa3s] αὐτός[rpams] πᾶς[aidmpn] ὁ[ddmp] φίλος[andmpn] αὐτός[rpgms] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdms] δόμα[nanpc] καί[cc] ἐπιτάσσω[viaa3s] ὁ[ddmp] φίλος[andmpn] αὐτός[rpgms] καί[cc] ὁ[ddfp] δύναμις[ndfpc] αὐτός[rpgms] ὑπακούω[vnpa] αὐτός[rpgms] ὡς[cs] ἑαυτοῦ[rxgms]. **v.44** καί[cc] λέγω[viaa3s] ὁ[ddms] Ιωναθαν[ndmsp] ἵνα[cs] τίς[rqnns] κοπόω[viaa2s] πᾶς[aiamsn] ὁ[dams] λαός[namsc] οὗτος[rdams] πόλεμος[ngmsc] μή[x] ἐνίστημι[vpxagms] ἐγώ[rpd-p].

ξαι δὲ σεαυτῷ ἄνδρας ὀλίγους οἵτινες ἔσονται μετὰ σοῦ καὶ δεῦρο
μετ᾽ ἐμοῦ εἰς Πτολεμαΐδα καὶ παραδώσω σοι αὐτὴν καὶ τὰ λοιπὰ
ὀχυρώματα καὶ τὰς δυνάμεις τὰς λοιπὰς καὶ πάντας τοὺς ἐπὶ τῶν
χρειῶν καὶ ἐπιστρέψας ἀπελεύσομαι τούτου γὰρ χάριν πάρειμι.
46 καὶ ἐμπιστεύσας αὐτῷ ἐποίησεν καθὼς εἶπεν καὶ ἐξαπέστειλεν τὰς
47 δυνάμεις καὶ ἀπῆλθον εἰς γῆν Ιουδα. κατέλιπεν δὲ μεθ᾽ ἑαυτοῦ
ἄνδρας τρισχιλίους ὧν δισχιλίους ἀφῆκεν ἐν τῇ Γαλιλαίᾳ χίλιοι
48 δὲ συνῆλθον αὐτῷ. ὡς δὲ εἰσῆλθεν Ιωναθαν εἰς Πτολεμαΐδα ἀπέ-
κλεισαν οἱ Πτολεμαεῖς τὰς πύλας καὶ συνέλαβον αὐτόν καὶ πάντας
49 τοὺς συνεισελθόντας μετ᾽ αὐτοῦ ἀπέκτειναν ἐν ῥομφαίᾳ. καὶ ἀ-
πέστειλεν Τρύφων δυνάμεις καὶ ἵππον εἰς τὴν Γαλιλαίαν καὶ τὸ
50 πεδίον τὸ μέγα τοῦ ἀπολέσαι πάντας τοὺς παρὰ Ιωναθου. καὶ
ἐπέγνωσαν ὅτι συνελήμφθη καὶ ἀπόλωλεν καὶ οἱ μετ᾽ αὐτοῦ καὶ
παρεκάλεσαν ἑαυτοὺς καὶ ἐπορεύοντο συνεστραμμένοι ἕτοιμοι
51 εἰς πόλεμον. καὶ εἶδον οἱ διώκοντες ὅτι περὶ ψυχῆς αὐτοῖς ἐστιν
52 καὶ ἐπέστρεψαν. καὶ ἦλθον πάντες μετ᾽ εἰρήνης εἰς γῆν Ιουδα
καὶ ἐπένθησαν τὸν Ιωναθαν καὶ τοὺς μετ᾽ αὐτοῦ καὶ ἐφοβήθησαν
53 σφόδρα καὶ ἐπένθησεν πᾶς Ισραηλ πένθος μέγα. καὶ ἐζήτησαν
πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν ἐκτρῖψαι αὐτούς εἶπον γάρ οὐκ
ἔχουσιν ἄρχοντα καὶ βοηθοῦντα νῦν οὖν πολεμήσωμεν αὐτοὺς

---

**v.45** καί[cc] νῦν[b] ἀποστέλλω[vdaa2s] αὐτός[rpamp] εἰς[pa] ὁ[damp] οἶκος[nampc] αὐτός[rpgmp] ἐπιλέγω[vnaa] δέ[cc] σεαυτοῦ[rxdms] ἀνήρ[nampc] ὀλίγος[anampn] ὅστις[rrnmp] εἰμί[vifm3p] μετά[pg] σύ[rpg-s] καί[cc] δεῦρο[b] μετά[pg] ἐγώ[rpg-s] εἰς[pa] Πτολεμαΐς[nafsp] καί[cc] παραδίδωμι[vifa1s] σύ[rpd-s] αὐτός[rpafs] καί[cc] ὁ[danp] λοιπός[ananpn] ὀχύρωμα[nanpc] καί[cc] ὁ[dafp] δύναμις[nafpc] ὁ[dafp] λοιπός[anafpn] καί[cc] πᾶς[aiampn] ὁ[damp] ἐπί[pg] ὁ[dgfp] χρεία[ngfpc] καί[cc] ἐπιστρέφω[vpaanms] ἀπέρχομαι[vifm1s] οὗτος[rdgns] γάρ[cc] χάρις[pg] πάρειμι[vipa1s]. **v.46** καί[cc] ἐμπιστεύω[vpaanms] αὐτός[rpdms] ποιέω[viaa3s] καθώς[cs] λέγω[viaa3s] καί[cc] ἐξαποστέλλω[viaa3s] ὁ[dafp] δύναμις[nafpc] καί[cc] ἀπέρχομαι[viaa3p] εἰς[pa] γῆ[nafsc] Ἰούδας[ngmsp]. **v.47** καταλείπω[viaa3s] δέ[cc] μετά[pg] ἑαυτοῦ[rxgms] ἀνήρ[nampc] τρισχίλιοι[acampn] ὅς[rrgmp] δισχίλιοι[acampn] ἀφίημι[viaa3s] ἐν[pd] ὁ[ddfs] Γαλιλαία[ndfsp] χίλιοι[acnmpn] δέ[cc] συνέρχομαι[viaa3p] αὐτός[rpdms]. **v.48** ὡς[cs] δέ[cc] εἰσέρχομαι[viaa3s] Ιωναθαν[nnmsp] εἰς[pa] Πτολεμαΐς[nafsp] ἀποκλείω[viaa3p] ὁ[dnmp] Πτολεμαεῖς[nnmpp] ὁ[dafp] πύλη[nafpc] καί[cc] συλλαμβάνω[viaa3p] αὐτός[rpams] καί[cc] πᾶς[aiampn] ὁ[damp] συνεισέρχομαι[vpaaamp] μετά[pg] αὐτός[rpgms] ἀποκτείνω[viaa3p] ἐν[pd] ῥομφαία[ndfsc]. **v.49** καί[cc] ἀποστέλλω[viaa3s] Τρύφων[nnmsp] δύναμις[nafpc] καί[cc] ἵππος[nafsc] εἰς[pa] ὁ[dafs] Γαλιλαία[nafsp] καί[cc] ὁ[dans] πεδίον[nansc] ὁ[dans] μέγας[anansn] ὁ[dgns] ἀπόλλυμι[vnaa] πᾶς[aiampn] ὁ[damp] παρά[pg] Ιωναθαν[ngmsp]. **v.50** καί[cc] ἐπιγινώσκω[viaa3p] ὅτι[cs] συλλαμβάνω[viap3s] καί[cc] ἀπόλλυμι[vixa3s] καί[cc] ὁ[dnmp] μετά[pg] αὐτός[rpgms] καί[cc] παρακαλέω[viaa3p] ἑαυτοῦ[rxamp] καί[cc] πορεύομαι[viim3p] συστρέφω[vpxpnmp] ἕτοιμος[annmpn] εἰς[pa] πόλεμος[namsc]. **v.51** καί[cc] ὁράω[viaa3p] ὁ[dnmp] διώκω[vppanmp] ὅτι[cs] περί[pg] ψυχή[ngfsc] αὐτός[rpdmp] εἰμί[vipa3s] καί[cc] ἐπιστρέφω[viaa3p]. **v.52** καί[cc] ἔρχομαι[viaa3p] πᾶς[ainmpn] μετά[pg] εἰρήνη[ngfsc] εἰς[pa] γῆ[nafsc] Ἰούδας[ngmsp] καί[cc] πενθέω[viaa3p] ὁ[dams] Ιωναθαν[namsp] καί[cc] ὁ[damp] μετά[pg] αὐτός[rpgms] καί[cc] φοβέω[viap3p] σφόδρα[b] καί[cc] πενθέω[viaa3s] πᾶς[ainmsn] Ἰσραήλ[nnmsp] πένθος[nansc] μέγας[anansn].

καὶ ἐξάρωμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.
καὶ ἤκουσεν Σιμων ὅτι συνήγαγεν Τρύφων δύναμιν πολλὴν **13**
τοῦ ἐλθεῖν εἰς γῆν Ιουδα καὶ ἐκτρῖψαι αὐτήν. καὶ εἶδεν τὸν λα- 2
όν ὅτι ἔντρομός ἐστιν καὶ ἔκφοβος καὶ ἀνέβη εἰς Ιερουσαλημ καὶ
ἤθροισεν τὸν λαὸν. καὶ παρεκάλεσεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς 3
αὐτοὶ οἴδατε ὅσα ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός
μου ἐποιήσαμεν περὶ τῶν νόμων καὶ τῶν ἁγίων καὶ τοὺς πολέ-
μους καὶ τὰς στενοχωρίας ἃς εἴδομεν. τούτου χάριν ἀπώλοντο 4
οἱ ἀδελφοί μου πάντες χάριν τοῦ Ισραηλ καὶ κατελείφθην ἐγὼ μό-
νος. καὶ νῦν μή μοι γένοιτο φείσασθαί μου τῆς ψυχῆς ἐν παντὶ 5
καιρῷ θλίψεως οὐ γάρ εἰμι κρείσσων τῶν ἀδελφῶν μου. πλὴν 6
ἐκδικήσω περὶ τοῦ ἔθνους μου καὶ περὶ τῶν ἁγίων καὶ περὶ τῶν
γυναικῶν καὶ τέκνων ὑμῶν ὅτι συνήχθησαν πάντα τὰ ἔθνη ἐκτρῖ-
ψαι ἡμᾶς ἔχθρας χάριν. καὶ ἀνεζωπύρησεν τὸ πνεῦμα τοῦ λαοῦ 7
ἅμα τοῦ ἀκοῦσαι τῶν λόγων τούτων. καὶ ἀπεκρίθησαν φωνῇ με- 8
γάλῃ λέγοντες σὺ εἶ ἡμῶν ἡγούμενος ἀντὶ Ιουδου καὶ Ιωναθου
τοῦ ἀδελφοῦ σου. πολέμησον τὸν πόλεμον ἡμῶν καὶ πάντα ὅσα 9
ἂν εἴπῃς ἡμῖν ποιήσομεν. καὶ συνήγαγεν πάντας τοὺς ἄνδρας 10
τοὺς πολεμιστὰς καὶ ἐτάχυνεν τοῦ τελέσαι τὰ τείχη Ιερουσαλημ
καὶ ὠχύρωσεν αὐτὴν κυκλόθεν. καὶ ἀπέστειλεν Ιωναθαν τὸν τοῦ 11

---

**v.53** καί[cc] ζητέω[viaa3p] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] ὁ[dnnp] κύκλος[pg] αὐτός[rpgmp] ἐκτρίβω[vnaa] αὐτός[rpamp] λέγω[viaa3p] γάρ[cc] οὐ[b] ἔχω[vipa3p] ἄρχων[namsc] καί[cc] βοηθέω[vppaams] νῦν[b] οὖν[cc] πολεμέω[vsaa1p] αὐτός[rpamp] καί[cc] ἐξαίρω[vsaa1p] ἐκ[pg] ἄνθρωπος[ngmpc] ὁ[dans] μνημόσυνον[nansc] αὐτός[rpgmp]. **13.** **v.1** καί[cc] ἀκούω[viaa3s] Σίμων[nnmsp] ὅτι[cs] συνάγω[viaa3s] Τρύφων[nnmsp] δύναμις[nafsc] πολύς[anafsn] ὁ[dgns] ἔρχομαι[vnaa] εἰς[pa] γῆ[nafsc] Ἰούδας[ngmsp] καί[cc] ἐκτρίβω[vnaa] αὐτός[rpafs]. **v.2** καί[cc] ὁράω[viaa3s] ὁ[dams] λαός[namsc] ὅτι[cs] ἔντρομος[annmsn] εἰμί[vipa3s] καί[cc] ἔκφοβος[annmsn] καί[cc] ἀναβαίνω[viaa3s] εἰς[pa] Ἰερουσαλήμ[nafsp] καί[cc] ἀθροίζω[viaa3s] ὁ[dams] λαός[namsc]. **v.3** καί[cc] παρακαλέω[viaa3s] αὐτός[rpamp] καί[cc] λέγω[viaa3s] αὐτός[rpdmp] αὐτός[rtnmp] οἶδα[vixa2p] ὅσος[aranpn] ἐγώ[rpn-s] καί[cc] ὁ[dnmp] ἀδελφός[nnmpc] ἐγώ[rpg-s] καί[cc] ὁ[dnms] οἶκος[nnmsc] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpg-s] ποιέω[viaa1p] περί[pg] ὁ[dgmp] νόμος[ngmpc] καί[cc] ὁ[dgnp] ἅγιος[angnpn] καί[cc] ὁ[damp] πόλεμος[nampc] καί[cc] ὁ[dafp] στενοχωρία[nafpc] ὅς[rrafp] ὁράω[viaa1p]. **v.4** οὗτος[rdgns] χάριν[pg] ἀπόλλυμι[viam3p] ὁ[dnmp] ἀδελφός[nnmpc] ἐγώ[rpg-s] πᾶς[ainmpn] χάριν[pg] ὁ[dgms] Ἰσραήλ[ngmsp] καί[cc] καταλείπω[viap1s] ἐγώ[rpn-s] μόνος[annmsn]. **v.5** καί[cc] νῦν[b] μή[x] ἐγώ[rpd-s] γίνομαι[voam3s] φείδομαι[vnam] ἐγώ[rpg-s] ὁ[dgfs] ψυχή[ngfsc] ἐν[pd] πᾶς[aidmsn] καιρός[ndmsc] θλῖψις[ngfsc] οὐ[b] γάρ[cc] εἰμί[vipa1s] ἀγαθός[annmsc] ὁ[dgmp] ἀδελφός[ngmpc] ἐγώ[rpg-s]. **v.6** πλήν[b] ἐκδικέω[vifa1s] περί[pg] ὁ[dgns] ἔθνος[ngnsc] ἐγώ[rpg-s] καί[cc] περί[pg] ὁ[dgnp] ἅγιος[angnpn] καί[cc] περί[pg] ὁ[dgfp] γυνή[ngfpc] καί[cc] τέκνον[ngnpc] σύ[rpg-p] ὅτι[cs] συνάγω[viap3p] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] ἐκτρίβω[vnaa] ἐγώ[rpa-p] ἔχθρα[ngfsc] χάριν[pg]. **v.7** καί[cc] ἀναζωπυρέω[viaa3s] ὁ[dnns] πνεῦμα[nnnsc] ὁ[dgms] λαός[ngmsc] ἅμα[b] ὁ[dgns] ἀκούω[vnaa] ὁ[dgmp] λόγος[ngmpc] οὗτος[rdgmp]. **v.8** καί[cc] ἀποκρίνομαι[viap3p] φωνή[ndfsc] μέγας[andfsn] λέγω[vppanmp] σύ[rpn-s] εἰμί[vipa2s] ἐγώ[rpg-p] ἡγέομαι[vppmnms] ἀντί[pg] Ἰούδας[ngmsp] καί[cc] Ιωναθαν[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] σύ[rpg-s]. **v.9** πολεμέω[vdaa2s] ὁ[dams] πόλεμος[namsc] ἐγώ[rpg-p] καί[cc] πᾶς[aianpn] ὅσος[aranpn] ἄν[x] λέγω[vsaa2s] ἐγώ[rpd-p] ποιέω[vifa1p]. **v.10** καί[cc] συνάγω[viaa3s] πᾶς[aiampn] ὁ[damp] ἀνήρ[nampc] ὁ[damp] πολεμιστής[nampc] καί[cc] ταχύνω[viaa3s] ὁ[dgns] τελέω[vnaa] ὁ[danp] τεῖχος[nanpc] Ἰερουσαλήμ[ngfsp] καί[cc] ὀχυρόω[viaa3s] αὐτός[rpafs] κυκλόθεν[b].

Αψαλωμου καὶ μετ᾽ αὐτοῦ δύναμιν ἱκανὴν εἰς Ιοππην καὶ ἐξέβα-
12 λεν τοὺς ὄντας ἐν αὐτῇ καὶ ἔμεινεν ἐκεῖ ἐν αὐτῇ. καὶ ἀπῆρεν
Τρύφων ἀπὸ Πτολεμαίδος μετὰ δυνάμεως πολλῆς ἐλθεῖν εἰς γῆν
13 Ιουδα καὶ Ιωναθαν μετ᾽ αὐτοῦ ἐν φυλακῇ. Σιμων δὲ παρενέβαλεν
14 ἐν Αδιδοις κατὰ πρόσωπον τοῦ πεδίου. καὶ ἐπέγνω Τρύφων ὅτι
ἀνέστη Σιμων ἀντὶ Ιωναθου τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ὅτι συνάπτειν
αὐτῷ μέλλει πόλεμον καὶ ἀπέστειλεν πρὸς αὐτὸν πρέσβεις λέγων.
15 περὶ ἀργυρίου οὗ ὤφειλεν Ιωναθαν ὁ ἀδελφός σου εἰς τὸ βασι-
16 λικὸν δι᾽ ἃς εἶχεν χρείας συνέχομεν αὐτόν. καὶ νῦν ἀπόστειλον
ἀργυρίου τάλαντα ἑκατὸν καὶ δύο τῶν υἱῶν αὐτοῦ ὅμηρα ὅπως
17 μὴ ἀφεθεὶς ἀποστατήσῃ ἀφ᾽ ἡμῶν καὶ ἀφήσομεν αὐτόν. καὶ
ἔγνω Σιμων ὅτι δόλῳ λαλοῦσιν πρὸς αὐτόν καὶ πέμπει τοῦ λα-
βεῖν τὸ ἀργύριον καὶ τὰ παιδάρια μήποτε ἔχθραν ἄρῃ μεγάλην
18 πρὸς τὸν λαόν. λέγοντες ὅτι οὐκ ἀπέστειλα αὐτῷ τὸ ἀργύριον
19 καὶ τὰ παιδάρια ἀπώλετο. καὶ ἀπέστειλεν τὰ παιδάρια καὶ τὰ
ἑκατὸν τάλαντα καὶ διεψεύσατο καὶ οὐκ ἀφῆκεν τὸν Ιωναθαν.
20 καὶ μετὰ ταῦτα ἦλθεν Τρύφων τοῦ ἐμβατεῦσαι εἰς τὴν χώραν καὶ
ἐκτρῖψαι αὐτήν καὶ ἐκύκλωσαν ὁδὸν τὴν εἰς Αδωρα καὶ Σιμων
καὶ ἡ παρεμβολὴ αὐτοῦ ἀντιπαρῆγεν αὐτῷ εἰς πάντα τόπον οὗ
21 ἂν ἐπορεύετο. οἱ δὲ ἐκ τῆς ἄκρας ἀπέστελλον πρὸς Τρύφωνα
πρεσβευτὰς κατασπεύδοντας αὐτὸν τοῦ ἐλθεῖν πρὸς αὐτοὺς διὰ

---

**v.11** καί[cc] ἀποστέλλω[viaa3s] Ιωναθαν[nnmsp] ὁ[dams] ὁ[dgms] Αψαλωμος[ngmsp] καί[cc] μετά[pg] αὐτός[rpgms] δύναμις[nafsc] ἱκανός[anafsn] εἰς[pa] Ἰόππη[nafsp] καί[cc] ἐκβάλλω[viaa3s] ὁ[damp] εἰμί[vppaamp] ἐν[pd] αὐτός[rpdfs] καί[cc] μένω[viaa3s] ἐκεῖ[b] ἐν[pd] αὐτός[rpdfs]. **v.12** καί[cc] ἀπαίρω[viaa3s] Τρύφων[nnmsp] ἀπό[pg] Πτολεμαΐς[ngfsp] μετά[pg] δύναμις[ngfsc] πολύς[angfsn] ἔρχομαι[vnaa] εἰς[pa] γῆ[nafsc] Ἰούδας[ngmsp] καί[cc] Ιωναθαν[nnmsp] μετά[pg] αὐτός[rpgms] ἐν[pd] φυλακή[ndfsc]. **v.13** Σίμων[nnmsp] δέ[cc] παρεμβάλλω[viaa3s] ἐν[pd] Αδιδα[nd-pp] κατά[pa] πρόσωπον[nansc] ὁ[dgns] πεδίον[ngnsc]. **v.14** καί[cc] ἐπιγινώσκω[viaa3s] Τρύφων[nnmsp] ὅτι[cs] ἀνίστημι[viaa3s] Σίμων[nnmsp] ἀντί[pg] Ιωναθαν[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] αὐτός[rpgms] καί[cc] ὅτι[cs] συνάπτω[vnpa] αὐτός[rpdms] μέλλω[vipa3s] πόλεμος[namsc] καί[cc] ἀποστέλλω[viaa3s] πρός[pa] αὐτός[rpams] πρέσβυς[nampc] λέγω[vppanms]. **v.15** περί[pg] ἀργύριον[ngnsc] ὅς[rrgns] ὀφείλω[viia3s] Ιωναθαν[nnmsp] ὁ[dnms] ἀδελφός[nnmsc] σύ[rpg-s] εἰς[pa] ὁ[dans] βασιλικός[anansn] διά[pa] ὅς[rrafp] ἔχω[viia3s] χρεία[nafpc] συνέχω[vipa1p] αὐτός[rpams]. **v.16** καί[cc] νῦν[b] ἀποστέλλω[vdaa2s] ἀργύριον[ngnsc] τάλαντον[nanpc] ἑκατόν[ac—n] καί[cc] δύο[ac—n] ὁ[dgmp] υἱός[ngmpc] αὐτός[rpgms] ὅμηρος[nanpc] ὅπως[cs] μή[x] ἀφίημι[vpapnms] ἀποστατέω[vsaa3s] ἀπό[pg] ἐγώ[rpg-p] καί[cc] ἀφίημι[vifa1p] αὐτός[rpams]. **v.17** καί[cc] γινώσκω[viaa3s] Σίμων[nnmsp] ὅτι[cs] δόλος[ndmsc] λαλέω[vipa3p] πρός[pa] αὐτός[rpams] καί[cc] πέμπω[vipa3s] ὁ[dgns] λαμβάνω[vnaa] ὁ[dans] ἀργύριον[nansc] καί[cc] ὁ[danp] παιδάριον[nanpc] μήποτε[cs] ἔχθρα[nafsc] αἴρω[vsaa3s] μέγας[anafsn] πρός[pa] ὁ[dams] λαός[namsc]. **v.18** λέγω[vppanmp] ὅτι[cs] οὐ[b] ἀποστέλλω[viaa1s] αὐτός[rpdms] ὁ[dans] ἀργύριον[nansc] καί[cc] ὁ[danp] παιδάριον[nanpc] ἀπόλλυμι[viam3s]. **v.19** καί[cc] ἀποστέλλω[viaa3s] ὁ[danp] παιδάριον[nanpc] καί[cc] ὁ[danp] ἑκατόν[ac—n] τάλαντον[nanpc] καί[cc] διαψεύδομαι[viam3s] καί[cc] οὐ[b] ἀφίημι[viaa3s] ὁ[dams] Ιωναθαν[namsp]. **v.20** καί[cc] μετά[pa] οὗτος[rdanp] ἔρχομαι[viaa3s] Τρύφων[nnmsp] ὁ[dgns] ἐμβατεύω[vnaa] εἰς[pa] ὁ[dafs] χώρα[nafsc] καί[cc] ἐκτρίβω[vnaa] αὐτός[rpafs] καί[cc] κυκλόω[viaa3p] ὁδός[nafsc] ὁ[dafs] εἰς[pa] Αδωρα[na-sp] καί[cc] Σίμων[nnmsp] καί[cc] ὁ[dnfs] παρεμβολή[nnfsc] αὐτός[rpgms] ἀντιπαράγω[viia3s] αὐτός[rpdms] εἰς[pa] πᾶς[aiamsn] τόπος[namsc] ὅς[b] ἄν[x] πορεύομαι[viim3s].

τῆς ἐρήμου καὶ ἀποστεῖλαι αὐτοῖς τροφάς. καὶ ἡτοίμασεν Τρύ- 22
φων πᾶσαν τὴν ἵππον αὐτοῦ ἐλθεῖν καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ ἦν χιὼν
πολλὴ σφόδρα καὶ οὐκ ἦλθεν διὰ τὴν χιόνα καὶ ἀπῆρεν καὶ ἦλθεν
εἰς τὴν Γαλααδῖτιν. ὡς δὲ ἤγγισεν τῆς Βασκαμα ἀπέκτεινεν τὸν 23
Ιωναθαν καὶ ἐτάφη ἐκεῖ. καὶ ἐπέστρεψεν Τρύφων καὶ ἀπῆλθεν 24
εἰς τὴν γῆν αὐτοῦ. καὶ ἀπέστειλεν Σιμων καὶ ἔλαβεν τὰ ὀστᾶ 25
Ιωναθου τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἔθαψεν αὐτὸν ἐν Μωδεϊν πόλει
τῶν πατέρων αὐτοῦ. καὶ ἐκόψαντο αὐτὸν πᾶς Ισραηλ κοπετὸν 26
μέγαν καὶ ἐπένθησαν αὐτὸν ἡμέρας πολλάς. καὶ ᾠκοδόμησεν 27
Σιμων ἐπὶ τὸν τάφον τοῦ πατρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν αὐτοῦ
καὶ ὕψωσεν αὐτὸν τῇ ὁράσει λίθῳ ξεστῷ ἐκ τῶν ὄπισθεν καὶ ἔμ-
προσθεν. καὶ ἔστησεν ἑπτὰ πυραμίδας μίαν κατέναντι τῆς μιᾶς 28
τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς τέσσαρσιν ἀδελφοῖς. καὶ ταύταις 29
ἐποίησεν μηχανήματα περιθεὶς στύλους μεγάλους καὶ ἐποίησεν
ἐπὶ τοῖς στύλοις πανοπλίας εἰς ὄνομα αἰώνιον καὶ παρὰ ταῖς πα-
νοπλίαις πλοῖα ἐγγεγλυμμένα εἰς τὸ θεωρεῖσθαι ὑπὸ πάντων τῶν
πλεόντων τὴν θάλασσαν. οὗτος ὁ τάφος ὃν ἐποίησεν ἐν Μωδεϊν 30
ἕως τῆς ἡμέρας ταύτης. ὁ δὲ Τρύφων ἐπορεύετο δόλῳ μετὰ Ἀν- 31
τιόχου τοῦ βασιλέως τοῦ νεωτέρου καὶ ἀπέκτεινεν αὐτόν. καὶ 32
ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ καὶ περιέθετο τὸ διάδημα τῆς Ἀσίας καὶ

---

**v.21** ὁ[dnmp] δέ[cc] ἐκ[pg] ὁ[dgfs] ἄκρα[ngfsc] ἀποστέλλω[viia3p] πρός[pa] Τρύφων[namsp] πρεσβευτής[nampc] κατασπεύδω[vppaamp] αὐτός[rpams] ὁ[dgns] ἔρχομαι[vnaa] πρός[pa] αὐτός[rpamp] διά[pg] ὁ[dgfs] ἔρημος[ngfsc] καί[cc] ἀποστέλλω[vnaa] αὐτός[rpdmp] τροφή[nafpc]. **v.22** καί[cc] ἑτοιμάζω[viaa3s] Τρύφων[nnmsp] πᾶς[aiafsn] ὁ[dafs] ἵππος[nafsc] αὐτός[rpgms] ἔρχομαι[vnaa] καί[cc] ἐν[pd] ὁ[ddfs] νύξ[ndfsc] ἐκεῖνος[rddfs] εἰμί[viia3s] χιών[nnfsc] πολύς[annfsn] σφόδρα[b] καί[cc] οὐ[b] ἔρχομαι[viaa3s] διά[pa] ὁ[dafs] χιών[nafsc] καί[cc] ἀπαίρω[viaa3s] καί[cc] ἔρχομαι[viaa3s] εἰς[pa] ὁ[dafs] Γαλααδῖτις[nafsp]. **v.23** ὡς[cs] δέ[cc] ἐγγίζω[viaa3s] ὁ[dgfs] Βασκαμα[ngfsp] ἀποκτείνω[viaa3s] ὁ[dams] Ιωναθαν[namsp] καί[cc] θάπτω[viap3s] ἐκεῖ[b]. **v.24** καί[cc] ἐπιστρέφω[viaa3s] Τρύφων[nnmsp] καί[cc] ἀπέρχομαι[viaa3s] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] αὐτός[rpgms]. **v.25** καί[cc] ἀποστέλλω[viaa3s] Σίμων[nnmsp] καί[cc] λαμβάνω[viaa3s] ὁ[danp] ὀστέον[nanpc] Ιωναθαν[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] αὐτός[rpgms] καί[cc] θάπτω[viaa3s] αὐτός[rpams] ἐν[pd] Μωδεϊν[ndfsp] πόλις[ndfsc] ὁ[dgmp] πατήρ[ngmpc] αὐτός[rpgms]. **v.26** καί[cc] κόπτω[viam3p] αὐτός[rpams] πᾶς[ainmsn] Ἰσραήλ[nnmsp] κοπετός[namsc] μέγας[anamsn] καί[cc] πενθέω[viaa3p] αὐτός[rpams] ἡμέρα[nafpc] πολύς[anafpn]. **v.27** καί[cc] οἰκοδομέω[viaa3s] Σίμων[nnmsp] ἐπί[pa] ὁ[dams] τάφος[namsc] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgms] καί[cc] ὁ[dgmp] ἀδελφός[ngmpc] αὐτός[rpgms] καί[cc] ὑψόω[viaa3s] αὐτός[rpams] ὁ[ddfs] ὅρασις[ndfsc] λίθος[ndmsc] ξεστός[andmsn] ἐκ[pg] ὁ[dgmp] ὄπισθεν[b] καί[cc] ἔμπροσθεν[b]. **v.28** καί[cc] ἵστημι[viaa3s] ἑπτά[ac—n] πυραμίς[nafsc] εἷς[acafsn] κατέναντι[pg] ὁ[dgfs] εἷς[acgfsn] ὁ[ddms] πατήρ[ndmsc] καί[cc] ὁ[ddfs] μήτηρ[ndfsc] καί[cc] ὁ[ddmp] τέσσαρες[acdmpn] ἀδελφός[ndmpc]. **v.29** καί[cc] οὗτος[rddfp] ποιέω[viaa3s] μηχάνημα[nanpc] περιτίθημι[vpaanms] στῦλος[nampc] μέγας[anampn] καί[cc] ποιέω[viaa3s] ἐπί[pd] ὁ[ddmp] στῦλος[ndmpc] πανοπλία[nafpc] εἰς[pa] ὄνομα[nansc] αἰώνιος[anansn] καί[cc] παρά[pd] ὁ[ddfp] πανοπλία[ndfpc] πλοῖον[nanpc] ἐγγλύφω[vpxpanp] εἰς[pa] ὁ[dans] θεωρέω[vnpp] ὑπό[pg] πᾶς[aigmpn] ὁ[dgmp] πλέω[vppagmp] ὁ[dafs] θάλασσα[nafsc]. **v.30** οὗτος[rdnms] ὁ[dnms] τάφος[nnmsc] ὅς[rrams] ποιέω[viaa3s] ἐν[pd] Μωδεϊν[ndfsp] ἕως[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdgfs]. **v.31** ὁ[dnms] δέ[cc] Τρύφων[nnmsp] πορεύομαι[viim3s] δόλος[ndmsc] μετά[pg] Ἀντίοχος[ngmsp] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dgms] νέος[angmsc] καί[cc] ἀποκτείνω[viaa3s] αὐτός[rpams].

33 ἐποίησεν πληγὴν μεγάλην ἐπὶ τῆς γῆς. καὶ ᾠκοδόμησεν Σιμων
τὰ ὀχυρώματα τῆς Ιουδαίας καὶ περιετείχισεν πύργοις ὑψηλοῖς
καὶ τείχεσιν μεγάλοις καὶ πύλαις καὶ μοχλοῖς καὶ ἔθετο βρώματα
34 ἐν τοῖς ὀχυρώμασιν. καὶ ἐπέλεξεν Σιμων ἄνδρας καὶ ἀπέστειλεν
πρὸς Δημήτριον τὸν βασιλέα τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ ὅτι πᾶ-
35 σαι αἱ πράξεις Τρύφωνος ἦσαν ἁρπαγαί. καὶ ἀπέστειλεν αὐτῷ
Δημήτριος ὁ βασιλεὺς κατὰ τοὺς λόγους τούτους καὶ ἀπεκρίθη
36 αὐτῷ καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν τοιαύτην. βασιλεὺς Δημή-
τριος Σιμωνι ἀρχιερεῖ καὶ φίλῳ βασιλέων καὶ πρεσβυτέροις καὶ
37 ἔθνει Ιουδαίων χαίρειν. τὸν στέφανον τὸν χρυσοῦν καὶ τὴν βα-
ΐνην ἣν ἀπεστείλατε κεκομίσμεθα καὶ ἕτοιμοί ἐσμεν τοῦ ποιεῖν
ὑμῖν εἰρήνην μεγάλην καὶ γράφειν τοῖς ἐπὶ τῶν χρειῶν τοῦ ἀφιέ-
38 ναι ὑμῖν τὰ ἀφέματα. καὶ ὅσα ἐστήσαμεν πρὸς ὑμᾶς ἕστηκεν
39 καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδομήσατε ὑπαρχέτω ὑμῖν. ἀφίεμεν δὲ
ἀγνοήματα καὶ τὰ ἁμαρτήματα ἕως τῆς σήμερον ἡμέρας καὶ τὸν
στέφανον ὃν ὠφείλετε καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο ἐν Ιερουσαλημ μη-
40 κέτι τελωνείσθω. καὶ εἴ τινες ἐπιτήδειοι ὑμῶν γραφῆναι εἰς τοὺς
περὶ ἡμᾶς ἐγγραφέσθωσαν καὶ γινέσθω ἀνὰ μέσον ἡμῶν εἰρήνη.
41 ἔτους ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἤρθη ὁ ζυγὸς τῶν ἐθνῶν ἀπὸ
42 τοῦ Ισραηλ. καὶ ἤρξατο ὁ λαὸς γράφειν ἐν ταῖς συγγραφαῖς καὶ
συναλλάγμασιν ἔτους πρώτου ἐπὶ Σιμωνος ἀρχιερέως μεγάλου

---

ἀπολύεις ὁ δὲ τοῦ κόσμου βασιλεὺς ἀποθανόντας ἡμᾶς ὑπὲρ τῶν
10 αὐτοῦ νόμων εἰς αἰώνιον ἀναβίωσιν ζωῆς ἡμᾶς ἀναστήσει. μετὰ
δὲ τοῦτον ὁ τρίτος ἐνεπαίζετο καὶ τὴν γλῶσσαν αἰτηθεὶς ταχέως
11 προέβαλεν καὶ τὰς χεῖρας εὐθαρσῶς προέτεινεν. καὶ γενναίως
εἶπεν ἐξ οὐρανοῦ ταῦτα κέκτημαι καὶ διὰ τοὺς αὐτοῦ νόμους ὑ-
περορῶ ταῦτα καὶ παρ' αὐτοῦ ταῦτα πάλιν ἐλπίζω κομίσασθαι.
12 ὥστε αὐτὸν τὸν βασιλέα καὶ τοὺς σὺν αὐτῷ ἐκπλήσσεσθαι τὴν
13 τοῦ νεανίσκου ψυχήν ὡς ἐν οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο. καὶ
τούτου δὲ μεταλλάξαντος τὸν τέταρτον ὡσαύτως ἐβασάνιζον αἰ-
14 κιζόμενοι. καὶ γενόμενος πρὸς τὸ τελευτᾶν οὕτως ἔφη αἱρετὸν
μεταλλάσσοντας ὑπ' ἀνθρώπων τὰς ὑπὸ τοῦ θεοῦ προσδοκᾶν ἐλ-
πίδας πάλιν ἀναστήσεσθαι ὑπ' αὐτοῦ σοὶ μὲν γὰρ ἀνάστασις εἰς
15 ζωὴν οὐκ ἔσται. ἐχομένως δὲ τὸν πέμπτον προσάγοντες ᾐκί-
16 ζοντο. ὁ δὲ πρὸς αὐτὸν ἰδὼν εἶπεν ἐξουσίαν ἐν ἀνθρώποις ἔχων
φθαρτὸς ὢν ὃ θέλεις ποιεῖς μὴ δόκει δὲ τὸ γένος ἡμῶν ὑπὸ τοῦ
17 θεοῦ καταλελεῖφθαι. σὺ δὲ καρτέρει καὶ θεώρει τὸ μεγαλεῖον
18 αὐτοῦ κράτος ὡς σὲ καὶ τὸ σπέρμα σου βασανιεῖ. μετὰ δὲ τοῦ-
τον ἦγον τὸν ἕκτον καὶ μέλλων ἀποθνῄσκειν ἔφη μὴ πλανῶ μάτην
ἡμεῖς γὰρ δι' ἑαυτοὺς ταῦτα πάσχομεν ἁμαρτόντες εἰς τὸν ἑαυ-

---

**v.8** ὁ[dnms] δέ[cc] ἀποκρίνομαι[vpapnms] ὁ[ddfs] πάτριος[andfsn] φωνή[ndfsc] προσλέγω[viaa3s] οὐχί[b] διόπερ[cc] καί[b] οὗτος[rdnms] ὁ[dafs] ἑξῆς[b] λαμβάνω[viaa3s] βάσανος[nafsc] ὡς[cs] ὁ[dnms] πρῶτος[aonmsn]. **v.9** ἐν[pd] ἔσχατος[andfsn] δέ[cc] πνοή[ndfsc] γίνομαι[vpamnms] λέγω[viaa3s] σύ[rpn-s] μέν[x] ἀλάστωρ[nnmsc] ἐκ[pg] ὁ[dgms] πάρειμι[vppagms] ἐγώ[rpa-p] ζάω[vnpa] ἀπολύω[vipa2s] ὁ[dnms] δέ[cc] ὁ[dgms] κόσμος[ngmsc] βασιλεύς[nnmsc] ἀποθνῄσκω[vpaaamp] ἐγώ[rpa-p] ὑπέρ[pg] ὁ[dgmp] αὐτός[rpgms] νόμος[ngmpc] εἰς[pa] αἰώνιος[anafsn] ἀναβίωσις[nafsc] ζωή[ngfsc] ἐγώ[rpa-p] ἀνίστημι[vifa3s]. **v.10** μετά[pa] δέ[cc] οὗτος[rdams] ὁ[dnms] τρίτος[aonmsn] ἐμπαίζω[viip3s] καί[cc] ὁ[dafs] γλῶσσα[nafsc] αἰτέω[vpapnms] ταχέως[b] προβάλλω[viaa3s] καί[cc] ὁ[dafp] χείρ[nafpc] εὐθαρσῶς[b] προτείνω[viaa3s]. **v.11** καί[cc] γενναίως[b] λέγω[viaa3s] ἐκ[pg] οὐρανός[ngmsc] οὗτος[rdanp] κτάομαι[vixm1s] καί[cc] διά[pa] ὁ[damp] αὐτός[rpgms] νόμος[nampc] ὑπεροράω[vipa1s] οὗτος[rdanp] καί[cc] παρά[pg] αὐτός[rpgms] οὗτος[rdanp] πάλιν[b] ἐλπίζω[vipa1s] κομίζω[vnam]. **v.12** ὥστε[cs] αὐτός[rtams] ὁ[dams] βασιλεύς[namsc] καί[cc] ὁ[damp] σύν[pd] αὐτός[rpdms] ἐκπλήσσω[vnpp] ὁ[dafs] ὁ[dgms] νεανίσκος[ngmsc] ψυχή[nafsc] ὡς[cs] ἐν[pd] οὐδείς[ridns] ὁ[dafp] ἀλγηδών[nafpc] τίθημι[viim3s]. **v.13** καί[cc] οὗτος[rdgms] δέ[cc] μεταλλάσσω[vpaagms] ὁ[dams] τέταρτος[aoamsn] ὡσαύτως[b] βασανίζω[viia3p] αἰκίζω[vppmnmp]. **v.14** καί[cc] γίνομαι[vpamnms] πρός[pa] ὁ[dans] τελευτάω[vnpa] οὕτως[b] φημί[viaa3'sviia3s] αἱρετός[anansn] μεταλλάσσω[vppaamp] ὑπό[pg] ἄνθρωπος[ngmpc] ὁ[dafp] ὑπό[pg] ὁ[dgms] θεός[ngmsc] προσδοκάω[vnpa] ἐλπίς[nafpc] πάλιν[b] ἀνίστημι[vnfm] ὑπό[pg] αὐτός[rpgms] σύ[rpd-s] μέν[x] γάρ[cc] ἀνάστασις[nnfsc] εἰς[pa] ζωή[nafsc] οὐ[b] εἰμί[vifm3s]. **v.15** ἐχομένως[b] δέ[cc] ὁ[dams] πέμπτος[aoamsn] προσάγω[vppanmp] αἰκίζω[viia3p]. **v.16** ὁ[dnms] δέ[cc] πρός[pa] αὐτός[rpams] ὁράω[vpaanms] λέγω[viaa3s] ἐξουσία[nafsc] ἐν[pd] ἄνθρωπος[ndmpc] ἔχω[vppanms] φθαρτός[annmsn] εἰμί[vppanms] ὅς[rrans] θέλω[vipa2s] ποιέω[vipa2s] μή[x] δοκέω[vdpa2s] δέ[cc] ὁ[dans] γένος[nansc] ἐγώ[rpg-p] ὑπό[pg] ὁ[dgms] θεός[ngmsc] καταλείπω[vnxm]. **v.17** σύ[rpn-s] δέ[cc] καρτερέω[vdpa2s] καί[cc] θεωρέω[vdpa2s] ὁ[dans] μεγαλεῖος[anansn] αὐτός[rpgms] κράτος[nansc] ὡς[cs] σύ[rpa-s] καί[cc] ὁ[dans] σπέρμα[nansc] σύ[rpg-s] βασανίζω[vifa3s].

τῶν θεόν ἄξια θαυμασμοῦ γέγονεν. σὺ δὲ μὴ νομίσῃς ἀθῷος 19
ἔσεσθαι θεομαχεῖν ἐπιχειρήσας. ὑπεραγόντως δὲ ἡ μήτηρ θαυ- 20
μαστὴ καὶ μνήμης ἀγαθῆς ἀξία ἥτις ἀπολλυμένους υἱοὺς ἑπτὰ
συνορῶσα μιᾶς ὑπὸ καιρὸν ἡμέρας εὐψύχως ἔφερεν διὰ τὰς ἐπὶ
κύριον ἐλπίδας. ἕκαστον δὲ αὐτῶν παρεκάλει τῇ πατρίῳ φωνῇ 21
γενναίῳ πεπληρωμένη φρονήματι καὶ τὸν θῆλυν λογισμὸν ἄρσενι
θυμῷ διεγείρασα λέγουσα πρὸς αὐτούς. οὐκ οἶδ᾽ ὅπως εἰς τὴν 22
ἐμὴν ἐφάνητε κοιλίαν οὐδὲ ἐγὼ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν ἐ-
χαρισάμην καὶ τὴν ἑκάστου στοιχείωσιν οὐκ ἐγὼ διερρύθμισα.
τοιγαροῦν ὁ τοῦ κόσμου κτίστης ὁ πλάσας ἀνθρώπου γένεσιν καὶ 23
πάντων ἐξευρὼν γένεσιν καὶ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν πά-
λιν ἀποδίδωσιν μετ᾽ ἐλέους ὡς νῦν ὑπερορᾶτε ἑαυτοὺς διὰ τοὺς
αὐτοῦ νόμους. ὁ δὲ Ἀντίοχος οἰόμενος καταφρονεῖσθαι καὶ τὴν 24
ὀνειδίζουσαν ὑφορώμενος φωνὴν ἔτι τοῦ νεωτέρου περιόντος οὐ
μόνον διὰ λόγων ἐποιεῖτο τὴν παράκλησιν ἀλλὰ καὶ δι᾽ ὅρκων ἐ-
πίστου ἅμα πλουτιεῖν καὶ μακαριστὸν ποιήσειν μεταθέμενον ἀπὸ
τῶν πατρίων καὶ φίλον ἕξειν καὶ χρείας ἐμπιστεύσειν. τοῦ δὲ νε- 25
ανίου μηδαμῶς προσέχοντος προσκαλεσάμενος ὁ βασιλεὺς τὴν
μητέρα παρῄνει γενέσθαι τοῦ μειρακίου σύμβουλον ἐπὶ σωτη-
ρίᾳ. πολλὰ δὲ αὐτοῦ παραινέσαντος ἐπεδέξατο πείσειν τὸν υἱόν. 26

---

**v.18** μετά[pa] δέ[cc] οὗτος[rdams] ἄγω[viia3p] ὁ[dams] ἔκτος[aoamsn] καί[cc] μέλλω[vppanms] ἀποθνῄσκω[vnpa] φημί[viaa3’sviia3s] μή[x] πλανάω[vdpm2s] μάτην[b] ἐγώ[rpn-p] γάρ[cc] διά[pa] ἑαυτοῦ[rxamp] οὗτος[rdanp] πάσχω[vipa1p] ἁμαρτάνω[vpaanmp] εἰς[pa] ὁ[dams] ἑαυτοῦ[rxgmp] θεός[namsc] ἄξιος[annnpn] θαυμασμός[ngmsc] γίνομαι[vixa3s]. **v.19** σύ[rpn-s] δέ[cc] μή[x] νομίζω[vsaa2s] ἀθῷος[annmsn] εἰμί[vnfm] θεομαχέω[vnpa] ἐπιχειρέω[vpaanms]. **v.20** ὑπεραγόντως[b] δέ[cc] ὁ[dnfs] μήτηρ[nnfsc] θαυμαστός[annfsn] καί[cc] μνήμη[ngfsc] ἀγαθός[angfsn] ἄξιος[annfsn] ὅστις[rrnfs] ἀπόλλυμι[vppmamp] υἱός[nampc] ἑπτά[ac—n] συνοράω[vppanfs] εἷς[acgfsn] ὑπό[pa] καιρός[namsc] ἡμέρα[ngfsc] εὐψύχως[b] φέρω[viia3s] διά[pa] ὁ[dafp] ἐπί[pa] κύριος[namsc] ἐλπίς[nafpc]. **v.21** ἕκαστος[aiamsn] δέ[cc] αὐτός[rpgmp] παρακαλέω[viia3s] ὁ[ddfs] πάτριος[andfsn] φωνή[ndfsc] γενναῖος[andfsn] πληρόω[vpxpnfs] φρόνημα[ndnsc] καί[cc] ὁ[dams] θῆλυς[anamsn] λογισμός[namsc] ἄρσην[andmsn] θυμός[ndmsc] διεγείρω[vpaanfs] λέγω[vppanfs] πρός[pa] αὐτός[rpamp]. **v.22** οὐ[b] οἶδα[vixa1s] ὅπως[cs] εἰς[pa] ὁ[dafs] ἐμός[asafsn] φαίνω[viap2p] κοιλία[nafsc] οὐδέ[cc] ἐγώ[rpn-s] ὁ[dans] πνεῦμα[nansc] καί[cc] ὁ[dafs] ζωή[nafsc] σύ[rpd-p] χαρίζομαι[viam1s] καί[cc] ὁ[dafs] ἕκαστος[aigmsn] στοιχείωσις[nafsc] οὐ[b] ἐγώ[rpn-s] διαρυθμίζω[viaa1s]. **v.23** τοιγαροῦν[x] ὁ[dnms] ὁ[dgms] κόσμος[ngmsc] κτίστης[nnmsc] ὁ[dnms] πλάσσω[vpaanms] ἄνθρωπος[ngmsc] γένεσις[nafsc] καί[cc] πᾶς[aignpn] ἐξευρίσκω[vpaanms] γένεσις[nafsc] καί[cc] ὁ[dans] πνεῦμα[nansc] καί[cc] ὁ[dafs] ζωή[nafsc] σύ[rpd-p] πάλιν[b] ἀποδίδωμι[vipa3s] μετά[pg] ἔλεος[ngnsc] ὡς[cs] νῦν[b] ὑπεροράω[vipa2p] ἑαυτοῦ[rxamp] διά[pa] ὁ[damp] αὐτός[rpgms] νόμος[nampc]. **v.24** ὁ[dnms] δέ[cc] Ἀντίοχος[nnmsp] οἴομαι[vppmnms] καταφρονέω[vnpp] καί[cc] ὁ[dafs] ὀνειδίζω[vppaafs] ὑφοράω[vppmnms] φωνή[nafsc] ἔτι[b] ὁ[dgms] νέος[angmsc] περίειμι[vppagms] οὐ[b] μόνος[b] διά[pg] λόγος[ngmpc] ποιέω[viim3s] ὁ[dafs] παράκλησις[nafsc] ἀλλά[cc] καί[b] διά[pg] ὅρκος[ngmpc] πιστόω[viia3s] ἅμα[b] πλουτίζω[vnpa] καί[cc] μακαριστός[anamsn] ποιέω[vnfa] μετατίθημι[vpamams] ἀπό[pg] ὁ[dgmp] πάτριος[angmpn] καί[cc] φίλος[anamsn] ἔχω[vnfa] καί[cc] χρεία[nafpc] ἐμπιστεύω[vnfa]. **v.25** ὁ[dgms] δέ[cc] νεανίας[ngmsc] μηδαμῶς[b] προσέχω[vppagms] προσκαλέομαι[vpamnms] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[dafs] μήτηρ[nafsc] παραινέω[viia3s] γίνομαι[vnam] ὁ[dgns] μειράκιον[ngnsc] σύμβουλος[namsc] ἐπί[pd] σωτηρία[ndfsc]. **v.26** πολύς[ananpn] δέ[cc] αὐτός[rpgms] παραινέω[vpaagms] ἐπιδέχομαι[viam3s] πείθω[vnfa] ὁ[dams] υἱός[namsc].

27 προσκύψασα δὲ αὐτῷ χλευάσασα τὸν ὠμὸν τύραννον οὕτως ἔφη-
σεν τῇ πατρίῳ φωνῇ υἱέ ἐλέησόν με τὴν ἐν γαστρὶ περιενέγκασάν
σε μῆνας ἐννέα καὶ θηλάσασάν σε ἔτη τρία καὶ ἐκθρέψασάν σε
28 καὶ ἀγαγοῦσαν εἰς τὴν ἡλικίαν ταύτην καὶ τροφοφορήσασαν. ἀ-
ξιῶ σε τέκνον ἀναβλέψαντα εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ
ἐν αὐτοῖς πάντα ἰδόντα γνῶναι ὅτι οὐκ ἐξ ὄντων ἐποίησεν αὐτὰ
29 ὁ θεός καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτω γίνεται. μὴ φοβηθῇς
τὸν δήμιον τοῦτον ἀλλὰ τῶν ἀδελφῶν ἄξιος γενόμενος ἐπίδεξαι
τὸν θάνατον ἵνα ἐν τῷ ἐλέει σὺν τοῖς ἀδελφοῖς σου κομίσωμαί
30 σε. ἔτι δὲ ταύτης καταληγούσης ὁ νεανίας εἶπεν τίνα μένετε οὐχ
ὑπακούω τοῦ προστάγματος τοῦ βασιλέως τοῦ δὲ προστάγματος
ἀκούω τοῦ νόμου τοῦ δοθέντος τοῖς πατράσιν ἡμῶν διὰ Μωυ-
31 σέως. σὺ δὲ πάσης κακίας εὑρετὴς γενόμενος εἰς τοὺς Εβραίους
32 οὐ μὴ διαφύγῃς τὰς χεῖρας τοῦ θεοῦ. ἡμεῖς γὰρ διὰ τὰς ἑαυ-
33 τῶν ἁμαρτίας πάσχομεν. εἰ δὲ χάριν ἐπιπλήξεως καὶ παιδείας
ὁ ζῶν κύριος ἡμῶν βραχέως ἐπώργισται καὶ πάλιν καταλλαγήσε-
34 ται τοῖς ἑαυτοῦ δούλοις. σὺ δέ ὦ ἀνόσιε καὶ πάντων ἀνθρώπων
μιαρώτατε μὴ μάτην μετεωρίζου φρυαττόμενος ἀδήλοις ἐλπίσιν
35 ἐπὶ τοὺς οὐρανίους παῖδας ἐπαιρόμενος χεῖρα. οὔπω γὰρ τὴν
36 τοῦ παντοκράτορος ἐπόπτου θεοῦ κρίσιν ἐκπέφευγας. οἱ μὲν
γὰρ νῦν ἡμέτεροι ἀδελφοὶ βραχὺν ὑπενέγκαντες πόνον ἀενάου
ζωῆς ὑπὸ διαθήκην θεοῦ πεπτώκασιν σὺ δὲ τῇ τοῦ θεοῦ κρίσει

---

**v.27** προσκύπτω[vpaanfs] δέ[cc] αὐτός[rpdms] χλευάζω[vpaanfs] ὁ[dams] ὠμός[anamsn] τύραννος[namsc] οὕτως[b] φημί[viaa3s] ὁ[ddfs] πάτριος[andfsn] φωνή[ndfsc] υἱός[nvmsc] ἐλεέω[vdaa2s] ἐγώ[rpa-s] ὁ[dafs] ἐν[pd] γαστήρ[ndfsc] περιφέρω[vpaaafs] σύ[rpa-s] μήν[nampc] ἐννέα[ac—n] καί[cc] θηλάζω[vpaaafs] σύ[rpa-s] ἔτος[nanpc] τρεῖς[acanpn] καί[cc] ἐκτρέφω[vpaaafs] σύ[rpa-s] καί[cc] ἄγω[vpaaafs] εἰς[pa] ὁ[dafs] ἡλικία[nafsc] οὗτος[rdafs] καί[cc] τροφοφορέω[vpaaafs]. **v.28** ἀξιόω[vipa1s] σύ[rpams] τέκνον[nans’cnvnsc] ἀναβλέπω[vpaaams] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dafs] γῆ[nafsc] καί[cc] ὁ[danp] ἐν[pd] αὐτός[rpdmp] πᾶς[aianpn] ὁράω[vpaaams] γινώσκω[vnaa] ὅτι[cs] οὐ[b] ἐκ[pg] εἰμί[vppagnp] ποιέω[viaa3s] αὐτός[rpanp] ὁ[dnms] θεός[nnmsc] καί[cc] ὁ[dans] ὁ[dgmp] ἄνθρωπος[ngmpc] γένος[nansc] οὕτως[b] γίνομαι[vipm3s]. **v.29** μή[x] φοβέω[vsap2s] ὁ[dams] δήμιος[anamsn] οὗτος[rdams] ἀλλά[cc] ὁ[dgmp] ἀδελφός[ngmpc] ἄξιος[annmsn] γίνομαι[vpamnms] ἐπιδέχομαι[vdam2s] ὁ[dams] θάνατος[namsc] ἵνα[cs] ἐν[pd] ὁ[ddns] ἔλεος[ndnsc] σύν[pd] ὁ[ddmp] ἀδελφός[ndmpc] σύ[rpg-s] κομίζω[vsam1s] σύ[rpa-s]. **v.30** ἔτι[b] δέ[cc] οὗτος[rdgfs] καταλέγω[vppagfs] ὁ[dnms] νεανίας[nnmsc] λέγω[viaa3s] τίς[rqanp] μένω[vipa2p] οὐ[b] ὑπακούω[vipa1s] ὁ[dgns] πρόσταγμα[ngnsc] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dgns] δέ[cc] πρόσταγμα[ngnsc] ἀκούω[vipa1s] ὁ[dgms] νόμος[ngmsc] ὁ[dgms] δίδωμι[vpapgms] ὁ[ddmp] πατήρ[ndmpc] ἐγώ[rpg-p] διά[pg] Μωϋσῆς[ngmsp]. **v.31** σύ[rpn-s] δέ[cc] πᾶς[aigfsn] κακία[ngfsc] εὑρετής[nnmsc] γίνομαι[vpamnms] εἰς[pa] ὁ[damp] Ἑβραῖος[anampn] οὐ[b] μή[x] διαφεύγω[vsaa2s] ὁ[dafp] χείρ[nafpc] ὁ[dgms] θεός[ngmsc]. **v.32** ἐγώ[rpn-p] γάρ[cc] διά[pa] ὁ[dafp] ἑαυτοῦ[rxgmp] ἁμαρτία[nafpc] πάσχω[vipa1p]. **v.33** εἰ[cs] δέ[cc] χάριν[pg] ἐπίπληξις[ngfsc] καί[cc] παιδεία[ngfsc] ὁ[dnms] ζάω[vppanms] κύριος[nnmsc] ἐγώ[rpg-p] βραχέως[b] ἐπоргίζομαι[vixm3s] καί[cc] πάλιν[b] καταλλάσσω[vifm3s] ὁ[ddmp] ἑαυτοῦ[rxgms] δοῦλος[ndmpc]. **v.34** σύ[rpn-s] δέ[cc] ὦ[i] ἀνόσιος[anvmsn] καί[cc] πᾶς[aigmpn] ἄνθρωπος[ngmpc] μιαρός[anvmss] μή[x] μάτην[b] μετεωρίζομαι[vdpm2s] φρυάσσω[vpppnms] ἄδηλος[andfpn] ἐλπίς[ndfpc] ἐπί[pa] ὁ[damp] οὐράνιος[anampn] παῖς[nampc] ἐπαίρω[vppmnms] χείρ[nafsc]. **v.35** οὔπω[b] γάρ[cc] ὁ[dafs] ὁ[dgms] παντοκράτωρ[ngmsc] ἐπόπτης[ngmsc] θεός[ngmsc] κρίσις[nafsc] ἐκφεύγω[vixa2s].

δίκαια τὰ πρόστιμα τῆς ὑπερηφανίας ἀποίσῃ. ἐγὼ δέ καθάπερ 37
οἱ ἀδελφοί καὶ σῶμα καὶ ψυχὴν προδίδωμι περὶ τῶν πατρίων νό-
μων ἐπικαλούμενος τὸν θεὸν ἵλεως ταχὺ τῷ ἔθνει γενέσθαι καὶ σὲ
μετὰ ἐτασμῶν καὶ μαστίγων ἐξομολογήσασθαι διότι μόνος αὐτὸς
θεός ἐστιν. ἐν ἐμοὶ δὲ καὶ τοῖς ἀδελφοῖς μου στῆσαι τὴν τοῦ 38
παντοκράτορος ὀργὴν τὴν ἐπὶ τὸ σύμπαν ἡμῶν γένος δικαίως ἐ-
πηγμένην. ἔκθυμος δὲ γενόμενος ὁ βασιλεὺς τούτῳ παρὰ τοὺς 39
ἄλλους χειρίστως ἀπήντησεν πικρῶς φέρων ἐπὶ τῷ μυκτηρισμῷ.
καὶ οὗτος οὖν καθαρὸς μετήλλαξεν παντελῶς ἐπὶ τῷ κυρίῳ πεποι- 40
θώς. ἐσχάτη δὲ τῶν υἱῶν ἡ μήτηρ ἐτελεύτησεν. τὰ μὲν οὖν περὶ 41, 42
τοὺς σπλαγχνισμοὺς καὶ τὰς ὑπερβαλλούσας αἰκίας ἐπὶ τοσοῦτον
δεδηλώσθω.

Ιουδας δὲ ὁ καὶ Μακκαβαῖος καὶ οἱ σὺν αὐτῷ παρεισπορευόμε- **8**
νοι λεληθότως εἰς τὰς κώμας προσεκαλοῦντο τοὺς συγγενεῖς καὶ
τοὺς μεμενηκότας ἐν τῷ Ιουδαϊσμῷ προσλαμβανόμενοι συνήγα-
γον εἰς ἑξακισχιλίους. καὶ ἐπεκαλοῦντο τὸν κύριον ἐπιδεῖν τὸν 2
ὑπὸ πάντων καταπατούμενον λαόν οἰκτῖραι δὲ καὶ τὸν ναὸν τὸν
ὑπὸ τῶν ἀσεβῶν ἀνθρώπων βεβηλωθέντα. ἐλεῆσαι δὲ καὶ τὴν κα- 3
ταφθειρομένην πόλιν καὶ μέλλουσαν ἰσόπεδον γίνεσθαι καὶ τῶν
καταβοώντων πρὸς αὐτὸν αἱμάτων εἰσακοῦσαι. μνησθῆναι δὲ 4
καὶ τῆς τῶν ἀναμαρτήτων νηπίων παρανόμου ἀπωλείας καὶ περὶ

---

**v.36** ὁ[dnmp] μέν[x] γάρ[cc] νῦν[b] ἡμέτερος[asnmpn] ἀδελφός[nnmpc] βραχύς[anamsn] ὑποφέρω[vpaanmp] πόνος[namsc] ἀέναος[angfsn] ζωή[ngfsc] ὑπό[pa] διαθήκη[nafsc] θεός[ngmsc] πίπτω[vixa3p] σύ[rpn-s] δέ[cc] ὁ[ddfs] ὁ[dgms] θεός[ngmsc] κρίσις[ndfsc] δίκαιος[ananpn] ὁ[danp] πρόστιμον[nanpc] ὁ[dgfs] ὑπερηφανία[ngfsc] ἀποφέρω[vifm2s]. **v.37** ἐγώ[rpn-s] δέ[cc] καθάπερ[cs] ὁ[dnmp] ἀδελφός[nnmpc] καί[cc] σῶμα[nansc] καί[cc] ψυχή[nafsc] προδίδωμι[vipa1s] περί[pg] ὁ[dgmp] πάτριος[angmpn] νόμος[ngmpc] ἐπικαλέω[vppmnms] ὁ[dams] θεός[namsc] ἵλεως[b] ταχύς[b] ὁ[ddns] ἔθνος[ndnsc] γίνομαι[vnam] καί[cc] σύ[rpa-s] μετά[pg] ἐτασμός[ngmpc] καί[cc] μάστιξ[ngfpc] ἐξομολογέω[vnam] διότι[cs] μόνος[annmsn] αὐτός[rpnms] θεός[nnmsc] εἰμί[vipa3s]. **v.38** ἐν[pd] ἐγώ[rpd-s] δέ[cc] καί[cc] ὁ[ddmp] ἀδελφός[ndmpc] ἐγώ[rpg-s] ἵστημι[vnaa] ὁ[dafs] ὁ[dgms] παντοκράτωρ[ngmsc] ὀργή[nafsc] ὁ[dafs] ἐπί[pa] ὁ[dans] σύμπας[anansn] ἐγώ[rpg-p] γένος[nansc] δικαίως[b] ἐπάγω[vpxpafs]. **v.39** ἔκθυμος[annmsn] δέ[cc] γίνομαι[vpamnms] ὁ[dnms] βασιλεύς[nnmsc] οὗτος[rddms] παρά[pa] ὁ[damp] ἄλλος[riamp] χειρίστως[b] ἀπαντάω[viaa3s] πικρῶς[b] φέρω[vppanms] ἐπί[pd] ὁ[ddms] μυκτηρισμός[ndmsc]. **v.40** καί[cc] οὗτος[rdnms] οὖν[cc] καθαρός[annmsn] μεταλλάσσω[viaa3s] παντελῶς[b] ἐπί[pd] ὁ[ddms] κύριος[ndmsc] πείθω[vpxanms]. **v.41** ἔσχατος[annfsn] δέ[cc] ὁ[dgmp] υἱός[ngmpc] ὁ[dnfs] μήτηρ[nnfsc] τελευτάω[viaa3s]. **v.42** ὁ[danp] μέν[x] οὖν[cc] περί[pa] ὁ[damp] σπλαγχνισμός[nampc] καί[cc] ὁ[dafp] ὑπερβάλλω[vppaafp] αἰκία[nafpc] ἐπί[pa] τοσοῦτος[adansn] δηλόω[vdxp3s]. **8. v.1** Ἰούδας[nnmsp] δέ[cc] ὁ[dnms] καί[b] Μακκαβαῖος[nnmsp] καί[cc] ὁ[dnmp] σύν[pd] αὐτός[rpdms] παρεισπορεύομαι[vppmnmp] λεληθότως[b] εἰς[pa] ὁ[dafp] κώμη[nafpc] προσκαλέομαι[viim3p] ὁ[damp] συγγενής[anampn] καί[cc] ὁ[damp] μένω[vpxaamp] ἐν[pd] ὁ[ddms] Ἰουδαϊσμός[ndmsp] προσλαμβάνω[vppmnmp] συνάγω[viaa3p] εἰς[pa] ἑξακισχίλιοι[acampn]. **v.2** καί[cc] ἐπικαλέω[viim3p] ὁ[dams] κύριος[namsc] ἐφοράω[vnaa] ὁ[dams] ὑπό[pg] πᾶς[aigmpn] καταπατέω[vpppams] λαός[namsc] οἰκτίρω[vnaa] δέ[cc] καί[b] ὁ[dams] ναός[namsc] ὁ[dams] ὑπό[pg] ὁ[dgmp] ἀσεβής[angmpn] ἄνθρωπος[ngmpc] βεβηλόω[vpapams]. **v.3** ἐλεέω[vnaa] δέ[cc] καί[b] ὁ[dafs] καταφθείρω[vpppafs] πόλις[nafsc] καί[cc] μέλλω[vppaafs] ἰσόπεδος[anafsn] γίνομαι[vnpm] καί[cc] ὁ[dgnp] καταβοάω[vppagnp] πρός[pa] αὐτός[rpams] αἷμα[ngnpc] εἰσακούω[vnaa].

τῶν γενομένων εἰς τὸ ὄνομα αὐτοῦ βλασφημιῶν καὶ μισοπονηρῆ-
5 σαι. γενόμενος δὲ ὁ Μακκαβαῖος ἐν συστέματι ἀνυπόστατος ἤδη
τοῖς ἔθνεσιν ἐγίνετο τῆς ὀργῆς τοῦ κυρίου εἰς ἔλεον τραπείσης.
6 πόλεις δὲ καὶ κώμας ἀπροσδοκήτως ἐρχόμενος ἐνεπίμπρα καὶ
τοὺς ἐπικαίρους τόπους ἀπολαμβάνων οὐκ ὀλίγους τῶν πολεμίων
7 τροπούμενος. μάλιστα τὰς νύκτας πρὸς τὰς τοιαύτας ἐπιβολὰς
συνεργοὺς ἐλάμβανεν καὶ λαλιὰ τῆς εὐανδρίας αὐτοῦ διηχεῖτο
8 πανταχῇ. συνορῶν δὲ ὁ Φίλιππος κατὰ μικρὸν εἰς προκοπὴν
ἐρχόμενον τὸν ἄνδρα πυκνότερον δὲ ἐν ταῖς εὐημερίαις προβαί-
νοντα πρὸς Πτολεμαῖον τὸν Κοίλης Συρίας καὶ Φοινίκης στρα-
9 τηγὸν ἔγραψεν ἐπιβοηθεῖν τοῖς τοῦ βασιλέως πράγμασιν. ὁ δὲ
ταχέως προχειρισάμενος Νικάνορα τὸν τοῦ Πατρόκλου τῶν πρώ-
των φίλων ἀπέστειλεν ὑποτάξας παμφύλων ἔθνη οὐκ ἐλάττους
τῶν δισμυρίων τὸ σύμπαν τῆς Ιουδαίας ἐξᾶραι γένος συνέστησεν
δὲ αὐτῷ καὶ Γοργίαν ἄνδρα στρατηγὸν καὶ ἐν πολεμικαῖς χρείαις
10 πεῖραν ἔχοντα. διεστήσατο δὲ ὁ Νικάνωρ τὸν φόρον τῷ βασι-
λεῖ τοῖς Ῥωμαίοις ὄντα ταλάντων δισχιλίων ἐκ τῆς τῶν Ιουδαίων
11 αἰχμαλωσίας ἐκπληρώσειν. εὐθέως δὲ εἰς τὰς παραθαλασσίους
πόλεις ἀπέστειλεν προκαλούμενος ἐπ᾽ ἀγορασμὸν Ιουδαίων σω-
μάτων ὑπισχνούμενος ἐνενήκοντα σώματα ταλάντου παραχωρή-
σειν οὐ προσδεχόμενος τὴν παρὰ τοῦ παντοκράτορος μέλλουσαν

**v.4** μιμνῄσκομαι[vnap] δέ[cc] καί[b] ὁ[dgfs] ὁ[dgmp] ἀναμάρτητος[angmpn] νήπιος[angmpn] παράνομος[angfsn] ἀπώλεια[ngfsc] καί[cc] περί[pg] ὁ[dgfp] γίνομαι[vpamgfp] εἰς[pa] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] βλασφημία[ngfpc] καί[cc] μισοπονηρέω[vnaa]. **v.5** γίνομαι[vpamnms] δέ[cc] ὁ[dnms] Μακκαβαῖος[ngmsp] ἐν[pd] σύστεμα[ndnsc] ἀνυπόστατος[annmsn] ἤδη[b] ὁ[ddnp] ἔθνος[ndnpc] γίνομαι[viim3s] ὁ[dgfs] ὀργή[ngfsc] ὁ[dgms] κύριος[ngmsc] εἰς[pa] ἔλεος[namsc] τρέπω[vpapgfs]. **v.6** πόλις[nafpc] δέ[cc] καί[cc] κώμη[nafpc] ἀπροσδοκήτως[b] ἔρχομαι[vppmnms] ἐμπίπρημι[viia3s] καί[cc] ὁ[damp] ἐπίκαιρος[anampn] τόπος[nampc] ἀπολαμβάνω[vppanms] οὐ[b] ὀλίγος[anampn] ὁ[dgmp] πολέμιος[angmpn] τροπόω[vppmnms]. **v.7** μάλιστα[b] ὁ[dafp] νύξ[nafpc] πρός[pa] ὁ[dafp] τοιοῦτος[adafpn] ἐπιβολή[nafpc] συνεργός[anafpn] λαμβάνω[viia3s] καί[cc] λαλιά[nnfsc] ὁ[dgfs] εὐανδρία[ngfsc] αὐτός[rpgms] διηχέω[viia3s] πανταχῇ[b]. **v.8** συνοράω[vppanms] δέ[cc] ὁ[dnms] Φίλιππος[nnmsp] κατά[pa] μικρός[anansn] εἰς[pa] προκοπή[nafsc] ἔρχομαι[vppmams] ὁ[dams] ἀνήρ[namsc] πυκνός[anamsc] δέ[cc] ἐν[pd] ὁ[ddfp] εὐημερία[ndfpc] προβαίνω[vppaams] πρός[pa] Πτολεμαῖος[namsp] ὁ[dams] Κοίλη[ngfsp] Συρία[ngfsp] καί[cc] Φοινίκη[ngfsp] στρατηγός[namsc] γράφω[viaa3s] ἐπιβοηθέω[vnpa] ὁ[ddnp] ὁ[dgms] βασιλεύς[ngmsc] πρᾶγμα[ndnpc]. **v.9** ὁ[dnms] δέ[cc] ταχέως[b] προχειρίζομαι[vpamnms] Νικάνωρ[namsp] ὁ[dams] ὁ[dgms] Πάτροκλος[ngmsp] ὁ[dgmp] πρῶτος[aogmpn] φίλος[angmpn] ἀποστέλλω[viaa3s] ὑποτάσσω[vpaanms] πάμφυλος[angnpn] ἔθνος[nanpc] οὐ[b] ἐλαχύς[anampc] ὁ[dgmp] δισμύριοι[acgmpn] ὁ[dans] σύμπας[anansn] ὁ[dgfs] Ἰουδαία[ngfsp] ἐξαίρω[vnaa] γένος[nansc] συνίστημι[viaa3s] δέ[cc] αὐτός[rpdms] καί[b] Γοργίας[nafsp] ἀνήρ[namsc] στρατηγός[namsc] καί[cc] ἐν[pd] πολεμικός[andfpn] χρεία[ndfpc] πεῖρα[nafsc] ἔχω[vppaams]. **v.10** διΐστημι[viam3s] δέ[cc] ὁ[dnms] Νικάνωρ[nnmsp] ὁ[dams] φόρος[namsc] ὁ[ddms] βασιλεύς[ndmsc] ὁ[ddmp] Ῥωμαῖος[ndmpp] εἰμί[vppaams] τάλαντον[ngnpc] δισχίλιοι[acgnpn] ἐκ[pg] ὁ[dgfs] ὁ[dgmp] Ἰουδαῖος[angmpn] αἰχμαλωσία[ngfsc] ἐκπληρόω[vnfa].

παρακολουθήσειν ἐπ᾽ αὐτῷ δίκην. τῷ δὲ Ιουδα προσέπεσεν πε- 12
ρὶ τῆς τοῦ Νικάνορος ἐφόδου καὶ μεταδόντος τοῖς σὺν αὐτῷ τὴν
παρουσίαν τοῦ στρατοπέδου. οἱ δειλανδροῦντες καὶ ἀπιστοῦν- 13
τες τὴν τοῦ θεοῦ δίκην διεδίδρασκον ἑαυτοὺς καὶ ἐξετόπιζον. οἱ 14
δὲ τὰ περιλελειμμένα πάντα ἐπώλουν ὁμοῦ δὲ τὸν κύριον ἠξίουν
ῥύσασθαι τοὺς ὑπὸ τοῦ δυσσεβοῦς Νικάνορος πρὶν συντυχεῖν πε-
πραμένους. καὶ εἰ μὴ δι᾽ αὐτούς ἀλλὰ διὰ τὰς πρὸς τοὺς πατέρας 15
αὐτῶν διαθήκας καὶ ἕνεκα τῆς ἐπ᾽ αὐτοὺς ἐπικλήσεως τοῦ σεμνοῦ
καὶ μεγαλοπρεποῦς ὀνόματος αὐτοῦ. συναγαγὼν δὲ ὁ Μακκα- 16
βαῖος τοὺς περὶ αὐτὸν ὄντας ἀριθμὸν ἑξακισχιλίους παρεκάλει μὴ
καταπλαγῆναι τοῖς πολεμίοις μηδὲ εὐλαβεῖσθαι τὴν τῶν ἀδίκως
παραγινομένων ἐπ᾽ αὐτοὺς ἐθνῶν πολυπλήθειαν ἀγωνίσασθαι δὲ
γενναίως. πρὸ ὀφθαλμῶν λαβόντας τὴν ἀνόμως εἰς τὸν ἅγιον τό- 17
πον συντετελεσμένην ὑπ᾽ αὐτῶν ὕβριν καὶ τὸν τῆς ἐμπεπαιγμένης
πόλεως αἰκισμόν ἔτι δὲ τὴν τῆς προγονικῆς πολιτείας κατάλυσιν.
οἱ μὲν γὰρ ὅπλοις πεποίθασιν ἅμα καὶ τόλμαις ἔφησεν ἡμεῖς δὲ 18
ἐπὶ τῷ παντοκράτορι θεῷ δυναμένῳ καὶ τοὺς ἐρχομένους ἐφ᾽ ἡμᾶς
καὶ τὸν ὅλον κόσμον ἑνὶ νεύματι καταβαλεῖν πεποίθαμεν. προ- 19
σαναλεξάμενος δὲ αὐτοῖς καὶ τὰς ἐπὶ τῶν προγόνων γενομένας
ἀντιλήμψεις καὶ τὴν ἐπὶ Σενναχηριμ ἑκατὸν ὀγδοήκοντα πέντε

---

**v.11** εὐθέως[b] δέ[cc] εἰς[pa] ὁ[dafp] παραθαλάσσιος[anafpn] πόλις[nafpc] ἀποστέλλω[viaa3s] προκαλέω[vppmnms] ἐπί[pa] ἀγορασμός[namsc] Ἰουδαῖος[angmpn] σῶμα[ngnpc] ὑπισχνέομαι[vppmnms] ἐνενήκοντα[ac—n] σῶμα[nanpc] τάλαντον[ngnsc] παραχωρέω[vnfa] οὐ[b] προσδέχομαι[vppmnms] ὁ[dafs] παρά[pg] ὁ[dgms] παντοκράτωρ[ngmsc] μέλλω[vppaafs] παρακολουθέω[vnfa] ἐπί[pd] αὐτός[rpdms] δίκη[nafsc]. **v.12** ὁ[ddms] δέ[cc] Ἰούδας[ndmsp] προσπίπτω[viaa3s] περί[pg] ὁ[dgfs] ὁ[dgms] Νικάνωρ[ngmsp] ἔφοδος[ngfsc] καί[cc] μεταδίδωμι[vpaagms] ὁ[ddmp] σύν[pd] αὐτός[rpdms] ὁ[dafs] παρουσία[nafsc] ὁ[dgns] στρατόπεδον[ngnsc]. **v.13** ὁ[dnmp] δειλανδρέω[vppanmp] καί[cc] ἀπιστέω[vppanmp] ὁ[dafs] ὁ[dgms] θεός[ngmsc] δίκη[nafsc] διαδιδράσκω[viia3p] ἑαυτοῦ[rxamp] καί[cc] ἐκτοπίζω[viia3p]. **v.14** ὁ[dnmp] δέ[cc] ὁ[danp] περιλείπομαι[vpxpanp] πᾶς[aianpn] πωλέω[viia3p] ὁμοῦ[b] δέ[cc] ὁ[dams] κύριος[namsc] ἀξιόω[viia3p] ῥύομαι[vnam] ὁ[damp] ὑπό[pg] ὁ[dgms] δυσσεβής[angmsn] Νικάνωρ[ngmsp] πρίν[cs] συντυγχάνω[vnaa] πιπράσκω[vpxpamp]. **v.15** καί[cc] εἰ[cs] μή[x] διά[pa] αὐτός[rpamp] ἀλλά[cc] διά[pa] ὁ[dafp] πρός[pa] ὁ[damp] πατήρ[nampc] αὐτός[rpgmp] διαθήκη[nafpc] καί[cc] ἕνεκα[pg] ὁ[dgfs] ἐπί[pa] αὐτός[rpamp] ἐπίκλησις[ngfsc] ὁ[dgns] σεμνός[angnsn] καί[cc] μεγαλοπρεπής[angnsn] ὄνομα[ngnsc] αὐτός[rpgms]. **v.16** συνάγω[vpaanms] δέ[cc] ὁ[dnms] Μακκαβαῖος[nnmsp] ὁ[damp] περί[pa] αὐτός[rpams] εἰμί[vppaamp] ἀριθμός[namsc] ἑξακισχίλιοι[acampn] παρακαλέω[viia3s] μή[x] καταπλήσσω[vnap] ὁ[ddmp] πολέμιος[andmpn] μηδέ[x] εὐλαβέομαι[vnpm] ὁ[dafs] ὁ[dgnp] ἀδίκως[b] παραγίνομαι[vppmgnp] ἐπί[pa] αὐτός[rpamp] ἔθνος[ngnpc] πολυπλήθεια[nafsc] ἀγωνίζομαι[vnam] δέ[cc] γενναίως[b]. **v.17** πρό[pg] ὀφθαλμός[ngmpc] λαμβάνω[vpaaamp] ὁ[dafs] ἀνόμως[b] εἰς[pa] ὁ[dams] ἅγιος[anamsn] τόπος[namsc] συντελέω[vpxpafs] ὑπό[pg] αὐτός[rpgmp] ὕβρις[nafsc] καί[cc] ὁ[dams] ὁ[dgfs] ἐμπαίζω[vpxpgfs] πόλις[ngfsc] αἰκισμός[namsc] ἔτι[b] δέ[cc] ὁ[dafs] ὁ[dgfs] προγονικός[angfsn] πολιτεία[ngfsc] κατάλυσις[nafsc]. **v.18** ὁ[dnmp] μέν[x] γάρ[cc] ὅπλον[ndnpc] πείθω[vixa3p] ἅμα[b] καί[b] τόλμα[ndfpc] φημί[viaa3s] ἐγώ[rpn-p] δέ[cc] ἐπί[pd] ὁ[ddms] παντοκράτωρ[ndmsc] θεός[ndmsc] δύναμαι[vppmdms] καί[cc] ὁ[damp] ἔρχομαι[vppmamp] ἐπί[pa] ἐγώ[rpa-p] καί[cc] ὁ[dams] ὅλος[anamsn] κόσμος[namsc] εἷς[acdnsn] νεῦμα[ndnsc] καταβάλλω[vnaa] πείθω[vixa1p].

20 χιλιάδες ὡς ἀπώλοντο. καὶ τὴν ἐν τῇ Βαβυλωνίᾳ τὴν πρὸς τοὺς
Γαλάτας παράταξιν γενομένην ὡς οἱ πάντες ἐπὶ τὴν χρείαν ἦλθον
ὀκτακισχίλιοι σὺν Μακεδόσιν τετρακισχιλίοις τῶν Μακεδόνων ἀ-
πορουμένων οἱ ὀκτακισχίλιοι τὰς δώδεκα μυριάδας ἀπώλεσαν διὰ
τὴν γινομένην αὐτοῖς ἀπ᾽ οὐρανοῦ βοήθειαν καὶ ὠφέλειαν πολ-
21 λὴν ἔλαβον. ἐφ᾽ οἷς εὐθαρσεῖς αὐτοὺς παραστήσας καὶ ἑτοίμους
ὑπὲρ τῶν νόμων καὶ τῆς πατρίδος ἀποθνῄσκειν τετραμερές τι τὸ
22 στράτευμα ἐποίησεν. τάξας καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προηγου-
μένους ἑκατέρας τάξεως Σιμωνα καὶ Ιωσηπον καὶ Ιωναθην ὑποτά-
23 ξας ἑκάστῳ χιλίους πρὸς τοῖς πεντακοσίοις. ἔτι δὲ καὶ Ελεαζαρον
παραναγνοὺς τὴν ἱερὰν βίβλον καὶ δοὺς σύνθημα θεοῦ βοηθείας
τῆς πρώτης σπείρας αὐτὸς προηγούμενος συνέβαλε τῷ Νικάνορι.
24 γενομένου δὲ αὐτοῖς τοῦ παντοκράτορος συμμάχου κατέσφαξαν
τῶν πολεμίων ὑπὲρ τοὺς ἐνακισχιλίους τραυματίας δὲ καὶ τοῖς
μέλεσιν ἀναπείρους τὸ πλεῖον μέρος τῆς τοῦ Νικάνορος στρατιᾶς
25 ἐποίησαν πάντας δὲ φυγεῖν ἠνάγκασαν. τὰ δὲ χρήματα τῶν πα-
ραγεγονότων ἐπὶ τὸν ἀγορασμὸν αὐτῶν ἔλαβον συνδιώξαντες δὲ
26 αὐτοὺς ἐφ᾽ ἱκανὸν ἀνέλυσαν ὑπὸ τῆς ὥρας συγκλειόμενοι. ἦν
γὰρ ἡ πρὸ τοῦ σαββάτου δι᾽ ἣν αἰτίαν οὐκ ἐμακροτόνησαν κα-
27 τατρέχοντες αὐτούς. ὁπλολογήσαντες δὲ αὐτοὺς καὶ τὰ σκῦλα
ἐκδύσαντες τῶν πολεμίων περὶ τὸ σάββατον ἐγίνοντο περισσῶς εὐ-

---

**v.19** προσαναλέγομαι[vpamnms] δέ[cc] αὐτός[rpdmp] καί[cc] ὁ[dafp] ἐπί[pg] ὁ[dgmp] πρόγονος[ngmpc] γίνομαι[vpamafp] ἀντίλημψις[nafpc] καί[cc] ὁ[dafs] ἐπί[pa] Σενναχηριμ[namsp] ἑκατόν[ac—n] ὀγδοήκοντα[ac—n] πέντε[ac—n] χιλιάς[nnfpc] ὡς[cs] ἀπόλλυμι[viam3p]. **v.20** καί[cc] ὁ[dafs] ἐν[pd] ὁ[ddfs] Βαβυλωνία[ndfsp] ὁ[dafs] πρός[pa] ὁ[damp] Γαλάται[nampp] παράταξις[nafsc] γίνομαι[vpamafs] ὡς[cs] ὁ[dnmp] πᾶς[ainmpn] ἐπί[pa] ὁ[dafs] χρεία[nafsc] ἔρχομαι[viaa3p] ὀκτακισχίλιοι[acnmpn] σύν[pd] Μακεδών[ndmpp] τετρακισχίλιοι[acdmpn] ὁ[dgmp] Μακεδών[ngmpp] ἀπορέω[vppegmp] ὁ[dnmp] ὀκτακισχίλιοι[acnmpn] ὁ[dafp] δώδεκα[ac—n] μυριάς[nafpc] ἀπόλλυμι[viaa3p] διά[pa] ὁ[dafs] γίνομαι[vppmafs] αὐτός[rpdmp] ἀπό[pg] οὐρανός[ngmsc] βοήθεια[nafsc] καί[cc] ὠφέλεια[nafsc] πολύς[anafsn] λαμβάνω[viaa3p]. **v.21** ἐπί[pd] ὅς[rrdnp] εὐθαρσής[anampn] αὐτός[rpamp] παρίστημι[vpaanms] καί[cc] ἕτοιμος[anampn] ὑπέρ[pg] ὁ[dgmp] νόμος[ngmpc] καί[cc] ὁ[dgfs] πατρίς[ngfsc] ἀποθνῄσκω[vnpa] τετραμερής[ananpn] τι-σαιανσν ὁ[dans] στράτευμα[nansc] ποιέω[viaa3s]. **v.22** τάσσω[vpaanms] καί[b] ὁ[damp] ἀδελφός[nampc] αὐτός[rpgms] προηγέομαι[vppmamp] ἑκάτερος[adgfsn] τάξις[ngfsc] Σίμων[namsp] καί[cc] Ιωσηπος[namsp] καί[cc] Ιωναθης[namsp] ὑποτάσσω[vpaanms] ἕκαστος[aidmsn] χίλιοι[acampn] πρός[pd] ὁ[ddmp] πεντακόσιοι[acdmpn]. **v.23** ἔτι[b] δέ[cc] καί[cc] Ελεαζαρος[namsp] παραναγινώσκω[vpaanms] ὁ[dafs] ἱερός[anafsn] βίβλος[nafsc] καί[cc] δίδωμι[vpaanms] σύνθημα[nansc] θεός[ngmsc] βοήθεια[ngfsc] ὁ[dgfs] πρῶτος[aogfsn] σπεῖρα[ngfsc] αὐτός[rpnms] προηγέομαι[vppmnms] συμβάλλω[viaa3s] ὁ[ddms] Νικάνωρ[ndmsp]. **v.24** γίνομαι[vpamgms] δέ[cc] αὐτός[rpdmp] ὁ[dgms] παντοκράτωρ[ngmsc] συμμάχος[ngmsc] κατασφάζω[viaa3p] ὁ[dgmp] πολέμιος[angmpn] ὑπέρ[pa] ὁ[damp] ἐνακισχίλιοι[acampn] τραυματίας[nampc] δέ[cc] καί[cc] ὁ[ddnp] μέλος[ndnpc] ἀνάπηρος[anampn] ὁ[dans] πολύς[anansc] μέρος[nansc] ὁ[dgfs] ὁ[dgms] Νικάνωρ[ngmsp] στρατιά[ngfsc] ποιέω[viaa3p] πᾶς[aiampn] δέ[cc] φεύγω[vnaa] ἀναγκάζω[viaa3p]. **v.25** ὁ[danp] δέ[cc] χρῆμα[nanpc] ὁ[dgmp] παραγίνομαι[vpxagmp] ἐπί[pa] ὁ[dams] ἀγορασμός[namsc] αὐτός[rpgmp] λαμβάνω[viaa3p] συνδιώκω[vpaanmp] δέ[cc] αὐτός[rpamp] ἐπί[pa] ἱκανός[anansn] ἀναλύω[viaa3p] ὑπό[pg] ὁ[dgfs] ὥρα[ngfsc] συγκλείω[vpppnmp]. **v.26** εἰμί[viia3s] γάρ[cc] ὁ[dnfs] πρό[pg] ὁ[dgns] σάββατον[ngnsc] διά[pa] ὅς[rrafs] αἰτία[nafsc] οὐ[b] μακροτονέω[viaa3p] κατατρέχω[vppanmp] αὐτός[rpamp].

λογοῦντες καὶ ἐξομολογούμενοι τῷ κυρίῳ τῷ διασώσαντι εἰς τὴν
ἡμέραν ταύτην ἀρχὴν ἐλέους τάξαντος αὐτοῖς. μετὰ δὲ τὸ σάββα- 28
τον τοῖς ᾐκισμένοις καὶ ταῖς χήραις καὶ ὀρφανοῖς μερίσαντες ἀπὸ
τῶν σκύλων τὰ λοιπὰ αὐτοὶ καὶ τὰ παιδία διεμερίσαντο. ταῦτα 29
δὲ διαπραξάμενοι καὶ κοινὴν ἱκετείαν ποιησάμενοι τὸν ἐλεήμονα
κύριον ἠξίουν εἰς τέλος καταλλαγῆναι τοῖς αὑτοῦ δούλοις. καὶ 30
τοῖς περὶ Τιμόθεον καὶ Βακχίδην συνερίσαντες ὑπὲρ τοὺς δισμυ-
ρίους αὐτῶν ἀνεῖλον καὶ ὀχυρωμάτων ὑψηλῶν εὖ μάλα ἐγκρατεῖς
ἐγένοντο καὶ λάφυρα πλείονα ἐμερίσαντο ἰσομοίρους αὑτοῖς καὶ
τοῖς ᾐκισμένοις καὶ ὀρφανοῖς καὶ χήραις ἔτι δὲ καὶ πρεσβυτέ-
ροις ποιήσαντες. ὁπλολογήσαντες δὲ αὑτοὺς ἐπιμελῶς πάντα 31
συνέθηκαν εἰς τοὺς ἐπικαίρους τόπους τὰ δὲ λοιπὰ τῶν σκύλων
ἤνεγκαν εἰς Ιεροσόλυμα. τὸν δὲ φυλάρχην τῶν περὶ Τιμόθεον 32
ἀνεῖλον ἀνοσιώτατον ἄνδρα καὶ πολλὰ τοὺς Ιουδαίους ἐπιλελυ-
πηκότα. ἐπινίκια δὲ ἄγοντες ἐν τῇ πατρίδι τοὺς ἐμπρήσαντας 33
τοὺς ἱεροὺς πυλῶνας καὶ Καλλισθένην ὑφῆψαν εἰς ἓν οἰκίδιον
πεφευγότα καὶ τὸν ἄξιον τῆς δυσσεβείας ἐκομίσατο μισθόν. ὁ 34
δὲ τρισαλιτήριος Νικάνωρ ὁ τοὺς χιλίους ἐμπόρους ἐπὶ τὴν πρᾶ-
σιν τῶν Ιουδαίων ἀγαγὼν. ταπεινωθεὶς ὑπὸ τῶν κατ᾽ αὐτὸν νο- 35
μιζομένων ἐλαχίστων εἶναι τῇ τοῦ κυρίου βοηθείᾳ τὴν δοξικὴν
ἀποθέμενος ἐσθῆτα διὰ τῆς μεσογείου δραπέτου τρόπον ἔρημον
ἑαυτὸν ποιήσας ἧκεν εἰς Ἀντιόχειαν ὑπὲρ ἅπαν εὐημερηκὼς ἐ-

---

**v.27** ὁπλολογέω[vpaanmp] δέ[cc] αὐτός[rpamp] καί[cc] ὁ[danp] σκῦλον[nanpc] ἐκδύω[vpaanmp] ὁ[dgmp] πολέμιος[angmpn] περί[pa] ὁ[dans] σάββατον[nansc] γίνομαι[viim3p] περισσῶς[b] εὐλογέω[vppanmp] καί[cc] ἐξομολογέω[vppmnmp] ὁ[ddms] κύριος[ndmsc] ὁ[ddms] διασῴζω[vpaadms] εἰς[pa] ὁ[dafs] ἡμέρα[nafsc] οὗτος[rdafs] ἀρχή[nafsc] ἔλεος[ngnsc] τάσσω[vpaagms] αὐτός[rpdmp]. **v.28** μετά[pa] δέ[cc] ὁ[dans] σάββατον[nansc] ὁ[ddmp] αἰκίζω[vpxpdmp] καί[cc] ὁ[ddfp] χήρα[ndfpc] καί[cc] ὀρφανός[andmpn] μερίζω[vpaanmp] ἀπό[pg] ὁ[dgnp] σκῦλον[ngnpc] ὁ[danp] λοιπός[ananpn] αὐτός[rpnmp] καί[cc] ὁ[dnnp] παιδίον[nnnpc] διαμερίζω[viam3p]. **v.29** οὗτος[rdanp] δέ[cc] διαπράσσω[vpamnmp] καί[cc] κοινός[anafsn] ἱκετεία[nafsc] ποιέω[vpamnmp] ὁ[dams] ἐλεήμων[anamsn] κύριος[namsc] ἀξιόω[viia3p] εἰς[pa] τέλος[nansc] καταλλάσσω[vnaa] ὁ[ddmp] ἑαυτοῦ[rxgms] δοῦλος[ndmpc]. **v.30** καί[cc] ὁ[ddnp] περί[pa] Τιμόθεος[namsp] καί[cc] Βακχίδης[namsp] συνερίζω[vpaanmp] ὑπέρ[pa] ὁ[damp] δισμύριοι[acampn] αὐτός[rpgmp] ἀναιρέω[viaa3p] καί[cc] ὀχύρωμα[ngnpc] ὑψηλός[angnpn] εὖ[b] μάλα[b] ἐγκρατής[anampn] γίνομαι[viam3p] καί[cc] λάφυρα[nanpc] πολύς[ananpc] μερίζω[viam3p] ἰσόμοιρος[anampn] ἑαυτοῦ[rxdmp] καί[cc] ὁ[ddmp] αἰκίζω[vpxpdmp] καί[cc] ὀρφανός[andmpn] καί[cc] χήρα[ndfpc] ἔτι[b] δέ[cc] καί[b] πρεσβύτερος[andmpc] ποιέω[vpaanmp]. **v.31** ὁπλολογέω[vpaanmp] δέ[cc] ἑαυτοῦ[rxamp] ἐπιμελῶς[b] πᾶς[aianpn] συντίθημι[viaa3p] εἰς[pa] ὁ[damp] ἐπίκαιρος[anampn] τόπος[nampc] ὁ[danp] δέ[cc] λοιπός[ananpn] ὁ[dgnp] σκῦλον[ngnpc] φέρω[viaa3p] εἰς[pa] Ἱεροσόλυμα[nanpp]. **v.32** ὁ[dams] δέ[cc] φυλάρχης[namsc] ὁ[dgmp] περί[pa] Τιμόθεος[namsp] ἀναιρέω[viaa3p] ἀνόσιος[anamss] ἀνήρ[namsc] καί[cc] πολύς[ananpn] ὁ[damp] Ἰουδαῖος[anampn] ἐπιλυπέω[vpxaams]. **v.33** ἐπινίκιος[ananpn] δέ[cc] ἄγω[vppanmp] ἐν[pd] ὁ[ddfs] πατρίς[ndfsc] ὁ[damp] ἐμπίπρημι[vpaaamp] ὁ[damp] ἱερός[anampn] πυλών[nampc] καί[cc] Καλλισθένης[namsp] ὑφάπτω[viaa3p] εἰς[pa] εἷς[acansn] οἰκίδιον[nansc] φεύγω[vpxaams] καί[cc] ὁ[dams] ἄξιος[anamsn] ὁ[dgfs] δυσσέβεια[ngfsc] κομίζω[viam3s] μισθός[namsc]. **v.34** ὁ[dnms] δέ[cc] τρισαλιτήριος[annmsn] Νικάνωρ[nnmsp] ὁ[dnms] ὁ[damp] χίλιοι[acampn] ἔμπορος[nampc] ἐπί[pa] ὁ[dafs] πρᾶσις[nafsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] ἄγω[vpaanms].

36 πὶ τῇ τοῦ στρατοῦ διαφθορᾷ. καὶ ὁ τοῖς Ῥωμαίοις ἀναδεξάμενος
φόρον ἀπὸ τῆς τῶν ἐν Ιεροσολύμοις αἰχμαλωσίας κατορθώσασθαι
κατήγγελλεν ὑπέρμαχον ἔχειν τοὺς Ιουδαίους καὶ διὰ τὸν τρόπον
τοῦτον ἀτρώτους εἶναι τοὺς Ιουδαίους διὰ τὸ ἀκολουθεῖν τοῖς ὑπ᾽
αὐτοῦ προτεταγμένοις νόμοις.
**9** περὶ δὲ τὸν καιρὸν ἐκεῖνον ἐτύγχανεν Ἀντίοχος ἀναλελυκὼς
2 ἀκόσμως ἐκ τῶν περὶ τὴν Περσίδα τόπων. εἰσεληλύθει γὰρ εἰς
τὴν λεγομένην Περσέπολιν καὶ ἐπεχείρησεν ἱεροσυλεῖν καὶ τὴν
πόλιν συνέχειν διὸ δὴ τῶν πληθῶν ὁρμησάντων ἐπὶ τὴν τῶν ὅ-
πλων βοήθειαν ἐτράπησαν καὶ συνέβη τροπωθέντα τὸν Ἀντίοχον
3 ὑπὸ τῶν ἐγχωρίων ἀσχήμονα τὴν ἀναζυγὴν ποιήσασθαι. ὄντι δὲ
αὐτῷ κατ᾽ Ἐκβάτανα προσέπεσεν τὰ κατὰ Νικάνορα καὶ τοὺς περὶ
4 Τιμόθεον γεγονότα. ἐπαρθεὶς δὲ τῷ θυμῷ ᾤετο καὶ τὴν τῶν πε-
φυγαδευκότων αὐτὸν κακίαν εἰς τοὺς Ιουδαίους ἐναπερείσασθαι
διὸ συνέταξεν τὸν ἁρματηλάτην ἀδιαλείπτως ἐλαύνοντα κατανύ-
ειν τὴν πορείαν τῆς ἐξ οὐρανοῦ δὴ κρίσεως συνούσης αὐτῷ οὕτως
γὰρ ὑπερηφάνως εἶπεν πολυάνδριον Ιουδαίων Ιεροσόλυμα ποι-
5 ήσω παραγενόμενος ἐκεῖ. ὁ δὲ παντεπόπτης κύριος ὁ θεὸς τοῦ
Ισραηλ ἐπάταξεν αὐτὸν ἀνιάτῳ καὶ ἀοράτῳ πληγῇ ἄρτι δὲ αὐτοῦ
καταλήξαντος τὸν λόγον ἔλαβεν αὐτὸν ἀνήκεστος τῶν σπλάγχνων

---

**v.35** ταπεινόω[vpapnms] ὑπό[pg] ὁ[dgmp] κατά[pa] αὐτός[rpams] νομίζω[vpppgmp] ἐλαχύς[angmps] εἰμί[vnpa] ὁ[ddfs] ὁ[dgms] κύριος[ngmsc] βοήθεια[ndfsc] ὁ[dafs] δοξικός[anafsn] ἀποτίθημι[vpamnms] ἐσθής[nafsc] διά[pg] ὁ[dgfs] μεσόγειος[angfsn] δραπέτης[ngmsc] τρόπος[namsc] ἔρημος[anamsn] ἑαυτοῦ[rxams] ποιέω[vpaanms] ἥκω[viia3s] εἰς[pa] Ἀντιοχία[nafsp] ὑπέρ[pa] ἅπας[anansn] εὐημερέω[vpxanms] ἐπί[pd] ὁ[ddfs] ὁ[dgms] στρατός[ngmsc] διαφθορά[ndfsc]. **v.36** καί[cc] ὁ[dnms] ὁ[ddmp] Ῥωμαῖος[ndmpp] ἀναδέχομαι[vpamnms] φόρος[namsc] ἀπό[pg] ὁ[dgfs] ὁ[dgmp] ἐν[pd] Ἱεροσόλυμα[ndnpp] αἰχμαλωσία[ngfsc] κατορθόω[vnam] καταγγέλλω[viia3s] ὑπέρμαχος[namsc] ἔχω[vnpa] ὁ[damp] Ἰουδαῖος[anampn] καί[cc] διά[pa] ὁ[dams] τρόπος[namsc] οὗτος[rdams] ἄτρωτος[anampn] εἰμί[vnpa] ὁ[damp] Ἰουδαῖος[anampn] διά[pa] ὁ[dans] ἀκολουθέω[vnpa] ὁ[ddmp] ὑπό[pg] αὐτός[rpgms] προτάσσω[vpxpdmp] νόμος[ndmpc]. **9. v.1** περί[pa] δέ[cc] ὁ[dams] καιρός[namsc] ἐκεῖνος[rdams] τυγχάνω[viia3s] Ἀντίοχος[nnmsp] ἀναλύω[vpxanms] ἀκόσμως[b] ἐκ[pg] ὁ[dgmp] περί[pa] ὁ[dafs] Περσίς[nafsp] τόπος[ngmpc]. **v.2** εἰσέρχομαι[viya3s] γάρ[cc] εἰς[pa] ὁ[dafs] λέγω[vpppafs] Περσέπολις[nafsp] καί[cc] ἐπιχειρέω[viaa3s] ἱεροσυλέω[vnpa] καί[cc] ὁ[dafs] πόλις[nafsc] συνέχω[vnpa] διό[cc] δή[x] ὁ[dgnp] πλῆθος[ngnpc] ὁρμάω[vpaagnp] ἐπί[pa] ὁ[dafs] ὁ[dgnp] ὅπλον[ngnpc] βοήθεια[nafsc] τρέπω[viap3p] καί[cc] συμβαίνω[viaa3s] τροπόω[vpapams] ὁ[dams] Ἀντίοχος[namsp] ὑπό[pg] ὁ[dgmp] ἐγχώριος[angmpn] ἀσχήμων[anafsn] ὁ[dafs] ἀναζυγή[nafsc] ποιέω[vnam]. **v.3** εἰμί[vppadms] δέ[cc] αὐτός[rpdms] κατά[pa] Ἐκβάτανα[nanpp] προσπίπτω[viaa3s] ὁ[dnnp] κατά[pa] Νικάνωρ[namsp] καί[cc] ὁ[damp] περί[pa] Τιμόθεος[namsp] γίνομαι[vpxannp]. **v.4** ἐπαίρω[vpapnms] δέ[cc] ὁ[ddms] θυμός[ndmsc] οἴομαι[viim3s] καί[b] ὁ[dafs] ὁ[dgmp] φυγαδεύω[vpxagmp] αὐτός[rpams] κακία[nafsc] εἰς[pa] ὁ[damp] Ἰουδαῖος[anampn] ἐναπερείδομαι[vnam] διό[cc] συντάσσω[viaa3s] ὁ[dams] ἁρματηλάτης[namsc] ἀδιαλείπτως[b] ἐλαύνω[vppaams] κατανύω[vnpa] ὁ[dafs] πορεία[nafsc] ὁ[dgfs] ἐκ[pg] οὐρανός[ngmsc] δή[x] κρίσις[ngfsc] σύνειμι[vppagfs] αὐτός[rpdms] οὕτως[b] γάρ[cc] ὑπερηφάνως[b] λέγω[viaa3s] πολυάνδριος[anansn] Ἰουδαῖος[angmpn] Ἱεροσόλυμα[nanpp] ποιέω[vifa1s] παραγίνομαι[vpamnms] ἐκεῖ[b].

ἀλγηδὼν καὶ πικραὶ τῶν ἔνδον βάσανοι. πάνυ δικαίως τὸν πολ- 6
λαῖς καὶ ξενιζούσαις συμφοραῖς ἑτέρων σπλάγχνα βασανίσαντα.
ὁ δ' οὐδαμῶς τῆς ἀγερωχίας ἔληγεν ἔτι δὲ καὶ τῆς ὑπερηφανίας 7
ἐπεπλήρωτο πῦρ πνέων τοῖς θυμοῖς ἐπὶ τοὺς Ιουδαίους καὶ κε-
λεύων ἐποξύνειν τὴν πορείαν συνέβη δὲ καὶ πεσεῖν αὐτὸν ἀπὸ
τοῦ ἅρματος φερομένου ῥοίζῳ καὶ δυσχερεῖ πτώματι περιπεσόντα
πάντα τὰ μέλη τοῦ σώματος ἀποστρεβλοῦσθαι. ὁ δ' ἄρτι δοκῶν 8
τοῖς τῆς θαλάσσης κύμασιν ἐπιτάσσειν διὰ τὴν ὑπὲρ ἄνθρωπον ἀ-
λαζονείαν καὶ πλάστιγγι τὰ τῶν ὀρέων οἰόμενος ὕψη στήσειν κατὰ
γῆν γενόμενος ἐν φορείῳ παρεκομίζετο φανερὰν τοῦ θεοῦ πᾶσιν
τὴν δύναμιν ἐνδεικνύμενος. ὥστε καὶ ἐκ τοῦ σώματος τοῦ δυσ- 9
σεβοῦς σκώληκας ἀναζεῖν καὶ ζῶντος ἐν ὀδύναις καὶ ἀλγηδόσιν
τὰς σάρκας αὐτοῦ διαπίπτειν ὑπὸ δὲ τῆς ὀσμῆς αὐτοῦ πᾶν τὸ
στρατόπεδον βαρύνεσθαι τὴν σαπρίαν. καὶ τὸν μικρῷ πρότερον 10
τῶν οὐρανίων ἄστρων ἅπτεσθαι δοκοῦντα παρακομίζειν οὐδεὶς ἐ-
δύνατο διὰ τὸ τῆς ὀσμῆς ἀφόρητον βάρος. ἐνταῦθα οὖν ἤρξατο 11
τὸ πολὺ τῆς ὑπερηφανίας λήγειν τεθραυσμένος καὶ εἰς ἐπίγνω-
σιν ἔρχεσθαι θείᾳ μάστιγι κατὰ στιγμὴν ἐπιτεινόμενος ταῖς ἀλ-
γηδόσιν. καὶ μηδὲ τῆς ὀσμῆς αὐτοῦ δυνάμενος ἀνέχεσθαι ταῦτ' 12
ἔφη δίκαιον ὑποτάσσεσθαι τῷ θεῷ καὶ μὴ θνητὸν ὄντα ἰσόθεα

---

**v.5** ὁ[dnms] δέ[cc] παντεπόπτης[annmsn] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] πατάσσω[viaa3s] αὐτός[rpams] ἀνίατος[andmsn] καί[cc] ἀόρατος[andmsn] πληγή[ndfsc] ἄρτι[b] δέ[cc] αὐτός[rpgms] καταλήγω[vpaagms] ὁ[dams] λόγος[namsc] λαμβάνω[viaa3s] αὐτός[rpams] ἀνήκεστος[annmsn] ὁ[dgnp] σπλάγχνον[ngnpc] ἀλγηδών[nnfsc] καί[cc] πικρός[annfpn] ὁ[dgmp] ἔνδον[b] βάσανος[nnfpc]. **v.6** πάνυ[b] δικαίως[b] ὁ[dams] πολύς[andfpn] καί[cc] ξενίζω[vppadfp] συμφορά[ndfpc] ἕτερος[aigmpn] σπλάγχνον[nanpc] βασανίζω[vpaaanp]. **v.7** ὁ[dnms] δέ[cc] οὐδαμῶς[b] ὁ[dgfs] ἀγερωχία[ngfsc] λήγω[viia3s] ἔτι[b] δέ[cc] καί[b] ὁ[dgfs] ὑπερηφανία[ngfsc] πληρόω[viyp3s] πῦρ[nansc] πνέω[vppanms] ὁ[ddmp] θυμός[ndmpc] ἐπί[pa] ὁ[damp] Ἰουδαῖος[anampn] καί[cc] κελεύω[vppanms] ἐποξύνω[vnpa] ὁ[dafs] πορεία[nafsc] συμβαίνω[viaa3s] δέ[cc] καί[b] πίπτω[vnaa] αὐτός[rpams] ἀπό[pg] ὁ[dgns] ἅρμα[ngnsc] φέρω[vppmgns] ῥοῖζος[ndmsc] καί[cc] δυσχερής[andnsn] πτῶμα[ndnsc] περιπίπτω[vpaaanp] πᾶς[aianpn] ὁ[danp] μέλος[nanpc] ὁ[dgns] σῶμα[ngnsc] ἀποστρεβλόομαι[vnpp]. **v.8** ὁ[dnms] δέ[cc] ἄρτι[b] δοκέω[vppanms] ὁ[ddnp] ὁ[dgfs] θάλασσα[ngfsc] κῦμα[ndnpc] ἐπιτάσσω[vnpa] διά[pa] ὁ[dafs] ὑπέρ[pa] ἄνθρωπος[namsc] ἀλαζονεία[nafsc] καί[cc] πλάστιγξ[ndfsc] ὁ[danp] ὁ[dgnp] ὄρος[ngnpc] οἴομαι[vppmnms] ὕψος[nanpc] ἵστημι[vnfa] κατά[pa] γῆ[nafsc] γίνομαι[vpamnms] ἐν[pd] φορεῖον[ndnsc] παρακομίζω[viip3s] φανερός[anafsn] ὁ[dgms] θεός[ngmsc] πᾶς[aidmpn] ὁ[dafs] δύναμις[nafsc] ἐνδείκνυμι[vppmnms]. **v.9** ὥστε[cs] καί[cc] ἐκ[pg] ὁ[dgns] σῶμα[ngnsc] ὁ[dgms] δυσσεβής[angmsn] σκώληξ[nampc] ἀναζέω[vnpa] καί[cc] ζάω[vppagms] ἐν[pd] ὀδύνη[ndfpc] καί[cc] ἀλγηδών[ndfpc] ὁ[dafp] σάρξ[nafpc] αὐτός[rpgms] διαπίπτω[vnpa] ὑπό[pg] δέ[cc] ὁ[dgfs] ὀσμή[ngfsc] αὐτός[rpgms] πᾶς[ainnsn] ὁ[dans] στρατόπεδον[nansc] βαρύνω[vnpm] ὁ[dafs] σαπρία[nafsc]. **v.10** καί[cc] ὁ[dams] μικρός[b] πρότερος[b] ὁ[dgnp] οὐράνιος[angnpn] ἄστρον[ngnpc] ἅπτω[vnpm] δοκέω[vppaams] παρακομίζω[vnpa] οὐδείς[rinms] δύναμαι[viim3s] διά[pa] ὁ[dans] ὁ[dgfs] ὀσμή[ngfsc] ἀφόρητος[anansn] βάρος[nansc]. **v.11** ἐνταῦθα[b] οὖν[cc] ἄρχω[viam3s] ὁ[dans] πολύς[anansn] ὁ[dgfs] ὑπερηφανία[ngfsc] λήγω[vnpa] θραύω[vpxpnms] καί[cc] εἰς[pa] ἐπίγνωσις[nafsc] ἔρχομαι[vnpm] θεῖος[andfsn] μάστιξ[ndfsc] κατά[pa] στιγμή[nafsc] ἐπιτείνω[vpppnms] ὁ[ddfp] ἀλγηδών[ndfpc].

13 φρονεῖν. ηὔχετο δὲ ὁ μιαρὸς πρὸς τὸν οὐκέτι αὐτὸν ἐλεήσοντα
14 δεσπότην οὕτως λέγων. τὴν μὲν ἁγίαν πόλιν ἣν σπεύδων παρεγί-
νετο ἰσόπεδον ποιῆσαι καὶ πολυάνδριον οἰκοδομῆσαι ἐλευθέραν
15 ἀναδεῖξαι. τοὺς δὲ Ιουδαίους οὓς διεγνώκει μηδὲ ταφῆς ἀξιῶ-
σαι οἰωνοβρώτους δὲ σὺν τοῖς νηπίοις ἐκρίψειν θηρίοις πάντας
16 αὐτοὺς ἴσους Ἀθηναίοις ποιήσειν. ὃν δὲ πρότερον ἐσκύλευσεν
ἅγιον νεὼ καλλίστοις ἀναθήμασιν κοσμήσειν καὶ τὰ ἱερὰ σκεύη
πολυπλάσια πάντα ἀποδώσειν τὰς δὲ ἐπιβαλλούσας πρὸς τὰς θυ-
17 σίας συντάξεις ἐκ τῶν ἰδίων προσόδων χορηγήσειν. πρὸς δὲ
τούτοις καὶ Ιουδαῖον ἔσεσθαι καὶ πάντα τόπον οἰκητὸν ἐπελεύσε-
18 σθαι καταγγέλλοντα τὸ τοῦ θεοῦ κράτος. οὐδαμῶς δὲ ληγόντων
τῶν πόνων ἐπεληλύθει γὰρ ἐπ' αὐτὸν δικαία ἡ τοῦ θεοῦ κρίσις
τὰ κατ' αὐτὸν ἀπελπίσας ἔγραψεν πρὸς τοὺς Ιουδαίους τὴν ὑ-
πογεγραμμένην ἐπιστολὴν ἱκετηρίας τάξιν ἔχουσαν περιέχουσαν
19 δὲ οὕτως. τοῖς χρηστοῖς Ιουδαίοις τοῖς πολίταις πολλὰ χαίρειν
καὶ ὑγιαίνειν καὶ εὖ πράττειν βασιλεὺς καὶ στρατηγὸς Ἀντίοχος.
20 εἰ ἔρρωσθε καὶ τὰ τέκνα καὶ τὰ ἴδια κατὰ γνώμην ἐστὶν ὑμῖν εἰς
21 οὐρανὸν τὴν ἐλπίδα ἔχων. ὑμῶν τὴν τιμὴν καὶ τὴν εὔνοιαν ἐμνη-
μόνευον φιλοστόργως ἐπανάγων ἐκ τῶν κατὰ τὴν Περσίδα τόπων
καὶ περιπεσὼν ἀσθενείᾳ δυσχέρειαν ἐχούσῃ ἀναγκαῖον ἡγησά-

---

**v.12** καί[cc] μηδέ[x] ὁ[dgfs] ὀσμή[ngfsc] αὐτός[rpgms] δύναμαι[vppmnms] ἀνέχω[vnpm] οὗτος[rdanp] φημί[viaa3'sviia3s] δίκαιος[anamsn] ὑποτάσσω[vnpp] ὁ[ddms] θεός[ndmsc] καί[cc] μή[x] θνητός[anamsn] εἰμί[vppaams] ἰσόθεος[ananpn] φρονέω[vnpa]. **v.13** εὔχομαι[viim3s] δέ[cc] ὁ[dnms] μιαρός[annmsn] πρός[pa] ὁ[dams] οὐκέτι[b] αὐτός[rpams] ἐλεέω[vpfaams] δεσπότης[namsc] οὕτως[b] λέγω[vppanms]. **v.14** ὁ[dafs] μέν[x] ἅγιος[anafsn] πόλις[nafsc] ὅς[rrafs] σπεύδω[vppanms] παραγίνομαι[viim3s] ἰσόπεδος[anafsn] ποιέω[vnaa] καί[cc] πολυάνδριος[anansn] οἰκοδομέω[vnaa] ἐλεύθερος[anafsn] ἀναδείκνυμι[vnaa]. **v.15** ὁ[damp] δέ[cc] Ἰουδαῖος[anampn] ὅς[rramp] διαγινώσκω[viya3s] μηδέ[x] ταφή[ngfsc] ἀξιόω[vnaa] οἰωνόβρωτος[anampn] δέ[cc] σύν[pd] ὁ[ddmp] νήπιος[andmpn] ἐκρίπτω[vnfa] θηρίον[ndnpc] πᾶς[aiampn] αὐτός[rpamp] ἴσος[anampn] Ἀθηναῖος[ndmpp] ποιέω[vnfa]. **v.16** ὅς[rrams] δέ[cc] πρότερος[b] σκυλεύω[viaa3s] ἅγιος[anamsn] νεώς[namsc] καλός[andnps] ἀνάθεμα[ndnpc] κοσμέω[vnfa] καί[cc] ὁ[danp] ἱερός[ananpn] σκεῦος[nanpc] πολυπλάσιος[ananpn] πᾶς[aianpn] ἀποδίδωμι[vnfa] ὁ[dafp] δέ[cc] ἐπιβάλλω[vppaafp] πρός[pa] ὁ[dafp] θυσία[nafpc] σύνταξις[nafpc] ἐκ[pg] ὁ[dgfp] ἴδιος[angfpn] πρόσοδος[ngfpc] χορηγέω[vnfa]. **v.17** πρός[pd] δέ[cc] οὗτος[rddnp] καί[b] Ἰουδαῖος[anamsn] εἰμί[vnfm] καί[cc] πᾶς[aiamsn] τόπος[namsc] οἰκητός[anamsn] ἐπέρχομαι[vnfm] καταγγέλλω[vppaams] ὁ[dans] ὁ[dgms] θεός[ngmsc] κράτος[nansc]. **v.18** οὐδαμῶς[b] δέ[cc] λήγω[vppagmp] ὁ[dgmp] πόνος[ngmpc] ἐπέρχομαι[viya3s] γάρ[cc] ἐπί[pa] αὐτός[rpams] δίκαιος[annfsn] ὁ[dnfs] ὁ[dgms] θεός[ngmsc] κρίσις[nnfsc] ὁ[danp] κατά[pa] αὐτός[rpams] ἀπελπίζω[vpaanms] γράφω[viaa3s] πρός[pa] ὁ[damp] Ἰουδαῖος[anampn] ὁ[dafs] ὑπογράφω[vpxpafs] ἐπιστολή[nafsc] ἱκετηρία[ngfsc] τάξις[nafsc] ἔχω[vppaafs] περιέχω[vppaafs] δέ[cc] οὕτως[b]. **v.19** ὁ[ddmp] χρηστός[andmpn] Ἰουδαῖος[andmpn] ὁ[ddmp] πολίτης[ndmpc] πολύς[ananpn] χαίρω[vnpa] καί[cc] ὑγιαίνω[vnpa] καί[cc] εὖ[b] πράσσω[vnpa] βασιλεύς[nnmsc] καί[cc] στρατηγός[nnmsc] Ἀντίοχος[nnmsp]. **v.20** εἰ[cs] ῥώννυμι[vdxm2p] καί[cc] ὁ[danp] τέκνον[nanpc] καί[cc] ὁ[danp] ἴδιος[ananpn] κατά[pa] γνώμη[nafsc] εἰμί[vipa3s] σύ[rpd-p] εἰς[pa] οὐρανός[namsc] ὁ[dafs] ἐλπίς[nafsc] ἔχω[vppanms].

μην φροντίσαι τῆς κοινῆς πάντων ἀσφαλείας. οὐκ ἀπογινώσκων 22
τὰ κατ' ἐμαυτόν ἀλλὰ ἔχων πολλὴν ἐλπίδα ἐκφεύξεσθαι τὴν ἀσθέ-
νειαν. θεωρῶν δὲ ὅτι καὶ ὁ πατήρ καθ' οὓς καιροὺς εἰς τοὺς ἄνω 23
τόπους ἐστρατοπέδευσεν ἀνέδειξεν τὸν διαδεξάμενον. ὅπως ἐάν 24
τι παράδοξον ἀποβαίνῃ ἢ καὶ προσαγγελθῇ τι δυσχερές εἰδότες οἱ
κατὰ τὴν χώραν ᾧ καταλέλειπται τὰ πράγματα μὴ ἐπιταράσσων-
ται. πρὸς δὲ τούτοις κατανοῶν τοὺς παρακειμένους δυνάστας 25
καὶ γειτνιῶντας τῇ βασιλείᾳ τοῖς καιροῖς ἐπέχοντας καὶ προσδο-
κῶντας τὸ ἀποβησόμενον ἀναδέδειχα τὸν υἱὸν Ἀντίοχον βασιλέα
ὃν πολλάκις ἀνατρέχων εἰς τὰς ἐπάνω σατραπείας τοῖς πλείστοις
ὑμῶν παρεκατετιθέμην καὶ συνίστων γέγραφα δὲ πρὸς αὐτὸν τὰ
ὑπογεγραμμένα. παρακαλῶ οὖν ὑμᾶς καὶ ἀξιῶ μεμνημένους 26
τῶν εὐεργεσιῶν κοινῇ καὶ κατ' ἰδίαν ἕκαστον συντηρεῖν τὴν οὖ-
σαν εὔνοιαν εἰς ἐμὲ καὶ τὸν υἱόν. πέπεισμαι γὰρ αὐτὸν ἐπιεικῶς 27
καὶ φιλανθρώπως παρακολουθοῦντα τῇ ἐμῇ προαιρέσει συμπε-
ριενεχθήσεσθαι ὑμῖν. ὁ μὲν οὖν ἀνδροφόνος καὶ βλάσφημος 28
τὰ χείριστα παθών ὡς ἑτέρους διέθηκεν ἐπὶ ξένης ἐν τοῖς ὄρεσιν
οἰκτίστῳ μόρῳ κατέστρεψεν τὸν βίον. παρεκομίζετο δὲ τὸ σῶμα 29
Φίλιππος ὁ σύντροφος αὐτοῦ ὃς καὶ διευλαβηθεὶς τὸν υἱὸν Ἀντιό-
χου πρὸς Πτολεμαῖον τὸν Φιλομήτορα εἰς Αἴγυπτον διεκομίσθη.

---

**v.21** σύ[rpg-p] ὁ[dafs] τιμή[nafsc] καί[cc] ὁ[dafs] εὔνοια[nafsc] μνημονεύω[viia1s] φιλοστόργως[b] ἐπανάγω[vppanms] ἐκ[pg] ὁ[dgmp] κατά[pa] ὁ[dafs] Περσίς[nafsp] τόπος[ngmpc] καί[cc] περιπίπτω[vpaanms] ἀσθένεια[ndfsc] δυσχέρεια[nafsc] ἔχω[vppadfs] ἀναγκαῖος[anansn] ἡγέομαι[viam1s] φροντίζω[vnaa] ὁ[dgfs] κοινός[angfsn] πᾶς[aigmpn] ἀσφάλεια[ngfsc]. **v.22** οὐ[b] ἀπογινώσκω[vppanms] ὁ[danp] κατά[pa] ἐμαυτοῦ[rxams] ἀλλά[cc] ἔχω[vppanms] πολύς[anafsn] ἐλπίς[nafsc] ἐκφεύγω[vnfm] ὁ[dafs] ἀσθένεια[nafsc]. **v.23** θεωρέω[vppanms] δέ[cc] ὅτι[cs] καί[b] ὁ[dnms] πατήρ[nnmsc] κατά[pa] ὅς[rramp] καιρός[nampc] εἰς[pa] ὁ[damp] ἄνω[b] τόπος[nampc] στρατοπεδεύω[viaa3s] ἀναδείκνυμι[viaa3s] ὁ[dams] διαδέχομαι[vpamams]. **v.24** ὅπως[cs] ἐάν[cs] τι-σ-ριανς παράδοξος[anansn] ἀποβαίνω[vspa3s] ἤ[cc] καί[b] προσαγγέλλω[vsap3s] τι-σριανς δυσχερής[anansn] οἶδα[vpxanmp] ὁ[dnmp] κατά[pa] ὁ[dafs] χώρα[nafsc] ὅς[rrdns] καταλείπω[vixp3s] ὁ[dnnp] πρᾶγμα[nnnpc] μή[x] ἐπιταράσσω[vsam3p]. **v.25** πρός[pd] δέ[cc] οὗτος[rddnp] κατανοέω[vppanms] ὁ[damp] παράκειμαι[vpppamp] δυνάστης[nampc] καί[cc] γειτνιάω[vppaamp] ὁ[ddfs] βασιλεία[ndfsc] ὁ[ddmp] καιρός[ndmpc] ἐπέχω[vppaamp] καί[cc] προσδοκάω[vppaamp] ὁ[dans] ἀποβαίνω[vpfmans] ἀναδείκνυμι[vixa1s] ὁ[dams] υἱός[namsc] Ἀντίοχος[namsp] βασιλεύς[namsc] ὅς[rrams] πολλάκις[b] ἀνατρέχω[vppanms] εἰς[pa] ὁ[dafp] ἐπάνω[b] σατραπεία[nafpc] ὁ[ddmp] πολύς[andmps] σύ[rpg-p] παρακατατίθημι[viim1s] καί[cc] συνίστημι[vppanms] γράφω[vixa1s] δέ[cc] πρός[pa] αὐτός[rpams] ὁ[danp] ὑπογράφω[vpxpanp]. **v.26** παρακαλέω[vipa1s] οὖν[cc] σύ[rpa-p] καί[cc] ἀξιόω[vipa1s] μιμνῄσκομαι[vpxmamp] ὁ[dgfp] εὐεργεσία[ngfpc] κοινός[andfsn] καί[cc] κατά[pa] ἴδιος[anafsn] ἕκαστος[aiamsn] συντηρέω[vnpa] ὁ[dafs] εἰμί[vppaafs] εὔνοια[nafsc] εἰς[pa] ἐγώ[rpa-s] καί[cc] ὁ[dams] υἱός[namsc]. **v.27** πείθω[vixp1s] γάρ[cc] αὐτός[rpams] ἐπιεικῶς[b] καί[cc] φιλανθρώπως[b] παρακολουθέω[vppaams] ὁ[ddfs] ἐμός[asdfsn] προαίρεσις[ndfsc] συμπεριφέρω[vnfp] σύ[rpd-p]. **v.28** ὁ[dnms] μέν[x] οὖν[cc] ἀνδροφόνος[annmsn] καί[cc] βλάσφημος[annmsn] ὁ[danp] κακός[ananps] πάσχω[vpaanms] ὡς[cs] ἕτερος[aiampn] διατίθημι[viaa3s] ἐπί[pg] ξένος[angfsn] ἐν[pd] ὁ[ddnp] ὄρος[ndnpc] οἴκτιστος[andmsn] μόρος[ndmsc] καταστρέφω[viaa3s] ὁ[dams] βίος[namsc]. **v.29** παρακομίζω[viim3s] δέ[cc] ὁ[dans] σῶμα[nansc] Φίλιππος[nnmsp] ὁ[dnms] σύντροφος[annmsn] αὐτός[rpgms] ὅς[rrnms] καί[cc] διευλαβέομαι[vpapnms] ὁ[dams] υἱός[namsc] Ἀντίοχος[ngmsp] πρός[pa] Πτολεμαῖος[namsp] ὁ[dams] Φιλομήτωρ[namsp] εἰς[pa] Αἴγυπτος[nafsp] διακομίζω[viap3s].

**10** Μακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ τοῦ κυρίου προάγοντος αὐ-
2 τοὺς τὸ μὲν ἱερὸν ἐκομίσαντο καὶ τὴν πόλιν. τοὺς δὲ κατὰ τὴν
ἀγορὰν βωμοὺς ὑπὸ τῶν ἀλλοφύλων δεδημιουργημένους ἔτι δὲ
3 τεμένη καθεῖλαν. καὶ τὸν νεὼ καθαρίσαντες ἕτερον θυσιαστή-
ριον ἐποίησαν καὶ πυρώσαντες λίθους καὶ πῦρ ἐκ τούτων λα-
βόντες ἀνήνεγκαν θυσίας μετὰ διετῆ χρόνον καὶ θυμίαμα καὶ
4 λύχνους καὶ τῶν ἄρτων τὴν πρόθεσιν ἐποιήσαντο. ταῦτα δὲ ποι-
ήσαντες ἠξίωσαν τὸν κύριον πεσόντες ἐπὶ κοιλίαν μηκέτι περι-
πεσεῖν τοιούτοις κακοῖς ἀλλ᾽ ἐάν ποτε καὶ ἁμάρτωσιν ὑπ᾽ αὐτοῦ
μετὰ ἐπιεικείας παιδεύεσθαι καὶ μὴ βλασφήμοις καὶ βαρβάροις
5 ἔθνεσιν παραδίδοσθαι. ἐν ᾗ δὲ ἡμέρᾳ ὁ νεὼς ὑπὸ ἀλλοφύλων
ἐβεβηλώθη συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν τὸν καθαρισμὸν γε-
νέσθαι τοῦ ναοῦ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ μηνός ὅς ἐστιν
6 Χασελευ. καὶ μετ᾽ εὐφροσύνης ἦγον ἡμέρας ὀκτὼ σκηνωμάτων
τρόπον μνημονεύοντες ὡς πρὸ μικροῦ χρόνου τὴν τῶν σκηνῶν
ἑορτὴν ἐν τοῖς ὄρεσιν καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον ἦσαν
7 νεμόμενοι. διὸ θύρσους καὶ κλάδους ὡραίους ἔτι δὲ καὶ φοίνι-
κας ἔχοντες ὕμνους ἀνέφερον τῷ εὐοδώσαντι καθαρισθῆναι τὸν
8 ἑαυτοῦ τόπον. ἐδογμάτισαν δὲ μετὰ κοινοῦ προστάγματος καὶ
ψηφίσματος παντὶ τῷ τῶν Ιουδαίων ἔθνει κατ᾽ ἐνιαυτὸν ἄγειν τάσδε
9 τὰς ἡμέρας. καὶ τὰ μὲν τῆς Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐ-

---

**10.** **v.1** Μακκαβαῖος[nnmsp] δέ[cc] καί[cc] ὁ[dnmp] σύν[pd] αὐτός[rpdms] ὁ[dgms] κύριος[ngmsc] προάγω[vppagms] αὐτός[rpamp] ὁ[dans] μέν[x] ἱερόν[nansc] κομίζω[viam3p] καί[cc] ὁ[dafs] πόλις[nafsc]. **v.2** ὁ[damp] δέ[cc] κατά[pa] ὁ[dafs] ἀγορά[nafsc] βωμός[nampc] ὑπό[pg] ὁ[dgmp] ἀλλόφυλος[angmpn] δημιουργέω[vpxpamp] ἔτι[b] δέ[cc] τέμενος[nanpc] καθαιρέω[viaa3p]. **v.3** καί[cc] ὁ[dams] νεώς[namsc] καθαρίζω[vpaanmp] ἕτερος[aiansn] θυσιαστήριον[nansc] ποιέω[viaa3p] καί[cc] πυρόω[vpaanmp] λίθος[nampc] καί[cc] πῦρ[nansc] ἐκ[pg] οὗτος[rdgmp] λαμβάνω[vpaanmp] ἀναφέρω[viaa3p] θυσία[nafpc] μετά[pa] διετής[anamsn] χρόνος[namsc] καί[cc] θυμίαμα[nansc] καί[cc] λύχνος[nampc] καί[cc] ὁ[dgmp] ἄρτος[ngmpc] ὁ[dafs] πρόθεσις[nafsc] ποιέω[viam3p]. **v.4** οὗτος[rdanp] δέ[cc] ποιέω[vpaanmp] ἀξιόω[viaa3p] ὁ[dams] κύριος[namsc] πίπτω[vpaanmp] ἐπί[pa] κοιλία[nafsc] μηκέτι[b] περιπίπτω[vnaa] τοιοῦτος[addnpn] κακός[andnpn] ἀλλά[cc] ἐάν[cs] ποτέ[b] καί[b] ἁμαρτάνω[vsaa3p] ὑπό[pg] αὐτός[rpgms] μετά[pg] ἐπιείκεια[ngfsc] παιδεύω[vnpp] καί[cc] μή[x] βλάσφημος[andnpn] καί[cc] βάρβαρος[andnpn] ἔθνος[ndnpc] παραδίδωμι[vnpp]. **v.5** ἐν[pd] ὅς[rrdfs] δέ[cc] ἡμέρα[ndfsc] ὁ[dnms] νεώς[nnmsc] ὑπό[pg] ἀλλόφυλος[angmpn] βεβηλόω[viap3s] συμβαίνω[viaa3s] κατά[pa] ὁ[dafs] αὐτός[atafsn] ἡμέρα[nafsc] ὁ[dams] καθαρισμός[namsc] γίνομαι[vnam] ὁ[dgms] ναός[ngmsc] ὁ[ddfs] πέμπτος[aodfsn] καί[cc] εἰκάς[ndfsc] ὁ[dgms] αὐτός[atgmsn] μήν[ngmsc] ὅς[rrnms] εἰμί[vipa3s] Χασελευ[nn-sp]. **v.6** καί[cc] μετά[pg] εὐφροσύνη[ngfsc] ἄγω[viia3p] ἡμέρα[nafpc] ὀκτώ[ac—n] σκήνωμα[ngnpc] τρόπος[namsc] μνημονεύω[vppanmp] ὡς[cs] πρό[pg] μικρός[angmsn] χρόνος[ngmsc] ὁ[dafs] ὁ[dgfp] σκηνή[ngfpc] ἑορτή[nafsc] ἐν[pd] ὁ[ddnp] ὄρος[ndnpc] καί[cc] ἐν[pd] ὁ[ddnp] σπήλαιον[ndnpc] θηρίον[ngnpc] τρόπος[namsc] εἰμί[viia3p] νέμω[vppmnmp]. **v.7** διό[cc] θύρσος[nampc] καί[cc] κλάδος[nampc] ὡραῖος[anampn] ἔτι[b] δέ[cc] καί[cc] φοῖνιξ[nampc] ἔχω[vppanmp] ὕμνος[nampc] ἀναφέρω[viia3p] ὁ[ddms] εὐοδόω[vpaadms] καθαρίζω[vnap] ὁ[dams] ἑαυτοῦ[rxgms] τόπος[namsc]. **v.8** δογματίζω[viaa3p] δέ[cc] μετά[pg] κοινός[angnsn] πρόσταγμα[ngnsc] καί[cc] ψήφισμα[ngnsc] πᾶς[aidnsn] ὁ[ddns] ὁ[dgmp] Ἰουδαῖος[angmpn] ἔθνος[ndnsc] κατά[pa] ἐνιαυτός[namsc] ἄγω[vnpa] ὅδε[rdafp] ὁ[dafp] ἡμέρα[nafpc].

πιφανοῦς τελευτῆς οὕτως εἶχεν. νυνὶ δὲ τὰ κατὰ τὸν Εὐπάτορα 10
Ἀντίοχον υἱὸν δὲ τοῦ ἀσεβοῦς γενόμενον δηλώσομεν αὐτὰ συντέ-
μνοντες τὰ συνέχοντα τῶν πολέμων κακά. οὗτος γὰρ παραλαβὼν 11
τὴν βασιλείαν ἀνέδειξεν ἐπὶ τῶν πραγμάτων Λυσίαν τινά Κοίλης
δὲ Συρίας καὶ Φοινίκης στρατηγὸν πρώταρχον. Πτολεμαῖος γὰρ 12
ὁ καλούμενος Μάκρων τὸ δίκαιον συντηρεῖν προηγούμενος πρὸς
τοὺς Ιουδαίους διὰ τὴν γεγονυῖαν εἰς αὐτοὺς ἀδικίαν ἐπειρᾶτο
τὰ πρὸς αὐτοὺς εἰρηνικῶς διεξάγειν. ὅθεν κατηγορούμενος ὑπὸ 13
τῶν φίλων πρὸς τὸν Εὐπάτορα καὶ προδότης παρ᾽ ἕκαστα ἀκούων
διὰ τὸ τὴν Κύπρον ἐμπιστευθέντα ὑπὸ τοῦ Φιλομήτορος ἐκλι-
πεῖν καὶ πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ ἀναχωρῆσαι μήτε εὐγενῆ
τὴν ἐξουσίαν εὐγενίσας φαρμακεύσας ἑαυτὸν ἐξέλιπεν τὸν βίον.
Γοργίας δὲ γενόμενος στρατηγὸς τῶν τόπων ἐξενοτρόφει καὶ παρ᾽ 14
ἕκαστα πρὸς τοὺς Ιουδαίους ἐπολεμοτρόφει. ὁμοῦ δὲ τούτῳ καὶ 15
οἱ Ιδουμαῖοι ἐγκρατεῖς ἐπικαίρων ὀχυρωμάτων ὄντες ἐγύμναζον
τοὺς Ιουδαίους καὶ τοὺς φυγαδεύσαντας ἀπὸ Ιεροσολύμων προ-
σλαβόμενοι πολεμοτροφεῖν ἐπεχείρουν. οἱ δὲ περὶ τὸν Μακκα- 16
βαῖον ποιησάμενοι λιτανείαν καὶ ἀξιώσαντες τὸν θεὸν σύμμαχον
αὐτοῖς γενέσθαι ἐπὶ τὰ τῶν Ιδουμαίων ὀχυρώματα ὥρμησαν. οἷς 17
καὶ προσβαλόντες εὐρώστως ἐγκρατεῖς ἐγένοντο τῶν τόπων πάντας
τε τοὺς ἐπὶ τῷ τείχει μαχομένους ἠμύναντο κατέσφαζόν τε τοὺς

---

**v.9** καί[cc] ὁ[danp] μέν[x] ὁ[dgfs] Ἀντίοχος[ngfsp] ὁ[dgms] προσαγορεύω[vpapgms] Ἐπιφανής[angmsn] τελευτή[ngfsc] οὕτως[b] ἔχω[viia3s]. **v.10** νυνί[b] δέ[cc] ὁ[danp] κατά[pa] ὁ[dams] Εὐπάτωρ[namsp] Ἀντίοχος[namsp] υἱός[namsc] δέ[cc] ὁ[dgms] ἀσεβής[angmsn] γίνομαι[vpamams] δηλόω[vifa1p] αὐτός[rpanp] συντέμνω[vppanmp] ὁ[danp] συνέχω[vppaanp] ὁ[dgmp] πόλεμος[ngmpc] κακός[ananpn]. **v.11** οὗτος[rdnms] γάρ[cc] παραλαμβάνω[vpaanms] ὁ[dafs] βασιλεία[nafsc] ἀναδείκνυμι[viaa3s] ἐπί[pg] ὁ[dgnp] πρᾶγμα[ngnpc] Λυσίας[namsp] τι-σριαμς Κοίλη[ngfsp] δέ[cc] Συρία[ngfsp] καί[cc] Φοινίκη[ngfsp] στρατηγός[namsc] πρώταρχος[anamsn]. **v.12** Πτολεμαῖος[nnmsp] γάρ[cc] ὁ[dnms] καλέω[vpppnms] Μάκρων[nnmsp] ὁ[dans] δίκαιος[anansn] συντηρέω[vnpa] προηγέομαι[vppmnms] πρός[pa] ὁ[damp] Ἰουδαῖος[anampn] διά[pa] ὁ[dafs] γίνομαι[vpxaafs] εἰς[pa] αὐτός[rpamp] ἀδικία[nafsc] πειράω[viim3s] ὁ[danp] πρός[pa] αὐτός[rpamp] εἰρηνικῶς[b] διεξάγω[vnpa]. **v.13** ὅθεν[b] κατηγορέω[vpppnms] ὑπό[pg] ὁ[dgmp] φίλος[angmpn] πρός[pa] ὁ[dams] Εὐπάτωρ[namsp] καί[cc] προδότης[nnmsc] παρά[pa] ἕκαστος[aianpn] ἀκούω[vppanms] διά[pa] ὁ[dans] ὁ[dafs] Κύπρος[nafsp] ἐμπιστεύω[vpapans] ὑπό[pg] ὁ[dgms] Φιλομήτωρ[ngmsp] ἐκλείπω[vnaa] καί[cc] πρός[pa] Ἀντίοχος[namsp] ὁ[dams] Ἐπιφανής[anamsn] ἀναχωρέω[vnaa] μήτε[cc] εὐγενής[anafsn] ὁ[dafs] ἐξουσία[nafsc] εὐγενίζω[vpaanms] φαρμακεύω[vpaanms] ἑαυτοῦ[rxams] ἐκλείπω[viaa3s] ὁ[dams] βίος[namsc]. **v.14** Γοργίας[nnmsp] δέ[cc] γίνομαι[vpamnms] στρατηγός[nnmsc] ὁ[dgmp] τόπος[ngmpc] ξενοτροφέω[viia3s] καί[cc] παρά[pa] ἕκαστος[aianpn] πρός[pa] ὁ[damp] Ἰουδαῖος[anampn] πολεμοτροφέω[viia3s]. **v.15** ὁμοῦ[b] δέ[cc] οὗτος[rddns] καί[b] ὁ[dnmp] Ιδουμαῖος[nnmpp] ἐγκρατής[annmpn] ἐπίκαιρος[angnpn] ὀχύρωμα[ngnpc] εἰμί[vppanmp] γυμνάζω[viia3p] ὁ[damp] Ἰουδαῖος[anampn] καί[cc] ὁ[damp] φυγαδεύω[vpaaamp] ἀπό[pg] Ἱεροσόλυμα[ngnpp] προσλαμβάνω[vpamnmp] πολεμοτροφέω[vnpa] ἐπιχειρέω[viia3p]. **v.16** ὁ[dnmp] δέ[cc] περί[pa] ὁ[dams] Μακκαβαῖος[namsp] ποιέω[vpamnmp] λιτανεία[nafsc] καί[cc] ἀξιόω[vpaanmp] ὁ[dams] θεός[namsc] σύμμαχος[anamsn] αὐτός[rpdmp] γίνομαι[vnam] ἐπί[pa] ὁ[danp] ὁ[dgmp] Ιδουμαῖος[ngmpp] ὀχύρωμα[nanpc] ὁρμάω[viaa3p].

18 ἐμπίπτοντας ἀνεῖλον δὲ οὐχ ἧττον τῶν δισμυρίων. συμφυγόν-
των δὲ οὐκ ἔλαττον τῶν ἐνακισχιλίων εἰς δύο πύργους ὀχυροὺς
19 εὖ μάλα καὶ πάντα τὰ πρὸς πολιορκίαν ἔχοντας. ὁ Μακκαβαῖος
εἰς ἐπείγοντας τόπους ἀπολιπὼν Σιμωνα καὶ Ιωσηπον ἔτι δὲ καὶ
Ζακχαῖον καὶ τοὺς σὺν αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορκίαν
20 αὐτὸς ἐχωρίσθη. οἱ δὲ περὶ τὸν Σιμωνα φιλαργυρήσαντες ὑπό
τινων τῶν ἐν τοῖς πύργοις ἐπείσθησαν ἀργυρίῳ ἑπτάκις δὲ μυρίας
21 δραχμὰς λαβόντες εἴασάν τινας διαρρυῆναι. προσαγγελέντος δὲ
τῷ Μακκαβαίῳ περὶ τοῦ γεγονότος συναγαγὼν τοὺς ἡγουμένους
τοῦ λαοῦ κατηγόρησεν ὡς ἀργυρίου πέπρακαν τοὺς ἀδελφοὺς
22 τοὺς πολεμίους κατ᾽ αὐτῶν ἀπολύσαντες. τούτους μὲν οὖν προ-
δότας γενομένους ἀπέκτεινεν καὶ παραχρῆμα τοὺς δύο πύργους
23 κατελάβετο. τοῖς δὲ ὅπλοις τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμε-
νος ἀπώλεσεν ἐν τοῖς δυσὶν ὀχυρώμασιν πλείους τῶν δισμυρίων.
24 Τιμόθεος δὲ ὁ πρότερον ἡττηθεὶς ὑπὸ τῶν Ιουδαίων συναγαγὼν ξέ-
νας δυνάμεις παμπληθεῖς καὶ τοὺς τῆς Ἀσίας γενομένους ἵππους
συναθροίσας οὐκ ὀλίγους παρῆν ὡς δοριάλωτον λημψόμενος τὴν
25 Ιουδαίαν. οἱ δὲ περὶ τὸν Μακκαβαῖον συνεγγίζοντος αὐτοῦ πρὸς
ἱκετείαν τοῦ θεοῦ γῇ τὰς κεφαλὰς καταπάσαντες καὶ τὰς ὀσφύας
26 σάκκοις ζώσαντες. ἐπὶ τὴν ἀπέναντι τοῦ θυσιαστηρίου κρηπῖδα
προσπεσόντες ἠξίουν ἵλεως αὐτοῖς γενόμενον ἐχθρεῦσαι τοῖς ἐ-

---

**v.17** ὅς[rrdnp] καί[cc] προσβάλλω[vpaanmp] εὐρώστως[b] ἐγκρατής[annmpn] γίνομαι[viam3p] ὁ[dgmp] τόπος[ngmpc] πᾶς[aiampn] τέ[cc] ὁ[damp] ἐπί[pd] ὁ[ddns] τεῖχος[ndnsc] μάχομαι[vppmamp] ἀμύνομαι[viam3p] κατασφάζω[viia3p] τέ[cc] ὁ[damp] ἐμπίπτω[vppaamp] ἀναιρέω[viaa3p] δέ[cc] οὐ[b] ἥσσων[anansc] ὁ[dgmp] δισμύριοι[acgmpn]. **v.18** συμφεύγω[vpaagmp] δέ[cc] οὐ[b] ἐλαχύς[anansc] ὁ[dgmp] ἐνακισχίλιοι[acgmpn] εἰς[pa] δύο[ac—n] πύργος[nampc] ὀχυρός[anampn] εὖ[b] μάλα[b] καί[cc] πᾶς[aianpn] ὁ[danp] πρός[pa] πολιορκία[nafsc] ἔχω[vppaamp]. **v.19** ὁ[dnms] Μακκαβαῖος[nnmsp] εἰς[pa] ἐπείγω[vppaamp] τόπος[nampc] ἀπολείπω[vpaanms] Σίμων[namsp] καί[cc] Ιώσηπος[namsp] ἔτι[b] δέ[cc] καί[cc] Ζακχαῖος[namsp] καί[cc] ὁ[damp] σύν[pd] αὐτός[rpdms] ἱκανός[anampn] πρός[pa] ὁ[dafs] οὗτος[rdgmp] πολιορκία[nafsc] αὐτός[rpnms] χωρίζω[viap3s]. **v.20** ὁ[dnmp] δέ[cc] περί[pa] ὁ[dams] Σίμων[namsp] φιλαργυρέω[vpaanmp] ὑπό[pg] τι-σριγμπ ὁ[dgmp] ἐν[pd] ὁ[ddmp] πύργος[ndmpc] πείθω[viap3p] ἀργύριον[ndnsc] ἑπτάκις[b] δέ[cc] μύριοι[acafpn] δραχμή[nafpc] λαμβάνω[vpaanmp] ἐάω[viaa3p] τι-
-σριαμπ διαρρέω[vnaa]. **v.21** προσαγγέλλω[vpapgns] δέ[cc] ὁ[ddms] Μακκαβαῖος[ndmsp] περί[pg] ὁ[dgns] γίνομαι[vpxagns] συνάγω[vpaanms] ὁ[damp] ἡγέομαι[vppmamp] ὁ[dgms] λαός[ngmsc] κατηγορέω[viaa3s] ὡς[cs] ἀργύριον[ngnsc] πιπράσκω[vixa3p] ὁ[damp] ἀδελφός[nampc] ὁ[damp] πολέμιος[anampn] κατά[pg] αὐτός[rpgmp] ἀπολύω[vpaanmp]. **v.22** οὗτος[rdamp] μέν[x] οὖν[cc] προδότης[nampc] γίνομαι[vpamamp] ἀποκτείνω[viaa3s] καί[cc] παραχρῆμα[b] ὁ[damp] δύο[ac—n] πύργος[nampc] καταλαμβάνω[viam3s]. **v.23** ὁ[ddnp] δέ[cc] ὅπλον[ndnpc] ὁ[danp] πᾶς[aianpn] ἐν[pd] ὁ[ddfp] χείρ[ndfpc] εὐοδόω[vpppnms] ἀπόλλυμι[viaa3s] ἐν[pd] ὁ[ddnp] δύο[acdnpn] ὀχύρωμα[ndnpc] πολύς[anampc] ὁ[dgmp] δισμύριοι[acgmpn]. **v.24** Τιμόθεος[nnmsp] δέ[cc] ὁ[dnms] πρότερος[b] ἡττάω[vpapnms] ὑπό[pg] ὁ[dgmp] Ἰουδαῖος[angmpn] συνάγω[vpaanms] ξένος[anafpn] δύναμις[nafpc] παμπληθής[anafpn] καί[cc] ὁ[damp] ὁ[dgfs] Ἀσία[ngfsp] γίνομαι[vpamamp] ἵππος[nampc] συναθροίζω[vpaanms] οὐ[b] ὀλίγος[anampn] πάρειμι[viia3s] ὡς[cs] δοριάλωτος[anafsn] λαμβάνω[vpfmnms] ὁ[dafs] Ἰουδαία[nafsp]. **v.25** ὁ[dnmp] δέ[cc] περί[pa] ὁ[dams] Μακκαβαῖος[namsp] συνεγγίζω[vppagms] αὐτός[rpgms] πρός[pa] ἱκετεία[nafsc] ὁ[dgms] θεός[ngmsc] γῆ[ndfsc] ὁ[dafp] κεφαλή[nafpc] καταπάσσω[vpaanmp] καί[cc] ὁ[dafp] ὀσφύς[nafpc] σάκκος[ndmpc] ζωννύω[vpaanmp].

χθροῖς αὐτῶν καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις καθὼς ὁ νόμος
διασαφεῖ. γενόμενοι δὲ ἀπὸ τῆς δεήσεως ἀναλαβόντες τὰ ὅπλα 27
προῆγον ἀπὸ τῆς πόλεως ἐπὶ πλεῖον συνεγγίσαντες δὲ τοῖς πο-
λεμίοις ἐφ᾽ ἑαυτῶν ἦσαν. ἄρτι δὲ τῆς ἀνατολῆς διαχεομένης 28
προσέβαλον ἑκάτεροι οἱ μὲν ἔγγυον ἔχοντες εὐημερίας καὶ νίκης
μετὰ ἀρετῆς τὴν ἐπὶ τὸν κύριον καταφυγήν οἱ δὲ καθηγεμόνα
τῶν ἀγώνων ταττόμενοι τὸν θυμόν. γενομένης δὲ καρτερᾶς μά- 29
χης ἐφάνησαν τοῖς ὑπεναντίοις ἐξ οὐρανοῦ ἐφ᾽ ἵππων χρυσοχαλί-
νων ἄνδρες πέντε διαπρεπεῖς καὶ ἀφηγούμενοι τῶν Ιουδαίων. οἳ 30
καὶ τὸν Μακκαβαῖον μέσον λαβόντες καὶ σκεπάζοντες ταῖς ἑαυτῶν
πανοπλίαις ἄτρωτον διεφύλαττον εἰς δὲ τοὺς ὑπεναντίους τοξεύ-
ματα καὶ κεραυνοὺς ἐξερρίπτουν διὸ συγχυθέντες ἀορασίᾳ διε-
κόπτοντο ταραχῆς πεπληρωμένοι. κατεσφάγησαν δὲ δισμύριοι 31
πρὸς τοῖς πεντακοσίοις ἱππεῖς δὲ ἑξακόσιοι. αὐτὸς δὲ ὁ Τιμό- 32
θεος συνέφυγεν εἰς Γαζαρα λεγόμενον ὀχύρωμα εὖ μάλα φρού-
ριον στρατηγοῦντος ἐκεῖ Χαιρεου. οἱ δὲ περὶ τὸν Μακκαβαῖον 33
ἄσμενοι περιεκάθισαν τὸ φρούριον ἡμέρας τέσσαρας. οἱ δὲ ἔν- 34
δον τῇ ἐρυμνότητι τοῦ τόπου πεποιθότες ὑπεράγαν ἐβλασφήμουν
καὶ λόγους ἀθεμίτους προΐεντο. ὑποφαινούσης δὲ τῆς πέμπτης 35
ἡμέρας εἴκοσι νεανίαι τῶν περὶ τὸν Μακκαβαῖον πυρωθέντες τοῖς
θυμοῖς διὰ τὰς βλασφημίας προσβαλόντες τῷ τείχει ἀρρενωδῶς

---

**v.26** ἐπί[pa] ὁ[dafs] ἀπέναντι[pg] ὁ[dgns] θυσιαστήριον[ngnsc] κρηπίς[nafsc] προσπίπτω[vpaanmp] ἀξιόω[viia3p] ἵλεως[b] αὐτός[rpdmp] γίνομαι[vpamams] ἐχθρεύω[vnaa] ὁ[ddmp] ἐχθρός[andmpn] αὐτός[rpgmp] καί[cc] ἀντίκειμαι[vnpm] ὁ[ddmp] ἀντίκειμαι[vppmdmp] καθώς[cs] ὁ[dnms] νόμος[nnmsc] διασαφέω[vipa3s]. **v.27** γίνομαι[vpamnmp] δέ[cc] ἀπό[pg] ὁ[dgfs] δέησις[ngfsc] ἀναλαμβάνω[vpaanmp] ὁ[danp] ὅπλον[nanpc] προάγω[viia3p] ἀπό[pg] ὁ[dgfs] πόλις[ngfsc] ἐπί[pa] πολύς[anansc] συνεγγίζω[vpaanmp] δέ[cc] ὁ[ddmp] πολέμιος[andmpn] ἐπί[pg] ἑαυτοῦ[rxgmp] εἰμί[viia3p]. **v.28** ἄρτι[b] δέ[cc] ὁ[dgfs] ἀνατολή[ngfsc] διαχέω[vpppgfs] προσβάλλω[viaa3p] ἑκάτερος[adnmpn] ὁ[dnmp] μέν[x] ἔγγυος[anansn] ἔχω[vppanmp] εὐημερία[ngfsc] καί[cc] νίκη[ngfsc] μετά[pg] ἀρετή[ngfsc] ὁ[dafs] ἐπί[pa] ὁ[dams] κύριος[namsc] καταφυγή[nafsc] ὁ[dnmp] δέ[cc] καθηγεμών[namsc] ὁ[dgmp] ἀγών[ngmpc] τάσσω[vppmnmp] ὁ[dams] θυμός[namsc]. **v.29** γίνομαι[vpamgfs] δέ[cc] καρτερός[angfsn] μάχη[ngfsc] φαίνω[viap3p] ὁ[ddmp] ὑπεναντίος[andmpn] ἐκ[pg] οὐρανός[ngmsc] ἐπί[pg] ἵππος[ngmpc] χρυσοξάλινος[angmpn] ἀνήρ[nnmpc] πέντε[ac—n] διαπρεπής[annmpn] καί[cc] ἀφηγέομαι[vppmnmp] ὁ[dgmp] Ἰουδαῖος[angmpn]. **v.30** ὅς[rrnmp] καί[cc] ὁ[dams] Μακκαβαῖος[namsp] μέσος[anans'nanamsn] λαμβάνω[vpaanmp] καί[cc] σκεπάζω[vppanmp] ὁ[ddfp] ἑαυτοῦ[rxgmp] πανοπλία[ndfpc] ἄτρωτος[anamsn] διαφυλάσσω[viia3p] εἰς[pa] δέ[cc] ὁ[damp] ὑπεναντίος[anampn] τόξευμα[nanpc] καί[cc] κεραυνός[nampc] ἐκρίπτω[viia3p] διό[cc] συγχέω[vpapnmp] ἀορασία[ndfsc] διακόπτω[viip3p] ταραχή[ngfsc] πληρόω[vpxpnmp]. **v.31** κατασφάζω[viap3p] δέ[cc] δισμύριοι[acnmpn] πρός[pd] ὁ[ddmp] πεντακόσιοι[acdmpn] ἱππεύς[nnmpc] δέ[cc] ἑξακόσιοι[acnmpn]. **v.32** αὐτός[rpnms] δέ[cc] ὁ[dnms] Τιμόθεος[nnmsp] συμφεύγω[viaa3s] εἰς[pa] Γαζαρα[na-sp] λέγω[vpppans] ὀχύρωμα[nansc] εὖ[b] μάλα[b] φρούριον[nansc] στρατηγέω[vppagms] ἐκεῖ[b] Χαιρέας[ngmsp]. **v.33** ὁ[dnmp] δέ[cc] περί[pa] ὁ[dams] Μακκαβαῖος[namsp] ἄσμενος[annmpn] περικαθίζω[viaa3p] ὁ[dans] φρούριον[nansc] ἡμέρα[nafpc] τέσσαρες[acafpn]. **v.34** ὁ[dnmp] δέ[cc] ἔνδον[b] ὁ[ddfs] ἐρυμνότης[ndfsc] ὁ[dgms] τόπος[ngmsc] πείθω[vpxanmp] ὑπεράγαν[b] βλασφημέω[viia3p] καί[cc] λόγος[nampc] ἀθέμιτος[anampn] προΐημι[viim3p].

36 καὶ θηριώδει θυμῷ τὸν ἐμπίπτοντα ἔκοπτον. ἕτεροι δὲ ὁμοίως
προσαναβάντες ἐν τῷ περισπασμῷ πρὸς τοὺς ἔνδον ἐνεπίμπρων
τοὺς πύργους καὶ πυρὰς ἀνάπτοντες ζῶντας τοὺς βλασφήμους
κατέκαιον οἱ δὲ τὰς πύλας διέκοπτον εἰσδεξάμενοι δὲ τὴν λοιπὴν
37 τάξιν προκατελάβοντο τὴν πόλιν. καὶ τὸν Τιμόθεον ἀποκεκρυμ-
μένον ἔν τινι λάκκῳ κατέσφαξαν καὶ τὸν τούτου ἀδελφὸν Χαιρέαν
38 καὶ τὸν Ἀπολλοφάνην. ταῦτα δὲ διαπραξάμενοι μεθ᾽ ὕμνων καὶ
ἐξομολογήσεων εὐλόγουν τῷ κυρίῳ τῷ μεγάλως εὐεργετοῦντι τὸν
Ισραηλ καὶ τὸ νῖκος αὐτοῖς διδόντι.

**11** μετ᾽ ὀλίγον δὲ παντελῶς χρονίσκον Λυσίας ἐπίτροπος τοῦ βα-
σιλέως καὶ συγγενὴς καὶ ἐπὶ τῶν πραγμάτων λίαν βαρέως φέρων
2 ἐπὶ τοῖς γεγονόσι. συναθροίσας περὶ τὰς ὀκτὼ μυριάδας καὶ τὴν
ἵππον ἅπασαν παρεγίνετο ἐπὶ τοὺς Ιουδαίους λογιζόμενος τὴν
3 μὲν πόλιν Ἕλλησιν οἰκητήριον ποιήσειν. τὸ δὲ ἱερὸν ἀργυρολό-
γητον καθὼς τὰ λοιπὰ τῶν ἐθνῶν τεμένη πρατὴν δὲ κατὰ ἔτος τὴν
4 ἀρχιερωσύνην ποιήσειν. οὐδαμῶς ἐπιλογιζόμενος τὸ τοῦ θεοῦ
κράτος πεφρενωμένος δὲ ταῖς μυριάσιν τῶν πεζῶν καὶ ταῖς χιλιά-
5 σιν τῶν ἱππέων καὶ τοῖς ἐλέφασιν τοῖς ὀγδοήκοντα. εἰσελθὼν δὲ
εἰς τὴν Ιουδαίαν καὶ συνεγγίσας Βαιθσουρα ὄντι μὲν ἐρυμνῷ χω-
ρίῳ Ιεροσολύμων δὲ ἀπέχοντι ὡσεὶ σταδίους πέντε τοῦτο ἔθλιβεν.

---

**v.35** ὑποφαίνω[vppagfs] δέ[cc] ὁ[dgfs] πέμπτος[aogfsn] ἡμέρα[ngfsc] εἴκοσι[ac—n] νεανίας[nnmpc] ὁ[dgmp] περί[pa] ὁ[dams] Μακκαβαῖος[namsp] πυρόω[vpapnmp] ὁ[ddmp] θυμός[ndmpc] διά[pa] ὁ[dafp] βλασφημία[nafpc] προσβάλλω[vpaanmp] ὁ[ddns] τεῖχος[ndnsc] ἀρρενωδῶς[b] καί[cc] θηριώδης[andmsn] θυμός[ndmsc] ὁ[dams] ἐμπίπτω[vppaams] κόπτω[viia3p]. **v.36** ἕτερος[ainmpn] δέ[cc] ὁμοίως[b] προσαναβαίνω[vpaanmp] ἐν[pd] ὁ[ddms] περισπασμός[ndmsc] πρός[pa] ὁ[damp] ἔνδον[b] ἐμπίπρημι[viia3p] ὁ[damp] πύργος[nampc] καί[cc] πυρά[nafpc] ἀνάπτω[vppanmp] ζάω[vppaamp] ὁ[damp] βλάσφημος[anampn] κατακαίω[viia3p] ὁ[dnmp] δέ[cc] ὁ[dafp] πύλη[nafpc] διακόπτω[viia3p] εἰσδέχομαι[vpamnmp] δέ[cc] ὁ[dafs] λοιπός[anafsn] τάξις[nafsc] προκαταλαμβάνω[viam3p] ὁ[dafs] πόλις[nafsc]. **v.37** καί[cc] ὁ[dams] Τιμόθεος[namsp] ἀποκρύπτω[vpxpams] ἐν[pd] τι-σαιδμσν λάκκος[ndmsc] κατασφάζω[viaa3p] καί[cc] ὁ[dams] οὗτος[rdgms] ἀδελφός[namsc] Χαιρέας[namsp] καί[cc] ὁ[dams] Ἀπολλοφάνης[namsp]. **v.38** οὗτος[rdanp] δέ[cc] διαπράσσω[vpamnmp] μετά[pg] ὕμνος[ngmpc] καί[cc] ἐξομολόγησις[ngfpc] εὐλογέω[viia3p] ὁ[ddms] κύριος[ndmsc] ὁ[ddms] μεγάλως[b] εὐεργετέω[vppadms] ὁ[dams] Ἰσραήλ[namsp] καί[cc] ὁ[dans] νῖκος[nansc] αὐτός[rpdmp] δίδωμι[vppadms]. **11. v.1** μετά[pa] ὀλίγος[anansn] δέ[cc] παντελῶς[b] χρονίσκος[namsc] Λυσίας[nnmsp] ἐπίτροπος[nnmsc] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] συγγενής[annmsn] καί[cc] ἐπί[pg] ὁ[dgnp] πρᾶγμα[ngnpc] λίαν[b] βαρέως[b] φέρω[vppanms] ἐπί[pd] ὁ[ddnp] γίνομαι[vpxadnp]. **v.2** συναθροίζω[vpaanms] περί[pa] ὁ[dafp] ὀκτώ[ac—n] μυριάς[nafpc] καί[cc] ὁ[dafs] ἵππος[nafsc] ἅπας[anafsn] παραγίνομαι[viim3s] ἐπί[pa] ὁ[damp] Ἰουδαῖος[anampn] λογίζομαι[vppmnms] ὁ[dafs] μέν[x] πόλις[nafsc] Ἕλλην[ndmpp] οἰκητήριον[nansc] ποιέω[vnfa]. **v.3** ὁ[dans] δέ[cc] ἱερόν[nansc] ἀργυρολόγητος[nansc] καθώς[cs] ὁ[danp] λοιπός[ananpn] ὁ[dgnp] ἔθνος[ngnpc] τέμενος[nanpc] πρατός[anafsn] δέ[cc] κατά[pa] ἔτος[nansc] ὁ[dafs] ἀρχιερωσύνη[nafsc] ποιέω[vnfa]. **v.4** οὐδαμῶς[b] ἐπιλογίζομαι[vppmnms] ὁ[dans] ὁ[dgms] θεός[ngmsc] κράτος[nansc] φρενόω[vpxpnms] δέ[cc] ὁ[ddfp] μυριάς[ndfpc] ὁ[dgmp] πεζός[angmpn] καί[cc] ὁ[ddfp] χιλιάς[ndfpc] ὁ[dgmp] ἱππεύς[ngmpc] καί[cc] ὁ[ddmp] ἐλέφας[ndmpc] ὁ[ddmp] ὀγδοήκοντα[ac—n]. **v.5** εἰσέρχομαι[vpaanms] δέ[cc] εἰς[pa] ὁ[dafs] Ἰουδαία[nafsp] καί[cc] συνεγγίζω[vpaanms] Βαιθσουρα[nd-sp] εἰμί[vppadns] μέν[x] ἐρυμνός[andnsn] χωρίον[ndnsc] Ἱεροσόλυμα[ngnpp] δέ[cc] ἀπέχω[vppadns] ὡσεί[x] στάδιον[nampc] πέντε[ac—n] οὗτος[rdans] θλίβω[viia3s].

ὡς δὲ μετέλαβον οἱ περὶ τὸν Μακκαβαῖον πολιορκοῦντα αὐτὸν τὰ 6
ὀχυρώματα μετὰ ὀδυρμῶν καὶ δακρύων ἱκέτευον σὺν τοῖς ὄχλοις
τὸν κύριον ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτηρίαν τῷ Ισραηλ.
αὐτὸς δὲ πρῶτος ὁ Μακκαβαῖος ἀναλαβὼν τὰ ὅπλα προετρέψατο 7
τοὺς ἄλλους ἅμα αὐτῷ διακινδυνεύοντας ἐπιβοηθεῖν τοῖς ἀδελ-
φοῖς αὐτῶν ὁμοῦ δὲ καὶ προθύμως ἐξώρμησαν. αὐτόθι δὲ πρὸς 8
τοῖς Ιεροσολύμοις ὄντων ἐφάνη προηγούμενος αὐτῶν ἔφιππος ἐν
λευκῇ ἐσθῆτι πανοπλίαν χρυσῆν κραδαίνων. ὁμοῦ δὲ πάντες 9
εὐλόγησαν τὸν ἐλεήμονα θεὸν καὶ ἐπερρώσθησαν ταῖς ψυχαῖς οὐ
μόνον ἀνθρώπους θῆρας δὲ τοὺς ἀγριωτάτους καὶ σιδηρᾶ τείχη
τιτρώσκειν ὄντες ἕτοιμοι. προῆγον ἐν διασκευῇ τὸν ἀπ᾽ οὐρανοῦ 10
σύμμαχον ἔχοντες ἐλεήσαντος αὐτοὺς τοῦ κυρίου. λεοντηδὸν 11
δὲ ἐντινάξαντες εἰς τοὺς πολεμίους κατέστρωσαν αὐτῶν χιλίους
πρὸς τοῖς μυρίοις ἱππεῖς δὲ ἑξακοσίους πρὸς τοῖς χιλίοις τοὺς
δὲ πάντας ἠνάγκασαν φεύγειν. οἱ πλείονες δὲ αὐτῶν τραυμα- 12
τίαι γυμνοὶ διεσώθησαν καὶ αὐτὸς δὲ ὁ Λυσίας αἰσχρῶς φεύγων
διεσώθη. οὐκ ἄνους δὲ ὑπάρχων πρὸς ἑαυτὸν ἀντιβάλλων τὸ γε- 13
γονὸς περὶ αὐτὸν ἐλάττωμα καὶ συννοήσας ἀνικήτους εἶναι τοὺς
Εβραίους τοῦ δυναμένου θεοῦ συμμαχοῦντος αὐτοῖς. προσαπο- 14
στείλας ἔπεισεν συλλύεσθαι ἐπὶ πᾶσι τοῖς δικαίοις καὶ διότι καὶ
τὸν βασιλέα πείσει φίλον αὐτοῖς ἀναγκάζων γενέσθαι. ἐπένευ- 15

---

**v.6** ὡς[cs] δέ[cc] μεταλαμβάνω[viaa3p] ὁ[dnmp] περί[pa] ὁ[dams] Μακκαβαῖος[namsp] πολιορκέω[vppaams] αὐτός[rpams] ὁ[danp] ὀχύρωμα[nanpc] μετά[pg] ὀδυρμός[ngmpc] καί[cc] δάκρυ[ngnpc] ἱκετεύω[viia3p] σύν[pd] ὁ[ddmp] ὄχλος[ndmpc] ὁ[dams] κύριος[namsc] ἀγαθός[anamsn] ἄγγελος[namsc] ἀποστέλλω[vnaa] πρός[pa] σωτηρία[nafsc] ὁ[ddms] Ἰσραήλ[ndmsp]. **v.7** αὐτός[rpnms] δέ[cc] πρῶτος[aonmsn] ὁ[dnms] Μακκαβαῖος[nnmsp] ἀναλαμβάνω[vpaanms] ὁ[danp] ὅπλον[nanpc] προτρέπω[viam3s] ὁ[damp] ἄλλος[riamp] ἅμα[pd] αὐτός[rpdms] διακινδυνεύω[vppaamp] ἐπιβοηθέω[vnpa] ὁ[ddmp] ἀδελφός[ndmpc] αὐτός[rpgmp] ὁμοῦ[b] δέ[cc] καί[b] προθύμως[b] ἐξορμάω[viaa3p]. **v.8** αὐτόθι[b] δέ[cc] πρός[pd] ὁ[ddmp] Ἱεροσόλυμα[ndnpp] εἰμί[vppagmp] φαίνω[viap3s] προηγέομαι[vppmnms] αὐτός[rpgmp] ἔφιππος[annmsn] ἐν[pd] λευκός[andfsn] ἐσθής[ndfsc] πανοπλία[nafsc] χρυσοῦς[anafsn] κραδαίνω[vppanms]. **v.9** ὁμοῦ[b] δέ[cc] πᾶς[ainmpn] εὐλογέω[vpaaans] ὁ[dams] ἐλεήμων[anamsn] θεός[namsc] καί[cc] ἐπιρρωννύμι[viap3p] ὁ[ddfp] ψυχή[ndfpc] οὐ[b] μόνος[b] ἄνθρωπος[nampc] θήρα[nafpc] δέ[cc] ὁ[damp] ἄγριος[anamps] καί[cc] σιδηροῦς[ananpn] τεῖχος[nanpc] τιτρώσκω[vnpa] εἰμί[vppanmp] ἕτοιμος[annmpn]. **v.10** προάγω[viia3p] ἐν[pd] διασκευή[ndfsc] ὁ[dams] ἀπό[pg] οὐρανός[ngmsc] σύμμαχος[anamsn] ἔχω[vppanmp] ἐλεέω[vpaagms] αὐτός[rpamp] ὁ[dgms] κύριος[ngmsc]. **v.11** λεοντηδόν[b] δέ[cc] ἐντινάσσω[vpaanmp] εἰς[pa] ὁ[damp] πολέμιος[anampn] καταστρώννυμι[viaa3p] αὐτός[rpgmp] χίλιοι[acampn] πρός[pd] ὁ[ddmp] μύριοι[acdmpn] ἱππεύς[nnmpc] δέ[cc] ἑξακόσιοι[acampn] πρός[pd] ὁ[ddmp] χίλιοι[acdmpn] ὁ[damp] δέ[cc] πᾶς[aiampn] ἀναγκάζω[viaa3p] φεύγω[vnpa]. **v.12** ὁ[dnmp] πολύς[annmpc] δέ[cc] αὐτός[rpgmp] τραυματίας[nnmpc] γυμνός[annmpn] διασῴζω[viap3p] καί[cc] αὐτός[rtnms] δέ[cc] ὁ[dnms] Λυσίας[nnmsp] αἰσχρῶς[b] φεύγω[vppanms] διασῴζω[viap3s]. **v.13** οὐ[b] ἄνους[annmsn] δέ[cc] ὑπάρχω[vppanms] πρός[pa] ἑαυτοῦ[rxams] ἀντιβάλλω[vppanms] ὁ[dans] γίνομαι[vpxaans] περί[pa] αὐτός[rpams] ἐλάττωμα[nansc] καί[cc] συννοέω[vpaanms] ἀνίκητος[anampn] εἰμί[vnpa] ὁ[damp] Ἐβραῖος[anampn] ὁ[dgms] δύναμαι[vppmgms] θεός[ngmsc] συμμαχέω[vppagms] αὐτός[rpdmp]. **v.14** προσαποστέλλω[vpaanms] πείθω[viaa3s] συλλύω[vnpm] ἐπί[pd] πᾶς[aidnpn] ὁ[ddnp] δίκαιος[andnpn] καί[cc] διότι[cs] καί[b] ὁ[dams] βασιλεύς[namsc] πείθω[vifa3s] φίλος[anamsn] αὐτός[rpdmp] ἀναγκάζω[vppanms] γίνομαι[vnam].

σεν δὲ ὁ Μακκαβαῖος ἐπὶ πᾶσιν οἷς ὁ Λυσίας παρεκάλει τοῦ συμ-
φέροντος φροντίζων ὅσα γὰρ ὁ Μακκαβαῖος ἐπέδωκεν τῷ Λυσίᾳ
16 διὰ γραπτῶν περὶ τῶν Ιουδαίων συνεχώρησεν ὁ βασιλεύς. ἦσαν
γὰρ αἱ γεγραμμέναι τοῖς Ιουδαίοις ἐπιστολαὶ παρὰ μὲν Λυσίου
περιέχουσαι τὸν τρόπον τοῦτον Λυσίας τῷ πλήθει τῶν Ιουδαίων
17 χαίρειν. Ιωαννης καὶ Αβεσσαλωμ οἱ πεμφθέντες παρ᾽ ὑμῶν ἐ-
πιδόντες τὸν ὑπογεγραμμένον χρηματισμὸν ἠξίουν περὶ τῶν δι᾽
18 αὐτοῦ σημαινομένων. ὅσα μὲν οὖν ἔδει καὶ τῷ βασιλεῖ προσε-
19 νεχθῆναι διεσάφησα ἃ δὲ ἦν ἐνδεχόμενα συνεχώρησεν. ἐὰν μὲν
οὖν συντηρήσητε τὴν εἰς τὰ πράγματα εὔνοιαν καὶ εἰς τὸ λοιπὸν
20 πειράσομαι παραίτιος ἀγαθῶν γενέσθαι. ὑπὲρ δὲ τούτων καὶ τῶν
κατὰ μέρος ἐντέταλμαι τούτοις τε καὶ τοῖς παρ᾽ ἐμοῦ διαλεχθῆ-
21 ναι ὑμῖν. ἔρρωσθε ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου Διὸς
22 Κορινθίου τετράδι καὶ εἰκάδι. ἡ δὲ τοῦ βασιλέως ἐπιστολὴ πε-
23 ριεῖχεν οὕτως βασιλεὺς Ἀντίοχος τῷ ἀδελφῷ Λυσίᾳ χαίρειν. τοῦ
πατρὸς ἡμῶν εἰς θεοὺς μεταστάντος βουλόμενοι τοὺς ἐκ τῆς βα-
σιλείας ἀταράχους ὄντας γενέσθαι πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν.
24 ἀκηκοότες τοὺς Ιουδαίους μὴ συνευδοκοῦντας τῇ τοῦ πατρὸς ἐ-
πὶ τὰ Ἑλληνικὰ μεταθέσει ἀλλὰ τὴν ἑαυτῶν ἀγωγὴν αἱρετίζοντας
25 ἀξιοῦντας συγχωρηθῆναι αὐτοῖς τὰ νόμιμα. αἱρούμενοι οὖν καὶ
τοῦτο τὸ ἔθνος ἐκτὸς ταραχῆς εἶναι κρίνομεν τό τε ἱερὸν ἀποκα-
τασταθῆναι αὐτοῖς καὶ πολιτεύεσθαι κατὰ τὰ ἐπὶ τῶν προγόνων

---

**v.15** ἐπινεύω[viaa3s] δέ[cc] ὁ[dnms] Μακκαβαῖος[nnmsp] ἐπί[pd] πᾶς[aidnpn] ὅς[rrdnp] ὁ[dnms] Λυσίας[nnmsp] παρακαλέω[viia3s] ὁ[dgns] συμφέρω[vppagns] φροντίζω[vppanms] ὅσος[aranpn] γάρ[cc] ὁ[dnms] Μακκαβαῖος[nnmsp] ἐπιδίδωμι[viaa3s] ὁ[ddms] Λυσίας[ndmsp] διά[pg] γραπτόν[ngnpc] περί[pg] ὁ[dgmp] Ἰουδαῖος[angmpn] συγχωρέω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc]. **v.16** εἰμί[viia3p] γάρ[cc] ὁ[dnfp] γράφω[vpxpnfp] ὁ[ddmp] Ἰουδαῖος[andmpn] ἐπιστολή[nnfpc] παρά[pg] μέν[x] Λυσίας[ngmsp] περιέχω[vppanfp] ὁ[dams] τρόπος[namsc] οὗτος[rdams] Λυσίας[nnmsp] ὁ[ddns] πλῆθος[ndnsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] χαίρω[vnpa]. **v.17** Ἰωάννης[nnmsp] καί[cc] Αβεσσαλωμ[nnmsp] ὁ[dnmp] πέμπω[vpapnmp] παρά[pg] σύ[rpg-p] ἐπιδίδωμι[vpaanmp] ὁ[dams] ὑπογράφω[vpxpams] χρηματισμός[namsc] ἀξιόω[viia3p] περί[pg] ὁ[dgnp] διά[pg] αὐτός[rpgns] σημαίνω[vpppgnp]. **v.18** ὅσος[aranpn] μέν[x] οὖν[cc] δεῖ[viia3s] καί[b] ὁ[ddms] βασιλεύς[ndmsc] προσφέρω[vnap] διασαφέω[viaa1s] ὅς[rrnnp] δέ[cc] εἰμί[viia3s] ἐνδέχομαι[vppmanp] συγχωρέω[viaa3s]. **v.19** ἐάν[cs] μέν[x] οὖν[cc] συντηρέω[vsaa2p] ὁ[dafs] εἰς[pa] ὁ[danp] πρᾶγμα[nanpc] εὔνοια[nafsc] καί[cc] εἰς[pa] ὁ[dans] λοιπός[anansn] πειράζω[vifm1s] παραίτιος[annmsn] ἀγαθός[angnpn] γίνομαι[vnam]. **v.20** ὑπέρ[pg] δέ[cc] οὗτος[rdgnp] καί[cc] ὁ[dgnp] κατά[pa] μέρος[nansc] ἐντέλλομαι[vixm1s] οὗτος[rddmp] τέ[cc] καί[cc] ὁ[ddmp] παρά[pg] ἐγώ[rpg-s] διαλέγομαι[vnap] σύ[rpd-p]. **v.21** ῥώννυμι[vdxm2p] ἔτος[ngnsc] ἑκατοστός[aognsn] τεσσαρακοστός[aognsn] ὄγδοος[aognsn] Ζεύς[ngmsp] Κορίνθιος[ngmsp] τετράς[ndfsc] καί[cc] εἰκάς[ndfsc]. **v.22** ὁ[dnfs] δέ[cc] ὁ[dgms] βασιλεύς[ngmsc] ἐπιστολή[nnfsc] περιέχω[viia3s] οὕτως[b] βασιλεύς[nnmsc] Ἀντίοχος[nnmsp] ὁ[ddms] ἀδελφός[ndmsc] Λυσίας[ndmsp] χαίρω[vnpa]. **v.23** ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpg-p] εἰς[pa] θεός[nampc] μεθίστημι[vpaagms] βούλομαι[vppmnmp] ὁ[damp] ἐκ[pg] ὁ[dgfs] βασιλεία[ngfsc] ἀτάραχος[anampn] εἰμί[vppaamp] γίνομαι[vnam] πρός[pa] ὁ[dafs] ὁ[dgmp] ἴδιος[angmpn] ἐπιμέλεια[nafsc]. **v.24** ἀκούω[vpxanmp] ὁ[damp] Ἰουδαῖος[anampn] μή[x] συνευδοκέω[vppaamp] ὁ[ddfs] ὁ[dgms] πατήρ[ngmsc] ἐπί[pa] ὁ[danp] Ἑλληνικός[ananpn] μετάθεσις[nafsc] ἀλλά[cc] ὁ[dafs] ἑαυτοῦ[rxgmp] ἀγωγή[nafsc] αἱρετίζω[vppaamp] ἀξιόω[vppaamp] συγχωρέω[vnap] αὐτός[rpdmp] ὁ[danp] νόμιμος[ananpn].

αὐτῶν ἔθη. εὖ οὖν ποιήσεις διαπεμψάμενος πρὸς αὐτοὺς καὶ 26
δοὺς δεξιάς ὅπως εἰδότες τὴν ἡμετέραν προαίρεσιν εὔθυμοί τε ὦ-
σιν καὶ ἡδέως διαγίνωνται πρὸς τῇ τῶν ἰδίων ἀντιλήμψει. πρὸς 27
δὲ τὸ ἔθνος ἡ τοῦ βασιλέως ἐπιστολὴ τοιάδε ἦν βασιλεὺς Ἀντίο-
χος τῇ γερουσίᾳ τῶν Ιουδαίων καὶ τοῖς ἄλλοις Ιουδαίοις χαίρειν.
εἰ ἔρρωσθε εἴη ἂν ὡς βουλόμεθα καὶ αὐτοὶ δὲ ὑγιαίνομεν. ἐ- 28, 29
νεφάνισεν ἡμῖν Μενέλαος βούλεσθαι κατελθόντας ὑμᾶς γίνεσθαι
πρὸς τοῖς ἰδίοις. τοῖς οὖν καταπορευομένοις μέχρι τριακάδος 30
ἄνθικοῦ ὑπάρξει δεξιὰ μετὰ τῆς ἀδείας. χρῆσθαι τοὺς Ιουδαί- 31
ους τοῖς ἑαυτῶν δαπανήμασιν καὶ νόμοις καθὰ καὶ τὸ πρότερον
καὶ οὐδεὶς αὐτῶν κατ᾽ οὐδένα τρόπον παρενοχληθήσεται περὶ τῶν
ἠγνοημένων. πέπομφα δὲ καὶ τὸν Μενέλαον παρακαλέσοντα 32
ὑμᾶς. ἔρρωσθε ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου ἄνθι- 33
κοῦ πεντεκαιδεκάτῃ. ἔπεμψαν δὲ καὶ οἱ Ῥωμαῖοι πρὸς αὐτοὺς 34
ἐπιστολὴν ἔχουσαν οὕτως Κόιντος Μέμμιος Τίτος Μάνιος πρε-
σβῦται Ῥωμαίων τῷ δήμῳ τῶν Ιουδαίων χαίρειν. ὑπὲρ ὧν Λυσίας 35
ὁ συγγενὴς τοῦ βασιλέως συνεχώρησεν ὑμῖν καὶ ἡμεῖς συνευδο-
κοῦμεν. ἃ δὲ ἔκρινεν προσανενεχθῆναι τῷ βασιλεῖ πέμψατέ τινα 36
παραχρῆμα ἐπισκεψάμενοι περὶ τούτων ἵνα ἐκθῶμεν ὡς καθή-
κει ὑμῖν ἡμεῖς γὰρ προσάγομεν πρὸς Ἀντιόχειαν. διὸ σπεύσατε 37

---

**v.25** αἱρέω[vppmnmp] οὖν[cc] καί[b] οὗτος[rdans] ὁ[dans] ἔθνος[nansc] ἐκτός[pg] ταραχή[ngfsc] εἰμί[vnpa] κρίνω[vipa1p] ὁ[dans] τέ[cc] ἱερόν[nansc] ἀποκαθιστάνω[vnap] αὐτός[rpdmp] καί[cc] πολιτεύομαι[vnpm] κατά[pa] ὁ[danp] ἐπί[pg] ὁ[dgmp] πρόγονος[ngmpc] αὐτός[rpgmp] ἔθος[nanpc]. **v.26** εὖ[b] οὖν[cc] ποιέω[vifa2s] διαπέμπω[vpamnms] πρός[pa] αὐτός[rpamp] καί[cc] δίδωμι[vpaanms] δεξιός[anafpn] ὅπως[cs] οἶδα[vpxanmp] ὁ[dafs] ἡμέτερος[asafsn] προαίρεσις[nafsc] εὔθυμος[annmpn] τέ[cc] ἐιμί[vspa3p] καί[cc] ἡδέως[b] διαγίνομαι[vspm3p] πρός[pd] ὁ[ddfs] ὁ[dgmp] ἴδιος[angmpn] ἀντίλημψις[ndfsc]. **v.27** πρός[pa] δέ[cc] ὁ[dans] ἔθνος[nansc] ὁ[dnfs] ὁ[dgms] βασιλεύς[ngmsc] ἐπιστολή[nnfsc] τοιόσδε[adnfsp] εἰμί[viia3s] βασιλεύς[nnmsc] Ἀντίοχος[nnmsp] ὁ[ddfs] γερουσία[ndfsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] καί[cc] ὁ[ddmp] ἄλλος[ridmp] Ἰουδαῖος[andmpn] χαίρω[vnpa]. **v.28** εἰ[cs] ῥώννυμι[vdxm2p] εἰμί[vopa3s] ἄν[x] ὡς[cs] βούλομαι[vipm1p] καί[cc] αὐτός[rtnmp] δέ[cc] ὑγιαίνω[vipa1p]. **v.29** ἐμφανίζω[viaa3s] ἐγώ[rpd-p] Μενέλαος[nnmsp] βούλομαι[vnpm] κατέρχομαι[vpaaamp] σύ[rpa-p] γίνομαι[vnpm] πρός[pd] ὁ[ddnp] ἴδιος[andnpn]. **v.30** ὁ[ddnp] οὖν[cc] καταπορεύομαι[vppmdmp] μέχρι[pg] τριακάς[ngfsc] ἄνθικός[ng-sp] ὑπάρχω[vifa3s] δεξιός[annfs'nannnpn] μετά[pg] ὁ[dgfs] ἄδεια[ngfsc]. **v.31** χράω[vnpm] ὁ[damp] Ἰουδαῖος[anampn] ὁ[ddnp] ἑαυτοῦ[rxgmp] δαπάνημα[ndnpc] καί[cc] νόμος[ndmpc] καθά[cs] καί[b] ὁ[dans] πρότερος[anansn] καί[cc] οὐδείς[rinms] αὐτός[rpgmp] κατά[pa] οὐδείς[aiamsn] τρόπος[namsc] παρενοχλέω[vifp3s] περί[pg] ὁ[dgnp] ἀγνοέω[vpxpgnp]. **v.32** πέμπω[vixa1s] δέ[cc] καί[b] ὁ[dams] Μενέλαος[namsp] παρακαλέω[vpfaams] σύ[rpa-p]. **v.33** ῥώννυμι[vdxm2p] ἔτος[ngnsc] ἑκατοστός[aognsn] τεσσαρακοστός[aognsn] ὄγδοος[aognsn] ἄνθικός[ng-sp] πεντεκαιδέκατος[aodfsn]. **v.34** πέμπω[viaa3p] δέ[cc] καί[b] ὁ[dnmp] Ῥωμαῖος[nnmpp] πρός[pa] αὐτός[rpamp] ἐπιστολή[nafsc] ἔχω[vppaafs] οὕτως[b] Κόιντος[nnmsp] Μέμμιος[nnmsp] Τίτος[nnmsp] Μάνιος[nnmsp] πρεσβύτης[nnmpc] Ῥωμαῖος[ngmpp] ὁ[ddms] δῆμος[ndmsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] χαίρω[vnpa]. **v.35** ὑπέρ[pg] ὅς[rrgnp] Λυσίας[nnmsp] ὁ[dnms] συγγενής[annmsn] ὁ[dgms] βασιλεύς[ngmsc] συγχωρέω[viaa3s] σύ[rpd-p] καί[b] ἐγώ[rpn-p] συνευδοκέω[vipa1p]. **v.36** ὅς[rranp] δέ[cc] κρίνω[viaa3s] προσαναφέρω[vnap] ὁ[ddms] βασιλεύς[ndmsc] πέμπω[vdaa2p] τι-σριαμς παραχρῆμα[b] ἐπισκέπτομαι[vpamnmp] περί[pg] οὗτος[rdgnp] ἵνα[cs] ἐκτίθημι[vspa1p] ὡς[cs] καθήκω[vipa3s] σύ[rpd-p] ἐγώ[rpn-p] γάρ[cc] προσάγω[vipa1p] πρός[pa] Ἀντιοχία[nafsp].

καὶ πέμψατέ τινας ὅπως καὶ ἡμεῖς ἐπιγνῶμεν ὁποίας ἐστὲ γνώ-
38 μης. ὑγιαίνετε ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου ἄνθικοῦ
πεντεκαιδεκάτῃ.
**12** γενομένων δὲ τῶν συνθηκῶν τούτων ὁ μὲν Λυσίας ἀπῄει πρὸς
2 τὸν βασιλέα οἱ δὲ Ιουδαῖοι περὶ τὴν γεωργίαν ἐγίνοντο. τῶν δὲ
κατὰ τόπον στρατηγῶν Τιμόθεος καὶ Ἀπολλώνιος ὁ τοῦ Γενναίου
ἔτι δὲ Ἱερώνυμος καὶ Δημοφῶν πρὸς δὲ τούτοις Νικάνωρ ὁ Κυ-
πριάρχης οὐκ εἴων αὐτοὺς εὐσταθεῖν καὶ τὰ τῆς ἡσυχίας ἄγειν.
3 Ἰοππῖται δὲ τηλικοῦτο συνετέλεσαν τὸ δυσσέβημα παρακαλέσαν-
τες τοὺς σὺν αὐτοῖς οἰκοῦντας Ιουδαίους ἐμβῆναι εἰς τὰ παρα-
κατασταθέντα ὑπ᾽ αὐτῶν σκάφη σὺν γυναιξὶν καὶ τέκνοις ὡς μη-
4 δεμιᾶς ἐνεστώσης πρὸς αὐτοὺς δυσμενείας. κατὰ δὲ τὸ κοινὸν
τῆς πόλεως ψήφισμα καὶ τούτων ἐπιδεξαμένων ὡς ἂν εἰρηνεύ-
ειν θελόντων καὶ μηδὲν ὕποπτον ἐχόντων ἐπαναχθέντας αὐτοὺς
5 ἐβύθισαν ὄντας οὐκ ἔλαττον τῶν διακοσίων. μεταλαβὼν δὲ Ιου-
δας τὴν γεγονυῖαν εἰς τοὺς ὁμοεθνεῖς ὠμότητα παραγγείλας τοῖς
6 περὶ αὐτὸν ἀνδράσιν. καὶ ἐπικαλεσάμενος τὸν δίκαιον κριτὴν
θεὸν παρεγένετο ἐπὶ τοὺς μιαιφόνους τῶν ἀδελφῶν καὶ τὸν μὲν
λιμένα νύκτωρ ἐνέπρησεν καὶ τὰ σκάφη κατέφλεξεν τοὺς δὲ ἐ-
7 κεῖ συμφυγόντας ἐξεκέντησεν. τοῦ δὲ χωρίου συγκλεισθέντος
ἀνέλυσεν ὡς πάλιν ἥξων καὶ τὸ σύμπαν τῶν Ιοππιτῶν ἐκριζῶσαι
8 πολίτευμα. μεταλαβὼν δὲ καὶ τοὺς ἐν Ιαμνείᾳ τὸν αὐτὸν ἐπιτε-

---

**v.37** διό[cc] σπεύδω[vdaa2p] καί[cc] πέμπω[vdaa2p] τι-σριαμπ ὅπως[cs] καί[b] ἐγώ[rpn-p] ἐπιγινώσκω[vspa1p] ὁποῖος[aqngfsn] εἰμί[vipa2p] γνώμη[ngfsc]. **v.38** ὑγιαίνω[vdpa2p] ἔτος[ngnsc] ἑκατοστός[aognsn] τεσσαρακοστός[aognsn] ὄγδοος[aognsn] ἄνθικός[ng-sp] πεντεκαιδέκατος[aodfsn]. **12. v.1** γίνομαι[vpamgfp] δέ[cc] ὁ[dgfp] συνθήκη[ngfpc] οὗτος[rdgfp] ὁ[dnms] μέν[x] Λυσίας[nnmsp] ἄπειμι-2[viia3s] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] ὁ[dnmp] δέ[cc] Ἰουδαῖος[annmpn] περί[pa] ὁ[dafs] γεωργία[nafsc] γίνομαι[viim3p]. **v.2** ὁ[dgmp] δέ[cc] κατά[pa] τόπος[namsc] στρατηγός[ngmpc] Τιμόθεος[nnmsp] καί[cc] Ἀπολλώνιος[nnmsp] ὁ[dnms] ὁ[dgms] Γενναίος[ngmsp] ἔτι[b] δέ[cc] Ἱερώνυμος[nnmsp] καί[cc] Δημοφῶν[nnmsp] πρός[pd] δέ[cc] οὗτος[rddmp] Νικάνωρ[nnmsp] ὁ[dnms] Κυπριάρχης[nnmsp] οὐ[b] ἐάω[viia3p] αὐτός[rpamp] εὐσταθέω[vnpa] καί[cc] ὁ[danp] ὁ[dgfs] ἡσυχία[ngfsc] ἄγω[vnpa]. **v.3** Ἰοππίτης[nnmpp] δέ[cc] τηλικοῦτος[adansn] συντελέω[viaa3p] ὁ[dans] δυσσέβημα[nansc] παρακαλέω[vpaanmp] ὁ[damp] σύν[pd] αὐτός[rpdmp] οἰκέω[vppaamp] Ἰουδαῖος[anampn] ἐμβαίνω[vnaa] εἰς[pa] ὁ[danp] παρακαθίστημι[vpapanp] ὑπό[pg] αὐτός[rpgmp] σκάφος[nanpc] σύν[pd] γυνή[ndfpc] καί[cc] τέκνον[ndnpc] ὡς[cs] μηδείς[aigfsn] ἐνίστημι[vpxagfs] πρός[pa] αὐτός[rpamp] δυσμένεια[ngfsc]. **v.4** κατά[pa] δέ[cc] ὁ[dans] κοινός[anansn] ὁ[dgfs] πόλις[ngfsc] ψήφισμα[nnnsc] καί[cc] οὗτος[rdgmp] ἐπιδέχομαι[vpamgmp] ὡς[cs] ἄν[x] εἰρηνεύω[vnpa] θέλω[vppagmp] καί[cc] μηδείς[rians] ὕποπτος[anansn] ἔχω[vppagmp] ἐπανάγω[vpapamp] αὐτός[rpamp] βυθίζω[viaa3p] εἰμί[vppaamp] οὐ[b] ἐλαχύς[anansc] ὁ[dgmp] διακόσιοι[acgmpn]. **v.5** μεταλαμβάνω[vpaanms] δέ[cc] Ἰούδας[nnmsp] ὁ[dafs] γίνομαι[vpxaafs] εἰς[pa] ὁ[damp] ὁμοεθνής[anampn] ὠμότης[nafsc] παραγγέλλω[vpaanms] ὁ[ddmp] περί[pa] αὐτός[rpams] ἀνήρ[ndmpc]. **v.6** καί[cc] ἐπικαλέω[vpamnms] ὁ[dams] δίκαιος[anamsn] κριτής[namsc] θεός[namsc] παραγίνομαι[viam3s] ἐπί[pa] ὁ[damp] μιαιφόνος[anampn] ὁ[dgmp] ἀδελφός[ngmpc] καί[cc] ὁ[dams] μέν[x] λιμήν[namsc] νύκτωρ[b] ἐμπίπρημι[viaa3s] καί[cc] ὁ[danp] σκάφος[nanpc] καταφλέγω[viaa3s] ὁ[damp] δέ[cc] ἐκεῖ[b] συμφεύγω[vpaaamp] ἐκκεντέω[viaa3s]. **v.7** ὁ[dgns] δέ[cc] χωρίον[ngnsc] συγκλείω[vpapgns] ἀναλύω[viaa3s] ὡς[cs] πάλιν[b] ἥκω[vpfanms] καί[cc] ὁ[dans] σύμπας[anansn] ὁ[dgmp] Ιοππίτης[ngmpp] ἐκριζόω[vnaa] πολίτευμα[nansc].

λεῖν βουλομένους τρόπον τοῖς παροικοῦσιν Ιουδαίοις. καὶ τοῖς 9
Ιαμνίταις νυκτὸς ἐπιβαλὼν ὑφῆψεν τὸν λιμένα σὺν τῷ στόλῳ ὥστε
φαίνεσθαι τὰς αὐγὰς τοῦ φέγγους εἰς τὰ Ιεροσόλυμα σταδίων ὄν-
των διακοσίων τεσσαράκοντα. ἐκεῖθεν δὲ ἀποσπάσαντες σταδί- 10
ους ἐννέα ποιουμένων τὴν πορείαν ἐπὶ τὸν Τιμόθεον προσέβαλον
Ἄ῾ραβες αὐτῷ οὐκ ἐλάττους τῶν πεντακισχιλίων ἱππεῖς δὲ πεντα-
κόσιοι. γενομένης δὲ καρτερᾶς μάχης καὶ τῶν περὶ τὸν Ιουδαν 11
διὰ τὴν παρὰ τοῦ θεοῦ βοήθειαν εὐημερησάντων ἐλαττονωθέντες
οἱ νομάδες ἠξίουν δοῦναι τὸν Ιουδαν δεξιὰς αὐτοῖς ὑπισχνούμε-
νοι καὶ βοσκήματα δώσειν καὶ ἐν τοῖς λοιποῖς ὠφελήσειν αὐτούς.
Ιουδας δὲ ὑπολαβὼν ὡς ἀληθῶς ἐν πολλοῖς αὐτοὺς χρησίμους ἐ- 12
πεχώρησεν εἰρήνην ἄξειν πρὸς αὐτούς καὶ λαβόντες δεξιὰς εἰς τὰς
σκηνὰς ἐχωρίσθησαν. ἐπέβαλεν δὲ καὶ ἐπί τινα πόλιν γεφύραις 13
ὀχυρὰν καὶ τείχεσιν περιπεφραγμένην καὶ παμμειγέσιν ἔθνεσιν
κατοικουμένην ὄνομα δὲ Κασπιν. οἱ δὲ ἔνδον πεποιθότες τῇ 14
τῶν τειχέων ἐρυμνότητι τῇ τε τῶν βρωμάτων παραθέσει ἀναγω-
γότερον ἐχρῶντο τοῖς περὶ τὸν Ιουδαν λοιδοροῦντες καὶ προσέτι
βλασφημοῦντες καὶ λαλοῦντες ἃ μὴ θέμις. οἱ δὲ περὶ τὸν Ιουδαν 15
ἐπικαλεσάμενοι τὸν μέγαν τοῦ κόσμου δυνάστην τὸν ἄτερ κριῶν
καὶ μηχανῶν ὀργανικῶν κατακρημνίσαντα τὴν Ιεριχω κατὰ τοὺς
Ἰησοῦ χρόνους ἐνέσεισαν θηριωδῶς τῷ τείχει. καταλαβόμενοί 16

---

**v.8** μεταλαμβάνω[vpaanms] δέ[cc] καί[b] ὁ[damp] ἐν[pd] Ιαμνεία[ndfsp] ὁ[dams] αὐτός[atamsn] ἐπιτελέω[vnpa] βούλομαι[vppmamp] τρόπος[namsc] ὁ[ddmp] παροικέω[vppadmp] Ἰουδαῖος[andmpn]. **v.9** καί[cc] ὁ[ddmp] Ιαμνίτης[ndmpp] νύξ[ngfsc] ἐπιβάλλω[vpaanms] ὑφάπτω[viaa3s] ὁ[dams] λιμήν[namsc] σύν[pd] ὁ[ddms] στόλος[ndmsc] ὥστε[cs] φαίνω[vnpm] ὁ[dafp] αὐγή[nafpc] ὁ[dgns] φέγγος[ngnsc] εἰς[pa] ὁ[danp] Ἱεροσόλυμα[nanpp] στάδιον[ngmpc] εἰμί[vppagmp] διακόσιοι[acgmpn] τεσσαράκοντα[ac—n]. **v.10** ἐκεῖθεν[b] δέ[cc] ἀποσπάω[vpaanmp] στάδιον[nampc] ἐννέα[ac—n] ποιέω[vppmgmp] ὁ[dafs] πορεία[nafsc] ἐπί[pa] ὁ[dams] Τιμόθεος[namsp] προσβάλλω[viaa3p] Ἄῥαψ[nnmpp] αὐτός[rpdms] οὐ[b] ἐλαχύς[annmpc] ὁ[dgmp] πεντακισχίλιοι[acgmpn] ἱππεύς[nnmpc] δέ[cc] πεντακόσιοι[acnmpn]. **v.11** γίνομαι[vpamgfs] δέ[cc] καρτερός[angfsn] μάχη[ngfsc] καί[cc] ὁ[dgmp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] διά[pa] ὁ[dafs] παρά[pg] ὁ[dgms] θεός[ngmsc] βοήθεια[nafsc] εὐημερέω[vpaagmp] ἐλαττονόω[vpapnmp] ὁ[dnmp] νομάς[nnmpc] ἀξιόω[viia3p] δίδωμι[vnaa] ὁ[dams] Ἰούδας[namsp] δεξιός[anafpn] αὐτός[rpdmp] ὑπισχνέομαι[vppmnmp] καί[cc] βόσκημα[nanpc] δίδωμι[vnfa] καί[cc] ἐν[pd] ὁ[ddnp] λοιπός[andnpn] ὠφελέω[vnfa] αὐτός[rpamp]. **v.12** Ἰούδας[nnmsp] δέ[cc] ὑπολαμβάνω[vpaanms] ὡς[cs] ἀληθῶς[b] ἐν[pd] πολύς[andnpn] αὐτός[rpamp] χρήσιμος[anampn] ἐπιχωρέω[viaa3s] εἰρήνη[nafsc] ἄγω[vnfa] πρός[pa] αὐτός[rpamp] καί[cc] λαμβάνω[vpaanmp] δεξιός[anafpn] εἰς[pa] ὁ[dafp] σκηνή[nafpc] χωρίζω[viap3p]. **v.13** ἐπιβάλλω[viaa3s] δέ[cc] καί[b] ἐπί[pa] τι-σαιαφσν πόλις[nafsc] γέφυρα[ndfpc] ὀχυρός[anafsn] καί[cc] τεῖχος[ndnpc] περιφράσσω[vpxpafs] καί[cc] παμμιγής[andnpn] ἔθνος[ndnpc] κατοικέω[vpppafs] ὄνομα[nnnsc] δέ[cc] Κασπιν[nn-sp]. **v.14** ὁ[dnmp] δέ[cc] ἔνδον[b] πείθω[vpxanmp] ὁ[ddfs] ὁ[dgnp] τεῖχος[ngnpc] ἐρυμνότης[ndfsc] ὁ[ddfs] τέ[cc] ὁ[dgnp] βρῶμα[ngnpc] παράθεσις[ndfsc] ἀναγώγως[b] χράω[viim3p] ὁ[ddmp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] λοιδορέω[vppanmp] καί[cc] προσέτι[b] βλασφημέω[vppanmp] καί[cc] λαλέω[vppanmp] ὅς[rranp] μή[x] θέμις[nnfsc]. **v.15** ὁ[dnmp] δέ[cc] περί[pa] ὁ[dams] Ἰούδας[namsp] ἐπικαλέω[vpamnmp] ὁ[dams] μέγας[anamsn] ὁ[dgms] κόσμος[ngmsc] δυνάστης[namsc] ὁ[dams] ἄτερ[pg] κριός[ngmpc] καί[cc] μηχανή[ngfpc] ὀργανικός[angfpn] κατακρημνίζω[vpaaams] ὁ[dafs] Ἰεριχώ[nafsp] κατά[pa] ὁ[damp] Ἰησοῦς[ngmsp] χρόνος[nampc] ἐνσείω[viaa3p] θηριωδῶς[b] ὁ[ddns] τεῖχος[ndnsc].

τε τὴν πόλιν τῇ τοῦ θεοῦ θελήσει ἀμυθήτους ἐποιήσαντο σφα-
γὰς ὥστε τὴν παρακειμένην λίμνην τὸ πλάτος ἔχουσαν σταδίους
17 δύο κατάρρυτον αἵματι πεπληρωμένην φαίνεσθαι. ἐκεῖθεν δὲ ἀ-
ποσπάσαντες σταδίους ἑπτακοσίους πεντήκοντα διήνυσαν εἰς τὸν
18 Χάρακα πρὸς τοὺς λεγομένους Τουβιανοὺς Ιουδαίους. καὶ Τι-
μόθεον μὲν ἐπὶ τῶν τόπων οὐ κατέλαβον ἄπρακτον τότε ἀπὸ τῶν
τόπων ἐκλελυκότα καταλελοιπότα δὲ φρουρὰν ἔν τινι τόπῳ καὶ
19 μάλα ὀχυράν. Δοσίθεος δὲ καὶ Σωσίπατρος τῶν περὶ τὸν Μακ-
καβαῖον ἡγεμόνων ἐξοδεύσαντες ἀπώλεσαν τοὺς ὑπὸ Τιμοθέου
20 καταλειφθέντας ἐν τῷ ὀχυρώματι πλείους τῶν μυρίων ἀνδρῶν. ὁ
δὲ Μακκαβαῖος διατάξας τὴν περὶ αὐτὸν στρατιὰν σπειρηδὸν κα-
τέστησεν αὐτοὺς ἐπὶ τῶν σπειρῶν καὶ ἐπὶ τὸν Τιμόθεον ὥρμησεν
ἔχοντα περὶ αὐτὸν μυριάδας δώδεκα πεζῶν ἱππεῖς δὲ δισχιλίους
21 πρὸς τοῖς πεντακοσίοις. τὴν δὲ ἔφοδον μεταλαβὼν Ιουδου προε-
ξαπέστειλεν ὁ Τιμόθεος τὰς γυναῖκας καὶ τὰ τέκνα καὶ τὴν ἄλλην
ἀποσκευὴν εἰς τὸ λεγόμενον Καρνιον ἦν γὰρ δυσπολιόρκητον καὶ
22 δυσπρόσιτον τὸ χωρίον διὰ τὴν πάντων τῶν τόπων στενότητα. ἐ-
πιφανείσης δὲ τῆς Ιουδου σπείρας πρώτης καὶ γενομένου δέους
ἐπὶ τοὺς πολεμίους φόβου τε ἐκ τῆς τοῦ τὰ πάντα ἐφορῶντος ἐπι-
φανείας γενομένης ἐπʹ αὐτοὺς εἰς φυγὴν ὥρμησαν ἄλλος ἀλλα-
χῇ φερόμενος ὥστε πολλάκις ὑπὸ τῶν ἰδίων βλάπτεσθαι καὶ ταῖς

---

**v.16** καταλαμβάνω[vpamnmp] τέ[cc] ὁ[dafs] πόλις[nafsc] ὁ[ddfs] ὁ[dgms] θεός[ngmsc] θέλω[vifa3s] ἀμύθητος[anafpn] ποιέω[viam3p] σφαγή[nafpc] ὥστε[cs] ὁ[dafs] παράκειμαι[vpppafs] λίμνη[nafsc] ὁ[dans] πλάτος[nansc] ἔχω[vppaafs] στάδιον[nampc] δύο[ac—n] κατάρρυτος[anafsn] αἷμα[ndnsc] πληρόω[vpxpafs] φαίνω[vnpm]. **v.17** ἐκεῖθεν[b] δέ[cc] ἀποσπάω[vpaanmp] στάδιον[nampc] ἑπτακόσιοι[acampn] πεντήκοντα[ac—n] διανύω[viaa3p] εἰς[pa] ὁ[dams] Χάρακα[namsp] πρός[pa] ὁ[damp] λέγω[vpppamp] Τουβινοί[nampp] Ἰουδαῖος[anampn]. **v.18** καί[cc] Τιμόθεος[namsp] μέν[x] ἐπί[pg] ὁ[dgmp] τόπος[ngmpc] οὐ[b] καταλαμβάνω[viaa3p] ἄπρακτος[anamsn] τότε[b] ἀπό[pg] ὁ[dgmp] τόπος[ngmpc] ἐκλύω[vpxaams] καταλείπω[vpxaams] δέ[cc] φρουρά[nafsc] ἐν[pd] τι-σαιδμσν τόπος[ndmsc] καί[cc] μάλα[b] ὀχυρός[anafsn]. **v.19** Δοσίθεος[nnmsp] δέ[cc] καί[cc] Σωσίπατρος[nnmsp] ὁ[dgmp] περί[pa] ὁ[dams] Μακκαβαῖος[namsp] ἡγεμών[ngmpc] ἐξοδεύω[vpaanmp] ἀπόλλυμι[viaa3p] ὁ[damp] ὑπό[pg] Τιμόθεος[ngmsp] καταλείπω[vpapamp] ἐν[pd] ὁ[ddns] ὀχύρωμα[ndnsc] πολύς[anampc] ὁ[dgmp] μύριοι[acgmpn] ἀνήρ[ngmpc]. **v.20** ὁ[dnms] δέ[cc] Μακκαβαῖος[nnmsp] διατάσσω[vpaanms] ὁ[dafs] περί[pa] αὐτός[rpams] στρατιά[nafsc] σπειρηδόν[b] καθίστημι[viaa3s] αὐτός[rpamp] ἐπί[pg] ὁ[dgfp] σπεῖρα[ngfpc] καί[cc] ἐπί[pa] ὁ[dams] Τιμόθεος[namsp] ὁρμάω[viaa3s] ἔχω[vppaams] περί[pa] αὐτός[rpams] μυριάς[nafpc] δώδεκα[ac—n] πεζός[angmpn] ἱππεύς[nampc] δέ[cc] δισχίλιοι[acampn] πρός[pd] ὁ[ddmp] πεντακόσιοι[acdmpn]. **v.21** ὁ[dafs] δέ[cc] ἔφοδος[nafsc] μεταλαμβάνω[vpaanms] Ἰούδας[ngmsp] προεξαποστέλλω[viaa3s] ὁ[dnms] Τιμόθεος[nnmsp] ὁ[dafp] γυνή[nafpc] καί[cc] ὁ[danp] τέκνον[nanpc] καί[cc] ὁ[dafs] ἄλλος[riafs] ἀποσκευή[nafsc] εἰς[pa] ὁ[dans] λέγω[vpppans] Καρνιον[nansp] εἰμί[viia3s] γάρ[cc] δυσπολιόρκητος[annnsn] καί[cc] δυσπρόσιτος[annnsn] ὁ[dnns] χωρίον[nnnsc] διά[pa] ὁ[dafs] πᾶς[aigmpn] ὁ[dgmp] τόπος[ngmpc] στενότης[nafsc].

τῶν ξιφῶν ἀκμαῖς ἀναπείρεσθαι. ἐποιεῖτο δὲ τὸν διωγμὸν εὐ- 23
τονώτερον ὁ Ιουδας συγκεντῶν τοὺς ἀλιτηρίους διέφθειρέν τε εἰς
μυριάδας τρεῖς ἀνδρῶν. αὐτὸς δὲ ὁ Τιμόθεος ἐμπεσὼν τοῖς περὶ 24
τὸν Δοσίθεον καὶ Σωσίπατρον ἠξίου μετὰ πολλῆς γοητείας ἐξαφεῖ-
ναι σῶον αὐτὸν διὰ τὸ πλειόνων μὲν γονεῖς ὧν δὲ ἀδελφοὺς ἔχειν
καὶ τούτους ἀλογηθῆναι συμβήσεται. πιστώσαντος δὲ αὐτοῦ διὰ 25
πλειόνων τὸν ὁρισμὸν ἀποκαταστῆσαι τούτους ἀπημάντους ἀπέ-
λυσαν αὐτὸν ἕνεκα τῆς τῶν ἀδελφῶν σωτηρίας. ἐξελθὼν δὲ ἐπὶ τὸ 26
Καρνιον καὶ τὸ Ατεργατειον κατέσφαξεν μυριάδας σωμάτων δύο
καὶ πεντακισχιλίους. μετὰ δὲ τὴν τούτων τροπὴν καὶ ἀπώλειαν 27
ἐπεστράτευσεν καὶ ἐπὶ Εφρων πόλιν ὀχυράν ἐν ᾗ κατῴκει Λυσίας
καὶ πάμφυλα πλήθη νεανίαι δὲ ῥωμαλέοι πρὸ τῶν τειχέων καθε-
στῶτες εὐρώστως ἀπεμάχοντο ἔνθα δὲ ὀργάνων καὶ βελῶν πολλαὶ
παραθέσεις ὑπῆρχον. ἐπικαλεσάμενοι δὲ τὸν δυνάστην τὸν μετὰ 28
κράτους συντρίβοντα τὰς τῶν πολεμίων ἀλκὰς ἔλαβον τὴν πόλιν
ὑποχείριον κατέστρωσαν δὲ τῶν ἔνδον εἰς μυριάδας δύο πεντακι-
σχιλίους. ἀναζεύξαντες δὲ ἐκεῖθεν ὥρμησαν ἐπὶ Σκυθῶν πόλιν 29
ἀπέχουσαν ἀπὸ Ιεροσολύμων σταδίους ἑξακοσίους. ἀπομαρτυ- 30
ρησάντων δὲ τῶν ἐκεῖ καθεστώτων Ιουδαίων ἣν οἱ Σκυθοπολῖται
ἔσχον πρὸς αὐτοὺς εὔνοιαν καὶ ἐν τοῖς τῆς ἀτυχίας καιροῖς ἥμε-

---

**v.22** ἐπιφαίνω[vpapgfs] δέ[cc] ὁ[dgfs] Ἰούδας[ngmsp] σπεῖρα[ngfsc] πρῶτος[aogfsn] καί[cc] γίνομαι[vpangns] δέος[ngnsc] ἐπί[pa] ὁ[damp] πολέμιος[anampn] φόβος[ngmsc] τέ[cc] ἐκ[pg] ὁ[dgfs] ὁ[dgms] ὁ[danp] πᾶς[aianpn] ἐφοράω[vppagms] ἐπιφάνεια[ngfsc] γίνομαι[vpamgfs] ἐπί[pa] αὐτός[rpamp] εἰς[pa] φυγή[nafsc] ὁρμάω[viaa3p] ἄλλος[rinms] ἀλλαχῇ[b] φέρω[vpppnms] ὥστε[cs] πολλάκις[b] ὑπό[pg] ὁ[dgmp] ἴδιος[angmpn] βλάπτω[vnpp] καί[cc] ὁ[ddfp] ὁ[dgnp] ξίφος[ngnpc] ἀκμή[ndfpc] ἀναπείρω[vnpp]. **v.23** ποιέω[viim3s] δέ[cc] ὁ[dams] διωγμός[namsc] εὔτονος[anamsc] ὁ[dnms] Ἰούδας[nnmsp] συγκεντέω[vppanms] ὁ[damp] ἀλιτήριος[anampn] διαφθείρω[viaa3s] τέ[cc] εἰς[pa] μυριάς[nafpc] τρεῖς[acafpn] ἀνήρ[ngmpc]. **v.24** αὐτός[rpnms] δέ[cc] ὁ[dnms] Τιμόθεος[nnmsp] ἐμπίπτω[vpaanms] ὁ[ddmp] περί[pa] ὁ[dams] Δοσίθεος[namsp] καί[cc] Σωσίπατρος[namsp] ἀξιόω[viia3s] μετά[pg] πολύς[angfsn] γοητεία[ngfsc] ἐξαφίημι[vnaa] σῶος[anamsn] αὐτός[rpams] διά[pa] ὁ[dans] πολύς[angmpc] μέν[x] γονεύς[nampc] ὅς[rrgmp] δέ[cc] ἀδελφός[nampc] ἔχω[vnpa] καί[cc] οὗτος[rdamp] ἀλογέω[vnap] συμβαίνω[vifm3s]. **v.25** πιστόω[vpaagms] δέ[cc] αὐτός[rpgms] διά[pg] πολύς[angnpc] ὁ[dams] ὁρισμός[namsc] ἀποκαθιστάνω[vnaa] οὗτος[rdamp] ἀπήμαντος[anampn] ἀπολύω[viaa3p] αὐτός[rpams] ἕνεκα[pg] ὁ[dgfs] ὁ[dgmp] ἀδελφός[ngmpc] σωτηρία[ngfsc]. **v.26** ἐξέρχομαι[vpaanms] δέ[cc] ἐπί[pa] ὁ[dans] Καρνιον[nansp] καί[cc] ὁ[dans] Ατεργάτιον[nansp] κατασφάζω[viaa3s] μυριάς[nafpc] σῶμα[ngnpc] δύο[acnmdn] καί[cc] πεντακισχίλιοι[acampn]. **v.27** μετά[pa] δέ[cc] ὁ[dafs] οὗτος[rdgmp] τροπή[nafsc] καί[cc] ἀπώλεια[nafsc] ἐπιστρατεύω[viaa3s] καί[b] ἐπί[pa] Εφρων[nafsp] πόλις[nafsc] ὀχυρός[anafsn] ἐν[pd] ὅς[rrdfs] κατοικέω[viia3s] Λυσίας[nnmsp] καί[cc] πάμφυλος[annnpn] πλῆθος[nnnpc] νεανίας[nnmpc] δέ[cc] ῥωμαλέος[annmpn] πρό[pg] ὁ[dgnp] τεῖχος[ngnpc] καθίστημι[vpxanmp] εὐρώστως[b] ἀπομάχομαι[viim3p] ἔνθα[b] δέ[cc] ὄργανον[ngnpc] καί[cc] βέλος[ngnpc] πολύς[annfpn] παράθεσις[nnfpc] ὑπάρχω[viia3p]. **v.28** ἐπικαλέω[vpamnmp] δέ[cc] ὁ[dams] δυνάστης[namsc] ὁ[dams] μετά[pg] κράτος[ngnsc] συντρίβω[vppaams] ὁ[dafp] ὁ[dgmp] πολέμιος[angmpn] ἀλκή[nafpc] λαμβάνω[viaa3p] ὁ[dafs] πόλις[nafsc] ὑποχείριος[anafsn] καταστρώννυμι[viaa3p] δέ[cc] ὁ[dgmp] ἔνδον[b] εἰς[pa] μυριάς[nafpc] δύο[ac—n] πεντακισχίλιοι[acampn]. **v.29** ἀναζεύγνυμι[vpaanmp] δέ[cc] ἐκεῖθεν[b] ὁρμάω[viaa3p] ἐπί[pa] Σκύθαι[nafpp] πόλις[nafsc] ἀπέχω[vppaafs] ἀπό[pg] Ἱεροσόλυμα[ngnpp] στάδιον[nampc] ἑξακόσιοι[acampn].

31 ρον ἀπάντησιν. εὐχαριστήσαντες καὶ προσπαρακαλέσαντες καὶ
εἰς τὰ λοιπὰ πρὸς τὸ γένος εὐμενεῖς εἶναι παρεγενήθησαν εἰς Ιε-
32 ροσόλυμα τῆς τῶν ἑβδομάδων ἑορτῆς οὔσης ὑπογύου. μετὰ δὲ
τὴν λεγομένην πεντηκοστὴν ὥρμησαν ἐπὶ Γοργίαν τὸν τῆς Ιδου-
33 μαίας στρατηγόν. ἐξῆλθεν δὲ μετὰ πεζῶν τρισχιλίων ἱππέων δὲ
34 τετρακοσίων. παραταξαμένους δὲ συνέβη πεσεῖν ὀλίγους τῶν
35 Ιουδαίων. Δοσίθεος δέ τις τῶν τοῦ Βακήνορος ἔφιππος ἀνὴρ καὶ
καρτερός εἴχετο τοῦ Γοργίου καὶ λαβόμενος τῆς χλαμύδος ἦγεν
αὐτὸν εὐρώστως καὶ βουλόμενος τὸν κατάρατον λαβεῖν ζωγρίαν
τῶν ἱππέων τινὸς Θρᾳκῶν ἐπενεχθέντος αὐτῷ καὶ τὸν ὦμον καθε-
36 λόντος διέφυγεν ὁ Γοργίας εἰς Μαρισα. τῶν δὲ περὶ τὸν Εσδριν ἐ-
πὶ πλεῖον μαχομένων καὶ κατακόπων ὄντων ἐπικαλεσάμενος Ιου-
δας τὸν κύριον σύμμαχον φανῆναι καὶ προοδηγὸν τοῦ πολέμου.
37 καταρξάμενος τῇ πατρίῳ φωνῇ τὴν μεθ᾽ ὕμνων κραυγὴν ἐνσείσας
ἀπροσδοκήτως τοῖς περὶ τὸν Γοργίαν τροπὴν αὐτῶν ἐποιήσατο.
38 Ιουδας δὲ ἀναλαβὼν τὸ στράτευμα ἧκεν εἰς Οδολλαμ πόλιν τῆς
δὲ ἑβδομάδος ἐπιβαλλούσης κατὰ τὸν ἐθισμὸν ἁγνισθέντες αὐτόθι
39 τὸ σάββατον διήγαγον. τῇ δὲ ἐχομένῃ ἦλθον οἱ περὶ τὸν Ιουδαν
καθ᾽ ὃν χρόνον τὸ τῆς χρείας ἐγεγόνει τὰ σώματα τῶν προπεπτω-
κότων ἀνακομίσασθαι καὶ μετὰ τῶν συγγενῶν ἀποκαταστῆσαι εἰς

---

**v.30** ἀπομαρτυρέω[vpaagmp] δέ[cc] ὁ[dgmp] ἐκεῖ[b] καθίστημι[vpxagmp] Ἰουδαῖος[angmpn] ὅς[rrafs] ὁ[dnmp] Σκυθοπολῖται[nnmpp] ἔχω[viaa3p] πρός[pa] αὐτός[rpamp] εὔνοια[nafsc] καί[cc] ἐν[pd] ὁ[ddmp] ὁ[dgfs] ἀτυχία[ngfsc] καιρός[ndmpc] ἥμερος[anafsn] ἀπάντησις[nafsc]. **v.31** εὐχαριστέω[vpaanmp] καί[cc] προσπαρακαλέω[vpaanmp] καί[b] εἰς[pa] ὁ[danp] λοιπός[ananpn] πρός[pa] ὁ[dans] γένος[nansc] εὐμενής[anampn] εἰμί[vnpa] παραγίνομαι[viap3p] εἰς[pa] Ἱεροσόλυμα[nanpp] ὁ[dgfs] ὁ[dgfp] ἑβδομάς[ngfpc] ἑορτή[ngfsc] εἰμί[vppagfs] ὑπόγυος[angfsn]. **v.32** μετά[pa] δέ[cc] ὁ[dafs] λέγω[vpppafs] πεντηκοστός[aoafsn] ὁρμάω[viaa3p] ἐπί[pa] Γοργίας[namsp] ὁ[dams] ὁ[dgfs] Ἰδουμαία[ngfsp] στρατηγός[namsc]. **v.33** ἐξέρχομαι[viaa3s] δέ[cc] μετά[pg] πεζός[angmpn] τρισχίλιοι[acgmpn] ἱππεύς[ngmpc] δέ[cc] τετρακόσιοι[acgmpn]. **v.34** παρατάσσω[vpamamp] δέ[cc] συμβαίνω[viaa3s] πίπτω[vnaa] ὀλίγος[anampn] ὁ[dgmp] Ἰουδαῖος[angmpn]. **v.35** Δοσίθεος[nnmsp] δέ[cc] τι-σρινμς ὁ[dgmp] ὁ[dgms] Βακήνωρ[ngmsp] ἔφιππος[annmsn] ἀνήρ[nnmsc] καί[cc] καρτερός[annmsn] ἔχω[viim3s] ὁ[dgms] Γοργίας[ngmsp] καί[cc] λαμβάνω[vpamnms] ὁ[dgfs] χλαμύς[ngfsc] ἄγω[viia3s] αὐτός[rpams] εὐρώστως[b] καί[cc] βούλομαι[vppmnms] ὁ[dams] κατάρατος[anamsn] λαμβάνω[vnaa] ζωγρίας[namsc] ὁ[dgmp] ἱππεύς[ngmpc] τι-σριγμς Θρᾴξ[ngmpp] ἐπιφέρω[vpapgms] αὐτός[rpdms] καί[cc] ὁ[dams] ὦμος[namsc] καθαιρέω[vpaagms] διαφεύγω[viaa3s] ὁ[dnms] Γοργίας[nnmsp] εἰς[pa] Μαρισα[nafsp]. **v.36** ὁ[dgmp] δέ[cc] περί[pa] ὁ[dams] Εσδρις[namsp] ἐπί[pa] πολύς[anansc] μάχομαι[vppmgmp] καί[cc] κατάκοπος[angmpn] εἰμί[vppagmp] ἐπικαλέω[vpamnms] Ἰούδας[nnmsp] ὁ[dams] κύριος[namsc] σύμμαχος[anamsn] φαίνω[vnap] καί[cc] προοδηγός[namsc] ὁ[dgms] πόλεμος[ngmsc]. **v.37** κατάρχω[vpamnms] ὁ[ddfs] πάτριος[andfsn] φωνή[ndfsc] ὁ[dafs] μετά[pg] ὕμνος[ngmpc] κραυγή[nafsc] ἐνσείω[vpaanms] ἀπροσδοκήτως[b] ὁ[ddmp] περί[pa] ὁ[dams] Γοργίας[namsp] τροπή[nafsc] αὐτός[rpgmp] ποιέω[viam3s]. **v.38** Ἰούδας[nnmsp] δέ[cc] ἀναλαμβάνω[vpaanms] ὁ[dans] στράτευμα[nansc] ἥκω[viia3s] εἰς[pa] Οδολλαμ[na-sp] πόλις[nafsc] ὁ[dgfs] δέ[cc] ἑβδομάς[ngfsc] ἐπιβάλλω[vppagfs] κατά[pa] ὁ[dams] ἐθισμός[namsc] ἁγνίζω[vpapnmp] αὐτόθι[b] ὁ[dans] σάββατον[nansc] διάγω[viaa3p].

τοὺς πατρῴους τάφους. εὗρον δὲ ἑκάστου τῶν τεθνηκότων ὑ- 40
πὸ τοὺς χιτῶνας ἱερώματα τῶν ἀπὸ Ιαμνείας εἰδώλων ἀφ᾽ ὧν ὁ
νόμος ἀπείργει τοὺς Ιουδαίους τοῖς δὲ πᾶσι σαφὲς ἐγένετο διὰ
τήνδε τὴν αἰτίαν τούσδε πεπτωκέναι. πάντες οὖν εὐλογήσαντες 41
τὰ τοῦ δικαιοκρίτου κυρίου τὰ κεκρυμμένα φανερὰ ποιοῦντος.
εἰς ἱκετείαν ἐτράπησαν ἀξιώσαντες τὸ γεγονὸς ἁμάρτημα τελείως 42
ἐξαλειφθῆναι ὁ δὲ γενναῖος Ιουδας παρεκάλεσε τὸ πλῆθος συν-
τηρεῖν αὑτοὺς ἀναμαρτήτους εἶναι ὑπ᾽ ὄψιν ἑωρακότας τὰ γεγο-
νότα διὰ τὴν τῶν προπεπτωκότων ἁμαρτίαν. ποιησάμενός τε κατ᾽ 43
ἀνδρολογίαν εἰς ἀργυρίου δραχμὰς δισχιλίας ἀπέστειλεν εἰς Ιε-
ροσόλυμα προσαγαγεῖν περὶ ἁμαρτίας θυσίαν πάνυ καλῶς καὶ
ἀστείως πράττων ὑπὲρ ἀναστάσεως διαλογιζόμενος. εἰ μὴ γὰρ 44
τοὺς προπεπτωκότας ἀναστῆναι προσεδόκα περισσὸν καὶ ληρῶ-
δες ὑπὲρ νεκρῶν εὔχεσθαι. εἶτε᾽ ἐμβλέπων τοῖς μετ᾽ εὐσεβείας 45
κοιμωμένοις κάλλιστον ἀποκείμενον χαριστήριον ὁσία καὶ εὐσε-
βὴς ἡ ἐπίνοια ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν ἐποιήσατο
τῆς ἁμαρτίας ἀπολυθῆναι.

τῷ δὲ ἐνάτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει προσέπεσεν **13**
τοῖς περὶ τὸν Ιουδαν Ἀντίοχον τὸν Εὐπάτορα παραγενέσθαι σὺν
πλήθεσιν ἐπὶ τὴν Ιουδαίαν. καὶ σὺν αὐτῷ Λυσίαν τὸν ἐπίτρο- 2
πον καὶ ἐπὶ τῶν πραγμάτων ἕκαστον ἔχοντα δύναμιν Ἑλληνικὴν

---

**v.39** ὁ[ddfs] δέ[cc] ἔχω[vppmdfs] ἔρχομαι[viaa3p] ὁ[dnmp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] κατά[pa] ὅς[rrams] χρόνος[namsc] ὁ[dnns] ὁ[dgfs] χρεία[ngfsc] γίνομαι[viya3s] ὁ[danp] σῶμα[nanpc] ὁ[dgmp] προπίπτω[vpxagmp] ἀνακομίζω[vnam] καί[cc] μετά[pg] ὁ[dgmp] συγγενής[angmpn] ἀποκαθιστάνω[vnaa] εἰς[pa] ὁ[damp] πατρῷος[anampn] τάφος[nampc]. **v.40** εὑρίσκω[viaa3p] δέ[cc] ἕκαστος[aigmsn] ὁ[dgmp] θνῄσκω[vpxagmp] ὑπό[pa] ὁ[damp] χιτών[nampc] ἱέρωμα[nampc] ὁ[dgmp] ἀπό[pg] Ιαμνεία[ngmsp] εἴδωλον[ngnpc] ἀπό[pg] ὅς[rrgnp] ὁ[dnms] νόμος[nnmsc] ἀπείργω[vipa3s] ὁ[damp] Ἰουδαῖος[anampn] ὁ[ddmp] δέ[cc] πᾶς[aidmpn] σαφής[annnsn] γίνομαι[viam3s] διά[pa] ὅδε[rdafs] ὁ[dafs] αἰτία[nafsc] ὅδε[rdamp] πίπτω[vnxa]. **v.41** πᾶς[ainmpn] οὖν[cc] εὐλογέω[vpaanmp] ὁ[danp] ὁ[dgms] δικαιοκρίτης[ngmsc] κύριος[ngmsc] ὁ[danp] κρύπτω[vpxpanp] φανερός[ananpn] ποιέω[vppagms]. **v.42** εἰς[pa] ἱκετεία[nafsc] τρέπω[viap3p] ἀξιόω[vpaanmp] ὁ[dans] γίνομαι[vpxaans] ἁμάρτημα[nansc] τελείως[b] ἐξαλείφω[vnap] ὁ[dnms] δέ[cc] γενναῖος[annmsn] Ἰούδας[nnmsp] παρακαλέω[viaa3s] ὁ[dans] πλῆθος[nansc] συντηρέω[vnpa] ἑαυτοῦ[rxamp] ἀναμάρτητος[anampn] εἰμί[vnpa] ὑπό[pa] ὄψις[nafsc] ὁράω[vpxaamp] ὁ[danp] γίνομαι[vpxaanp] διά[pa] ὁ[dafs] ὁ[dgmp] προπίπτω[vpxagmp] ἁμαρτία[nafsc]. **v.43** ποιέω[vpamnms] τέ[cc] κατά[pa] ἀνδρολογία[nafsc] εἰς[pa] ἀργύριον[ngnsc] δραχμή[nafpc] δισχίλιοι[acafpn] ἀποστέλλω[viaa3s] εἰς[pa] Ἱεροσόλυμα[nanpp] προσάγω[vnaa] περί[pg] ἁμαρτία[ngfsc] θυσία[nafsc] πάνυ[b] καλῶς[b] καί[cc] ἀστείως[b] πράσσω[vppanms] ὑπέρ[pg] ἀνάστασις[ngfsc] διαλογίζομαι[vppmnms]. **v.44** εἰ[cs] μή[x] γάρ[cc] ὁ[damp] προπίπτω[vpxaamp] ἀνίστημι[vnaa] προσδοκάω[viia3s] περισσός[anansn] καί[cc] ληρώδης[anansn] ὑπέρ[pg] νεκρός[angmpn] εὔχομαι[vnpm]. **v.45** εἴτε[cc] ἐμβλέπω[vppanms] ὁ[ddmp] μετά[pg] εὐσέβεια[ngfsc] κοιμάομαι[vppmdmp] καλός[ananss] ἀπόκειμαι[vpppans] χαριστήριος[nansc] ὅσιος[annfsn] καί[cc] εὐσεβής[annfsn] ὁ[dnfs] ἐπίνοια[nnfsc] ὅθεν[b] περί[pg] ὁ[dgmp] θνῄσκω[vpxagmp] ὁ[dams] ἐξιλασμός[namsc] ποιέω[viam3s] ὁ[dgfs] ἁμαρτία[ngfsc] ἀπολύω[vnap]. **13. v.1** ὁ[ddns] δέ[cc] ἔνατος[aodnsn] καί[cc] τεσσαρακοστός[aodnsn] καί[cc] ἑκατοστός[aodnsn] ἔτος[ndnsc] προσπίπτω[viaa3s] ὁ[ddmp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] Ἀντίοχον[namsp] ὁ[dams] Εὐπάτωρ[namsp] παραγίνομαι[vnam] σύν[pd] πλῆθος[ndnpc] ἐπί[pa] ὁ[dafs] Ἰουδαία[nafsp].

πεζῶν μυριάδας ἕνδεκα καὶ ἱππέων πεντακισχιλίους τριακοσίους
καὶ ἐλέφαντας εἴκοσι δύο ἅρματα δὲ δρεπανηφόρα τριακόσια.
3 συνέμειξεν δὲ αὐτοῖς καὶ Μενέλαος καὶ παρεκάλει μετὰ πολλῆς
εἰρωνείας τὸν Ἀντίοχον οὐκ ἐπὶ σωτηρίᾳ τῆς πατρίδος οἰόμενος
4 δὲ ἐπὶ τῆς ἀρχῆς κατασταθήσεσθαι. ὁ δὲ βασιλεὺς τῶν βασιλέων
ἐξήγειρεν τὸν θυμὸν τοῦ Ἀντιόχου ἐπὶ τὸν ἀλιτήριον καὶ Λυσίου
ὑποδείξαντος τοῦτον αἴτιον εἶναι πάντων τῶν κακῶν προσέταξεν
ὡς ἔθος ἐστὶν ἐν τῷ τόπῳ προσαπολέσαι ἀγαγόντας εἰς Βέροιαν.
5 ἔστιν δὲ ἐν τῷ τόπῳ πύργος πεντήκοντα πήχεων πλήρης σποδοῦ
οὗτος δὲ ὄργανον εἶχεν περιφερὲς πάντοθεν ἀπόκρημνον εἰς τὴν
6 σποδόν. ἐνταῦθα τὸν ἱεροσυλίας ἔνοχον ἤ καί τινων ἄλλων κα-
κῶν ὑπεροχὴν πεποιημένον ἅπαντες προσωθοῦσιν εἰς ὄλεθρον.
7 τοιούτῳ μόρῳ τὸν παράνομον συνέβη θανεῖν μηδὲ τῆς γῆς τυ-
8 χόντα Μενέλαον. πάνυ δικαίως ἐπεὶ γὰρ συνετελέσατο πολλὰ
περὶ τὸν βωμὸν ἁμαρτήματα οὗ τὸ πῦρ ἁγνὸν ἦν καὶ ἡ σποδός ἐν
9 σποδῷ τὸν θάνατον ἐκομίσατο. τοῖς δὲ φρονήμασιν ὁ βασιλεὺς
βεβαρβαρωμένος ἤρχετο τὰ χείριστα τῶν ἐπὶ τοῦ πατρὸς αὐτοῦ
10 γεγονότων ἐνδειξόμενος τοῖς Ιουδαίοις. μεταλαβὼν δὲ Ιουδας
ταῦτα παρήγγειλεν τῷ πλήθει δι᾽ ἡμέρας καὶ νυκτὸς ἐπικαλεῖ-
σθαι τὸν κύριον εἴ ποτε καὶ ἄλλοτε καὶ νῦν ἐπιβοηθεῖν τοῖς τοῦ

---

**v.2** καί[cc] σύν[pd] αὐτός[rpdms] Λυσίας[namsp] ὁ[dams] ἐπίτροπος[namsc] καί[cc] ἐπί[pg] ὁ[dgnp] πρᾶγμα[ngnpc] ἕκαστος[aiamsn] ἔχω[vppaams] δύναμις[nafsc] Ἑλληνικός[anafsn] πεζός[angmpn] μυριάς[nafpc] ἕνδεκα[ac—n] καί[cc] ἱππεύς[ngmpc] πεντακισχίλιοι[acampn] τριακόσιοι[acampn] καί[cc] ἐλέφας[nampc] εἴκοσι[ac—n] δύο[ac—n] ἅρμα[nanpc] δέ[cc] δρεπανηφόρος[ananpn] τριακόσιοι[acanpn]. **v.3** συμμίγνυμι[viaa3s] δέ[cc] αὐτός[rpdmp] καί[b] Μενέλαος[nnmsp] καί[cc] παρακαλέω[viia3s] μετά[pg] πολύς[angfsn] εἰρωνεία[ngfsc] ὁ[dams] Ἀντίοχος[namsp] οὐ[b] ἐπί[pd] σωτηρία[ndfsc] ὁ[dgfs] πατρίς[ngfsc] οἴομαι[vppmnms] δέ[cc] ἐπί[pg] ὁ[dgfs] ἀρχή[ngfsc] καθίστημι[vnfp]. **v.4** ὁ[dnms] δέ[cc] βασιλεύς[nnmsc] ὁ[dgmp] βασιλεύς[ngmpc] ἐξεγείρω[viaa3s] ὁ[dams] θυμός[namsc] ὁ[dgms] Ἀντίοχος[ngmsp] ἐπί[pa] ὁ[dams] ἀλιτήριος[anamsn] καί[cc] Λυσίας[ngmsp] ὑποδείκνυμι[vpaagms] οὗτος[rdams] αἴτιος[anamsn] εἰμί[vnpa] πᾶς[aignpn] ὁ[dgnp] κακός[angnpn] προστάσσω[viaa3s] ὡς[cs] ἔθος[nnnsc] εἰμί[vipa3s] ἐν[pd] ὁ[ddms] τόπος[ndmsc] προσαπόλλυμι[vnaa] ἄγω[vpaaamp] εἰς[pa] Βέροια[nafsp]. **v.5** εἰμί[vipa3s] δέ[cc] ἐν[pd] ὁ[ddms] τόπος[ndmsc] πύργος[nnmsc] πεντήκοντα[ac—n] πῆχυς[ngmpc] πλήρης[annmsn] σποδός[ngfsc] οὗτος[rdnms] δέ[cc] ὄργανον[nansc] ἔχω[viia3s] περιφερής[ananpn] πάντοθεν[b] ἀπόκρημνος[anansn] εἰς[pa] ὁ[dafs] σποδός[nafsc]. **v.6** ἐνταῦθα[b] ὁ[dams] ἱεροσυλία[ngfsc] ἔνοχος[anamsn] ἤ[cc] καί[cc] τι-σαιγνπ ἄλλος[rignp] κακός[angnpn] ὑπεροχή[nafsc] ποιέω[vpxmams] ἅπας[annmpn] προσωθέω[vipa3p] εἰς[pa] ὄλεθρος[namsc]. **v.7** τοιοῦτος[addmsn] μόρος[ndmsc] ὁ[dams] παράνομος[anamsn] συμβαίνω[viaa3s] θνῄσκω[vnaa] μηδέ[x] ὁ[dgfs] γῆ[ngfsc] τυγχάνω[vpaaams] Μενέλαος[namsp]. **v.8** πάνυ[b] δικαίως[b] ἐπεί[cs] γάρ[cc] συντελέω[viam3s] πολύς[ananpn] περί[pa] ὁ[dams] βωμός[namsc] ἁμάρτημα[nanpc] ὅς[b] ὁ[dans] πῦρ[nansc] ἁγνός[anansn] εἰμί[viia3s] καί[cc] ὁ[dnfs] σποδός[nnfsc] ἐν[pd] σποδός[ndfsc] ὁ[dams] θάνατος[namsc] κομίζω[viam3s]. **v.9** ὁ[ddmp] δέ[cc] φρόνημα[ndnpc] ὁ[dnms] βασιλεύς[nnmsc] βαρβαρόω[vpxpnms] ἔρχομαι[viim3s] ὁ[danp] κακός[ananps] ὁ[dgnp] ἐπί[pg] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgms] γίνομαι[vpxagnp] ἐνδείκνυμι[vpfmnms] ὁ[ddmp] Ἰουδαῖος[andmpn].

νόμου καὶ πατρίδος καὶ ἱεροῦ ἁγίου στερεῖσθαι μέλλουσιν. καὶ 11
τὸν ἄρτι βραχέως ἀνεψυχότα λαὸν μὴ ἐᾶσαι τοῖς δυσφήμοις ἔθνε-
σιν ὑποχειρίους γενέσθαι. πάντων δὲ τὸ αὐτὸ ποιησάντων ὁμοῦ 12
καὶ καταξιωσάντων τὸν ἐλεήμονα κύριον μετὰ κλαυθμοῦ καὶ νη-
στειῶν καὶ προπτώσεως ἐπὶ ἡμέρας τρεῖς ἀδιαλείπτως παρακαλέ-
σας αὐτοὺς ὁ Ιουδας ἐκέλευσεν παραγίνεσθαι. καθʹ ἑαυτὸν δὲ 13
σὺν τοῖς πρεσβυτέροις γενόμενος ἐβουλεύσατο πρὶν εἰσβαλεῖν τοῦ
βασιλέως τὸ στράτευμα εἰς τὴν Ιουδαίαν καὶ γενέσθαι τῆς πόλεως
ἐγκρατεῖς ἐξελθόντας κρῖναι τὰ πράγματα τῇ τοῦ θεοῦ βοηθείᾳ.
δοὺς δὲ τὴν ἐπιτροπὴν τῷ κτίστῃ τοῦ κόσμου παρακαλέσας τοὺς 14
σὺν αὐτῷ γενναίως ἀγωνίσασθαι μέχρι θανάτου περὶ νόμων ἱεροῦ
πόλεως πατρίδος πολιτείας περὶ δὲ Μωδεϊν ἐποιήσατο τὴν στρατο-
πεδείαν. ἀναδοὺς δὲ τοῖς περὶ αὐτὸν σύνθημα θεοῦ νίκην μετὰ 15
νεανίσκων ἀρίστων κεκριμένων ἐπιβαλὼν νύκτωρ ἐπὶ τὴν βασι-
λικὴν αὐλὴν τὴν παρεμβολὴν ἀνεῖλεν εἰς ἄνδρας δισχιλίους καὶ
τὸν πρωτεύοντα τῶν ἐλεφάντων σὺν τῷ κατʹ οἰκίαν ὄντι συνεκέντη-
σεν. καὶ τὸ τέλος τὴν παρεμβολὴν δέους καὶ ταραχῆς ἐπλήρωσαν 16
καὶ ἐξέλυσαν εὐημεροῦντες. ὑποφαινούσης δὲ ἤδη τῆς ἡμέρας 17
τοῦτο ἐγεγόνει διὰ τὴν ἐπαρήγουσαν αὐτῷ τοῦ κυρίου σκέπην. ὁ 18
δὲ βασιλεὺς εἰληφὼς γεῦμα τῆς τῶν Ιουδαίων εὐτολμίας κατεπεί-

---

**v.10** μεταλαμβάνω[vpaanms] δέ[cc] Ἰούδας[nnmsp] οὗτος[rdanp] παραγγέλλω[viaa3s] ὁ[ddns] πλῆθος[ndnsc] διά[pg] ἡμέρα[ngfsc] καί[cc] νύξ[ngfsc] ἐπικαλέω[vnpm] ὁ[dams] κύριος[namsc] εἰ[cs] ποτέ[b] καί[cc] ἄλλοτε[b] καί[cc] νῦν[b] ἐπιβοηθέω[vnpa] ὁ[ddmp] ὁ[dgms] νόμος[ngmsc] καί[cc] πατρίς[ngfsc] καί[cc] ἱερόν[ngnsc] ἅγιος[angnsn] στερέω[vnpp] μέλλω[vppadmp]. **v.11** καί[cc] ὁ[dams] ἄρτι[b] βραχέως[b] ἀναψύχω[vpxaams] λαός[namsc] μή[x] ἐάω[vnaa] ὁ[ddnp] δύσφημος[andnpn] ἔθνος[ndnpc] ὑποχείριος[anampn] γίνομαι[vnam]. **v.12** πᾶς[aigmpn] δέ[cc] ὁ[dans] αὐτός[rpans] ποιέω[vpaagmp] ὁμοῦ[b] καί[cc] καταξιόω[vpaagmp] ὁ[dams] ἐλεήμων[anamsn] κύριος[namsc] μετά[pg] κλαυθμός[ngmsc] καί[cc] νηστεία[ngfpc] καί[cc] πρόπτωσις[ngfsc] ἐπί[pa] ἡμέρα[nafpc] τρεῖς[acafpn] ἀδιαλείπτως[b] παρακαλέω[vpaanms] αὐτός[rpamp] ὁ[dnms] Ἰούδας[nnmsp] κελεύω[viaa3s] παραγίνομαι[vnpm]. **v.13** κατά[pa] ἑαυτοῦ[rxams] δέ[cc] σύν[pd] ὁ[ddmp] πρεσβύτερος[andmpc] γίνομαι[vpamnms] βουλεύω[viam3s] πρίν[cs] εἰσβάλλω[vnfa] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dans] στράτευμα[nansc] εἰς[pa] ὁ[dafs] Ἰουδαία[nafsp] καί[cc] γίνομαι[vnam] ὁ[dgfs] πόλις[ngfsc] ἐγκρατής[anampn] ἐξέρχομαι[vpaaamp] κρίνω[vnaa] ὁ[danp] πρᾶγμα[nanpc] ὁ[ddfs] ὁ[dgms] θεός[ngmsc] βοήθεια[ndfsc]. **v.14** δίδωμι[vpaanms] δέ[cc] ὁ[dafs] ἐπιτροπή[nafsc] ὁ[ddms] κτίστης[ndmsc] ὁ[dgms] κόσμος[ngmsc] παρακαλέω[vpaanms] ὁ[damp] σύν[pd] αὐτός[rpdms] γενναίως[b] ἀγωνίζομαι[vnam] μέχρι[pg] θάνατος[ngmsc] περί[pg] νόμος[ngmpc] ἱερόν[ngnsc] πόλις[ngfsc] πατρίς[ngfsc] πολιτεία[ngfsc] περί[pa] δέ[cc] Μωδεϊν[na-sp] ποιέω[viam3s] ὁ[dafs] στρατοπεδεία[nafsc]. **v.15** ἀναδίδωμι[vpaanms] δέ[cc] ὁ[ddmp] περί[pa] αὐτός[rpams] σύνθημα[nansc] θεός[ngmsc] νίκη[nafsc] μετά[pg] νεανίσκος[ngmpc] ἀγαθός[angmps] κρίνω[vpxpgmp] ἐπιβάλλω[vpaanms] νύκτωρ[b] ἐπί[pa] ὁ[dafs] βασιλικός[anafsn] αὐλή[nafsc] ὁ[dafs] παρεμβολή[nafsc] ἀναιρέω[viaa3s] εἰς[pa] ἀνήρ[nampc] δισχίλιοι[acampn] καί[cc] ὁ[dams] πρωτεύω[vppaams] ὁ[dgmp] ἐλέφας[ngmpc] σύν[pd] ὁ[ddms] κατά[pa] οἰκία[nafsc] εἰμί[vppadms] συγκεντέω[viaa3s]. **v.16** καί[cc] ὁ[dans] τέλος[nansc] ὁ[dafs] παρεμβολή[nafsc] δέος[ngnsc] καί[cc] ταραχή[ngfsc] πληρόω[viaa3p] καί[cc] ἐκλύω[viaa3p] εὐημερέω[vppanmp]. **v.17** ὑποφαίνω[vppagfs] δέ[cc] ἤδη[b] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdnns] γίνομαι[viya3s] διά[pa] ὁ[dafs] ἐπαρήγω[vppaafs] αὐτός[rpdms] ὁ[dgms] κύριος[ngmsc] σκέπη[nafsc].

19 ρασεν διὰ μεθόδων τοὺς τόπους. καὶ ἐπὶ Βαιθσουρα φρούριον
ὀχυρὸν τῶν Ιουδαίων προσῆγεν ἐτροποῦτο προσέκρουεν ἠλαττο-
20, 21 νοῦτο. τοῖς δὲ ἔνδον Ιουδας τὰ δέοντα εἰσέπεμψεν. προσήγ-
γειλεν δὲ τὰ μυστήρια τοῖς πολεμίοις Ροδοκος ἐκ τῆς Ιουδαϊκῆς
22 τάξεως ἀνεζητήθη καὶ κατελήμφθη καὶ κατεκλείσθη. ἐδευτε-
ρολόγησεν ὁ βασιλεὺς τοῖς ἐν Βαιθσουροις δεξιὰν ἔδωκεν ἔλαβεν
23 ἀπῄει προσέβαλεν τοῖς περὶ τὸν Ιουδαν ἥττων ἐγένετο. μετέλαβεν
ἀπονενοῆσθαι τὸν Φίλιππον ἐν Ἀντιοχείᾳ τὸν ἀπολελειμμένον ἐπὶ
τῶν πραγμάτων συνεχύθη τοὺς Ιουδαίους παρεκάλεσεν ὑπετάγη
καὶ ὤμοσεν ἐπὶ πᾶσι τοῖς δικαίοις συνελύθη καὶ θυσίαν προσή-
24 γαγεν ἐτίμησεν τὸν νεὼ καὶ τὸν τόπον ἐφιλανθρώπησεν. καὶ τὸν
Μακκαβαῖον ἀπεδέξατο κατέλιπεν στρατηγὸν ἀπὸ Πτολεμαίδος
25 ἕως τῶν Γερρηνῶν ἡγεμονίδην. ἦλθεν εἰς Πτολεμαίδα ἐδυσφό-
ρουν περὶ τῶν συνθηκῶν οἱ Πτολεμαεῖς ἐδείναζον γὰρ ὑπὲρ ὧν
26 ἠθέλησαν ἀθετεῖν τὰς διαστάλσεις. προσῆλθεν ἐπὶ τὸ βῆμα Λυ-
σίας ἀπελογήσατο ἐνδεχομένως συνέπεισεν κατεπράυνεν εὐμε-
νεῖς ἐποίησεν ἀνέζευξεν εἰς Ἀντιόχειαν οὕτω τὰ τοῦ βασιλέως τῆς
ἐφόδου καὶ τῆς ἀναζυγῆς ἐχώρησεν.

**14** μετὰ δὲ τριετῆ χρόνον προσέπεσεν τοῖς περὶ τὸν Ιουδαν Δημή-
τριον τὸν τοῦ Σελεύκου διὰ τοῦ κατὰ Τρίπολιν λιμένος εἰσπλεύ-
2 σαντα μετὰ πλήθους ἰσχυροῦ καὶ στόλου. κεκρατηκέναι τῆς

---

**v.18** ὁ[dnms] δέ[cc] βασιλεύς[nnmsc] λαμβάνω[vpxanms] γεῦμα[nansc] ὁ[dgfs] ὁ[dgmp] Ἰουδαῖος[angmpn] εὐτολμία[ngfsc] καταπειράζω[viaa3s] διά[pg] μέθοδος[ngfpc] ὁ[damp] τόπος[nampc]. **v.19** καί[cc] ἐπί[pa] Βαιθσουρα[na-sp] φρούριον[nansc] ὀχυρός[anansn] ὁ[dgmp] Ἰουδαῖος[angmpn] προσάγω[viia3s] τροπόω[viip3s] προσκρούω[viia3s] ἐλαττονόω[viip3s]. **v.20** ὁ[ddmp] δέ[cc] ἔνδον[b] Ἰούδας[nnmsp] ὁ[danp] δεῖ[vppaanp] εἰσπέμπω[viaa3s]. **v.21** προσαγγέλλω[viaa3s] δέ[cc] ὁ[danp] μυστήριον[nanpc] ὁ[ddmp] πολέμιος[andmpn] Ροδοκος[nnmsp] ἐκ[pg] ὁ[dgfs] Ἰουδαϊκός[angfsn] τάξις[ngfsc] ἀναζητέω[viap3s] καί[cc] καταλαμβάνω[viap3s] καί[cc] κατακλείω[viap3s]. **v.22** δευτερολογέω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[ddmp] ἐν[pd] Βαιθσουρα[ndmpp] δεξιός[anafsn] δίδωμι[viaa3s] λαμβάνω[viaa3s] ἄπειμι-2[viia3s] προσβάλλω[viaa3s] ὁ[ddmp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] ἥσσων[annmsc] γίνομαι[viam3s]. **v.23** μεταλαμβάνω[viaa3s] ἀπονοέομαι[vnxm] ὁ[dams] Φίλιππος[namsp] ἐν[pd] Ἀντιοχία[ndfsp] ὁ[dams] ἀπολείπω[vpxpams] ἐπί[pg] ὁ[dgnp] πρᾶγμα[ngnpc] συγχέω[viap3s] ὁ[damp] Ἰουδαῖος[anampn] παρακαλέω[viaa3s] ὑποτάσσω[viap3s] καί[cc] ὄμνυμι[viaa3s] ἐπί[pd] πᾶς[aidnpn] ὁ[ddnp] δίκαιος[andnpn] συλλύω[viap3s] καί[cc] θυσία[nafsc] προσάγω[viaa3s] τιμάω[viaa3s] ὁ[dams] νεώς[namsc] καί[cc] ὁ[dams] τόπος[namsc] φιλανθρωπέω[viaa3s]. **v.24** καί[cc] ὁ[dams] Μακκαβαῖος[namsp] ἀποδέχομαι[viam3s] καταλείπω[viaa3s] στρατηγός[namsc] ἀπό[pg] Πτολεμαΐς[ngmsp] ἕως[pg] ὁ[dgmp] Γερρηνοί[ngmpp] Ἡγεμονίδης[namsp]. **v.25** ἔρχομαι[viaa3s] εἰς[pa] Πτολεμαΐς[namsp] δυσφορέω[viia3p] περί[pg] ὁ[dgfp] συνθήκη[ngfpc] ὁ[dnmp] Πτολεμαεῖς[nnmpp] δεινάζω[viia3p] γάρ[cc] ὑπέρ[pg] ὅς[rrgfp] θέλω[viaa3p] ἀθετέω[vnpa] ὁ[dafp] διάσταλσις[nafpc]. **v.26** προσέρχομαι[viaa3s] ἐπί[pa] ὁ[dans] βῆμα[nansc] Λυσίας[nnmsp] ἀπολογέομαι[viam3s] ἐνδεχομένως[b] συμπείθω[viaa3s] καταπραΰνω[viaa3s] εὐμενής[anampn] ποιέω[viaa3s] ἀναζεύγνυμι[viaa3s] εἰς[pa] Ἀντιοχία[nafsp] οὕτως[b] ὁ[dnnp] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dgfs] ἔφοδος[ngfsc] καί[cc] ὁ[dgfs] ἀναζυγή[ngfsc] χωρέω[viaa3s]. **14. v.1** μετά[pa] δέ[cc] τριετής[anamsn] χρόνος[namsc] προσπίπτω[viaa3s] ὁ[ddmp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] Δημήτριος[namsp] ὁ[dams] ὁ[dgms] Σέλευκος[ngmsp] διά[pg] ὁ[dgms] κατά[pa] Τρίπολις[nafsp] λιμήν[ngmsc] εἰσπλέω[vpaaams] μετά[pg] πλῆθος[ngnsc] ἰσχυρός[angnsn] καί[cc] στόλος[ngmsc].

χώρας ἐπανελόμενον Ἀντίοχον καὶ τὸν τούτου ἐπίτροπον Λυσίαν.
Α῎λκιμος δέ τις προγεγονὼς ἀρχιερεύς ἑκουσίως δὲ μεμολυσμέ- 3
νος ἐν τοῖς τῆς ἀμειξίας χρόνοις συννοήσας ὅτι καθ᾽ ὁντιναοῦν
τρόπον οὐκ ἔστιν αὐτῷ σωτηρία οὐδὲ πρὸς τὸ ἅγιον θυσιαστή-
ριον ἔτι πρόσοδος. ἧκεν πρὸς τὸν βασιλέα Δημήτριον ὡς πρώτῳ 4
καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ ἔτει προσάγων αὐτῷ στέφανον χρυ-
σοῦν καὶ φοίνικα πρὸς δὲ τούτοις τῶν νομιζομένων θαλλῶν τοῦ
ἱεροῦ καὶ τὴν ἡμέραν ἐκείνην ἡσυχίαν ἔσχεν. καιρὸν δὲ λα- 5
βὼν τῆς ἰδίας ἀνοίας συνεργὸν προσκληθεὶς εἰς συνέδριον ὑπὸ
τοῦ Δημητρίου καὶ ἐπερωτηθείς ἐν τίνι διαθέσει καὶ βουλῇ καθέ-
στηκαν οἱ Ιουδαῖοι πρὸς ταῦτα ἔφη. οἱ λεγόμενοι τῶν Ιουδαίων 6
Ασιδαῖοι ὧν ἀφηγεῖται Ιουδας ὁ Μακκαβαῖος πολεμοτροφοῦσιν
καὶ στασιάζουσιν οὐκ ἐῶντες τὴν βασιλείαν εὐσταθείας τυχεῖν.
ὅθεν ἀφελόμενος τὴν προγονικὴν δόξαν λέγω δὴ τὴν ἀρχιερωσύ- 7
νην δεῦρο νῦν ἐλήλυθα. πρῶτον μὲν ὑπὲρ τῶν ἀνηκόντων τῷ 8
βασιλεῖ γνησίως φρονῶν δεύτερον δὲ καὶ τῶν ἰδίων πολιτῶν στο-
χαζόμενος τῇ μὲν γὰρ τῶν προειρημένων ἀλογιστίᾳ τὸ σύμπαν
ἡμῶν γένος οὐ μικρῶς ἀκληρεῖ. ἕκαστα δὲ τούτων ἐπεγνωκὼς 9
σύ βασιλεῦ καὶ τῆς χώρας καὶ τοῦ περιισταμένου γένους ἡμῶν
προνοήθητι καθ᾽ ἣν ἔχεις πρὸς ἅπαντας εὐαπάντητον φιλανθρω-
πίαν. ἄχρι γὰρ Ιουδας περίεστιν ἀδύνατον εἰρήνης τυχεῖν τὰ 10

---

**v.2** κρατέω[vnxa] ὁ[dgfs] χώρα[ngfsc] ἐπαναιρέομαι[vpamams] Ἀντίοχος[namsp] καί[cc] ὁ[dams] οὗτος[rdgms] ἐπίτροπος[namsc] Λυσίας[namsp]. **v.3** Α῎λκιμος[nnmsp] δέ[cc] τι-σαινμσν προγίνομαι[vpxanms] ἀρχιερεύς[nnmsc] ἑκουσίως[b] δέ[cc] μολύνω[vpxpnms] ἐν[pd] ὁ[ddmp] ὁ[dgfs] ἀμειξία[ngfsc] χρόνος[ndmpc] συννοέω[vpaanms] ὅτι[cs] κατά[pa] ὁστισοῦν[arams] τρόπος[namsc] οὐ[b] εἰμί[vipa3s] αὐτός[rpdms] σωτηρία[nnfsc] οὐδέ[cc] πρός[pa] ὁ[dans] ἅγιος[anansn] θυσιαστήριον[nansc] ἔτι[b] πρόσοδος[nnfsc]. **v.4** ἥκω[viia3s] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] Δημήτριος[namsp] ὡς[cs] πρῶτος[aodnsn] καί[cc] πεντηκοστός[aodnsn] καί[cc] ἑκατοστός[aodnsn] ἔτος[ndnsc] προσάγω[vppanms] αὐτός[rpdms] στέφανος[namsc] χρυσοῦς[anamsn] καί[cc] φοῖνιξ[namsc] πρός[pd] δέ[cc] οὗτος[rddnp] ὁ[dgmp] νομίζω[vpppgmp] θαλλός[ngmpc] ὁ[dgns] ἱερόν[ngnsc] καί[cc] ὁ[dafs] ἡμέρα[nafsc] ἐκεῖνος[rdafs] ἡσυχία[nafsc] ἔχω[viaa3s]. **v.5** καιρός[namsc] δέ[cc] λαμβάνω[vpaanms] ὁ[dgfs] ἴδιος[angfsn] ἄνοια[ngfsc] συνεργός[anamsn] προσκαλέομαι[vpapnms] εἰς[pa] συνέδριον[nansc] ὑπό[pg] ὁ[dgms] Δημήτριος[ngmsp] καί[cc] ἐπερωτάω[vpapnms] ἐν[pd] τίς[aqdfsn] διάθεσις[ndfsc] καί[cc] βουλή[ndfsc] καθίστημι[vixa3p] ὁ[dnmp] Ἰουδαῖος[annmpn] πρός[pa] οὗτος[rdanp] φημί[viaa3’sviia3s]. **v.6** ὁ[dnmp] λέγω[vpppnmp] ὁ[dgmp] Ἰουδαῖος[angmpn] Ασιδαῖος[annmpn] ὅς[rrgmp] ἀφηγέομαι[vipm3s] Ἰούδας[nnmsp] ὁ[dnms] Μακκαβαῖος[nnmsp] πολεμοτροφέω[vipa3p] καί[cc] στασιάζω[vipa3p] οὐ[b] ἐάω[vppanmp] ὁ[dafs] βασιλεία[nafsc] εὐστάθεια[ngfsc] τυγχάνω[vnaa]. **v.7** ὅθεν[b] ἀφαιρέω[vpamnms] ὁ[dafs] προγονικός[anafsn] δόξα[nafsc] λέγω[vipa1s] δή[x] ὁ[dafs] ἀρχιερωσύνη[nafsc] δεῦρο[b] νῦν[b] ἔρχομαι[vixa1s]. **v.8** πρῶτος[b] μέν[x] ὑπέρ[pg] ὁ[dgnp] ἀνήκω[vppagnp] ὁ[ddms] βασιλεύς[ndmsc] γνησίως[b] φρονέω[vppanms] δεύτερος[b] δέ[cc] καί[b] ὁ[dgmp] ἴδιος[angmpn] πολίτης[ngmpc] στοχάζομαι[vppmnms] ὁ[ddfs] μέν[x] γάρ[cc] ὁ[dgmp] προλέγω[vpxpgmp] ἀλογιστία[ndfsc] ὁ[dnns] σύμπας[annnsn] ἐγώ[rpg-p] γένος[nnnsc] οὐ[b] μικρῶς[b] ἀκληρέω[vipa3s]. **v.9** ἕκαστος[aianpn] δέ[cc] οὗτος[rdgnp] ἐπιγινώσκω[vpxanms] σύ[rpn-s] βασιλεύς[nvmsc] καί[cc] ὁ[dgfs] χώρα[ngfsc] καί[cc] ὁ[dgns] περιΐστημι[vppmgns] γένος[ngnsc] ἐγώ[rpg-p] προνοέω[vdap2s] κατά[pa] ὅς[rrafs] ἔχω[vipa2s] πρός[pa] ἅπας[anampn] εὐαπάντητος[anafsn] φιλανθρωπία[nafsc].

11 πράγματα. τοιούτων δὲ ῥηθέντων ὑπὸ τούτου θᾶττον οἱ λοιποὶ
φίλοι δυσμενῶς ἔχοντες τὰ πρὸς τὸν Ιουδαν προσεπύρωσαν τὸν
12 Δημήτριον. προχειρισάμενος δὲ εὐθέως Νικάνορα τὸν γενόμε-
νον ἐλεφαντάρχην καὶ στρατηγὸν ἀναδείξας τῆς Ιουδαίας ἐξαπέ-
13 στειλεν. δοὺς ἐντολὰς αὐτὸν μὲν τὸν Ιουδαν ἐπανελέσθαι τοὺς δὲ
σὺν αὐτῷ σκορπίσαι καταστῆσαι δὲ Α῎λκιμον ἀρχιερέα τοῦ μεγί-
14 στου ἱεροῦ. οἱ δὲ ἐπὶ τῆς Ιουδαίας πεφυγαδευκότες τὸν Ιουδαν
ἔθνη συνέμισγον ἀγεληδὸν τῷ Νικάνορι τὰς τῶν Ιουδαίων ἀτυχίας
15 καὶ συμφορὰς ἰδίας εὐημερίας δοκοῦντες ἔσεσθαι. ἀκούσαντες
δὲ τὴν τοῦ Νικάνορος ἔφοδον καὶ τὴν ἐπίθεσιν τῶν ἐθνῶν κατα-
πασάμενοι γῆν ἐλιτάνευον τὸν ἄχρι αἰῶνος συστήσαντα τὸν αὑτοῦ
λαόν ἀεὶ δὲ μετ᾽ ἐπιφανείας ἀντιλαμβανόμενον τῆς ἑαυτοῦ μερί-
16 δος. προστάξαντος δὲ τοῦ ἡγουμένου ἐκεῖθεν εὐθέως ἀναζεύξας
17 συμμίσγει αὐτοῖς ἐπὶ κώμην Δεσσαου. Σιμων δὲ ὁ ἀδελφὸς Ιου-
δου συμβεβληκὼς ἦν τῷ Νικάνορι βραδέως δὲ διὰ τὴν αἰφνίδιον
18 τῶν ἀντιπάλων ἀφασίαν ἐπταικώς. ὅμως δὲ ἀκούων ὁ Νικά-
νωρ ἣν εἶχον οἱ περὶ τὸν Ιουδαν ἀνδραγαθίαν καὶ ἐν τοῖς περὶ
τῆς πατρίδος ἀγῶσιν εὐψυχίαν ὑπευλαβεῖτο τὴν κρίσιν δι᾽ αἱμά-
19 των ποιήσασθαι. διόπερ ἔπεμψεν Ποσιδώνιον καὶ Θεόδοτον καὶ
20 Ματταθιαν δοῦναι καὶ λαβεῖν δεξιάς. πλείονος δὲ γενομένης
περὶ τούτων ἐπισκέψεως καὶ τοῦ ἡγουμένου τοῖς πλήθεσιν ἀνα-
κοινωσαμένου καὶ φανείσης ὁμοψήφου γνώμης ἐπένευσαν ταῖς

---

**v.10** ἄχρι[cs] γάρ[cc] Ἰούδας[nnmsp] περίειμι[vipa3s] ἀδύνατος[anamsn] εἰρήνη[ngfsc] τυγχάνω[vnaa] ὁ[danp] πρᾶγμα[nanpc]. **v.11** τοιοῦτος[adgnpn] δέ[cc] λέγω[vpapgnp] ὑπό[pg] οὗτος[rdgms] ταχέως[b] ὁ[dnmp] λοιπός[annmpn] φίλος[annmpn] δυσμενῶς[b] ἔχω[vppanmp] ὁ[danp] πρός[pa] ὁ[dams] Ἰούδας[namsp] προσπυρόω[viaa3p] ὁ[dams] Δημήτριος[namsp]. **v.12** προχειρίζομαι[vpamnms] δέ[cc] εὐθέως[b] Νικάνωρ[namsp] ὁ[dams] γίνομαι[vpamams] ἐλεφαντάρχης[namsc] καί[cc] στρατηγός[namsc] ἀναδείκνυμι[vpaanms] ὁ[dgfs] Ἰουδαία[ngfsp] ἐξαποστέλλω[viaa3s]. **v.13** δίδωμι[vpaanms] ἐντολή[nafpc] αὐτός[rpams] μέν[x] ὁ[dams] Ἰούδας[namsp] ἐπαναιρέομαι[vnam] ὁ[damp] δέ[cc] σύν[pd] αὐτός[rpdms] σκορπίζω[vnaa] καθίστημι[vnaa] δέ[cc] Α῎λκιμος[namsp] ἀρχιερεύς[namsc] ὁ[dgns] μέγας[angnss] ἱερόν[ngnsc]. **v.14** ὁ[dnmp] δέ[cc] ἐπί[pg] ὁ[dgfs] Ἰουδαία[ngfsp] φυγαδεύω[vpxanmp] ὁ[dams] Ἰούδας[namsp] ἔθνος[nnnpc] συμμίσγω[viia3p] ἀγεληδόν[b] ὁ[ddms] Νικάνωρ[ndmsp] ὁ[dafp] ὁ[dgmp] Ἰουδαῖος[angmpn] ἀτυχία[nafpc] καί[cc] συμφορά[nafpc] ἴδιος[angfsn] εὐημερία[nafpc] δοκέω[vppanmp] εἰμί[vnfm]. **v.15** ἀκούω[vpaanmp] δέ[cc] ὁ[dafs] ὁ[dgms] Νικάνωρ[ngmsp] ἔφοδος[nafsc] καί[cc] ὁ[dafs] ἐπίθεσις[nafsc] ὁ[dgnp] ἔθνος[ngnpc] καταπάσσω[vppmnmp] γῆ[nafsc] λιτανεύω[viia3p] ὁ[dams] ἄχρι[pg] αἰών[ngmsc] συνίστημι[vpaaams] ὁ[dams] ἑαυτοῦ[rxgms] λαός[namsc] ἀεί[b] δέ[cc] μετά[pg] ἐπιφάνεια[ngfsc] ἀντιλαμβάνομαι[vppmams] ὁ[dgfs] ἑαυτοῦ[rxgms] μερίς[ngfsc]. **v.16** προστάσσω[vpaagms] δέ[cc] ὁ[dgms] ἡγέομαι[vppmgms] ἐκεῖθεν[b] εὐθέως[b] ἀναζεύγνυμι[vpaanms] συμμίσγω[vipa3s] αὐτός[rpdmp] ἐπί[pa] κώμη[nafsc] Δεσσαος[ngmsp]. **v.17** Σίμων[nnmsp] δέ[cc] ὁ[dnms] ἀδελφός[nnmsc] Ἰούδας[ngmsp] συμβάλλω[vpxanms] εἰμί[viia3s] ὁ[ddms] Νικάνωρ[ndmsp] βραδέως[b] δέ[cc] διά[pa] ὁ[dafs] αἰφνίδιος[anafsn] ὁ[dgmp] ἀντίπαλος[angmpn] ἀφασία[nafsc] πταίω[vpxanms]. **v.18** ὅμως[b] δέ[cc] ἀκούω[vppanms] ὁ[dnms] Νικάνωρ[nnmsp] ὅς[rrafs] ἔχω[viia3p] ὁ[dnmp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] ἀνδραγαθία[nafsc] καί[cc] ἐν[pd] ὁ[ddmp] περί[pg] ὁ[dgfs] πατρίς[ngfsc] ἀγών[ndmpc] εὐψυχία[nafsc] ὑπευλαβέομαι[viia3p] ὁ[dafs] κρίσις[nafsc] διά[pg] αἷμα[ngnpc] ποιέω[vnam]. **v.19** διόπερ[cc] πέμπω[viaa3s] Ποσιδώνιος[namsp] καί[cc] Θεόδοτος[namsp] καί[cc] Ματταθίας[namsp] δίδωμι[vnaa] καί[cc] λαμβάνω[vnaa] δεξιός[anafpn].

συνθήκαις. ἐτάξαντο δὲ ἡμέραν ἐν ᾗ κατ᾽ ἰδίαν ἥξουσιν εἰς τὸ 21
αὐτό καὶ προῆλθεν παρ᾽ ἑκάστου δίφραξ ἔθεσαν δίφρους. διέτα- 22
ξεν Ιουδας ἐνόπλους ἑτοίμους ἐν τοῖς ἐπικαίροις τόποις μήποτε
ἐκ τῶν πολεμίων αἰφνιδίως κακουργία γένηται τὴν ἁρμόζουσαν
ἐποιήσαντο κοινολογίαν. διέτριβεν ὁ Νικάνωρ ἐν Ιεροσολύμοις 23
καὶ ἔπραττεν οὐθὲν ἄτοπον τοὺς δὲ συναχθέντας ἀγελαίους ὄ-
χλους ἀπέλυσεν. καὶ εἶχεν τὸν Ιουδαν διὰ παντὸς ἐν προσώπῳ 24
ψυχικῶς τῷ ἀνδρὶ προσεκέκλιτο. παρεκάλεσεν αὐτὸν γῆμαι καὶ 25
παιδοποιήσασθαι ἐγάμησεν εὐστάθησεν ἐκοινώνησεν βίου. ὁ 26
δὲ Α῎λκιμος συνιδὼν τὴν πρὸς ἀλλήλους εὔνοιαν καὶ τὰς γενο-
μένας συνθήκας λαβὼν ἧκεν πρὸς τὸν Δημήτριον καὶ ἔλεγεν τὸν
Νικάνορα ἀλλότρια φρονεῖν τῶν πραγμάτων τὸν γὰρ ἐπίβουλον
τῆς βασιλείας Ιουδαν αὐτοῦ διάδοχον ἀναδεῖξαι. ὁ δὲ βασιλεὺς 27
ἔκθυμος γενόμενος καὶ ταῖς τοῦ παμπονήρου διαβολαῖς ἐρεθι-
σθεὶς ἔγραψεν Νικάνορι φάσκων ὑπὲρ μὲν τῶν συνθηκῶν βαρέως
φέρειν κελεύων δὲ τὸν Μακκαβαῖον δέσμιον ἐξαποστέλλειν εἰς
Ἀντιόχειαν ταχέως. προσπεσόντων δὲ τούτων τῷ Νικάνορι συνε- 28
κέχυτο καὶ δυσφόρως ἔφερεν εἰ τὰ διεσταλμένα ἀθετήσει μηδὲν
τἀνδρὸς ἠδικηκότος. ἐπεὶ δὲ τῷ βασιλεῖ ἀντιπράττειν οὐκ ἦν εὔ- 29
καιρον ἐτήρει στρατηγήματι τοῦτ᾽ ἐπιτελέσαι. ὁ δὲ Μακκαβαῖος 30
αὐστηρότερον διεξαγαγόντα συνιδὼν τὸν Νικάνορα τὰ πρὸς αὐ-

---

**v.20** πολύς[angfsc] δέ[cc] γίνομαι[vpamgfs] περί[pg] οὗτος[rdgmp] ἐπίσκεψις[ngfsc] καί[cc] ὁ[dgms] ἡγέομαι[vppmgms] ὁ[ddnp] πλῆθος[ndnpc] ἀνακοινόω[vpamgms] καί[cc] φαίνω[vpapgfs] ὁμόψηφος[angfsn] γνώμη[ngfsc] ἐπινεύω[viaa3p] ὁ[ddfp] συνθήκη[ndfpc]. **v.21** τάσσω[viam3p] δέ[cc] ἡμέρα[nafsc] ἐν[pd] ὅς[rrdfs] κατά[pa] ἴδιος[anafsn] ἥκω[vifa3p] εἰς[pa] ὁ[dans] αὐτός[rpans] καί[cc] προέρχομαι[viaa3s] παρά[pg] ἕκαστος[aigmsn] δίφραξ[nnfsc] τίθημι[viaa3p] δίφρος[nampc]. **v.22** διατάσσω[viaa3s] Ἰούδας[nnmsp] ἔνοπλος[anampn] ἕτοιμος[anampn] ἐν[pd] ὁ[ddmp] ἐπίκαιρος[andmpn] τόπος[ndmpc] μήποτε[x] ἐκ[pg] ὁ[dgmp] πολέμιος[angmpn] αἰφνιδίως[b] κακουργία[nnfsc] γίνομαι[vsam3s] ὁ[dafs] ἁρμόζω[vppaafs] ποιέω[viam3p] κοινολογία[nafsc]. **v.23** διατρίβω[viia3s] ὁ[dnms] Νικάνωρ[nnmsp] ἐν[pd] Ἱεροσόλυμα[ndnpp] καί[cc] πράσσω[viia3s] οὐθείς[rians] ἄτοπος[anansn] ὁ[damp] δέ[cc] συνάγω[vpapamp] ἀγελαῖος[anampn] ὄχλος[nampc] ἀπολύω[viaa3s]. **v.24** καί[cc] ἔχω[viia3s] ὁ[dams] Ἰούδας[namsp] διά[pg] πᾶς[aignsn] ἐν[pd] πρόσωπον[ndnsc] ψυχικῶς[b] ὁ[ddms] ἀνήρ[ndmsc] προσκλίνω[viyp3s]. **v.25** παρακαλέω[viaa3s] αὐτός[rpams] γαμέω[vnaa] καί[cc] παιδοποιέω[vnam] γαμέω[viaa3s] εὐσταθέω[viaa3s] κοινωνέω[viaa3s] βίος[ngmsc]. **v.26** ὁ[dnms] δέ[cc] Α῎λκιμος[nnmsp] συνοράω[vpaanms] ὁ[dafs] πρός[pa] ἀλλήλων[reamp] εὔνοια[nafsc] καί[cc] ὁ[dafp] γίνομαι[vpamafp] συνθήκη[nafpc] λαμβάνω[vpaanms] ἥκω[viia3s] πρός[pa] ὁ[dams] Δημήτριος[namsp] καί[cc] λέγω[viia3s] ὁ[dams] Νικάνωρ[namsp] ἀλλότριος[ananpn] φρονέω[vnpa] ὁ[dgnp] πρᾶγμα[ngnpc] ὁ[dams] γάρ[cc] ἐπίβουλος[anamsn] ὁ[dgfs] βασιλεία[ngfsc] Ἰούδας[namsp] αὐτός[rpgms] διάδοχος[namsc] ἀναδείκνυμι[vnaa]. **v.27** ὁ[dnms] δέ[cc] βασιλεύς[nnmsc] ἔκθυμος[annmsn] γίνομαι[vpamnms] καί[cc] ὁ[ddfp] ὁ[dgms] παμπόνηρος[angmsn] διαβολή[ndfpc] ἐρεθίζω[vpapnms] γράφω[viaa3s] Νικάνωρ[ndmsp] φάσκω[vppanms] ὑπέρ[pg] μέν[x] ὁ[dgfp] συνθήκη[ngfpc] βαρέως[b] φέρω[vnpa] κελεύω[vppanms] δέ[cc] ὁ[dams] Μακκαβαῖος[namsp] δέσμιος[anamsn] ἐξαποστέλλω[vnpa] εἰς[pa] Ἀντιοχία[nafsp] ταχέως[b]. **v.28** προσπίπτω[vpaagnp] δέ[cc] οὗτος[rdgnp] ὁ[ddms] Νικάνωρ[ndmsp] συγχέω[viyp3s] καί[cc] δυσφόρως[b] φέρω[viia3s] εἰ[cs] ὁ[danp] διαστέλλω[vpxpanp] ἀθετέω[vifa3s] μηδείς[rians] ὁ&ἀνήρ[dgms&ngmsc] ἀδικέω[vpxagms]. **v.29** ἐπεί[cs] δέ[cc] ὁ[ddms] βασιλεύς[ndmsc] ἀντιπράσσω[vnpa] οὐ[b] εἰμί[viia3s] εὔκαιρος[annnsn] τηρέω[viia3s] στρατήγημα[ndnsc] οὗτος[rdans] ἐπιτελέω[vnaa].

τὸν καὶ τὴν εἰθισμένην ἀπάντησιν ἀγροικότερον ἐσχηκότα νοήσας
οὐκ ἀπὸ τοῦ βελτίστου τὴν αὐστηρίαν εἶναι συστρέψας οὐκ ὀλί-
31 γους τῶν περὶ αὐτὸν συνεκρύπτετο τὸν Νικάνορα. συγγνοὺς δὲ
ὁ ἕτερος ὅτι γενναίως ὑπὸ τοῦ ἀνδρὸς ἐστρατήγηται παραγενόμε-
νος ἐπὶ τὸ μέγιστον καὶ ἅγιον ἱερὸν τῶν ἱερέων τὰς καθηκούσας
32 θυσίας προσαγόντων ἐκέλευσεν παραδιδόναι τὸν ἄνδρα. τῶν δὲ
μεθ᾽ ὅρκων φασκόντων μὴ γινώσκειν ποῦ ποτ᾽ ἔστιν ὁ ζητούμενος.
33 προτείνας τὴν δεξιὰν ἐπὶ τὸν νεὼ ταῦτ᾽ ὤμοσεν ἐὰν μὴ δέσμιόν μοι
τὸν Ιουδαν παραδῶτε τόνδε τὸν τοῦ θεοῦ σηκὸν εἰς πεδίον ποιήσω
καὶ τὸ θυσιαστήριον κατασκάψω καὶ ἱερὸν ἐνταῦθα τῷ Διονύσῳ
34 ἐπιφανὲς ἀναστήσω. τοσαῦτα δὲ εἰπὼν ἀπῆλθεν οἱ δὲ ἱερεῖς προ-
τείναντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλοῦντο τὸν διὰ παντὸς
35 ὑπέρμαχον τοῦ ἔθνους ἡμῶν ταῦτα λέγοντες. σὺ κύριε τῶν ὅ-
λων ἀπροσδεὴς ὑπάρχων ηὐδόκησας ναὸν τῆς σῆς σκηνώσεως
36 ἐν ἡμῖν γενέσθαι. καὶ νῦν ἅγιε παντὸς ἁγιασμοῦ κύριε διατή-
ρησον εἰς αἰῶνα ἀμίαντον τόνδε τὸν προσφάτως κεκαθαρισμένον
37 οἶκον. Ραζις δέ τις τῶν ἀπὸ Ιεροσολύμων πρεσβυτέρων ἐμηνύθη
τῷ Νικάνορι ἀνὴρ φιλοπολίτης καὶ σφόδρα καλῶς ἀκούων καὶ
38 κατὰ τὴν εὔνοιαν πατὴρ τῶν Ιουδαίων προσαγορευόμενος. ἦν
γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις τῆς ἀμειξίας κρίσιν εἰσενηνεγ-
μένος Ιουδαϊσμοῦ καὶ σῶμα καὶ ψυχὴν ὑπὲρ τοῦ Ιουδαϊσμοῦ

---

**v.30** ὁ[dnms] δέ[cc] Μακκαβαῖος[nnmsp] αὐστηρός[anamsc] διεξάγω[vpxaams] συνοράω[vpaanms] ὁ[dams] Νικάνωρ[namsp] ὁ[danp] πρός[pa] αὐτός[rpams] καί[cc] ὁ[dafs] ἐθίζω[vpxpafs] ἀπάντησις[nafsc] ἄγροικος[anansc] ἔχω[vpxaams] νοέω[vpaanms] οὐ[b] ἀπό[pg] ὁ[dgns] ἀγαθός[angnss] ὁ[dafs] αὐστηρία[nafsc] εἰμί[vnpa] συστρέφω[vpaanms] οὐ[b] ὀλίγος[anampn] ὁ[dgmp] περί[pa] αὐτός[rpams] συγκρύπτω[viim3s] ὁ[dams] Νικάνωρ[namsp]. **v.31** συγγινώσκω[vpaanms] δέ[cc] ὁ[dnms] ἕτερος[ainmsn] ὅτι[cs] γενναίως[b] ὑπό[pg] ὁ[dgms] ἀνήρ[ngmsc] στρατηγέω[vixp3s] παραγίνομαι[vpamnms] ἐπί[pa] ὁ[dans] μέγας[ananss] καί[cc] ἅγιος[anansn] ἱερόν[nansc] ὁ[dgmp] ἱερεύς[ngmpc] ὁ[dafp] καθήκω[vppaafp] θυσία[nafpc] προσάγω[vppagmp] κελεύω[viaa3s] παραδίδωμι[vnpa] ὁ[dams] ἀνήρ[namsc]. **v.32** ὁ[dgmp] δέ[cc] μετά[pg] ὅρκος[ngmpc] φάσκω[vppagmp] μή[x] γινώσκω[vnpa] ποῦ[b] ποτέ[b] εἰμί[vipa3s] ὁ[dnms] ζητέω[vpppnms]. **v.33** προτείνω[vpaanms] ὁ[dafs] δεξιός[anafsn] ἐπί[pa] ὁ[dams] νεώς[namsc] οὗτος[rdanp] ὄμνυμι[viaa3s] ἐάν[cs] μή[x] δέσμιος[anamsn] ἐγώ[rpd-s] ὁ[dams] Ἰούδας[namsp] παραδίδωμι[vsaa2p] ὅδε[rdams] ὁ[dams] ὁ[dgms] θεός[ngmsc] σηκός[namsc] εἰς[pa] πεδίον[nansc] ποιέω[vifa1s] καί[cc] ὁ[dans] θυσιαστήριον[nansc] κατασκάπτω[vifa1s] καί[cc] ἱερόν[nansc] ἐνταῦθα[b] ὁ[ddms] Διόνυσος[nnmsp] ἐπιφανής[anansn] ἀνίστημι[vifa1s]. **v.34** τοσοῦτος[adanp] δέ[cc] λέγω[vpaanms] ἀπέρχομαι[viaa3s] ὁ[dnmp] δέ[cc] ἱερεύς[nnmpc] προτείνω[vpaanmp] ὁ[dafp] χείρ[nafpc] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] ἐπικαλέω[viim3p] ὁ[dams] διά[pg] πᾶς[aignsn] ὑπέρμαχος[namsc] ὁ[dgns] ἔθνος[ngnsc] ἐγώ[rpg-p] οὗτος[rdanp] λέγω[vppanmp]. **v.35** σύ[rpvms] κύριος[nvmsc] ὁ[dgmp] ὅλος[angmpn] ἀπροσδεής[annmsn] ὑπάρχω[vppanms] εὐδοκέω[viaa2s] ναός[namsc] ὁ[dgfs] σός[asgfsn] σκήνωσις[ngfsc] ἐν[pd] ἐγώ[rpd-p] γίνομαι[vnam]. **v.36** καί[cc] νῦν[b] ἅγιος[anvmsn] πᾶς[aigmsn] ἁγιασμός[ngmsc] κύριος[nvmsc] διατηρέω[vdaa2s] εἰς[pa] αἰών[namsc] ἀμίαντος[anamsn] ὅδε[rdams] ὁ[dams] προσφάτως[b] καθαρίζω[vpxpams] οἶκος[namsc]. **v.37** Ραζις[nnmsp] δέ[cc] τι-σρινμς ὁ[dgmp] ἀπό[pg] Ἱεροσόλυμα[ngnpp] πρεσβύτερος[ngmsc] μηνύω[viap3s] ὁ[ddms] Νικάνωρ[ndmsp] ἀνήρ[nnmsc] φιλοπολίτης[nnmsc] καί[cc] σφόδρα[b] καλῶς[b] ἀκούω[vppanms] καί[cc] κατά[pa] ὁ[dafs] εὔνοια[nafsc] πατήρ[nnmsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] προσαγορεύω[vpppnms].

παραβεβλημένος μετὰ πάσης ἐκτενίας. βουλόμενος δὲ Νικάνωρ 39
πρόδηλον ποιῆσαι ἣν εἶχεν πρὸς τοὺς Ιουδαίους δυσμένειαν ἀ-
πέστειλεν στρατιώτας ὑπὲρ τοὺς πεντακοσίους συλλαβεῖν αὐτόν.
ἔδοξεν γὰρ ἐκεῖνον συλλαβὼν τούτοις ἐνεργάσασθαι συμφοράν. 40
τῶν δὲ πληθῶν μελλόντων τὸν πύργον καταλαβέσθαι καὶ τὴν αὐ- 41
λαίαν θύραν βιαζομένων καὶ κελευόντων πῦρ προσάγειν καὶ τὰς
θύρας ὑφάπτειν περικατάλημπτος γενόμενος ὑπέθηκεν ἑαυτῷ τὸ
ξίφος. εὐγενῶς θέλων ἀποθανεῖν ἤπερ τοῖς ἀλιτηρίοις ὑποχεί- 42
ριος γενέσθαι καὶ τῆς ἰδίας εὐγενείας ἀναξίως ὑβρισθῆναι. τῇ δὲ 43
πληγῇ μὴ κατευθικτήσας διὰ τὴν τοῦ ἀγῶνος σπουδὴν καὶ τῶν
ὄχλων ἔσω τῶν θυρωμάτων εἰσβαλλόντων ἀναδραμὼν γενναίως ἐ-
πὶ τὸ τεῖχος κατεκρήμνισεν ἑαυτὸν ἀνδρωδῶς εἰς τοὺς ὄχλους.
τῶν δὲ ταχέως ἀναποδισάντων γενομένου διαστήματος ἦλθεν κα- 44
τὰ μέσον τὸν κενεῶνα. ἔτι δὲ ἔμπνους ὑπάρχων καὶ πεπυρω- 45
μένος τοῖς θυμοῖς ἐξαναστὰς φερομένων κρουνηδὸν τῶν αἱμάτων
καὶ δυσχερῶν τῶν τραυμάτων ὄντων δρόμῳ τοὺς ὄχλους διελθὼν
καὶ στὰς ἐπί τινος πέτρας ἀπορρῶγος. παντελῶς ἔξαιμος ἤδη 46
γινόμενος προβαλὼν τὰ ἔντερα καὶ λαβὼν ἑκατέραις ταῖς χερσὶν
ἐνέσεισε τοῖς ὄχλοις καὶ ἐπικαλεσάμενος τὸν δεσπόζοντα τῆς ζωῆς
καὶ τοῦ πνεύματος ταῦτα αὐτῷ πάλιν ἀποδοῦναι τόνδε τὸν τρόπον
μετήλλαξεν.

---

**v.38** εἰμί[viia3s] γάρ[cc] ἐν[pd] ὁ[ddmp] ἔμπροσθεν[b] χρόνος[ndmpc] ὁ[dgfs] ἀμειξία[ngfsc] κρίσις[nafsc] εἰσφέρω[vpxpnms] Ἰουδαϊσμός[ngmsp] καί[cc] σῶμα[nansc] καί[cc] ψυχή[nafsc] ὑπέρ[pg] ὁ[dgms] Ἰουδαϊσμός[ngmsp] παραβάλλω[vpxmnms] μετά[pg] πᾶς[aigfsn] ἐκτένεια[ngfsc]. **v.39** βούλομαι[vppmnms] δέ[cc] Νικάνωρ[nnmsp] πρόδηλος[anansn] ποιέω[vnaa] ὅς[rrafs] ἔχω[viia3s] πρός[pa] ὁ[damp] Ἰουδαῖος[anampn] δυσμένεια[nafsc] ἀποστέλλω[viaa3s] στρατιώτης[nampc] ὑπέρ[pa] ὁ[damp] πεντακόσιοι[acampn] συλλαμβάνω[vnaa] αὐτός[rpams]. **v.40** δοκέω[viaa3s] γάρ[cc] ἐκεῖνος[rdams] συλλαμβάνω[vpaanms] οὗτος[rddmp] ἐνεργάζομαι[vnam] συμφορά[nafsc]. **v.41** ὁ[dgnp] δέ[cc] πλῆθος[ngnpc] μέλλω[vppagnp] ὁ[dams] πύργος[namsc] καταλαμβάνω[vnam] καί[cc] ὁ[dafs] αὐλαῖος[anafsn] θύρα[nafsc] βιάζομαι[vppmgmp] καί[cc] κελεύω[vppagmp] πῦρ[nansc] προσάγω[vnpa] καί[cc] ὁ[dafp] θύρα[nafpc] ὑφάπτω[vnpa] περικατάλημπτος[annmsn] γίνομαι[vpamnms] ὑποτίθημι[viaa3s] ἑαυτοῦ[rxdms] ὁ[dans] ξίφος[nansc]. **v.42** εὐγενῶς[b] θέλω[vppanms] ἀποθνῄσκω[vnaa] ἤπερ[cs] ὁ[ddmp] ἀλιτήριος[andmpn] ὑποχείριος[annmsn] γίνομαι[vnam] καί[cc] ὁ[dgfs] ἴδιος[angfsn] εὐγένεια[ngfsc] ἀναξίως[b] ὑβρίζω[vnap]. **v.43** ὁ[ddfs] δέ[cc] πληγή[ndfsc] μή[x] κατευθικτέω[vpaanms] διά[pa] ὁ[dafs] ὁ[dgms] ἀγών[ngmsc] σπουδή[nafsc] καί[cc] ὁ[dgmp] ὄχλος[ngmpc] ἔσω[pg] ὁ[dgnp] θύρωμα[ngnpc] εἰσβάλλω[vppagmp] ἀνατρέχω[vpaanms] γενναίως[b] ἐπί[pa] ὁ[dans] τεῖχος[nansc] κατακρημνίζω[viaa3s] ἑαυτοῦ[rxams] ἀνδρωδῶς[b] εἰς[pa] ὁ[damp] ὄχλος[nampc]. **v.44** ὁ[dgmp] δέ[cc] ταχέως[b] ἀναποδίζω[vpaagmp] γίνομαι[vpamgns] διάστημα[ngnsc] ἔρχομαι[viaa3s] κατά[pa] μέσος[anansn] ὁ[dams] κενεών[namsc]. **v.45** ἔτι[b] δέ[cc] ἔμπνους[anamsn] ὑπάρχω[vppanms] καί[cc] πυρόω[vpxpnms] ὁ[ddmp] θυμός[ndmpc] ἐξανίστημι[vpaanms] φέρω[vpppgnp] κρουνηδόν[b] ὁ[dgnp] αἷμα[ngnpc] καί[cc] δυσχερής[angnpn] ὁ[dgnp] τραῦμα[ngnpc] εἰμί[vppagnp] δρόμος[ndmsc] ὁ[damp] ὄχλος[nampc] διέρχομαι[vpaanms] καί[cc] ἵστημι[vpaanms] ἐπί[pg] τι-σαιγφσν πέτρα[ngfsc] ἀπορρώξ[ngfsc]. **v.46** παντελῶς[b] ἔξαιμος[annmsn] ἤδη[b] γίνομαι[vppmnms] προβάλλω[vpaanms] ὁ[danp] ἔντερον[nanpc] καί[cc] λαμβάνω[vpaanms] ἑκάτερος[addfpn] ὁ[ddfp] χείρ[ndfpc] ἐνσείω[viaa3s] ὁ[ddmp] ὄχλος[ndmpc] καί[cc] ἐπικαλέω[vpamnms] ὁ[dams] δεσπόζω[vppaams] ὁ[dgfs] ζωή[ngfsc] καί[cc] ὁ[dgns] πνεῦμα[ngnsc] οὗτος[rdanp] αὐτός[rpdms] πάλιν[b] ἀποδίδωμι[vnaa] ὅδε[rdams] ὁ[dams] τρόπος[namsc] μεταλλάσσω[viaa3s].

15 ὁ δὲ Νικάνωρ μεταλαβὼν τοὺς περὶ τὸν Ιουδαν ὄντας ἐν τοῖς
κατὰ Σαμάρειαν τόποις ἐβουλεύσατο τῇ τῆς καταπαύσεως ἡμέρᾳ
2 μετὰ πάσης ἀσφαλείας αὐτοῖς ἐπιβαλεῖν. τῶν δὲ κατὰ ἀνάγκην
συνεπομένων αὐτῷ Ιουδαίων λεγόντων μηδαμῶς οὕτως ἀγρίως
καὶ βαρβάρως ἀπολέσῃς δόξαν δὲ ἀπομέρισον τῇ προτετιμημένῃ
3 ὑπὸ τοῦ πάντα ἐφορῶντος μεθ᾽ ἁγιότητος ἡμέρᾳ. ὁ δὲ τρισαλι-
τήριος ἐπηρώτησεν εἰ ἔστιν ἐν οὐρανῷ δυνάστης ὁ προστεταχὼς
4 ἄγειν τὴν τῶν σαββάτων ἡμέραν. τῶν δ᾽ ἀποφηναμένων ἔστιν
ὁ κύριος ζῶν αὐτὸς ἐν οὐρανῷ δυνάστης ὁ κελεύσας ἀσκεῖν τὴν
5 ἑβδομάδα. ὁ δὲ ἕτερος κἀγώ φησιν δυνάστης ἐπὶ τῆς γῆς ὁ προ-
στάσσων αἴρειν ὅπλα καὶ τὰς βασιλικὰς χρείας ἐπιτελεῖν ὅμως οὐ
6 κατέσχεν ἐπιτελέσαι τὸ σχέτλιον αὐτοῦ βούλημα. καὶ ὁ μὲν Νι-
κάνωρ μετὰ πάσης ἀλαζονείας ὑψαυχενῶν διεγνώκει κοινὸν τῶν
7 περὶ τὸν Ιουδαν συστήσασθαι τρόπαιον. ὁ δὲ Μακκαβαῖος ἦν
ἀδιαλείπτως πεποιθὼς μετὰ πάσης ἐλπίδος ἀντιλήμψεως τεύξα-
8 σθαι παρὰ τοῦ κυρίου. καὶ παρεκάλει τοὺς σὺν αὐτῷ μὴ δειλιᾶν
τὴν τῶν ἐθνῶν ἔφοδον ἔχοντας δὲ κατὰ νοῦν τὰ προγεγονότα αὐ-
τοῖς ἀπ᾽ οὐρανοῦ βοηθήματα καὶ τὰ νῦν προσδοκᾶν τὴν παρὰ
9 τοῦ παντοκράτορος ἐσομένην αὐτοῖς νίκην. καὶ παραμυθούμε-
νος αὐτοὺς ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν προσυπομνήσας δὲ
αὐτοὺς καὶ τοὺς ἀγῶνας οὓς ἦσαν ἐκτετελεκότες προθυμοτέρους

---

**15.** **v.1** ὁ[dnms] δέ[cc] Νικάνωρ[nnmsp] μεταλαμβάνω[vpaanms] ὁ[damp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] εἰμί[vppaamp] ἐν[pd] ὁ[ddmp] κατά[pa] Σαμάρεια[nafsp] τόπος[ndmpc] βουλεύω[viam3s] ὁ[ddfs] ὁ[dgfs] κατάπαυσις[ngfsc] ἡμέρα[ndfsc] μετά[pg] πᾶς[aigfsn] ἀσφάλεια[ngfsc] αὐτός[rpdmp] ἐπιβάλλω[vnaa]. **v.2** ὁ[dgmp] δέ[cc] κατά[pa] ἀνάγκη[nafsc] συνέπομαι[vppmgmp] αὐτός[rpdms] Ἰουδαῖος[angmpn] λέγω[vppagmp] μηδαμῶς[b] οὕτως[b] ἀγρίως[b] καί[cc] βαρβάρως[b] ἀπόλλυμι[vsaa2s] δόξα[nafsc] δέ[cc] ἀπομερίζω[vdaa2s] ὁ[ddfs] προτιμάω[vpxpdfs] ὑπό[pg] ὁ[dgms] πᾶς[aianpn] ἐφοράω[vppagms] μετά[pg] ἁγιότης[ngfsc] ἡμέρα[ndfsc]. **v.3** ὁ[dnms] δέ[cc] τρισαλιτήριος[annmsn] ἐπερωτάω[viaa3s] εἰ[x] εἰμί[vipa3s] ἐν[pd] οὐρανός[ndmsc] δυνάστης[nnmsc] ὁ[dnms] προστάσσω[vpxanms] ἄγω[vnpa] ὁ[dafs] ὁ[dgnp] σάββατον[ngnpc] ἡμέρα[nafsc]. **v.4** ὁ[dgmp] δέ[cc] ἀποφαίνω[vpamgmp] εἰμί[vipa3s] ὁ[dnms] κύριος[nnmsc] ζάω[vppanms] αὐτός[rpnms] ἐν[pd] οὐρανός[ndmsc] δυνάστης[nnmsc] ὁ[dnms] κελεύω[vpaanms] ἀσκέω[vnpa] ὁ[dafs] ἑβδομάς[nafsc]. **v.5** ὁ[dnms] δέ[cc] ἕτερος[ainmsn] καί&ἐγώ[b&rpn-s] φημί[vipa3s] δυνάστης[nnmsc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dnms] προστάσσω[vppanms] αἴρω[vnpa] ὅπλον[nanpc] καί[cc] ὁ[dafp] βασιλικός[anafpn] χρεία[nafpc] ἐπιτελέω[vnpa] ὅμως[b] οὐ[b] κατέχω[viaa3s] ἐπιτελέω[vnaa] ὁ[dans] σχέτλιος[anansn] αὐτός[rpgms] βούλημα[nansc]. **v.6** καί[cc] ὁ[dnms] μέν[x] Νικάνωρ[nnmsp] μετά[pg] πᾶς[aigfsn] ἀλαζονεία[ngfsc] ὑψαυχενέω[vppanms] διαγινώσκω[viya3s] κοινός[anamsn] ὁ[dgmp] περί[pa] ὁ[dams] Ἰούδας[namsp] συνίστημι[vnam] τρόπαιον[nansc]. **v.7** ὁ[dnms] δέ[cc] Μακκαβαῖος[nnmsp] εἰμί[viia3s] ἀδιαλείπτως[b] πείθω[vpxanms] μετά[pg] πᾶς[aigfsn] ἐλπίς[ngfsc] ἀντίλημψις[ngfsc] τυγχάνω[vnam] παρά[pg] ὁ[dgms] κύριος[ngmsc]. **v.8** καί[cc] παρακαλέω[viia3s] ὁ[damp] σύν[pd] αὐτός[rpdms] μή[x] δειλιάω[vnpa] ὁ[dafs] ὁ[dgnp] ἔθνος[ngnpc] ἔφοδος[nafsc] ἔχω[vppaamp] δέ[cc] κατά[pa] νοῦς[namsc] ὁ[danp] προγίνομαι[vpxaanp] αὐτός[rpdmp] ἀπό[pg] οὐρανός[ngmsc] βοήθημα[nanpc] καί[cc] ὁ[danp] νῦν[b] προσδοκάω[vnpa] ὁ[dafs] παρά[pg] ὁ[dgms] παντοκράτωρ[ngmsc] εἰμί[vpfmafs] αὐτός[rpdmp] νίκη[nafsc].

αὐτοὺς κατέστησεν. καὶ τοῖς θυμοῖς διεγείρας αὐτοὺς παρήγ- 10
γειλεν ἅμα παρεπιδεικνὺς τὴν τῶν ἐθνῶν ἀθεσίαν καὶ τὴν τῶν ὅρ-
κων παράβασιν. ἕκαστον δὲ αὐτῶν καθοπλίσας οὐ τὴν ἀσπίδων 11
καὶ λογχῶν ἀσφάλειαν ὡς τὴν ἐν τοῖς ἀγαθοῖς λόγοις παράκλη-
σιν καὶ προσεξηγησάμενος ὄνειρον ἀξιόπιστον ὕπαρ τι πάντας
ηὔφρανεν. ἦν δὲ ἡ τούτου θεωρία τοιάδε Ονιαν τὸν γενόμενον 12
ἀρχιερέα ἄνδρα καλὸν καὶ ἀγαθόν αἰδήμονα μὲν τὴν ἀπάντησιν
πρᾶον δὲ τὸν τρόπον καὶ λαλιὰν προϊέμενον πρεπόντως καὶ ἐκ
παιδὸς ἐκμεμελετηκότα πάντα τὰ τῆς ἀρετῆς οἰκεῖα τοῦτον τὰς
χεῖρας προτείναντα κατεύχεσθαι τῷ παντὶ τῶν Ιουδαίων συστή-
ματι. εἶθ᾽ οὕτως ἐπιφανῆναι ἄνδρα πολιᾷ καὶ δόξῃ διαφέροντα 13
θαυμαστὴν δέ τινα καὶ μεγαλοπρεπεστάτην εἶναι τὴν περὶ αὐτὸν
ὑπεροχήν. ἀποκριθέντα δὲ τὸν Ονιαν εἰπεῖν ὁ φιλάδελφος οὗ- 14
τός ἐστιν ὁ πολλὰ προσευχόμενος περὶ τοῦ λαοῦ καὶ τῆς ἁγίας
πόλεως Ιερεμιας ὁ τοῦ θεοῦ προφήτης. προτείναντα δὲ Ιερεμιαν 15
τὴν δεξιὰν παραδοῦναι τῷ Ιουδα ῥομφαίαν χρυσῆν διδόντα δὲ
προσφωνῆσαι τάδε. λαβὲ τὴν ἁγίαν ῥομφαίαν δῶρον παρὰ τοῦ 16
θεοῦ δι᾽ ἧς θραύσεις τοὺς ὑπεναντίους. παρακληθέντες δὲ τοῖς 17
Ιουδου λόγοις πάνυ καλοῖς καὶ δυναμένοις ἐπ᾽ ἀρετὴν παρορ-
μῆσαι καὶ ψυχὰς νέων ἐπανδρῶσαι διέγνωσαν μὴ στρατεύεσθαι
γενναίως δὲ ἐμφέρεσθαι καὶ μετὰ πάσης εὐανδρίας ἐμπλακέντες
κρῖναι τὰ πράγματα διὰ τὸ καὶ τὴν πόλιν καὶ τὰ ἅγια καὶ τὸ ἱερὸν

---

**v.9** καί[cc] παραμυθέομαι[vppmnms] αὐτός[rpamp] ἐκ[pg] ὁ[dgms] νόμος[ngmsc] καί[cc] ὁ[dgmp] προφήτης[ngmpc] προσυπομιμνῄσκω[vpaanms] δέ[cc] αὐτός[rpamp] καί[cc] ὁ[damp] ἀγών[nampc] ὅς[rramp] εἰμί[viia3p] ἐκτελέω[vpxanmp] πρόθυμος[anampc] αὐτός[rpamp] καθίστημι[viaa3s]. **v.10** καί[cc] ὁ[ddmp] θυμός[ndmpc] διεγείρω[vpaanms] αὐτός[rpamp] παραγγέλλω[viaa3s] ἅμα[b] παρεπιδείκνυμι[vppanms] ὁ[dafs] ὁ[dgnp] ἔθνος[ngnpc] ἀθεσία[nafsc] καί[cc] ὁ[dafs] ὁ[dgmp] ὅρκος[ngmpc] παράβασις[nafsc]. **v.11** ἕκαστος[aiamsn] δέ[cc] αὐτός[rpgmp] καθοπλίζω[vpaanms] οὐ[b] ὁ[dafs] ἀσπίς[ngfpc] καί[cc] λόγχη[ngfpc] ἀσφάλεια[nafsc] ὡς[cs] ὁ[dafs] ἐν[pd] ὁ[ddmp] ἀγαθός[andmpn] λόγος[ndmpc] παράκλησις[nafsc] καί[cc] προσεξηγέομαι[vpamnms] ὄνειρος[namsc] ἀξιόπιστος[anamsn] ὕπαρ[nansc] τι-σριανς πᾶς[aiampn] εὐφραίνω[viaa3s]. **v.12** εἰμί[viia3s] δέ[cc] ὁ[dnfs] οὗτος[rdgns] θεωρία[nnfsc] τοιόσδε[adnfs] Ονιας[namsp] ὁ[dams] γίνομαι[vpamams] ἀρχιερεύς[namsc] ἀνήρ[namsc] καλός[anamsn] καί[cc] ἀγαθός[anamsn] αἰδήμων[anafsn] μέν[x] ὁ[dafs] ἀπάντησις[nafsc] πρᾶος[anamsn] δέ[cc] ὁ[dams] τρόπος[namsc] καί[cc] λαλιά[nafsc] προΐημι[vppmams] πρεπόντως[b] καί[cc] ἐκ[pg] παῖς[ngmsc] ἐκμελετάω[vpxaams] πᾶς[aianpn] ὁ[danp] ὁ[dgfs] ἀρετή[ngfsc] οἰκεῖος[ananpn] οὗτος[rdams] ὁ[dafp] χείρ[nafpc] προτείνω[vpaaams] κατεύχομαι[vnpm] ὁ[ddns] πᾶς[aidnsn] ὁ[dgmp] Ἰουδαῖος[angmpn] σύστημα[ndnsc]. **v.13** εἶτα[b] οὕτως[b] ἐπιφαίνω[vnap] ἀνήρ[namsc] πολιά[ndfsc] καί[cc] δόξα[ndfsc] διαφέρω[vppaams] θαυμαστός[anafsn] δέ[cc] τι-σαιαφς καί[cc] μεγαλοπρεπής[anafss] εἰμί[vnpa] ὁ[dafs] περί[pa] αὐτός[rpams] ὑπεροχή[nafsc]. **v.14** ἀποκρίνομαι[vpapams] δέ[cc] ὁ[dams] Ονιας[namsp] λέγω[vnaa] ὁ[dnms] φιλάδελφος[annmsn] οὗτος[rdnms] εἰμί[vipa3s] ὁ[dnms] πολύς[ananpn] προσεύχομαι[vppmnms] περί[pg] ὁ[dgms] λαός[ngmsc] καί[cc] ὁ[dgfs] ἅγιος[angfsn] πόλις[ngfsc] Ἰερεμίας[nnmsp] ὁ[dnms] ὁ[dgms] θεός[ngmsc] προφήτης[nnmsc]. **v.15** προτείνω[vpaaams] δέ[cc] Ἰερεμίας[namsp] ὁ[dafs] δεξιός[anafsn] παραδίδωμι[vnaa] ὁ[ddms] Ἰούδας[ndmsp] ῥομφαία[nafsc] χρυσοῦς[anafsn] δίδωμι[vppaams] δέ[cc] προσφωνέω[vnaa] ὅδε[rdnnp]. **v.16** λαμβάνω[vdaa2s] ὁ[dafs] ἅγιος[anafsn] ῥομφαία[nafsc] δῶρον[nansc] παρά[pg] ὁ[dgms] θεός[ngmsc] διά[pg] ὅς[rrgfs] θραύω[vifa2s] ὁ[damp] ὑπεναντίος[anampn].

18 κινδυνεύειν. ἦν γὰρ ὁ περὶ γυναικῶν καὶ τέκνων ἔτι δὲ ἀδελφῶν
καὶ συγγενῶν ἐν ἥττονι μέρει κείμενος αὐτοῖς μέγιστος δὲ καὶ
19 πρῶτος ὁ περὶ τοῦ καθηγιασμένου ναοῦ φόβος. ἦν δὲ καὶ τοῖς
ἐν τῇ πόλει κατειλημμένοις οὐ πάρεργος ἀγωνία ταρασσομένοις
20 τῆς ἐν ὑπαίθρῳ προσβολῆς. καὶ πάντων ἤδη προσδοκώντων τὴν
ἐσομένην κρίσιν καὶ ἤδη προσμειξάντων τῶν πολεμίων καὶ τῆς
στρατιᾶς ἐκταγείσης καὶ τῶν θηρίων ἐπὶ μέρος εὔκαιρον ἀποκα-
21 τασταθέντων τῆς τε ἵππου κατὰ κέρας τεταγμένης. συνιδὼν ὁ
Μακκαβαῖος τὴν τῶν πληθῶν παρουσίαν καὶ τῶν ὅπλων τὴν ποι-
κίλην παρασκευὴν τήν τε τῶν θηρίων ἀγριότητα ἀνατείνας τὰς
χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλέσατο τὸν τερατοποιὸν κύριον γι-
νώσκων ὅτι οὐκ ἔστιν δι᾽ ὅπλων καθὼς δὲ ἐὰν αὐτῷ κριθῇ τοῖς
22 ἀξίοις περιποιεῖται τὴν νίκην. ἔλεγεν δὲ ἐπικαλούμενος τόνδε
τὸν τρόπον σύ δέσποτα ἀπέστειλας τὸν ἄγγελόν σου ἐπὶ Εζεκιου
τοῦ βασιλέως τῆς Ιουδαίας καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς Σεν-
23 ναχηριμ εἰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. καὶ νῦν δυνά-
στα τῶν οὐρανῶν ἀπόστειλον ἄγγελον ἀγαθὸν ἔμπροσθεν ἡμῶν
24 εἰς δέος καὶ τρόμον. μεγέθει βραχίονός σου καταπλαγείησαν
οἱ μετὰ βλασφημίας παραγινόμενοι ἐπὶ τὸν ἅγιόν σου λαόν καὶ

---

**v.17** παρακαλέω[vpapnmp] δέ[cc] ὁ[ddmp] Ἰούδας[ngmsp] λόγος[ndmpc] πάνυ[b] καλός[andmpn] καί[cc] δύναμαι[vppmdmp] ἐπί[pa] ἀρετή[nafsc] παρορμάω[vnaa] καί[cc] ψυχή[nafpc] νέος[angmpn] ἐπανδρόω[vnaa] διαγινώσκω[viaa3p] μή[x] στρατεύω[vnpm] γενναίως[b] δέ[cc] ἐμφέρω[vnpm] καί[cc] μετά[pg] πᾶς[aigfsn] εὐανδρία[ngfsc] ἐμπλέκω[vpapnmp] κρίνω[vnaa] ὁ[danp] πρᾶγμα[nanpc] διά[pa] ὁ[dans] καί[cc] ὁ[dafs] πόλις[nafsc] καί[cc] ὁ[danp] ἅγιος[ananpn] καί[cc] ὁ[dans] ἱερόν[nansc] κινδυνεύω[vnpa]. **v.18** εἰμί[viia3s] γάρ[cc] ὁ[dnms] περί[pg] γυνή[ngfpc] καί[cc] τέκνον[ngnpc] ἔτι[b] δέ[cc] ἀδελφός[ngmpc] καί[cc] συγγενής[angmpn] ἐν[pd] ἥσσων[andnsc] μέρος[ndnsc] κεῖμαι[vpppnms] αὐτός[rpdmp] μέγας[annmss] δέ[cc] καί[cc] πρῶτος[aonmsn] ὁ[dnms] περί[pg] ὁ[dgms] καθαγιάζω[vpxpgms] ναός[ngmsc] φόβος[nnmsc]. **v.19** εἰμί[viia3s] δέ[cc] καί[b] ὁ[ddmp] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc] καταλαμβάνω[vpxpdmp] οὐ[b] πάρεργος[annfsn] ἀγωνία[nnfsc] ταράσσω[vppadmp] ὁ[dgfs] ἐν[pd] ὕπαιθρος[andnsn] προσβολή[ngfsc]. **v.20** καί[cc] πᾶς[aigmpn] ἤδη[b] προσδοκάω[vppagmp] ὁ[dafs] εἰμί[vpfmafs] κρίσις[nafsc] καί[cc] ἤδη[b] προσμείγνυμι[vpaagmp] ὁ[dgmp] πολέμιος[angmpn] καί[cc] ὁ[dgfs] στρατιά[ngfsc] ἐκτάσσω[vpapgfs] καί[cc] ὁ[dgnp] θηρίον[ngnpc] ἐπί[pa] μέρος[nansc] εὔκαιρος[anansn] ἀποκαθιστάνω[vpapgmp] ὁ[dgfs] τέ[cc] ἵππος[ngmsc] κατά[pa] κέρας[nansc] τάσσω[vpxpgfs]. **v.21** συνοράω[vpaanms] ὁ[dnms] Μακκαβαῖος[nnmsp] ὁ[dafs] ὁ[dgnp] πλῆθος[ngnpc] παρουσία[nafsc] καί[cc] ὁ[dgnp] ὅπλον[ngnpc] ὁ[dafs] ποικίλος[anafsn] παρασκευή[nafsc] ὁ[dafs] τέ[cc] ὁ[dgnp] θηρίον[ngnpc] ἀγριότης[nafsc] ἀνατείνω[vpaanms] ὁ[dafp] χείρ[nafpc] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] ἐπικαλέω[viam3s] ὁ[dams] τερατοποιός[anamsn] κύριος[namsc] γινώσκω[vppanms] ὅτι[cs] οὐ[b] εἰμί[vipa3s] διά[pg] ὅπλον[ngnpc] καθώς[cs] δέ[cc] ἐάν[cs] αὐτός[rpdms] κρίνω[vsap3s] ὁ[ddmp] ἄξιος[andmpn] περιποιέω[vipm3s] ὁ[dafs] νίκη[nafsc]. **v.22** λέγω[viia3s] δέ[cc] ἐπικαλέω[vppmnms] ὅδε[rdams] ὁ[dams] τρόπος[namsc] σύ[rpvms] δεσπότης[nvmsc] ἀποστέλλω[viaa2s] ὁ[dams] ἄγγελος[namsc] σύ[rpg-s] ἐπί[pg] Ἑζεκίας[ngmsp] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dgfs] Ἰουδαία[ngfsp] καί[cc] ἀναιρέω[viaa3s] ἐκ[pg] ὁ[dgfs] παρεμβολή[ngfsc] Σενναχηρίμ[ngmsp] εἰς[pa] ἑκατόν[ac—n] ὀγδοήκοντα[ac—n] πέντε[ac—n] χιλιάς[nafpc]. **v.23** καί[cc] νῦν[b] δυνάστης[nvmsc] ὁ[dgmp] οὐρανός[ngmpc] ἀποστέλλω[vdaa2s] ἄγγελος[namsc] ἀγαθός[anamsn] ἔμπροσθεν[pg] ἐγώ[rpg-p] εἰς[pa] δέος[nansc] καί[cc] τρόμος[namsc].

οὗτος μὲν ἐν τούτοις ἔληξεν. οἱ δὲ περὶ τὸν Νικάνορα μετὰ σαλ- 25
πίγγων καὶ παιάνων προσῆγον. οἱ δὲ περὶ τὸν Ιουδαν μετὰ ἐ- 26
πικλήσεως καὶ εὐχῶν συνέμειξαν τοῖς πολεμίοις. καὶ ταῖς μὲν 27
χερσὶν ἀγωνιζόμενοι ταῖς δὲ καρδίαις πρὸς τὸν θεὸν εὐχόμενοι
κατέστρωσαν οὐδὲν ἧττον μυριάδων τριῶν καὶ πεντακισχιλίων τῇ
τοῦ θεοῦ μεγάλως εὐφρανθέντες ἐπιφανείᾳ. γενόμενοι δὲ ἀπὸ 28
τῆς χρείας καὶ μετὰ χαρᾶς ἀναλύοντες ἐπέγνωσαν προπεπτωκότα
Νικάνορα σὺν τῇ πανοπλίᾳ. γενομένης δὲ κραυγῆς καὶ ταραχῆς 29
εὐλόγουν τὸν δυνάστην τῇ πατρίῳ φωνῇ. καὶ προσέταξεν ὁ καθ' 30
ἅπαν σώματι καὶ ψυχῇ πρωταγωνιστὴς ὑπὲρ τῶν πολιτῶν ὁ τὴν
τῆς ἡλικίας εὔνοιαν εἰς ὁμοεθνεῖς διαφυλάξας τὴν τοῦ Νικάνο-
ρος κεφαλὴν ἀποτεμόντας καὶ τὴν χεῖρα σὺν τῷ ὤμῳ φέρειν εἰς
Ιεροσόλυμα. παραγενόμενος δὲ ἐκεῖ καὶ συγκαλέσας τοὺς ὁμο- 31
εθνεῖς καὶ τοὺς ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου στήσας μετεπέμψατο
τοὺς ἐκ τῆς ἄκρας. καὶ ἐπιδειξάμενος τὴν τοῦ μιαροῦ Νικάνορος 32
κεφαλὴν καὶ τὴν χεῖρα τοῦ δυσφήμου ἣν ἐκτείνας ἐπὶ τὸν ἅγιον
τοῦ παντοκράτορος οἶκον ἐμεγαλαύχησεν. καὶ τὴν γλῶσσαν τοῦ 33
δυσσεβοῦς Νικάνορος ἐκτεμὼν ἔφη κατὰ μέρος δώσειν τοῖς ὀρνέ-
οις τὰ δ' ἐπίχειρα τῆς ἀνοίας κατέναντι τοῦ ναοῦ κρεμάσαι. οἱ δὲ 34
πάντες εἰς τὸν οὐρανὸν εὐλόγησαν τὸν ἐπιφανῆ κύριον λέγοντες

---

**v.24** μέγεθος[ndnsc] βραχίων[ngmsc] σύ[rpg-s] καταπλήσσω[voap3p] ὁ[dnmp] μετά[pg] βλασφημία[ngfsc] παραγίνομαι[vppmnmp] ἐπί[pa] ὁ[dams] ἅγιος[anamsn] σύ[rpg-s] λαός[namsc] καί[cc] οὗτος[rdnms] μέν[x] ἐν[pd] οὗτος[rddnp] λήγω[viaa3s]. **v.25** ὁ[dnmp] δέ[cc] περί[pa] ὁ[dams] Νικάνωρ[namsp] μετά[pg] σάλπιγξ[ngfpc] καί[cc] παιάν[ngmpc] προσάγω[viia3p]. **v.26** ὁ[dnmp] δέ[cc] περί[pa] ὁ[dams] Ἰούδας[namsp] μετά[pg] ἐπίκλησις[ngfsc] καί[cc] εὐχή[ngfpc] συμμίγνυμι[viaa3p] ὁ[ddmp] πολέμιος[andmpn]. **v.27** καί[cc] ὁ[ddfp] μέν[x] χείρ[ndfpc] ἀγωνίζομαι[vppmnmp] ὁ[ddfp] δέ[cc] καρδία[ndfpc] πρός[pa] ὁ[dams] θεός[namsc] εὔχομαι[vppmnmp] καταστρώννυμι[viaa3p] οὐδείς[rians] ἥσσων[anansc] μυριάς[ngfpc] τρεῖς[acgfpn] καί[cc] πεντακισχίλιοι[acgfpn] ὁ[ddfs] ὁ[dgms] θεός[ngmsc] μεγάλως[b] εὐφραίνω[vpapnmp] ἐπιφάνεια[ndfsc]. **v.28** γίνομαι[vpamnmp] δέ[cc] ἀπό[pg] ὁ[dgfs] χρεία[ngfsc] καί[cc] μετά[pg] χαρά[ngfsc] ἀναλύω[vppanmp] ἐπιγινώσκω[viaa3p] προπίπτω[vpxaams] Νικάνωρ[namsp] σύν[pd] ὁ[ddfs] πανοπλία[ndfsc]. **v.29** γίνομαι[vpamgfs] δέ[cc] κραυγή[ngfsc] καί[cc] ταραχή[ngfsc] εὐλογέω[viia3p] ὁ[dams] δυνάστης[namsc] ὁ[ddfs] πάτριος[andfsn] φωνή[ndfsc]. **v.30** καί[cc] προστάσσω[viaa3s] ὁ[dnms] κατά[pa] ἅπας[anansn] σῶμα[ndnsc] καί[cc] ψυχή[ndfsc] πρωταγωνιστής[nnmsc] ὑπέρ[pg] ὁ[dgmp] πολίτης[ngmpc] ὁ[dnms] ὁ[dafs] ὁ[dgfs] ἡλικία[ngfsc] εὔνοια[nafsc] εἰς[pa] ὁμοεθνής[anampn] διαφυλάσσω[vpaanms] ὁ[dafs] ὁ[dgms] Νικάνωρ[ngmsp] κεφαλή[nafsc] ἀποτέμνω[vpaaamp] καί[cc] ὁ[dafs] χείρ[nafsc] σύν[pd] ὁ[ddms] ὦμος[ndmsc] φέρω[vnpa] εἰς[pa] Ἱεροσόλυμα[nanpp]. **v.31** παραγίνομαι[vpamnms] δέ[cc] ἐκεῖ[b] καί[cc] συγκαλέω[vpaanms] ὁ[damp] ὁμοεθνής[anampn] καί[cc] ὁ[damp] ἱερεύς[nampc] πρό[pg] ὁ[dgns] θυσιαστήριον[ngnsc] ἵστημι[vpaanms] μεταπέμπομαι[viam3s] ὁ[damp] ἐκ[pg] ὁ[dgfs] ἄκρα[ngfsc]. **v.32** καί[cc] ἐπιδείκνυμι[vpamnms] ὁ[dafs] ὁ[dgms] μιαρός[angmsn] Νικάνωρ[ngmsp] κεφαλή[nafsc] καί[cc] ὁ[dafs] χείρ[nafsc] ὁ[dgms] δύσφημος[angmsn] ὅς[rrafs] κτείνω[viaa2s] ἐπί[pa] ὁ[dams] ἅγιος[anamsn] ὁ[dgms] παντοκράτωρ[ngmsc] οἶκος[namsc] μεγαλαυχέω[viaa3s]. **v.33** καί[cc] ὁ[dafs] γλῶσσα[nafsc] ὁ[dgms] δυσσεβής[angmsn] Νικάνωρ[ngmsp] ἐκτέμνω[vpaanms] φημί[viaa3'sviia3s] κατά[pa] μέρος[nansc] δίδωμι[vnfa] ὁ[ddnp] ὄρνεον[ndnpc] ὁ[danp] δέ[cc] ἐπίχειρον[nanpc] ὁ[dgfs] ἄνοια[ngfsc] κατέναντι[pg] ὁ[dgms] ναός[ngmsc] κρεμάννυμι[vnaa].

35 εὐλογητὸς ὁ διατηρήσας τὸν ἑαυτοῦ τόπον ἀμίαντον. ἐξέδησεν
δὲ τὴν τοῦ Νικάνορος προτομὴν ἐκ τῆς ἄκρας ἐπίδηλον πᾶσιν
36 καὶ φανερὸν τῆς τοῦ κυρίου βοηθείας σημεῖον. ἐδογμάτισαν δὲ
πάντες μετὰ κοινοῦ ψηφίσματος μηδαμῶς ἐᾶσαι ἀπαρασήμαντον
τήνδε τὴν ἡμέραν ἔχειν δὲ ἐπίσημον τὴν τρισκαιδεκάτην τοῦ δω-
δεκάτου μηνὸς Αδαρ λέγεται τῇ Συριακῇ φωνῇ πρὸ μιᾶς ἡμέρας
37 τῆς Μαρδοχαϊκῆς ἡμέρας. τῶν οὖν κατὰ Νικάνορα χωρησάντων
οὕτως καὶ ἀπ᾽ ἐκείνων τῶν καιρῶν κρατηθείσης τῆς πόλεως ὑπὸ
38 τῶν Εβραίων καὶ αὐτὸς αὐτόθι τὸν λόγον καταπαύσω. καὶ εἰ μὲν
καλῶς εὐθίκτως τῇ συντάξει τοῦτο καὶ αὐτὸς ἤθελον εἰ δὲ εὐτε-
39 λῶς καὶ μετρίως τοῦτο ἐφικτὸν ἦν μοι. καθάπερ γὰρ οἶνον κατὰ
μόνας πίνειν ὡσαύτως δὲ καὶ ὕδωρ πάλιν πολέμιον ὃν δὲ τρόπον
οἶνος ὕδατι συγκερασθεὶς ἡδὺς καὶ ἐπιτερπῆ τὴν χάριν ἀποτελεῖ
οὕτως καὶ τὸ τῆς κατασκευῆς τοῦ λόγου τέρπει τὰς ἀκοὰς τῶν
ἐντυγχανόντων τῇ συντάξει ἐνταῦθα δὲ ἔσται ἡ τελευτή.

---

**v.34** ὁ[dnmp] δέ[cc] πᾶς[ainmpn] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] εὐλογέω[vpaaans] ὁ[dams] ἐπιφανής[anamsn] κύριος[namsc] λέγω[vppanmp] εὐλογητός[annmsn] ὁ[dnms] διατηρέω[vpaanms] ὁ[dams] ἑαυτοῦ[rxgms] τόπος[namsc] ἀμίαντος[anamsn]. **v.35** ἐκδέω[viaa3s] δέ[cc] ὁ[dafs] ὁ[dgms] Νικάνωρ[ngmsp] προτομή[nafsc] ἐκ[pg] ὁ[dgfs] ἄκρα[ngfsc] ἐπίδηλος[anansn] πᾶς[aidmpn] καί[cc] φανερός[anansn] ὁ[dgfs] ὁ[dgms] κύριος[ngmsc] βοήθεια[ngfsc] σημεῖον[nansc]. **v.36** δογματίζω[viaa3p] δέ[cc] πᾶς[ainmpn] μετά[pg] κοινός[angnsn] ψήφισμα[ngnsc] μηδαμῶς[b] ἐάω[vnaa] ἀπαρασήμαντος[anafsn] ὅδε[rdafs] ὁ[dafs] ἡμέρα[nafsc] ἔχω[vnpa] δέ[cc] ἐπίσημος[anafsn] ὁ[dafs] τρισκαιδέκατος[aoafsn] ὁ[dgms] δωδέκατος[aogmsn] μήν[ngmsc] Αδαρ[ngmsp] λέγω[vipp3s] ὁ[ddfs] Συριακή[ndfsp] φωνή[ndfsc] πρό[pg] εἷς[acgfsn] ἡμέρα[ngfsc] ὁ[dgfs] Μαρδοχαϊκός[angfsn] ἡμέρα[ngfsc]. **v.37** ὁ[dgnp] οὖν[cc] κατά[pa] Νικάνωρ[namsp] χωρέω[vpaagnp] οὕτως[b] καί[cc] ἀπό[pg] ἐκεῖνος[rdgmp] ὁ[dgmp] καιρός[ngmpc] κρατέω[vpapgfs] ὁ[dgfs] πόλις[ngfsc] ὑπό[pg] ὁ[dgmp] ᾿Εβραῖος[angmpn] καί[cc] αὐτός[rpnms] αὐτόθι[b] ὁ[dams] λόγος[namsc] καταπαύω[vifa1s]. **v.38** καί[cc] εἰ[cs] μέν[x] καλῶς[b] εὐθίκτως[b] ὁ[ddfs] σύνταξις[ndfsc] οὗτος[rdnns] καί[b] αὐτός[rtnms] θέλω[viia1s] εἰ[cs] δέ[cc] εὐτελῶς[b] καί[cc] μετρίως[b] οὗτος[rdnns] ἐφικτός[annnsn] εἰμί[viia3s] ἐγώ[rpd-s]. **v.39** καθάπερ[cs] γάρ[cc] οἶνος[namsc] κατά[pa] μόνος[anafpn] πίνω[vnpa] ὡσαύτως[b] δέ[cc] καί[b] ὕδωρ[nansc] πάλιν[b] πολέμιος[anansn] ὅς[rrams] δέ[cc] τρόπος[namsc] οἶνος[nnmsc] ὕδωρ[ndnsc] συγκεράννυμι[vpapnms] ἡδύς[annmsn] καί[cc] ἐπιτερπής[anafsn] ὁ[dafs] χάρις[nafsc] ἀποτελέω[vipa3s] οὕτως[b] καί[b] ὁ[dnns] ὁ[dgfs] κατασκευή[ngfsc] ὁ[dgms] λόγος[ngmsc] τέρπω[vipa3s] ὁ[dafp] ἀκοή[nafpc] ὁ[dgmp] ἐντυγχάνω[vppagmp] ὁ[ddfs] σύνταξις[ndfsc] ἐνταῦθα[b] δέ[cc] εἰμί[vifm3s] ὁ[dnfs] τελευτή[nnfsc].

# ΜΑΚΚΑΒΑΙΩΝ Γ

ὁ δὲ Φιλοπάτωρ παρὰ τῶν ἀνακομισθέντων μαθὼν τὴν γενο- 1
μένην τῶν ὑπ᾽ αὐτοῦ κρατουμένων τόπων ἀφαίρεσιν ὑπὸ Ἀντιό-
χου παραγγείλας ταῖς πάσαις δυνάμεσιν πεζικαῖς τε καὶ ἱππι-
καῖς καὶ τὴν ἀδελφὴν Ἀρσινόην συμπαραλαβὼν ἐξώρμησεν μέχρι
τῶν κατὰ Ῥαφίαν τόπων ὅπου παρεμβεβλήκεισαν οἱ περὶ Ἀντί-
οχον. Θεόδοτος δέ τις ἐκπληρῶσαι τὴν ἐπιβουλὴν διανοηθεὶς 2
παραλαβὼν τῶν προϋποτεταγμένων αὐτῷ ὅπλων Πτολεμαϊκῶν τὰ
κράτιστα διεκομίσθη νύκτωρ ἐπὶ τὴν τοῦ Πτολεμαίου σκηνὴν ὡς
μόνος κτεῖναι αὐτὸν καὶ ἐν τούτῳ διαλῦσαι τὸν πόλεμον. τοῦτον 3
δὲ διαγαγὼν Δοσίθεος ὁ Δριμύλου λεγόμενος τὸ γένος Ιουδαῖος
ὕστερον δὲ μεταβαλὼν τὰ νόμιμα καὶ τῶν πατρίων δογμάτων ἀ-
πηλλοτριωμένος ἄσημόν τινα κατέκλινεν ἐν τῇ σκηνῇ ὃν συνέβη
κομίσασθαι τὴν ἐκείνου κόλασιν. γενομένης δὲ καρτερᾶς μάχης 4
καὶ τῶν πραγμάτων μᾶλλον ἐρρωμένων τῷ Ἀντιόχῳ ἱκανῶς ἡ Ἀρ-
σινόη ἐπιπορευσαμένη τὰς δυνάμεις παρεκάλει μετὰ οἴκτου καὶ
δακρύων τοὺς πλοκάμους λελυμένη βοηθεῖν ἑαυτοῖς τε καὶ τοῖς
τέκνοις καὶ γυναιξὶν θαρραλέως ἐπαγγελλομένη δώσειν νικήσα-
σιν ἑκάστῳ δύο μνᾶς χρυσίου. καὶ οὕτως συνέβη τοὺς ἀντιπά- 5
λους ἐν χειρονομίαις διαφθαρῆναι πολλοὺς δὲ καὶ δοριαλώτους

---

**1.** **v.1** ὁ[dnms] δέ[cc] Φιλοπάτωρ[nnmsp] παρά[pg] ὁ[dgmp] ἀνακομίζω[vpapgmp] μανθάνω[vpaanms] ὁ[dafs] γίνομαι[vpamafs] ὁ[dgmp] ὑπό[pg] αὐτός[rpgms] κρατέω[vpppgmp] τόπος[ngmpc] ἀφαίρεσις[nafsc] ὑπό[pg] Ἀντίοχος[ngmsp] παραγγέλλω[vpaanms] ὁ[ddfp] πᾶς[aidfpn] δύναμις[ndfpc] πεζικός[andfpn] τέ[cc] καί[cc] ἱππικός[andfpn] καί[cc] ὁ[dafs] ἀδελφή[nafsc] Ἀρσινόη[nafsp] συμπαραλαμβάνω[vpaanms] ἐξορμάω[viaa3s] μέχρι[pg] ὁ[dgmp] κατά[pa] Ῥαφία[nafsp] τόπος[ngmpc] ὅπου[cs] παρεμβάλλω[viya3p] ὁ[dnmp] περί[pa] Ἀντίοχος[namsp]. **v.2** Θεόδοτος[nnmsp] δέ[cc] τι-σαινμς ἐκπληρόω[vnaa] ὁ[dafs] ἐπιβουλή[nafsc] διανοέομαι[vpapnms] παραλαμβάνω[vpaanms] ὁ[dgnp] προϋποτάσσω[vpxpgnp] αὐτός[rpdms] ὅπλον[ngnpc] Πτολεμαϊκός[angnpn] ὁ[danp] ἀγαθός[ananps] διακομίζω[viap3s] νύκτωρ[b] ἐπί[pa] ὁ[dafs] ὁ[dgms] Πτολεμαῖος[ngmsp] σκηνή[nafsc] ὡς[cs] μόνος[annmsn] κτείνω[vnaa] αὐτός[rpams] καί[cc] ἐν[pd] οὗτος[rddns] διαλύω[vnaa] ὁ[dams] πόλεμος[namsc]. **v.3** οὗτος[rdams] δέ[cc] διάγω[vpaanms] Δοσίθεος[nnmsp] ὁ[dnms] Δρίμυλος[ngmsp] λέγω[vpppnms] ὁ[dans] γένος[nansc] Ἰουδαῖος[annmsn] ὕστερος[b] δέ[cc] μεταβάλλω[vpaanms] ὁ[danp] νόμιμος[ananpn] καί[cc] ὁ[dgnp] πάτριος[angnpn] δόγμα[ngnpc] ἀπαλλοτριόω[vpxmnms] ἄσημος[anamsn] τι-σριαμς κατακλίνω[viia3s] ἐν[pd] ὁ[ddfs] σκηνή[ndfsc] ὅς[rrams] συμβαίνω[viaa3s] κομίζω[vnam] ὁ[dafs] ἐκεῖνος[rdgms] κόλασις[nafsc]. **v.4** γίνομαι[vpamgfs] δέ[cc] καρτερός[angfsn] μάχη[ngfsc] καί[cc] ὁ[dgnp] πρᾶγμα[ngnpc] μᾶλλον[b] ῥώννυμι[vpxmgnp] ὁ[ddms] Ἀντίοχος[ndmsp] ἱκανῶς[b] ὁ[dnfs] Ἀρσινόη[nnfsp] ἐπιπορεύομαι[vpamnfs] ὁ[dafp] δύναμις[nafpc] παρακαλέω[viia3s] μετά[pg] οἶκτος[ngmsc] καί[cc] δάκρυ[ngnpc] ὁ[damp] πλόκαμος[nampc] λύω[vpxmnfs] βοηθέω[vnpa] ἑαυτοῦ[rxdmp] τέ[cc] καί[cc] ὁ[ddnp] τέκνον[ndnpc] καί[cc] γυνή[ndfpc] θαρραλέως[b] ἐπαγγέλλομαι[vppmnfs] δίδωμι[vnfa] νικάω[vpaadmp] ἕκαστος[aidmsn] δύο[ac—n] μνᾶ[nafpc] χρυσίον[ngnsc].

6 συλλημφθῆναι. κατακρατήσας δὲ τῆς ἐπιβουλῆς ἔκρινεν τὰς
7 πλησίον πόλεις ἐπελθὼν παρακαλέσαι. ποιήσας δὲ τοῦτο καὶ
τοῖς τεμένεσι δωρεὰς ἀπονείμας εὐθαρσεῖς τοὺς ὑποτεταγμένους
8 κατέστησεν. τῶν δὲ Ιουδαίων διαπεμψαμένων πρὸς αὐτὸν ἀπὸ
τῆς γερουσίας καὶ τῶν πρεσβυτέρων τοὺς ἀσπασομένους αὐτὸν
καὶ ξένια κομιοῦντας καὶ ἐπὶ τοῖς συμβεβηκόσιν χαρισομένους
συνέβη μᾶλλον αὐτὸν προθυμηθῆναι ὡς τάχιστα πρὸς αὐτοὺς
9 παραγενέσθαι. διακομισθεὶς δὲ εἰς Ιεροσόλυμα καὶ θύσας τῷ
μεγίστῳ θεῷ καὶ χάριτας ἀποδοὺς καὶ τῶν ἑξῆς τι τῷ τόπῳ ποι-
ήσας καὶ δὴ παραγενόμενος εἰς τὸν τόπον καὶ τῇ σπουδαιότητι
10 καὶ εὐπρεπείᾳ καταπλαγείς. θαυμάσας δὲ καὶ τὴν τοῦ ἱεροῦ
11 εὐταξίαν ἐνεθυμήθη βουλεύσασθαι εἰς τὸν ναὸν εἰσελθεῖν. τῶν
δὲ εἰπόντων μὴ καθήκειν γίνεσθαι τοῦτο διὰ τὸ μηδὲ τοῖς ἐκ τοῦ
ἔθνους ἐξεῖναι εἰσιέναι μηδὲ πᾶσιν τοῖς ἱερεῦσιν ἀλλ᾽ ἢ μόνῳ τῷ
προηγουμένῳ πάντων ἀρχιερεῖ καὶ τούτῳ κατ᾽ ἐνιαυτὸν ἅπαξ ὁ
12 δὲ οὐδαμῶς ἐπείθετο. τοῦ τε νόμου παραναγνωσθέντος οὐδ᾽ ὧς
ἀπέλιπεν προφερόμενος ἑαυτὸν δεῖν εἰσελθεῖν λέγων καὶ εἰ ἐκεῖ-
13 νοι ἐστέρηνται ταύτης τῆς τιμῆς ἐμὲ δὲ οὐ δεῖ. καὶ ἐπυνθάνετο
διὰ τίνα αἰτίαν εἰσερχόμενον αὐτὸν εἰς πᾶν τέμενος οὐθεὶς ἐκώ-
14 λυσεν τῶν παρόντων. καί τις ἀπρονοήτως ἔφη κακῶς αὐτὸ τοῦτο
15 τερατεύεσθαι. γενομένου δέ φησιν τούτου διά τινα αἰτίαν οὐχὶ

---

**v.5** καί[cc] οὕτως[b] συμβαίνω[viaa3s] ὁ[damp] ἀντίπαλος[anampn] ἐν[pd] χειρονομία[ndfpc] διαφθείρω[vnap] πολύς[anampn] δέ[cc] καί[b] δοριάλωτος[anampn] συλλαμβάνω[vnap]. **v.6** κατακρατέω[vpaanms] δέ[cc] ὁ[dgfs] ἐπιβουλή[ngfsc] κρίνω[viaa3s] ὁ[dafp] πλησίον[b] πόλις[nafpc] ἐπέρχομαι[vpaanms] παρακαλέω[vnaa]. **v.7** ποιέω[vpaanms] δέ[cc] οὗτος[rdans] καί[cc] ὁ[ddnp] τέμενος[ndnpc] δωρεά[nafpc] ἀπονέμω[vpaanms] εὐθαρσής[anampn] ὁ[damp] ὑποτάσσω[vpxpamp] καθίστημι[viaa3s]. **v.8** ὁ[dgmp] δέ[cc] Ἰουδαῖος[angmpn] διαπέμπω[vpamgmp] πρός[pa] αὐτός[rpams] ἀπό[pg] ὁ[dgfs] γερουσία[ngfsc] καί[cc] ὁ[dgmp] πρεσβύτερος[angmpc] ὁ[damp] ἀσπάζομαι[vpfmamp] αὐτός[rpams] καί[cc] ξένιος[ananpn] κομίζω[vpfaamp] καί[cc] ἐπί[pd] ὁ[ddnp] συμβαίνω[vpxadnp] χαρίζομαι[vpfmamp] συμβαίνω[viaa3s] μᾶλλον[b] αὐτός[rpams] προθυμέομαι[vnap] ὡς[cs] ταχύς[ananss] πρός[pa] αὐτός[rpamp] παραγίνομαι[vnam]. **v.9** διακομίζω[vpapnms] δέ[cc] εἰς[pa] Ἱεροσόλυμα[nafsp] καί[cc] θύω[vpaanms] ὁ[ddms] μέγας[andmss] θεός[ndmsc] καί[cc] χάρις[nafpc] ἀποδίδωμι[vpaanms] καί[cc] ὁ[dgnp] ἑξῆς[b] τι-σριανς ὁ[ddms] τόπος[ndmsc] ποιέω[vpaanms] καί[cc] δή[x] παραγίνομαι[vpamnms] εἰς[pa] ὁ[dams] τόπος[namsc] καί[cc] ὁ[ddfs] σπουδαιότης[ndfsc] καί[cc] εὐπρέπεια[ndfsc] καταπλήσσω[vpapnms]. **v.10** θαυμάζω[vpaanms] δέ[cc] καί[b] ὁ[dafs] ὁ[dgns] ἱερόν[ngnsc] εὐταξία[nafsc] ἐνθυμέομαι[viap3s] βουλεύω[vnam] εἰς[pa] ὁ[dams] ναός[namsc] εἰσέρχομαι[vnaa]. **v.11** ὁ[dgmp] δέ[cc] λέγω[vpaagmp] μή[x] καθήκω[vnpa] γίνομαι[vnpm] οὗτος[rdans] διά[pa] ὁ[dans] μηδέ[x] ὁ[ddmp] ἐκ[pg] ὁ[dgns] ἔθνος[ngnsc] ἔξειμι[vnpa] εἴσειμι-2[vnpa] μηδέ[x] πᾶς[aidmpn] ὁ[ddmp] ἱερεύς[ndmpc] ἀλλά[cc] ἤ[cc] μόνος[andmsn] ὁ[ddms] προηγέομαι[vppmdms] πᾶς[aigmpn] ἀρχιερεύς[ndmsc] καί[cc] οὗτος[rddms] κατά[pa] ἐνιαυτός[namsc] ἅπαξ[b] ὁ[dnms] δέ[cc] οὐδαμῶς[b] πείθω[viip3s]. **v.12** ὁ[dgms] τέ[cc] νόμος[ngmsc] παραναγινώσκω[vpapgms] οὐδέ[b] ὥς[b] ἀπολείπω[viaa3s] προφέρω[vppmnms] ἑαυτοῦ[rxams] δεῖ[vnpa] εἰσέρχομαι[vnaa] λέγω[vppanms] καί[b] εἰ[cs] ἐκεῖνος[rdnmp] στερέω[vixp3p] οὗτος[rdgfs] ὁ[dgfs] τιμή[ngfsc] ἐγώ[rpa-s] δέ[cc] οὐ[b] δεῖ[vipa3s]. **v.13** καί[cc] πυνθάνομαι[viim3s] διά[pa] τίς[aqafsn] αἰτία[nafsc] εἰσέρχομαι[vppmams] αὐτός[rpams] εἰς[pa] πᾶς[aiansn] τέμενος[nansc] οὐθείς[rinms] κωλύω[viaa3s] ὁ[dgmp] πάρειμι[vppagmp]. **v.14** καί[cc] τι-σρινμς ἀπρονοήτως[b] φημί[viaa3'sviia3s] κακῶς[b] αὐτός[rpans] οὗτος[rdans] τερατεύομαι[vnpm].

πάντως εἰσελεύσεσθαι καὶ θελόντων αὐτῶν καὶ μή. τῶν δὲ ἱε- 16
ρέων ἐν πάσαις ταῖς ἐσθήσεσιν προσπεσόντων καὶ δεομένων τοῦ
μεγίστου θεοῦ βοηθεῖν τοῖς ἐνεστῶσιν καὶ τὴν ὁρμὴν τοῦ κακῶς
ἐπιβαλλομένου μεταθεῖναι κραυγῆς τε μετὰ δακρύων τὸ ἱερὸν
ἐμπλησάντων. οἱ κατὰ τὴν πόλιν ἀπολειπόμενοι ταραχθέντες ἐ- 17
ξεπήδησαν ἄδηλον τιθέμενοι τὸ γινόμενον. αἵ τε κατάκλειστοι 18
παρθένοι ἐν θαλάμοις σὺν ταῖς τεκούσαις ἐξώρμησαν καὶ ἀπέ-
δωκαν κόνει τὰς κόμας πασάμεναι γόου τε καὶ στεναγμῶν ἐνε-
πίμπλων τὰς πλατείας. αἱ δὲ καὶ προσαρτίως ἐσταλμέναι τοὺς 19
πρὸς ἀπάντησιν διατεταγμένους παστοὺς καὶ τὴν ἁρμόζουσαν αἰ-
δῶ παραλείπουσαι δρόμον ἄτακτον ἐν τῇ πόλει συνίσταντο. τὰ δὲ 20
νεογνὰ τῶν τέκνων αἱ πρὸς τούτοις μητέρες καὶ τιθηνοὶ παραλεί-
πουσαι ἄλλως καὶ ἄλλως αἱ μὲν κατ᾽ οἴκους αἱ δὲ κατὰ τὰς ἀγυιάς
ἀνεπιστρέπτως εἰς τὸ πανυπέρτατον ἱερὸν ἠθροίζοντο. ποικίλη 21
δὲ ἦν τῶν εἰς τοῦτο συλλεγέντων ἡ δέησις ἐπὶ τοῖς ἀνοσίως ὑπ᾽
ἐκείνου κατεγχειρουμένοις. σύν τε τούτοις οἱ περὶ τῶν πολιτῶν 22
θρασυνθέντες οὐκ ἠνείχοντο τέλεον αὐτοῦ ἐπικειμένου καὶ τὸ τῆς
προθέσεως ἐκπληροῦν διανοουμένου. φωνήσαντες δὲ τὴν ὁρμὴν 23
ἐπὶ τὰ ὅπλα ποιήσασθαι καὶ θαρραλέως ὑπὲρ τοῦ πατρῴου νόμου
τελευτᾶν ἱκανὴν ἐποίησαν ἐν τῷ τόπῳ τραχύτητα μόλις δὲ ὑπό τε
τῶν γεραιῶν καὶ τῶν πρεσβυτέρων ἀποτραπέντες ἐπὶ τὴν αὐτὴν

---

**v.15** γίνομαι[vpamgns] δέ[cc] φημί[vipa3s] οὗτος[rdgns] διά[pa] τι-σαιαφσν αἰτία[nafsc] οὐχί[b] πάντως[b] εἰσέρχομαι[vnfm] καί[cc] θέλω[vppagmp] αὐτός[rpgmp] καί[cc] μή[x]. **v.16** ὁ[dgmp] δέ[cc] ἱερεύς[ngmpc] ἐν[pd] πᾶς[aidfpn] ὁ[ddfp] ἔσθησις[ndfpc] προσπίπτω[vpaagmp] καί[cc] δέομαι[vppmgmp] ὁ[dgms] μέγας[angmss] θεός[ngmsc] βοηθέω[vnpa] ὁ[ddmp] ἐνίστημι[vpxadmp] καί[cc] ὁ[dafs] ὁρμή[nafsc] ὁ[dgns] κακῶς[b] ἐπιβάλλω[vpppgns] μετατίθημι[vnaa] κραυγή[ngfsc] τέ[cc] μετά[pg] δάκρυ[ngnpc] ὁ[dans] ἱερόν[nansc] ἐμπίπλημι[vpaagmp]. **v.17** ὁ[dnmp] κατά[pa] ὁ[dafs] πόλις[nafsc] ἀπολείπω[vpppnmp] ταράσσω[vpapnmp] ἐκπηδάω[viaa3p] ἄδηλος[anansn] τίθημι[vppmnmp] ὁ[dans] γίνομαι[vppmans]. **v.18** ὁ[dnfp] τέ[cc] κατάκλειστος[annfpn] παρθένος[nnfpc] ἐν[pd] θάλαμος[ndmpc] σύν[pd] ὁ[ddfp] τίκτω[vpaadfp] ἐξορμάω[viaa3p] καί[cc] ἀποδίδωμι[viaa3p] κόνις[ndfsc] ὁ[dafp] κόμη[nafpc] πάσσω[vpamnfp] γόος[ngmsc] τέ[cc] καί[cc] στεναγμός[ngmpc] ἐμπίπλημι[viia3p] ὁ[dafp] πλατύς[anafpn]. **v.19** ὁ[dnfp] δέ[cc] καί[cc] προσαρτίως[b] στέλλω[vpxpnfp] ὁ[damp] πρός[pa] ἀπάντησις[nafsc] διατάσσω[vpxpamp] παστός[nampc] καί[cc] ὁ[dafs] ἁρμόζω[vppaafs] αἰδώς[nafsc] παραλείπω[vppanfp] δρόμος[namsc] ἄτακτος[anamsn] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc] συνίστημι[viim3p]. **v.20** ὁ[danp] δέ[cc] νεογνός[ananpn] ὁ[dgnp] τέκνον[ngnpc] ὁ[dnfp] πρός[pd] οὗτος[rddnp] μήτηρ[nnfpc] καί[cc] τιθηνός[annfpn] παραλείπω[vppanfp] ἄλλως[b] καί[cc] ἄλλως[b] ὁ[dnfp] μέν[x] κατά[pa] οἶκος[nampc] ὁ[dnfp] δέ[cc] κατά[pa] ὁ[dafp] ἀγυιά[nafpc] ἀνεπιστρέπτως[b] εἰς[pa] ὁ[dans] πανυπέρτατος[ananss] ἱερόν[nansc] ἀθροίζω[viim3p]. **v.21** ποικίλος[annfsn] δέ[cc] εἰμί[viia3s] ὁ[dgmp] εἰς[pa] οὗτος[rdans] συλλέγω[vpapgmp] ὁ[dnfs] δέησις[nnfsc] ἐπί[pd] ὁ[ddnp] ἀνοσίως[b] ὑπό[pg] ἐκεῖνος[rdgms] κατεγχειρέω[vppmdnp]. **v.22** σύν[pd] τέ[cc] οὗτος[rddnp] ὁ[dnmp] περί[pg] ὁ[dgmp] πολίτης[ngmpc] θρασύνω[vpapnmp] οὐ[b] ἀνέχω[viim3p] τέλεος[anansn] αὐτός[rpgms] ἐπίκειμαι[vpppgms] καί[cc] ὁ[dans] ὁ[dgfs] πρόθεσις[ngfsc] ἐκπληρόω[vnpa] διανοέομαι[vppmgms].

24 τῆς δεήσεως παρῆσαν στάσιν. καὶ τὸ μὲν πλῆθος ὡς ἔμπρο-
25 σθεν ἐν τούτοις ἀνεστρέφετο δεόμενον. οἱ δὲ περὶ τὸν βασιλέα
πρεσβύτεροι πολλαχῶς ἐπειρῶντο τὸν ἀγέρωχον αὐτοῦ νοῦν ἐξι-
26 στάνειν τῆς ἐντεθυμημένης ἐπιβουλῆς. θρασυνθεὶς δὲ καὶ πάντα
παραπέμψας ἤδη καὶ πρόσβασιν ἐποιεῖτο τέλος ἐπιθήσειν δοκῶν
27 τῷ προειρημένῳ. ταῦτα οὖν καὶ οἱ περὶ αὐτὸν ὄντες θεωροῦντες
ἐτράπησαν εἰς τὸ σὺν τοῖς ἡμετέροις ἐπικαλεῖσθαι τὸν πᾶν κρά-
τος ἔχοντα τοῖς παροῦσιν ἐπαμῦναι μὴ παριδόντα τὴν ἄνομον καὶ
28 ὑπερήφανον πρᾶξιν. ἐκ δὲ τῆς πυκνοτάτης τε καὶ ἐμπόνου τῶν
29 ὄχλων συναγομένης κραυγῆς ἀνείκαστός τις ἦν βοή. δοκεῖν γὰρ
ἦν μὴ μόνον τοὺς ἀνθρώπους ἀλλὰ καὶ τὰ τείχη καὶ τὸ πᾶν ἔδα-
φος ἠχεῖν ἅτε δὴ τῶν πάντων τότε θάνατον ἀλλασσομένων ἀντὶ τῆς
τοῦ τόπου βεβηλώσεως.

**2** ὁ μὲν οὖν ἀρχιερεὺς Σιμων ἐξ ἐναντίας τοῦ ναοῦ κάμψας τὰ
γόνατα καὶ τὰς χεῖρας προτείνας εὐτάκτως ἐποιήσατο τὴν δέησιν
2 τοιαύτην. κύριε κύριε βασιλεῦ τῶν οὐρανῶν καὶ δέσποτα πά-
σης κτίσεως ἅγιε ἐν ἁγίοις μόναρχε παντοκράτωρ πρόσχες ἡμῖν
καταπονουμένοις ὑπὸ ἀνοσίου καὶ βεβήλου θράσει καὶ σθένει πε-
3 φρυαγμένου. σὺ γὰρ ὁ κτίσας τὰ πάντα καὶ τῶν ὅλων ἐπικρατῶν
δυνάστης δίκαιος εἶ καὶ τοὺς ὕβρει καὶ ἀγερωχίᾳ τι πράσσοντας

---

**v.7** ταράσσω[viap3p] ἔθνος[nnnpc] κλίνω[viaa3p] βασιλεία[nnfpc] δίδωμι[viaa3s] φωνή[nafsc] αὐτός[rpgms] σαλεύω[viap3s] ὁ[dnfs] γῆ[nnfsc]. **v.8** κύριος[nnmsc] ὁ[dgfp] δύναμις[ngfpc] μετά[pg] ἐγώ[rpg-p] ἀντιλήμπτωρ[nnmsc] ἐγώ[rpg-p] ὁ[dnms] θεός[nnmsc] Ἰακώβ[ngmsp] διάψαλμα[nnnsc]. **v.9** δεῦτε[b] ὁράω[vdaa2p] ὁ[danp] ἔργον[nanpc] κύριος[ngmsc] ὅς[rranp] τίθημι[viam3s] τέρας[nanpc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.10** ἀνταναιρέω[vppanms] πόλεμος[nampc] μέχρι[pg] ὁ[dgnp] πέρας[ngnpc] ὁ[dgfs] γῆ[ngfsc] τόξον[nansc] συντρίβω[vifa3s] καί[cc] συγκλάω[vifa3s] ὅπλον[nansc] καί[cc] θυρεός[nampc] κατακαίω[vifa3s] ἐν[pd] πῦρ[ndnsc]. **v.11** σχολάζω[vdaa2p] καί[cc] γινώσκω[vdaa2p] ὅτι[cs] ἐγώ[rpn-s] εἰμί[vipa1s] ὁ[dnms] θεός[nnmsc] ὑψόω[vifp1s] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ὑψόω[vifp1s] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc]. **v.12** κύριος[nnmsc] ὁ[dgfp] δύναμις[ngfpc] μετά[pg] ἐγώ[rpg-p] ἀντιλήμπτωρ[nnmsc] ἐγώ[rpg-p] ὁ[dnms] θεός[nnmsc] Ἰακώβ[ngmsp]. **46. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] ὑπέρ[pg] ὁ[dgmp] υἱός[ngmpc] Κόρε[ngmsp] ψαλμός[nnmsc]. **v.2** πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] κροτέω[vdaa2p] χείρ[nafpc] ἀλαλάζω[vdaa2p] ὁ[ddms] θεός[ndmsc] ἐν[pd] φωνή[ndfsc] ἀγαλλίασις[ngfsc]. **v.3** ὅτι[cs] κύριος[nnmsc] ὕψιστος[annmsn] φοβερός[annmsn] βασιλεύς[nnmsc] μέγας[annmsn] ἐπί[pa] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc]. **v.4** ὑποτάσσω[viaa3s] λαός[nampc] ἐγώ[rpd-p] καί[cc] ἔθνος[nanpc] ὑπό[pa] ὁ[damp] πούς[nampc] ἐγώ[rpg-p]. **v.5** ἐκλέγω[viam3s] ἐγώ[rpd-p] ὁ[dafs] κληρονομία[nafsc] αὐτός[rpgms] ὁ[dafs] καλλονή[nafsc] Ἰακώβ[ngmsp] ὅς[rrafs] ἀγαπάω[viaa3s] διάψαλμα[nnnsc]. **v.6** ἀναβαίνω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἐν[pd] ἀλαλαγμός[ndmsc] κύριος[nnmsc] ἐν[pd] φωνή[ndfsc] σάλπιγξ[ngfsc]. **v.7** ψάλλω[vdaa2p] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p] ψάλλω[vdaa2p] ψάλλω[vdaa2p] ὁ[ddms] βασιλεύς[ndmsc] ἐγώ[rpg-p] ψάλλω[vdaa2p]. **v.8** ὅτι[cs] βασιλεύς[nnmsc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dnms] θεός[nnmsc] ψάλλω[vdaa2p] συνετῶς[b]. **v.9** βασιλεύω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἐπί[pa] ὁ[danp] ἔθνος[nanpc] ὁ[dnms] θεός[nnmsc] κάθημαι[vipm3s] ἐπί[pg] θρόνος[ngmsc] ἅγιος[angmsn] αὐτός[rpgms]. **v.10** ἄρχων[nnmpc] λαός[ngmpc] συνάγω[viap3p] μετά[pg] ὁ[dgms] θεός[ngmsc] Ἀβραάμ[ngmsp] ὅτι[cs] ὁ[dgms] θεός[ngmsc] ὁ[dnmp] κραταιός[annmpn] ὁ[dgfs] γῆ[ngfsc] σφόδρα[b] ἐπαίρω[viap3p]. **47. v.1** ψαλμός[nnmsc] ᾠδή[ngfsc] ὁ[ddmp] υἱός[ndmpc] Κόρε[ngmsp] δεύτερος[aodfsn] σάββατον[ngnsc].

τοῦ. εὖ ῥιζῶν ἀγαλλιάματι πάσης τῆς γῆς ὄρη Σιων τὰ πλευρὰ 3
τοῦ βορρᾶ ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. ὁ θεὸς ἐν ταῖς 4
βάρεσιν αὐτῆς γινώσκεται ὅταν ἀντιλαμβάνηται αὐτῆς. ὅτι ἰδοὺ 5
οἱ βασιλεῖς συνήχθησαν ἤλθοσαν ἐπὶ τὸ αὐτό. αὐτοὶ ἰδόντες οὕ- 6
τως ἐθαύμασαν ἐταράχθησαν ἐσαλεύθησαν. τρόμος ἐπελάβετο 7
αὐτῶν ἐκεῖ ὠδῖνες ὡς τικτούσης. ἐν πνεύματι βιαίῳ συντρίψεις 8
πλοῖα Θαρσις. καθάπερ ἠκούσαμεν οὕτως εἴδομεν ἐν πόλει κυ- 9
ρίου τῶν δυνάμεων ἐν πόλει τοῦ θεοῦ ἡμῶν ὁ θεὸς ἐθεμελίωσεν
αὐτὴν εἰς τὸν αἰῶνα διάψαλμα. ὑπελάβομεν ὁ θεός τὸ ἔλεός σου 10
ἐν μέσῳ τοῦ ναοῦ σου. κατὰ τὸ ὄνομά σου ὁ θεός οὕτως καὶ ἡ 11
αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς δικαιοσύνης πλήρης ἡ δεξιά
σου. εὐφρανθήτω τὸ ὄρος Σιων ἀγαλλιάσθωσαν αἱ θυγατέρες 12
τῆς Ιουδαίας ἕνεκεν τῶν κριμάτων σου κύριε. κυκλώσατε Σιων 13
καὶ περιλάβετε αὐτήν διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς. θέσθε 14
τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς καὶ καταδιέλεσθε τὰς
βάρεις αὐτῆς ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. ὅτι οὗτός 15
ἐστιν ὁ θεὸς ὁ θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

εἰς τὸ τέλος τοῖς υἱοῖς Κορε ψαλμός. ἀκούσατε ταῦτα πάντα **48**, 2
τὰ ἔθνη ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. οἵ 3

---

**v.2** μέγας[annmsn] κύριος[nnmsc] καί[cc] αἰνετός[annmsn] σφόδρα[b] ἐν[pd] πόλις[ndfsc] ὁ[dgms] θεός[ngmsc] ἐγώ[rpg-p] ὄρος[ndnsc] ἅγιος[andnsn] αὐτός[rpgms]. **v.3** εὖ[b] ῥίζα[ngnpc] ἀγαλλίαμα[ndnsc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] ὄρος[nnnpc] Σιών[ngfsp] ὁ[dnnp] πλευρόν[nnnpc] ὁ[dgms] βορέας[ngmsc] ὁ[dnfs] πόλις[nnfsc] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dgms] μέγας[angmsn]. **v.4** ὁ[dnms] θεός[nnmsc] ἐν[pd] ὁ[ddfp] βάρις[ndfpc] αὐτός[rpgfs] γινώσκω[vipp3s] ὅταν[cs] ἀντιλαμβάνομαι[vspm3s] αὐτός[rpgfs]. **v.5** ὅτι[cs] ἰδού[i] ὁ[dnmp] βασιλεύς[nnmpc] συνάγω[viap3p] ἔρχομαι[viaa3p] ἐπί[pa] ὁ[dans] αὐτός[rtans]. **v.6** αὐτός[rpnmp] ὁράω[vpaanmp] οὕτως[b] θαυμάζω[viaa3p] ταράσσω[viap3p] σαλεύω[viap3p]. **v.7** τρόμος[nnmsc] ἐπιλαμβάνω[viam3s] αὐτός[rpgmp] ἐκεῖ[b] ὠδίν[nnfpc] ὡς[cs] τίκτω[vppagfs]. **v.8** ἐν[pd] πνεῦμα[ndnsc] βίαιος[andnsn] συντρίβω[vifa2s] πλοῖον[nanpc] Θαρσις[ngfsp]. **v.9** καθάπερ[cs] ἀκούω[viaa1p] οὕτως[b] ὁράω[viaa1p] ἐν[pd] πόλις[ndfsc] κύριος[ngmsc] ὁ[dgfp] δύναμις[ngfpc] ἐν[pd] πόλις[ndfsc] ὁ[dgms] θεός[ngmsc] ἐγώ[rpg-p] ὁ[dnms] θεός[nnmsc] θεμελιόω[viaa3s] αὐτός[rpafs] εἰς[pa] ὁ[dams] αἰών[namsc] διάψαλμα[nnnsc]. **v.10** ὑπολαμβάνω[viaa1p] ὁ[dnms] θεός[nnmsc] ὁ[dans] ἔλεος[nansc] σύ[rpgms] ἐν[pd] μέσος[andnsn] ὁ[dgms] ναός[ngmsc] σύ[rpg-s]. **v.11** κατά[pa] ὁ[dans] ὄνομα[nansc] σύ[rpg-s] ὁ[dnms] θεός[nnmsc] οὕτως[b] καί[b] ὁ[dnfs] αἴνεσις[nnfsc] σύ[rpg-s] ἐπί[pa] ὁ[danp] πέρας[nanpc] ὁ[dgfs] γῆ[ngfsc] δικαιοσύνη[ngfsc] πλήρης[annfsn] ὁ[dnfs] δεξιός[annfsn] σύ[rpg-s]. **v.12** εὐφραίνω[vdap3s] ὁ[dnns] ὄρος[nnnsc] Σιών[ngfsp] ἀγαλλιάω[vdpm3p] ὁ[dnfp] θυγάτηρ[nnfpc] ὁ[dgfs] Ἰουδαία[ngfsp] ἕνεκα[pg] ὁ[dgnp] κρίμα[ngnpc] σύ[rpg-s] κύριος[nvmsc]. **v.13** κυκλόω[vdaa2p] Σιών[nafsp] καί[cc] περιλαμβάνω[vdaa2p] αὐτός[rpafs] διηγέομαι[viam2p] ἐν[pd] ὁ[ddmp] πύργος[ndmpc] αὐτός[rpgfs]. **v.14** τίθημι[vdam2p] ὁ[dafp] καρδία[nafpc] σύ[rpg-p] εἰς[pa] ὁ[dafs] δύναμις[nafsc] αὐτός[rpgfs] καί[cc] καταδιαιρέω[vdam2p] ὁ[dafp] βάρις[nafpc] αὐτός[rpgfs] ὅπως[cs] ἄν[x] διηγέομαι[vsam2p] εἰς[pa] γενεά[nafsc] ἕτερος[aiafsn]. **v.15** ὅτι[cs] οὗτος[rdnms] εἰμί[vipa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dgms] αἰών[ngmsc] αὐτός[rpnms] ποιμαίνω[vifa3s] ἐγώ[rpa-p] εἰς[pa] ὁ[damp] αἰών[nampc]. **48. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] ὁ[ddmp] υἱός[ndmpc] Κόρε[ngmsp] ψαλμός[nnmsc]. **v.2** ἀκούω[vdaa2p] οὗτος[rdanp] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] ἐνωτίζομαι[vdam2p] πᾶς[ainmpn] ὁ[dnmp] κατοικέω[vppanmp] ὁ[dafs] οἰκουμένη[nafsc].

τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ
4 πένης. τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρ-
5 δίας μου σύνεσιν. κλινῶ εἰς παραβολὴν τὸ οὖς μου ἀνοίξω ἐν
6 ψαλτηρίῳ τὸ πρόβλημά μου. ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ
7 ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με. οἱ πεποιθότες ἐπὶ τῇ
δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμε-
8 νοι. ἀδελφὸς οὐ λυτροῦται λυτρώσεται ἄνθρωπος οὐ δώσει τῷ
9 θεῷ ἐξίλασμα αὐτοῦ. καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς
10 αὐτοῦ. καὶ ἐκόπασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τέλος ὅτι
11 οὐκ ὄψεται καταφθοράν ὅταν ἴδῃ σοφοὺς ἀποθνῄσκοντας. ἐπὶ
τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται καὶ καταλείψουσιν ἀλλο-
12 τρίοις τὸν πλοῦτον αὐτῶν. καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς
τὸν αἰῶνα σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν ἐπεκαλέσαντο
13 τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. καὶ ἄνθρωπος ἐν τιμῇ
ὢν οὐ συνῆκεν παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ
14 ὡμοιώθη αὐτοῖς. αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς καὶ μετὰ
15 ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν διάψαλμα. ὡς πρόβατα
ἐν ᾅδῃ ἔθεντο θάνατος ποιμαίνει αὐτούς καὶ κατακυριεύσουσιν
αὐτῶν οἱ εὐθεῖς τὸ πρωί καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν
16 τῷ ᾅδῃ ἐκ τῆς δόξης αὐτῶν. πλὴν ὁ θεὸς λυτρώσεται τὴν ψυ-

---

**v.3** ὁ[dnmp] τέ[cc] γηγενής[annmpn] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ἐπί[pa] ὁ[dans] αὐτός[rpans] πλούσιος[annmsn] καί[cc] πένης[nnmsc]. **v.4** ὁ[dnns] στόμα[nnnsc] ἐγώ[rpg-s] λαλέω[vifa3s] σοφία[nafsc] καί[cc] ὁ[dnfs] μελέτη[nnfsc] ὁ[dgfs] καρδία[ngfsc] ἐγώ[rpg-s] σύνεσις[nafsc]. **v.5** κλίνω[vifa1s] εἰς[pa] παραβολή[nafsc] ὁ[dans] οὖς[nansc] ἐγώ[rpg-s] ἀνοίγω[vifa1s] ἐν[pd] ψαλτήριον[ndnsc] ὁ[dans] πρόβλημα[nansc] ἐγώ[rpg-s]. **v.6** ἵνα[cs] τίς[rqnns] φοβέω[vipm1s] ἐν[pd] ἡμέρα[ndfsc] πονηρός[andfsn] ὁ[dnfs] ἀνομία[nnfsc] ὁ[dgfs] πτέρνα[ngfsc] ἐγώ[rpg-s] κυκλόω[vifa3s] ἐγώ[rpa-s]. **v.7** ὁ[dnmp] πείθω[vpxanmp] ἐπί[pd] ὁ[ddfs] δύναμις[ndfsc] αὐτός[rpgmp] καί[cc] ἐπί[pd] ὁ[ddns] πλῆθος[ndnsc] ὁ[dgms] πλοῦτος[ngmsc] αὐτός[rpgmp] καυχάομαι[vppmnmp]. **v.8** ἀδελφός[nnmsc] οὐ[b] λυτρόω[vipm3s] λυτρόω[vifm3s] ἄνθρωπος[nnmsc] οὐ[b] δίδωμι[vifa3s] ὁ[ddms] θεός[ndmsc] ἐξίλασμα[nansc] αὐτός[rpgms]. **v.9** καί[cc] ὁ[dafs] τιμή[nafsc] ὁ[dgfs] λύτρωσις[ngfsc] ὁ[dgfs] ψυχή[ngfsc] αὐτός[rpgms]. **v.10** καί[cc] κοπάζω[viaa3s] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] ζάω[vifm3s] εἰς[pa] τέλος[nansc] ὅτι[cs] οὐ[b] ὁράω[vifm3s] καταφθορά[nafsc] ὅταν[cs] ὁράω[vsaa3s] σοφός[anampn] ἀποθνῄσκω[vppaamp]. **v.11** ἐπί[pa] ὁ[dans] αὐτός[rpans] ἄφρων[annmsn] καί[cc] ἄνους[annmsn] ἀπόλλυμι[vifm3p] καί[cc] καταλείπω[vifa3p] ἀλλότριος[andmpn] ὁ[dams] πλοῦτος[namsc] αὐτός[rpgmp]. **v.12** καί[cc] ὁ[dnmp] τάφος[nnmpc] αὐτός[rpgmp] οἰκία[nnfpc] αὐτός[rpgmp] εἰς[pa] ὁ[dams] αἰών[namsc] σκήνωμα[nnnpc] αὐτός[rpgmp] εἰς[pa] γενεά[nafsc] καί[cc] γενεά[nafsc] ἐπικαλέω[viam3p] ὁ[danp] ὄνομα[nanpc] αὐτός[rpgmp] ἐπί[pg] ὁ[dgfp] γαῖα[ngfpc] αὐτός[rpgmp]. **v.13** καί[cc] ἄνθρωπος[nnmsc] ἐν[pd] τιμή[ndfsc] εἰμί[vppanms] οὐ[b] συνίημι[viaa3s] παρασυμβάλλω[viap3s] ὁ[ddnp] κτῆνος[ndnpc] ὁ[ddnp] ἀνόητος[andnpn] καί[cc] ὁμοιόω[viap3s] αὐτός[rpdnp]. **v.14** οὗτος[rdnfs] ὁ[dnfs] ὁδός[nnfsc] αὐτός[rpgmp] σκάνδαλον[nnnsc] αὐτός[rpdmp] καί[cc] μετά[pa] οὗτος[rdanp] ἐν[pd] ὁ[ddns] στόμα[ndnsc] αὐτός[rpgmp] εὐδοκέω[vifa3p] διάψαλμα[nnnsc]. **v.15** ὡς[cs] πρόβατον[nanpc] ἐν[pd] ᾅδης[ndmsc] τίθημι[viam3p] θάνατος[nnmsc] ποιμαίνω[vipa3s] αὐτός[rpamp] καί[cc] κατακυριεύω[vifa3p] αὐτός[rpgmp] ὁ[dnmp] εὐθύς[annmpn] ὁ[dans] πρωΐ[b] καί[cc] ὁ[dnfs] βοήθεια[nnfsc] αὐτός[rpgmp] παλαιόω[vifp3s] ἐν[pd] ὁ[ddms] ᾅδης[ndmsc] ἐκ[pg] ὁ[dgfs] δόξα[ngfsc] αὐτός[rpgmp].

χήν μου ἐκ χειρὸς ᾅδου ὅταν λαμβάνῃ με διάψαλμα. μὴ φοβοῦ 17
ὅταν πλουτήσῃ ἄνθρωπος καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου
αὐτοῦ. ὅτι οὐκ ἐν τῷ ἀποθνῄσκειν αὐτὸν λήμψεται τὰ πάντα 18
οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ. ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν 19
τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς
αὐτῷ. εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ ἕως αἰῶνος οὐκ 20
ὄψεται φῶς. ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν παρασυνεβλήθη 21
τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

ψαλμὸς τῷ Ασαφ θεὸς θεῶν κύριος ἐλάλησεν καὶ ἐκάλεσεν τὴν **49**
γῆν ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν. ἐκ Σιων ἡ εὐπρέ- 2
πεια τῆς ὡραιότητος αὐτοῦ ὁ θεὸς ἐμφανῶς ἥξει. ὁ θεὸς ἡμῶν 3
καὶ οὐ παρασιωπήσεται πῦρ ἐναντίον αὐτοῦ καυθήσεται καὶ κύ-
κλῳ αὐτοῦ καταιγὶς σφόδρα. προσκαλέσεται τὸν οὐρανὸν ἄνω 4
καὶ τὴν γῆν διακρῖναι τὸν λαὸν αὐτοῦ. συναγάγετε αὐτῷ τοὺς 5
ὁσίους αὐτοῦ τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσί-
αις. καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ ὅτι ὁ 6
θεὸς κριτής ἐστιν διάψαλμα. ἄκουσον λαός μου καὶ λαλήσω σοι 7
Ισραηλ καὶ διαμαρτύρομαί σοι ὁ θεὸς ὁ θεός σού εἰμι ἐγώ. οὐκ 8
ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν
μού ἐστιν διὰ παντός. οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους 9
οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. ὅτι ἐμά ἐστιν πάντα τὰ θη- 10

---

**v.16** πλήν[b] ὁ[dnms] θεός[nnmsc] λυτρόω[vifm3s] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s] ἐκ[pg] χείρ[ngfsc] ᾅδης[ngmsc] ὅταν[cs] λαμβάνω[vspa3s] ἐγώ[rpa-s] διάψαλμα[nnnsc]. **v.17** μή[x] φοβέω[vdpm2s] ὅταν[cs] πλουτέω[vsaa3s] ἄνθρωπος[nnmsc] καί[cc] ὅταν[cs] πληθύνω[vsap3s] ὁ[dnfs] δόξα[nnfsc] ὁ[dgms] οἶκος[ngmsc] αὐτός[rpgms]. **v.18** ὅτι[cs] οὐ[b] ἐν[pd] ὁ[ddns] ἀποθνῄσκω[vnpa] αὐτός[rpams] λαμβάνω[vifm3s] ὁ[danp] πᾶς[aianpn] οὐδέ[cc] συγκαταβαίνω[vifm3s] αὐτός[rpdms] ὁ[dnfs] δόξα[nnfsc] αὐτός[rpgms]. **v.19** ὅτι[cs] ὁ[dnfs] ψυχή[nnfsc] αὐτός[rpgms] ἐν[pd] ὁ[ddfs] ζωή[ndfsc] αὐτός[rpgms] εὐλογέω[vifp3s] ἐξομολογέω[vifm3s] σύ[rpd-s] ὅταν[cs] ἀγαθύνω[vsaa2s] αὐτός[rpdms]. **v.20** εἰσέρχομαι[vifm3s] ἕως[pg] γενεά[ngfsc] πατήρ[ngmpc] αὐτός[rpgms] ἕως[pg] αἰών[ngmsc] οὐ[b] ὁράω[vifm3s] φῶς[nansc]. **v.21** ἄνθρωπος[nnmsc] ἐν[pd] τιμή[ndfsc] εἰμί[vppanms] οὐ[b] συνίημι[viaa3s] παρασυμβάλλω[viap3s] ὁ[ddnp] κτῆνος[ndnpc] ὁ[ddnp] ἀνόητος[andnpn] καί[cc] ὁμοιόω[viap3s] αὐτός[rpdmp]. **49. v.1** ψαλμός[nnmsc] ὁ[ddms] Ἀσάφ[ndmsp] θεός[nnmsc] θεός[ngmpc] κύριος[nnmsc] λαλέω[viaa3s] καί[cc] καλέω[viaa3s] ὁ[dafs] γῆ[nafsc] ἀπό[pg] ἀνατολή[ngfpc] ἥλιος[ngmsc] καί[cc] μέχρι[pg] δυσμή[ngfpc]. **v.2** ἐκ[pg] Σιών[ngfsp] ὁ[dnfs] εὐπρέπεια[nnfsc] ὁ[dgfs] ὡραιότης[ngfsc] αὐτός[rpgms] ὁ[dnms] θεός[nnmsc] ἐμφανῶς[b] ἥκω[vifa3s]. **v.3** ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] καί[cc] οὐ[b] παρασιωπάω[vifm3s] πῦρ[nnnsc] ἐναντίον[pg] αὐτός[rpgms] καίω[vifp3s] καί[cc] κύκλος[pg] αὐτός[rpgms] καταιγίς[nnfsc] σφόδρα[b]. **v.4** προσκαλέομαι[vifm3s] ὁ[dams] οὐρανός[namsc] ἄνω[b] καί[cc] ὁ[dafs] γῆ[nafsc] διακρίνω[vnaa] ὁ[dams] λαός[namsc] αὐτός[rpgms]. **v.5** συνάγω[vdaa2p] αὐτός[rpdms] ὁ[damp] ὅσιος[anampn] αὐτός[rpgms] ὁ[damp] διατίθημι[vppmamp] ὁ[dafs] διαθήκη[nafsc] αὐτός[rpgms] ἐπί[pd] θυσία[ndfpc]. **v.6** καί[cc] ἀναγγέλλω[vifa3p] ὁ[dnmp] οὐρανός[nnmpc] ὁ[dafs] δικαιοσύνη[nafsc] αὐτός[rpgms] ὅτι[cs] ὁ[dnms] θεός[nnmsc] κριτής[nnmsc] εἰμί[vipa3s] διάψαλμα[nnnsc]. **v.7** ἀκούω[vdaa2s] λαός[nnmsc] ἐγώ[rpg-s] καί[cc] λαλέω[vifa1s] σύ[rpd-s] Ἰσραήλ[nvmsp] καί[cc] διαμαρτύρομαι[vipm1s] σύ[rpd-s] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] εἰμί[vipa1s] ἐγώ[rpn-s]. **v.8** οὐ[b] ἐπί[pd] ὁ[ddfp] θυσία[ndfpc] σύ[rpg-s] ἐλέγχω[vifa1s] σύ[rpa-s] ὁ[dnnp] δέ[cc] ὁλοκαύτωμα[nnnpc] σύ[rpg-s] ἐνώπιον[pg] ἐγώ[rpg-s] εἰμί[vipa3s] διά[pg] πᾶς[aignsn]. **v.9** οὐ[b] δέχομαι[vifm1s] ἐκ[pg] ὁ[dgms] οἶκος[ngmsc] σύ[rpg-s] μόσχος[nampc] οὐδέ[cc] ἐκ[pg] ὁ[dgnp] ποίμνιον[ngnpc] σύ[rpg-s] χίμαρος[nampc].

11 ρία τοῦ δρυμοῦ κτήνη ἐν τοῖς ὄρεσιν καὶ βόες. ἔγνωκα πάντα τὰ
12 πετεινὰ τοῦ οὐρανοῦ καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. ἐὰν
πεινάσω οὐ μή σοι εἴπω ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλή-
13 ρωμα αὐτῆς. μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι.
14 θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς
15 σου. καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως καὶ ἐξελοῦμαί σε καὶ
16 δοξάσεις με διάψαλμα. τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός ἵνα τί σὺ δι-
ηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ
17 στόματός σου. σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λό-
18 γους μου εἰς τὰ ὀπίσω. εἰ ἐθεώρεις κλέπτην συνέτρεχες αὐτῷ καὶ
19 μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. τὸ στόμα σου ἐπλεόνασεν
20 κακίαν καὶ ἡ γλῶσσά σου περιέπλεκεν δολιότητα. καθήμενος
κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός
21 σου ἐτίθεις σκάνδαλον. ταῦτα ἐποίησας καὶ ἐσίγησα ὑπέλαβες
ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος ἐλέγξω σε καὶ παραστήσω κατὰ
22 πρόσωπόν σου. σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ
23 μήποτε ἁρπάσῃ καὶ μὴ ᾖ ὁ ῥυόμενος. θυσία αἰνέσεως δοξάσει
με καὶ ἐκεῖ ὁδός ᾗ δείξω αὐτῷ τὸ σωτήριον τοῦ θεοῦ.
**50**, 2 εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυιδ. ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Να-
3 θαν τὸν προφήτην ἡνίκα εἰσῆλθεν πρὸς Βηρσαβεε. ἐλέησόν με

---

**v.10** ὅτι[cs] ἐμός[asnnpn] εἰμί[vipa3s] πᾶς[ainnpn] ὁ[dnnp] θηρίον[nnnpc] ὁ[dgms] δρυμός[ngmsc] κτῆνος[nnnpc] ἐν[pd] ὁ[ddnp] ὄρος[ndnpc] καί[cc] βοῦς[nnmpc]. **v.11** γινώσκω[vixa1s] πᾶς[aianpn] ὁ[danp] πετεινός[nanpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ὡραιότης[nnfsc] ἀγρός[ngmsc] μετά[pg] ἐγώ[rpg-s] εἰμί[vipa3s]. **v.12** ἐάν[cs] πεινάω[vsaa1s] οὐ[b] μή[x] σύ[rpd-s] λέγω[vsaa1s] ἐμός[asnfsn] γάρ[cc] εἰμί[vipa3s] ὁ[dnfs] οἰκουμένη[nnfsc] καί[cc] ὁ[dnns] πλήρωμα[nnnsc] αὐτός[rpgfs]. **v.13** μή[x] ἐσθίω[vifm1s] κρέας[nanpc] ταῦρος[ngmpc] ἤ[cc] αἷμα[nansc] τράγος[ngmpc] πίνω[vifm1s]. **v.14** θύω[vdaa2s] ὁ[ddms] θεός[ndmsc] θυσία[nafsc] αἴνεσις[ngfsc] καί[cc] ἀποδίδωμι[vdaa2s] ὁ[ddms] ὕψιστος[andmsn] ὁ[dafp] εὐχή[nafpc] σύ[rpg-s]. **v.15** καί[cc] ἐπικαλέω[vdam2s] ἐγώ[rpa-s] ἐν[pd] ἡμέρα[ndfsc] θλῖψις[ngfsc] καί[cc] ἐξαιρέω[vifm1s] σύ[rpa-s] καί[cc] δοξάζω[vifa2s] ἐγώ[rpa-s] διάψαλμα[nnnsc]. **v.16** ὁ[ddms] δέ[cc] ἁμαρτωλός[andmsn] λέγω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἵνα[cs] τίς[rqnns] σύ[rpn-s] διηγέομαι[vipm2s] ὁ[danp] δικαίωμα[nanpc] ἐγώ[rpgms] καί[cc] ἀναλαμβάνω[vipa2s] ὁ[dafs] διαθήκη[nafsc] ἐγώ[rpgms] διά[pg] στόμα[ngnsc] σύ[rpg-s]. **v.17** σύ[rpn-s] δέ[cc] μισέω[viaa2s] παιδεία[nafsc] καί[cc] ἐκβάλλω[viaa2s] ὁ[damp] λόγος[nampc] ἐγώ[rpg-s] εἰς[pa] ὁ[danp] ὀπίσω[b]. **v.18** εἰ[cs] θεωρέω[viia2s] κλέπτης[namsc] συντρέχω[viia2s] αὐτός[rpdms] καί[cc] μετά[pg] μοιχός[ngmpc] ὁ[dafs] μερίς[nafsc] σύ[rpg-s] τίθημι[viia2s]. **v.19** ὁ[dnns] στόμα[nnnsc] σύ[rpg-s] πλεονάζω[viaa3s] κακία[nafsc] καί[cc] ὁ[dnfs] γλῶσσα[nnfsc] σύ[rpg-s] περιπλέκω[viia3s] δολιότης[nafsc]. **v.20** κάθημαι[vppmnms] κατά[pg] ὁ[dgms] ἀδελφός[ngmsc] σύ[rpgms] καταλαλέω[viia2s] καί[cc] κατά[pg] ὁ[dgms] υἱός[ngmsc] ὁ[dgfs] μήτηρ[ngfsc] σύ[rpgms] τίθημι[viia2s] σκάνδαλον[nansc]. **v.21** οὗτος[rdanp] ποιέω[viaa2s] καί[cc] σιγάω[viaa1s] ὑπολαμβάνω[viaa2s] ἀνομία[nafsc] ὅτι[cs] εἰμί[vifm1s] σύ[rpdms] ὅμοιος[annmsn] ἐλέγχω[vifa1s] σύ[rpams] καί[cc] παρίστημι[vifa1s] κατά[pa] πρόσωπον[nansc] σύ[rpgms]. **v.22** συνίημι[vdaa2p] δή[x] οὗτος[rdanp] ὁ[dnmp] ἐπιλανθάνομαι[vppmnmp] ὁ[dgms] θεός[ngmsc] μήποτε[cs] ἁρπάζω[vsaa3s] καί[cc] μή[x] εἰμί[vspa3s] ὁ[dnms] ῥύομαι[vppmnms]. **v.23** θυσία[nnfsc] αἴνεσις[ngfsc] δοξάζω[vifa3s] ἐγώ[rpa-s] καί[cc] ἐκεῖ[b] ὁδός[nnfsc] ὅς[rrdfs] δείκνυμι[vifa1s] αὐτός[rpdms] ὁ[dans] σωτήριον[nansc] ὁ[dgms] θεός[ngmsc]. **50. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] ψαλμός[nnmsc] ὁ[ddms] Δαυίδ[ndmsp]. **v.2** ἐν[pd] ὁ[ddns] ἔρχομαι[vnaa] πρός[pa] αὐτός[rpams] Ναθάμ[namsp] ὁ[dams] προφήτης[namsc] ἡνίκα[cs] εἰσέρχομαι[viaa3s] πρός[pa] Βηρσαβεε[nafsp].

ὁ θεός κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρ-
μῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ 4
τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. ὅτι 5
τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού
ἐστιν διὰ παντός. σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν 6
σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς
ἐν τῷ κρίνεσθαί σε. ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην καὶ ἐν 7
ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου. ἰδοὺ γὰρ ἀλήθειαν ἠγά- 8
πησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ 9
χιόνα λευκανθήσομαι. ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύ- 10
νην ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα. ἀπόστρεψον τὸ πρό- 11
σωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου
ἐξάλειψον. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί ὁ θεός καὶ πνεῦμα 12
εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. μὴ ἀπορρίψῃς με ἀπὸ 13
τοῦ προσώπου σου καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς
ἀπ᾽ ἐμοῦ. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ 14
πνεύματι ἡγεμονικῷ στήρισόν με. διδάξω ἀνόμους τὰς ὁδούς 15
σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. ῥῦσαί με ἐξ αἱμάτων ὁ 16
θεὸς ὁ θεὸς τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν
δικαιοσύνην σου. κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα 17

---

**v.3** ἐλεέω[vdaa2s] ἐγώ[rpa-s] ὁ[dnms] θεός[nnmsc] κατά[pa] ὁ[dans] μέγας[anansn] ἔλεος[nansc] σύ[rpg-s] καί[cc] κατά[pa] ὁ[dans] πλῆθος[nansc] ὁ[dgmp] οἰκτιρμός[ngmpc] σύ[rpg-s] ἐξαλείφω[vdaa2s] ὁ[dans] ἀνόμημα[nansc] ἐγώ[rpg-s]. **v.4** ἐπί[pa] πολύς[anansc] πλύνω[vdaa2s] ἐγώ[rpa-s] ἀπό[pg] ὁ[dgfs] ἀνομία[ngfsc] ἐγώ[rpg-s] καί[cc] ἀπό[pg] ὁ[dgfs] ἁμαρτία[ngfsc] ἐγώ[rpg-s] καθαρίζω[vdaa2s] ἐγώ[rpa-s]. **v.5** ὅτι[cs] ὁ[dafs] ἀνομία[nafsc] ἐγώ[rpg-s] ἐγώ[rpn-s] γινώσκω[vipa1s] καί[cc] ὁ[dnfs] ἁμαρτία[nnfsc] ἐγώ[rpg-s] ἐνώπιον[pg] ἐγώ[rpg-s] εἰμί[vipa3s] διά[pg] πᾶς[aignsn]. **v.6** σύ[rpdms] μόνος[andmsn] ἁμαρτάνω[viaa1s] καί[cc] ὁ[dans] πονηρός[anansn] ἐνώπιον[pg] σύ[rpgms] ποιέω[viaa1s] ὅπως[cs] ἄν[x] δικαιόω[vsap2s] ἐν[pd] ὁ[ddmp] λόγος[ndmpc] σύ[rpgms] καί[cc] νικάω[vsaa2s] ἐν[pd] ὁ[ddns] κρίνω[vnpm] σύ[rpams]. **v.7** ἰδού[i] γάρ[cc] ἐν[pd] ἀνομία[ndfpc] συλλαμβάνω[viap1s] καί[cc] ἐν[pd] ἁμαρτία[ndfpc] κισσάω[viaa3s] ἐγώ[rpams] ὁ[dnfs] μήτηρ[nnfsc] ἐγώ[rpgms]. **v.8** ἰδού[i] γάρ[cc] ἀλήθεια[nafsc] ἀγαπάω[viaa2s] ὁ[danp] ἄδηλος[ananpn] καί[cc] ὁ[danp] κρύφιος[ananpn] ὁ[dgfs] σοφία[ngfsc] σύ[rpgms] δηλόω[viaa2s] ἐγώ[rpdms]. **v.9** ῥαντίζω[vifa2s] ἐγώ[rpams] ὕσσωπος[ndmsc] καί[cc] καθαρίζω[vifp1s] πλύνω[vifa2s] ἐγώ[rpams] καί[cc] ὑπέρ[pa] χιών[nafsc] λευκαίνω[vifp1s]. **v.10** ἀκουτίζω[vifa2s] ἐγώ[rpams] ἀγαλλίασις[nafsc] καί[cc] εὐφροσύνη[nafsc] ἀγαλλιάω[vifm3p] ὀστέον[nnnpc] ταπεινόω[vpxpnnp]. **v.11** ἀποστρέφω[vdaa2s] ὁ[dans] πρόσωπον[nansc] σύ[rpgms] ἀπό[pg] ὁ[dgfp] ἁμαρτία[ngfpc] ἐγώ[rpgms] καί[cc] πᾶς[aiafpn] ὁ[dafp] ἀνομία[nafpc] ἐγώ[rpgms] ἐξαλείφω[vdaa2s]. **v.12** καρδία[nafsc] καθαρός[anafsn] κτίζω[vdaa2s] ἐν[pd] ἐγώ[rpdms] ὁ[dnms] θεός[nnmsc] καί[cc] πνεῦμα[nansc] εὐθής[anansn] ἐγκαινίζω[vdaa2s] ἐν[pd] ὁ[ddnp] ἔγκατον[ndnpc] ἐγώ[rpgms]. **v.13** μή[x] ἀπορίπτω[vsaa2s] ἐγώ[rpams] ἀπό[pg] ὁ[dgns] πρόσωπον[ngnsc] σύ[rpgms] καί[cc] ὁ[dans] πνεῦμα[nansc] ὁ[dans] ἅγιος[anansn] σύ[rpgms] μή[x] ἀνταναιρέω[vsaa2s] ἀπό[pg] ἐγώ[rpgms]. **v.14** ἀποδίδωμι[vdaa2s] ἐγώ[rpdms] ὁ[dafs] ἀγαλλίασις[nafsc] ὁ[dgns] σωτήριον[ngnsc] σύ[rpgms] καί[cc] πνεῦμα[ndnsc] ἡγεμονικός[andnsn] στηρίζω[vdaa2s] ἐγώ[rpams]. **v.15** διδάσκω[vifa1s] ἄνομος[anampn] ὁ[dafp] ὁδός[nafpc] σύ[rpgms] καί[cc] ἀσεβής[annmpn] ἐπί[pa] σύ[rpams] ἐπιστρέφω[vifa3p]. **v.16** ῥύομαι[vdam2s] ἐγώ[rpams] ἐκ[pg] αἷμα[ngnpc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgfs] σωτηρία[ngfsc] ἐγώ[rpgms] ἀγαλλιάω[vifm3s] ὁ[dnfs] γλῶσσα[nnfsc] ἐγώ[rpgms] ὁ[dafs] δικαιοσύνη[nafsc] σύ[rpgms].

18 μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα
19 ἄν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. θυσία τῷ θεῷ πνεῦμα συν-
τετριμμένον καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς
20 οὐκ ἐξουθενώσει. ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιων
21 καὶ οἰκοδομηθήτω τὰ τείχη Ιερουσαλημ. τότε εὐδοκήσεις θυ-
σίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα τότε ἀνοίσουσιν
ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**51**, 2 εἰς τὸ τέλος συνέσεως τῷ Δαυιδ. ἐν τῷ ἐλθεῖν Δωηκ τὸν Ιδου-
μαῖον καὶ ἀναγγεῖλαι τῷ Σαουλ καὶ εἰπεῖν αὐτῷ ἦλθεν Δαυιδ εἰς
3 τὸν οἶκον Αβιμελεχ. τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός ἀνομίαν
4 ὅλην τὴν ἡμέραν. ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου ὡσεὶ ξυρὸν
5 ἠκονημένον ἐποίησας δόλον. ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύ-
6 νην ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην διάψαλμα. ἠγάπησας
7 πάντα τὰ ῥήματα καταποντισμοῦ γλῶσσαν δολίαν. διὰ τοῦτο ὁ
θεὸς καθελεῖ σε εἰς τέλος ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ
8 σκηνώματος καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων διάψαλμα. καὶ
ὄψονται δίκαιοι καὶ φοβηθήσονται καὶ ἐπ' αὐτὸν γελάσονται καὶ
9 ἐροῦσιν. ἰδοὺ ἄνθρωπος ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν αὐτοῦ
ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ καὶ ἐδυναμώθη
10 ἐπὶ τῇ ματαιότητι αὐτοῦ. ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ
οἴκῳ τοῦ θεοῦ ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ εἰς τὸν αἰῶνα καὶ

---

**v.17** κύριος[nvmsc] ὁ[danp] χεῖλος[nanpc] ἐγώ[rpgms] ἀνοίγω[vifa2s] καί[cc] ὁ[dnns] στόμα[nnnsc] ἐγώ[rpgms] ἀναγγέλλω[vifa3s] ὁ[dafs] αἴνεσις[nafsc] σύ[rpgms]. **v.18** ὅτι[cs] εἰ[cs] θέλω[viaa2s] θυσία[nafsc] δίδωμι[viaa1s] ἄν[x] ὁλοκαύτωμα[nanpc] οὐ[b] εὐδοκέω[vifa2s]. **v.19** θυσία[nnfsc] ὁ[ddms] θεός[ndmsc] πνεῦμα[nnnsc] συντρίβω[vpxpnns] καρδία[nafsc] συντρίβω[vpxpafs] καί[cc] ταπεινόω[vpxpafs] ὁ[dnms] θεός[nnmsc] οὐ[b] ἐξουθενόω[vifa3s]. **v.20** ἀγαθύνω[vdaa2s] κύριος[nvmsc] ἐν[pd] ὁ[ddfs] εὐδοκία[ndfsc] σύ[rpgms] ὁ[dafs] Σιών[nafsp] καί[cc] οἰκοδομέω[vdap3s] ὁ[dnnp] τεῖχος[nnnpc] Ἰερουσαλήμ[ngfsp]. **v.21** τότε[b] εὐδοκέω[vifa2s] θυσία[nafsc] δικαιοσύνη[ngfsc] ἀναφορά[nafsc] καί[cc] ὁλοκαύτωμα[nanpc] τότε[b] ἀναφέρω[vifa3p] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc] σύ[rpgms] μόσχος[nampc]. **51. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] σύνεσις[ngfsc] ὁ[ddms] Δαυίδ[ndmsp]. **v.2** ἐν[pd] ὁ[ddns] ἔρχομαι[vnaa] Δωηκ[namsp] ὁ[dams] Ιδουμαῖος[namsp] καί[cc] ἀναγγέλλω[vnaa] ὁ[ddms] Σαούλ[ndmsp] καί[cc] λέγω[vnaa] αὐτός[rpdms] ἔρχομαι[viaa3s] Δαυίδ[nnmsp] εἰς[pa] ὁ[dams] οἶκος[namsc] Αβιμελεχ[ngmsp]. **v.3** τίς[rqans] ἐγκαυχάομαι[vipm2s] ἐν[pd] κακία[ndfsc] ὁ[dnms] δυνατός[annmsn] ἀνομία[nafsc] ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc]. **v.4** ἀδικία[nafsc] λογίζομαι[viam3s] ὁ[dnfs] γλῶσσα[nnfsc] σύ[rpg-s] ὡσεί[x] ξυρόν[nnnsc] ἀκονάω[vpxpnns] ποιέω[viaa2s] δόλος[namsc]. **v.5** ἀγαπάω[viaa2s] κακία[nafsc] ὑπέρ[pa] ἀγαθωσύνη[nafsc] ἀδικία[nafsc] ὑπέρ[pa] ὁ[dans] λαλέω[vnaa] δικαιοσύνη[nafsc] διάψαλμα[nnnsc]. **v.6** ἀγαπάω[viaa2s] πᾶς[aianpn] ὁ[danp] ῥῆμα[nanpc] καταποντισμός[ngmsc] γλῶσσα[nafsc] δόλιος[anafsn]. **v.7** διά[pa] οὗτος[rdans] ὁ[dnms] θεός[nnmsc] καθαιρέω[vifa3s] σύ[rpa-s] εἰς[pa] τέλος[nansc] ἐκτίλλω[voaa3s] σύ[rpa-s] καί[cc] μεταναστεύω[voaa3s] σύ[rpa-s] ἀπό[pg] σκήνωμα[ngnsc] καί[cc] ὁ[dans] ῥίζωμα[nansc] σύ[rpg-s] ἐκ[pg] γῆ[ngfsc] ζάω[vppagmp] διάψαλμα[nnnsc]. **v.8** καί[cc] ὁράω[vifm3p] δίκαιος[annmpn] καί[cc] φοβέω[vifp3p] καί[cc] ἐπί[pa] αὐτός[rpams] γελάω[vifm3p] καί[cc] λέγω[vifa3p]. **v.9** ἰδού[i] ἄνθρωπος[nnmsc] ὅς[rrnms] οὐ[b] τίθημι[viam3s] ὁ[dams] θεός[namsc] βοηθός[namsc] αὐτός[rpgms] ἀλλά[cc] ἐπελπίζω[viaa3s] ἐπί[pa] ὁ[dans] πλῆθος[nansc] ὁ[dgms] πλοῦτος[ngmsc] αὐτός[rpgms] καί[cc] δυναμόω[viap3s] ἐπί[pd] ὁ[ddfs] ματαιότης[ndfsc] αὐτός[rpgms].

εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα ὅτι 11
ἐποίησας καὶ ὑπομενῶ τὸ ὄνομά σου ὅτι χρηστὸν ἐναντίον τῶν
ὁσίων σου.

εἰς τὸ τέλος ὑπὲρ μαελεθ συνέσεως τῷ Δαυιδ. εἶπεν ἄφρων **52**, 2
ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστιν θεός διεφθάρησαν καὶ ἐβδελύχθησαν
ἐν ἀνομίαις οὐκ ἔστιν ποιῶν ἀγαθόν. ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ 3
διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστιν συνίων
ἢ ἐκζητῶν τὸν θεόν. πάντες ἐξέκλιναν ἅμα ἠχρεώθησαν οὐκ ἔ- 4
στιν ποιῶν ἀγαθόν οὐκ ἔστιν ἕως ἑνός. οὐχὶ γνώσονται πάντες οἱ 5
ἐργαζόμενοι τὴν ἀνομίαν οἱ ἔσθοντες τὸν λαόν μου βρώσει ἄρτου
τὸν θεὸν οὐκ ἐπεκαλέσαντο. ἐκεῖ φοβηθήσονται φόβον οὗ οὐκ 6
ἦν φόβος ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων κατῃ-
σχύνθησαν ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς. τίς δώσει ἐκ Σιων τὸ 7
σωτήριον τοῦ Ισραηλ ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν
τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ιακωβ καὶ εὐφρανθήσεται Ισραηλ.

εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυιδ. ἐν τῷ ἐλθεῖν τοὺς **53**, 2
Ζιφαίους καὶ εἰπεῖν τῷ Σαουλ οὐκ ἰδοὺ Δαυιδ κέκρυπται παρ᾽
ἡμῖν. ὁ θεός ἐν τῷ ὀνόματί σου σῶσόν με καὶ ἐν τῇ δυνάμει 3
σου κρῖνόν με. ὁ θεός εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι 4
τὰ ῥήματα τοῦ στόματός μου. ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ᾽ 5
ἐμέ καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου οὐ προέθεντο τὸν θεὸν

---

**v.10** ἐγώ[rpn-s] δέ[cc] ὡσεί[x] ἐλαία[nnfsc] κατάκαρπος[annfsn] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] ὁ[dgms] θεός[ngmsc] ἐλπίζω[viaa1s] ἐπί[pa] ὁ[dans] ἔλεος[nansc] ὁ[dgms] θεός[ngmsc] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dgms] αἰών[ngmsc]. **v.11** ἐξομολογέω[vifm1s] σύ[rpd-s] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὅτι[cs] ποιέω[viaa2s] καί[cc] ὑπομένω[vifa1s] ὁ[dans] ὄνομα[nansc] σύ[rpg-s] ὅτι[cs] χρηστός[annnsn] ἐναντίον[pg] ὁ[dgmp] ὅσιος[angmpn] σύ[rpg-s]. **52. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] ὑπέρ[pa] μαελεθ[t] σύνεσις[ngfsc] ὁ[ddms] Δαυίδ[ndmsp]. **v.2** λέγω[viaa3s] ἄφρων[annmsn] ἐν[pd] καρδία[ndfsc] αὐτός[rpgms] οὐ[b] εἰμί[vipa3s] θεός[nnmsc] διαφθείρω[viap3p] καί[cc] βδελύσσω[viap3p] ἐν[pd] ἀνομία[ndfpc] οὐ[b] εἰμί[vipa3s] ποιέω[vppanms] ἀγαθός[anansn]. **v.3** ὁ[dnms] θεός[nnmsc] ἐκ[pg] ὁ[dgms] οὐρανός[ngmsc] διακύπτω[viaa3s] ἐπί[pa] ὁ[damp] υἱός[nampc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ὁ[dgns] ὁράω[vnaa] εἰ[x] εἰμί[vipa3s] συνίημι[vppanms] ἤ[cc] ἐκζητέω[vppanms] ὁ[dams] θεός[namsc]. **v.4** πᾶς[ainmpn] ἐκκλίνω[viaa3p] ἅμα[b] ἀχρειόω[viap3p] οὐ[b] εἰμί[vipa3s] ποιέω[vppanms] ἀγαθός[anansn] οὐ[b] εἰμί[vipa3s] ἕως[pg] εἷς[acgmsn]. **v.5** οὐχί[b] γινώσκω[vifm3p] πᾶς[ainmpn] ὁ[dnmp] ἐργάζομαι[vppmnmp] ὁ[dafs] ἀνομία[nafsc] ὁ[dnmp] ἔσθω[vppanmp] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] βρῶσις[ndfsc] ἄρτος[ngmsc] ὁ[dams] θεός[namsc] οὐ[b] ἐπικαλέω[viam3p]. **v.6** ἐκεῖ[b] φοβέω[vifp3p] φόβος[namsc] ὅς[b] οὐ[b] εἰμί[viia3s] φόβος[nnmsc] ὅτι[cs] ὁ[dnms] θεός[nnmsc] διασκορπίζω[viaa3s] ὀστέον[nanpc] ἀνθρωπάρεσκος[ngmpc] καταισχύνω[viap3p] ὅτι[cs] ὁ[dnms] θεός[nnmsc] ἐξουδενόω[viaa3s] αὐτός[rpamp]. **v.7** τίς[rqnms] δίδωμι[vifa3s] ἐκ[pg] Σιών[ngfsp] ὁ[dans] σωτήριον[nansc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐν[pd] ὁ[ddns] ἐπιστρέφω[vnaa] κύριος[namsc] ὁ[dafs] αἰχμαλωσία[nafsc] ὁ[dgms] λαός[ngmsc] αὐτός[rpgms] ἀγαλλιάω[vifm3s] Ἰακώβ[nnmsp] καί[cc] εὐφραίνω[vifp3s] Ἰσραήλ[nnmsp]. **53. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] ἐν[pd] ὕμνος[ndmpc] σύνεσις[ngfsc] ὁ[ddms] Δαυίδ[ndmsp]. **v.2** ἐν[pd] ὁ[ddns] ἔρχομαι[vnaa] ὁ[damp] Ζιφαίος[nampp] καί[cc] λέγω[vnaa] ὁ[ddms] Σαούλ[ndmsp] οὐ[b] ἰδού[i] Δαυίδ[nnmsp] κρύπτω[vixp3s] παρά[pd] ἐγώ[rpd-p]. **v.3** ὁ[dnms] θεός[nnmsc] ἐν[pd] ὁ[ddns] ὄνομα[ndnsc] σύ[rpgms] σῴζω[vdaa2s] ἐγώ[rpa-s] καί[cc] ἐν[pd] ὁ[ddfs] δύναμις[ndfsc] σύ[rpgms] κρίνω[vdaa2s] ἐγώ[rpa-s]. **v.4** ὁ[dnms] θεός[nnmsc] εἰσακούω[vdaa2s] ὁ[dgfs] προσευχή[ngfsc] ἐγώ[rpg-s] ἐνωτίζομαι[vdam2s] ὁ[danp] ῥῆμα[nanpc] ὁ[dgns] στόμα[ngnsc] ἐγώ[rpg-s].

6 ἐνώπιον αὐτῶν διάψαλμα. ἰδοὺ γὰρ ὁ θεὸς βοηθεῖ μοι καὶ ὁ
7 κύριος ἀντιλήμπτωρ τῆς ψυχῆς μου. ἀποστρέψει τὰ κακὰ τοῖς
8 ἐχθροῖς μου ἐν τῇ ἀληθείᾳ σου ἐξολέθρευσον αὐτούς. ἑκουσίως
9 θύσω σοι ἐξομολογήσομαι τῷ ὀνόματί σου κύριε ὅτι ἀγαθόν. ὅτι
ἐκ πάσης θλίψεως ἐρρύσω με καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ
ὀφθαλμός μου.

**54**, 2 εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυιδ. ἐνώτισαι ὁ θεός
3 τὴν προσευχήν μου καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. πρόσχες
μοι καὶ εἰσάκουσόν μου ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου καὶ ἐ-
4 ταράχθην. ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ ὅτι
5 ἐξέκλιναν ἐπ᾽ ἐμὲ ἀνομίαν καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. ἡ καρ-
δία μου ἐταράχθη ἐν ἐμοί καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ᾽ ἐμέ.
6, 7 φόβος καὶ τρόμος ἦλθεν ἐπ᾽ ἐμέ καὶ ἐκάλυψέν με σκότος. καὶ
εἶπα τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι
8 καὶ καταπαύσω. ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν
9 τῇ ἐρήμῳ διάψαλμα. προσεδεχόμην τὸν σῴζοντά με ἀπὸ ὀλι-
10 γοψυχίας καὶ καταιγίδος. καταπόντισον κύριε καὶ καταδίελε
τὰς γλώσσας αὐτῶν ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.
11 ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς ἀνομία
12 καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία. καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν

---

**v.5** ὅτι[cs] ἀλλότριος[annmpn] ἐπανίστημι[viaa3p] ἐπί[pa] ἐγώ[rpa-s] καί[cc] κραταιός[annmpn] ζητέω[viaa3p] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s] οὐ[b] προτίθημι[viam3p] ὁ[dams] θεός[namsc] ἐνώπιον[pg] αὐτός[rpgmp] διάψαλμα[nnnsc]. **v.6** ἰδού[i] γάρ[cc] ὁ[dnms] θεός[nnmsc] βοηθέω[vipa3s] ἐγώ[rpd-s] καί[cc] ὁ[dnms] κύριος[nnmsc] ἀντιλήμπτωρ[nnmsc] ὁ[dgfs] ψυχή[ngfsc] ἐγώ[rpg-s]. **v.7** ἀποστρέφω[vifa3s] ὁ[danp] κακός[ananpn] ὁ[ddmp] ἐχθρός[andmpn] ἐγώ[rpg-s] ἐν[pd] ὁ[ddfs] ἀλήθεια[ndfsc] σύ[rpg-s] ἐξολεθρεύω[vdaa2s] αὐτός[rpamp]. **v.8** ἑκουσίως[b] θύω[vifa1s] σύ[rpd-s] ἐξομολογέω[vifm1s] ὁ[ddns] ὄνομα[ndnsc] σύ[rpg-s] κύριος[nvmsc] ὅτι[cs] ἀγαθός[annnsn]. **v.9** ὅτι[cs] ἐκ[pg] πᾶς[aigfsn] θλῖψις[ngfsc] ῥύομαι[viam2s] ἐγώ[rpams] καί[cc] ἐν[pd] ὁ[ddmp] ἐχθρός[andmpn] ἐγώ[rpg-s] ἐφοράω[viaa3s] ὁ[dnms] ὀφθαλμός[nnmsc] ἐγώ[rpg-s]. **54. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] ἐν[pd] ὕμνος[ndmpc] σύνεσις[ngfsc] ὁ[ddms] Δαυίδ[ndmsp]. **v.2** ἐνωτίζομαι[vdam2s] ὁ[dnms] θεός[nnmsc] ὁ[dafs] προσευχή[nafsc] ἐγώ[rpg-s] καί[cc] μή[x] ὑπεροράω[vsaa2s] ὁ[dafs] δέησις[nafsc] ἐγώ[rpg-s]. **v.3** προσέχω[vdaa2s] ἐγώ[rpd-s] καί[cc] εἰσακούω[vdaa2s] ἐγώ[rpg-s] λυπέω[viap1s] ἐν[pd] ὁ[ddfs] ἀδολεσχία[ndfsc] ἐγώ[rpg-s] καί[cc] ταράσσω[viap1s]. **v.4** ἀπό[pg] φωνή[ngfsc] ἐχθρός[angmsn] καί[cc] ἀπό[pg] θλῖψις[ngfsc] ἁμαρτωλός[angmsn] ὅτι[cs] ἐκκλίνω[viaa3p] ἐπί[pa] ἐγώ[rpa-s] ἀνομία[nafsc] καί[cc] ἐν[pd] ὀργή[ndfsc] ἐγκοτέω[viia3p] ἐγώ[rpd-s]. **v.5** ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-s] ταράσσω[viap3s] ἐν[pd] ἐγώ[rpd-s] καί[cc] δειλία[nnfsc] θάνατος[ngmsc] ἐπιπίπτω[viaa3s] ἐπί[pa] ἐγώ[rpa-s]. **v.6** φόβος[nnmsc] καί[cc] τρόμος[nnmsc] ἔρχομαι[viaa3s] ἐπί[pa] ἐγώ[rpa-s] καί[cc] καλύπτω[viaa3s] ἐγώ[rpa-s] σκότος[nnnsc]. **v.7** καί[cc] λέγω[viaa1s] τίς[rqnms] δίδωμι[vifa3s] ἐγώ[rpd-s] πτέρυξ[nafpc] ὡσεί[x] περιστερά[ngfsc] καί[cc] πετάννυμι[vifp1s] καί[cc] καταπαύω[vifa1s]. **v.8** ἰδού[i] μακρύνω[viaa1s] φυγαδεύω[vppanms] καί[cc] αὐλίζομαι[viap1s] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc] διάψαλμα[nnnsc]. **v.9** προσδέχομαι[viim1s] ὁ[dams] σῴζω[vppaams] ἐγώ[rpa-s] ἀπό[pg] ὀλιγοψυχία[ngfsc] καί[cc] καταιγίς[ngfsc]. **v.10** καταποντίζω[vdaa2s] κύριος[nvmsc] καί[cc] καταδιαιρέω[vdaa2s] ὁ[dafp] γλῶσσα[nafpc] αὐτός[rpgmp] ὅτι[cs] ὁράω[viaa1s] ἀνομία[nafsc] καί[cc] ἀντιλογία[nafsc] ἐν[pd] ὁ[ddfs] πόλις[ndfsc]. **v.11** ἡμέρα[ngfsc] καί[cc] νύξ[ngfsc] κυκλόω[vifa3s] αὐτός[rpafs] ἐπί[pa] ὁ[danp] τεῖχος[nanpc] αὐτός[rpgfs] ἀνομία[nnfsc] καί[cc] κόπος[nnmsc] ἐν[pd] μέσος[andnsn] αὐτός[rpgfs] καί[cc] ἀδικία[nnfsc].

πλατειῶν αὐτῆς τόκος καὶ δόλος. ὅτι εἰ ἐχθρὸς ὠνείδισέν με 13
ὑπήνεγκα ἄν καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν ἐ-
κρύβην ἂν ἀπ' αὐτοῦ. σὺ δέ ἄνθρωπε ἰσόψυχε ἡγεμών μου καὶ 14
γνωστέ μου. ὃς ἐπὶ τὸ αὐτό μοι ἐγλύκανας ἐδέσματα ἐν τῷ οἴκῳ 15
τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ. ἐλθέτω θάνατος ἐπ' αὐτούς 16
καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες ὅτι πονηρίαι ἐν ταῖς παροικί-
αις αὐτῶν ἐν μέσῳ αὐτῶν. ἐγὼ δὲ πρὸς τὸν θεὸν ἐκέκραξα καὶ 17
ὁ κύριος εἰσήκουσέν μου. ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας 18
διηγήσομαι ἀπαγγελῶ καὶ εἰσακούσεται τῆς φωνῆς μου. λυ- 19
τρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι ὅτι
ἐν πολλοῖς ἦσαν σὺν ἐμοί. εἰσακούσεται ὁ θεὸς καὶ ταπεινώσει 20
αὐτούς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων διάψαλμα οὐ γάρ ἐστιν αὐτοῖς
ἀντάλλαγμα καὶ οὐκ ἐφοβήθησαν τὸν θεόν. ἐξέτεινεν τὴν χεῖρα 21
αὐτοῦ ἐν τῷ ἀποδιδόναι ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. διεμε- 22
ρίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ καὶ ἤγγισεν ἡ καρδία
αὐτοῦ ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον καὶ αὐτοί εἰσιν
βολίδες. ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου καὶ αὐτός σε 23
διαθρέψει οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. σὺ δέ ὁ θεός 24
κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς ἄνδρες αἱμάτων καὶ δολιό-
τητος οὐ μὴ ἡμισεύσωσιν τὰς ἡμέρας αὐτῶν ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ
κύριε.

---

**v.12** καί[cc] οὐ[b] ἐκλείπω[viaa3s] ἐκ[pg] ὁ[dgfp] πλατύς[angfpn] αὐτός[rpgfs] τόκος[nnmsc] καί[cc] δόλος[nnmsc]. **v.13** ὅτι[cs] εἰ[cs] ἐχθρός[annmsn] ὀνειδίζω[viaa3s] ἐγώ[rpa-s] ὑποφέρω[viaa1s] ἄν[x] καί[cc] εἰ[cs] ὁ[dnms] μισέω[vppanms] ἐγώ[rpa-s] ἐπί[pa] ἐγώ[rpa-s] μεγαλορρημονέω[viaa3s] κρύπτω[viap1s] ἄν[x] ἀπό[pg] αὐτός[rpgms]. **v.14** σύ[rpn-s] δέ[cc] ἄνθρωπος[nvmsc] ἰσόψυχος[anvmsn] ἡγεμών[nvmsc] ἐγώ[rpg-s] καί[cc] γνωστός[anvmsn] ἐγώ[rpg-s]. **v.15** ὅς[rrnms] ἐπί[pa] ὁ[dans] αὐτός[rpans] ἐγώ[rpd-s] γλυκαίνω[viaa2s] ἔδεσμα[nanpc] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] ὁ[dgms] θεός[ngmsc] πορεύομαι[viap1p] ἐν[pd] ὁμόνοια[ndfsc]. **v.16** ἔρχομαι[vdaa3s] θάνατος[nnmsc] ἐπί[pa] αὐτός[rpamp] καί[cc] καταβαίνω[vdaa3p] εἰς[pa] ᾅδης[ngmsc] ζάω[vppanmp] ὅτι[cs] πονηρία[nnfpc] ἐν[pd] ὁ[ddfp] παροικία[ndfpc] αὐτός[rpgmp] ἐν[pd] μέσος[andnsn] αὐτός[rpgmp]. **v.17** ἐγώ[rpn-s] δέ[cc] πρός[pa] ὁ[dams] θεός[namsc] κράζω[viaa1s] καί[cc] ὁ[dnms] κύριος[nnmsc] εἰσακούω[viaa3s] ἐγώ[rpg-s]. **v.18** ἑσπέρα[ngfsc] καί[cc] πρωΐ[b] καί[cc] μεσημβρία[ngfsc] διηγέομαι[vifm1s] ἀπαγγέλλω[vifa1s] καί[cc] εἰσακούω[vifm3s] ὁ[dgfs] φωνή[ngfsc] ἐγώ[rpg-s]. **v.19** λυτρόω[vifm3s] ἐν[pd] εἰρήνη[ndfsc] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s] ἀπό[pg] ὁ[dgmp] ἐγγίζω[vppagmp] ἐγώ[rpd-s] ὅτι[cs] ἐν[pd] πολύς[andnpn] εἰμί[viia3p] σύν[pd] ἐγώ[rpd-s]. **v.20** εἰσακούω[vifm3s] ὁ[dnms] θεός[nnmsc] καί[cc] ταπεινόω[vifa3s] αὐτός[rpamp] ὁ[dnms] ὑπάρχω[vppanms] πρό[pg] ὁ[dgmp] αἰών[ngmpc] διάψαλμα[nnnsc] οὐ[b] γάρ[cc] εἰμί[vipa3s] αὐτός[rpdmp] ἀντάλλαγμα[nnnsc] καί[cc] οὐ[b] φοβέω[viap3p] ὁ[dams] θεός[namsc]. **v.21** ἐκτείνω[viaa3s] ὁ[dafs] χείρ[nafsc] αὐτός[rpgms] ἐν[pd] ὁ[ddns] ἀποδίδωμι[vnpa] βεβηλόω[viaa3p] ὁ[dafs] διαθήκη[nafsc] αὐτός[rpgms]. **v.22** διαμερίζω[viap3p] ἀπό[pg] ὀργή[ngfsc] ὁ[dgns] πρόσωπον[ngnsc] αὐτός[rpgms] καί[cc] ἐγγίζω[viaa3s] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgms] ἁπαλύνω[viap3p] ὁ[dnmp] λόγος[nnmpc] αὐτός[rpgms] ὑπέρ[pa] ἔλαιον[nansc] καί[cc] αὐτός[rpnmp] εἰμί[vipa3p] βολίς[nnfpc]. **v.23** ἐπιρρίπτω[vdaa2s] ἐπί[pa] κύριος[namsc] ὁ[dafs] μέριμνα[nafsc] σύ[rpg-s] καί[cc] αὐτός[rpnms] σύ[rpa-s] διατρέφω[vifa3s] οὐ[b] δίδωμι[vifa3s] εἰς[pa] ὁ[dams] αἰών[namsc] σάλος[namsc] ὁ[ddms] δίκαιος[andmsn]. **v.24** σύ[rpn-s] δέ[cc] ὁ[dnms] θεός[nnmsc] κατάγω[vifa2s] αὐτός[rpamp] εἰς[pa] φρέαρ[nansc] διαφθορά[ngfsc] ἀνήρ[nnmpc] αἷμα[ngnpc] καί[cc] δολιότης[ngfsc] οὐ[b] μή[x] ἡμισεύω[vsaa3p] ὁ[dafp] ἡμέρα[nafpc] αὐτός[rpgmp] ἐγώ[rpn-s] δέ[cc] ἐλπίζω[vifa1s] ἐπί[pa] σύ[rpa-s] κύριος[nvmsc].

**55** εἰς τὸ τέλος ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου
τῷ Δαυιδ εἰς στηλογραφίαν ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι
2 ἐν Γεθ. ἐλέησόν με κύριε ὅτι κατεπάτησέν με ἄνθρωπος ὅλην
3 τὴν ἡμέραν πολεμῶν ἔθλιψέν με. κατεπάτησάν με οἱ ἐχθροί μου
4 ὅλην τὴν ἡμέραν ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους. ἡ-
5 μέρας φοβηθήσομαι ἐγὼ δὲ ἐπὶ σοὶ ἐλπιῶ. ἐν τῷ θεῷ ἐπαινέσω
τοὺς λόγους μου ὅλην τὴν ἡμέραν ἐπὶ τῷ θεῷ ἤλπισα οὐ φοβη-
6 θήσομαι τί ποιήσει μοι σάρξ. ὅλην τὴν ἡμέραν τοὺς λόγους μου
ἐβδελύσσοντο κατ᾽ ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.
7 παροικήσουσιν καὶ κατακρύψουσιν αὐτοὶ τὴν πτέρναν μου φυλά-
8 ξουσιν καθάπερ ὑπέμειναν τὴν ψυχήν μου. ὑπὲρ τοῦ μηθενὸς
9 σώσεις αὐτούς ἐν ὀργῇ λαοὺς κατάξεις ὁ θεός. τὴν ζωήν μου
ἐξήγγειλά σοι ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου ὡς καὶ ἐν τῇ ἐ-
10 παγγελίᾳ σου. ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω ἐν ᾗ
11 ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε ἰδοὺ ἔγνων ὅτι θεός μου εἶ σύ. ἐπὶ
12 τῷ θεῷ αἰνέσω ῥῆμα ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον. ἐπὶ τῷ θεῷ ἤλ-
13 πισα οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ἐν ἐμοί ὁ θεός
14 αἱ εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σοι. ὅτι ἐρρύσω τὴν ψυχήν μου
ἐκ θανάτου καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος τοῦ εὐαρεστῆσαι
ἐνώπιον τοῦ θεοῦ ἐν φωτὶ ζώντων.

**56** εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαυιδ εἰς στηλογραφίαν ἐν τῷ

---

**55.** **v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] ὑπέρ[pg] ὁ[dgms] λαός[ngmsc] ὁ[dgms] ἀπό[pg] ὁ[dgnp] ἅγιος[angnpn] μακρύνω[vpxpgms] ὁ[ddms] Δαυίδ[ndmsp] εἰς[pa] στηλογραφία[nafsc] ὁπότε[cs] κρατέω[viaa3p] αὐτός[rpams] ὁ[dnmp] ἀλλόφυλος[annmpn] ἐν[pd] Γεθ[ndfsp]. **v.2** ἐλεέω[vdaa2s] ἐγώ[rpa-s] κύριος[nvmsc] ὅτι[cs] καταπατέω[viaa3s] ἐγώ[rpa-s] ἄνθρωπος[nnmsc] ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc] πολεμέω[vppanms] θλίβω[viaa3s] ἐγώ[rpa-s]. **v.3** καταπατέω[viaa3p] ἐγώ[rpa-s] ὁ[dnmp] ἐχθρός[annmpn] ἐγώ[rpg-s] ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc] ὅτι[cs] πολύς[annmpn] ὁ[dnmp] πολεμέω[vppanmp] ἐγώ[rpa-s] ἀπό[pg] ὕψος[ngnsc]. **v.4** ἡμέρα[ngfsc] φοβέω[vifp1s] ἐγώ[rpn-s] δέ[cc] ἐπί[pd] σύ[rpd-s] ἐλπίζω[vifa1s]. **v.5** ἐν[pd] ὁ[ddms] θεός[ndmsc] ἐπαινέω[vifa1s] ὁ[damp] λόγος[nampc] ἐγώ[rpg-s] ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc] ἐπί[pd] ὁ[ddms] θεός[ndmsc] ἐλπίζω[viaa1s] οὐ[b] φοβέω[vifp1s] τίς[rqans] ποιέω[vifa3s] ἐγώ[rpd-s] σάρξ[nnfsc]. **v.6** ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc] ὁ[damp] λόγος[nampc] ἐγώ[rpg-s] βδελύσσω[viim3p] κατά[pg] ἐγώ[rpg-s] πᾶς[ainmpn] ὁ[dnmp] διαλογισμός[nnmpc] αὐτός[rpgmp] εἰς[pa] κακός[anansn]. **v.7** παροικέω[vifa3p] καί[cc] κατακρύπτω[vifa3p] αὐτός[rpnmp] ὁ[dafs] πτέρνα[nafsc] ἐγώ[rpg-s] φυλάσσω[vifa3p] καθάπερ[cs] ὑπομένω[viaa3p] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s]. **v.8** ὑπέρ[pg] ὁ[dgms] μηθείς[rigns] σῴζω[vifa2s] αὐτός[rpamp] ἐν[pd] ὀργή[ndfsc] λαός[nampc] κατάγω[vifa2s] ὁ[dnms] θεός[nnmsc]. **v.9** ὁ[dafs] ζωή[nafsc] ἐγώ[rpg-s] ἐξαγγέλλω[viaa1s] σύ[rpd-s] τίθημι[viam2s] ὁ[danp] δάκρυ[nanpc] ἐγώ[rpg-s] ἐνώπιον[pg] σύ[rpg-s] ὡς[cs] καί[b] ἐν[pd] ὁ[ddfs] ἐπαγγελία[ndfsc] σύ[rpg-s]. **v.10** ἐπιστρέφω[vifa3p] ὁ[dnmp] ἐχθρός[annmpn] ἐγώ[rpg-s] εἰς[pa] ὁ[danp] ὀπίσω[b] ἐν[pd] ὅς[rrdfs] ἄν[x] ἡμέρα[ndfsc] ἐπικαλέω[vsam1s] σύ[rpa-s] ἰδού[i] γινώσκω[viaa1s] ὅτι[cs] θεός[nnmsc] ἐγώ[rpg-s] εἰμί[vipa2s] σύ[rpnms]. **v.11** ἐπί[pd] ὁ[ddms] θεός[ndmsc] αἰνέω[vifa1s] ῥῆμα[nansc] ἐπί[pd] ὁ[ddms] κύριος[ndmsc] αἰνέω[vifa1s] λόγος[namsc]. **v.12** ἐπί[pd] ὁ[ddms] θεός[ndmsc] ἐλπίζω[viaa1s] οὐ[b] φοβέω[vifp1s] τίς[rqans] ποιέω[vifa3s] ἐγώ[rpd-s] ἄνθρωπος[nnmsc]. **v.13** ἐν[pd] ἐγώ[rpd-s] ὁ[dnms] θεός[nnmsc] ὁ[dnfp] εὐχή[nnfpc] ὅς[rrafp] ἀποδίδωμι[vifa1s] αἴνεσις[ngfsc] σύ[rpd-s]. **v.14** ὅτι[cs] ῥύομαι[viam2s] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpgms] ἐκ[pg] θάνατος[ngmsc] καί[cc] ὁ[damp] πούς[nampc] ἐγώ[rpgms] ἐκ[pg] ὀλίσθημα[ngnsc] ὁ[dgns] εὐαρεστέω[vnaa] ἐνώπιον[pg] ὁ[dgms] θεός[ngmsc] ἐν[pd] φῶς[ndnsc] ζάω[vppagmp].

αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαουλ εἰς τὸ σπήλαιον. ἐ- 2
λέησόν με ὁ θεός ἐλέησόν με ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου καὶ
ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ ἕως οὗ παρέλθῃ ἡ ἀνομία.
κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον τὸν θεὸν τὸν εὐεργετή- 3
σαντά με. ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέν με ἔδωκεν εἰς 4
ὄνειδος τοὺς καταπατοῦντάς με διάψαλμα ἐξαπέστειλεν ὁ θεὸς τὸ
ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ. καὶ ἐρρύσατο τὴν ψυχήν 5
μου ἐκ μέσου σκύμνων ἐκοιμήθην τεταραγμένος υἱοὶ ἀνθρώπων
οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα
ὀξεῖα. ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ θεός καὶ ἐπὶ πᾶσαν τὴν γῆν 6
ἡ δόξα σου. παγίδα ἡτοίμασαν τοῖς ποσίν μου καὶ κατέκαμψαν 7
τὴν ψυχήν μου ὤρυξαν πρὸ προσώπου μου βόθρον καὶ ἐνέπεσαν
εἰς αὐτόν διάψαλμα. ἑτοίμη ἡ καρδία μου ὁ θεός ἑτοίμη ἡ καρ- 8
δία μου ᾄσομαι καὶ ψαλῶ. ἐξεγέρθητι ἡ δόξα μου ἐξεγέρθητι 9
ψαλτήριον καὶ κιθάρα ἐξεγερθήσομαι ὄρθρου. ἐξομολογήσομαί 10
σοι ἐν λαοῖς κύριε ψαλῶ σοι ἐν ἔθνεσιν. ὅτι ἐμεγαλύνθη ἕως 11
τῶν οὐρανῶν τὸ ἔλεός σου καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ θεός καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα 12
σου.

εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαυιδ εἰς στηλογραφίαν. εἰ **57**, 2
ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε εὐθεῖα κρίνετε οἱ υἱοὶ τῶν ἀν-

---

**56. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] μή[x] διαφθείρω[vspa2s] ὁ[ddms] Δαυίδ[ndmsp] εἰς[pa] στηλογραφία[nafsc] ἐν[pd] ὁ[ddns] αὐτός[rpams] ἀποδιδράσκω[vnpa] ἀπό[pg] πρόσωπον[ngnsc] Σαούλ[ngmsp] εἰς[pa] ὁ[dans] σπήλαιον[nansc]. **v.2** ἐλεέω[vdaa2s] ἐγώ[rpa-s] ὁ[dnms] θεός[nnmsc] ἐλεέω[vdaa2s] ἐγώ[rpa-s] ὅτι[cs] ἐπί[pd] σύ[rpd-s] πείθω[vixa3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] καί[cc] ἐν[pd] ὁ[ddfs] σκιά[ndfsc] ὁ[dgfp] πτέρυξ[ngfpc] σύ[rpg-s] ἐλπίζω[vifa1s] ἕως[pg] ὅς[rrgns] παρέρχομαι[vsaa3s] ὁ[dnfs] ἀνομία[nnfsc]. **v.3** κράζω[vifm1s] πρός[pa] ὁ[dams] θεός[namsc] ὁ[dams] ὕψιστος[anamsn] ὁ[dams] θεός[namsc] ὁ[dams] εὐεργετέω[vpaaams] ἐγώ[rpa-s]. **v.4** ἐξαποστέλλω[viaa3s] ἐκ[pg] οὐρανός[ngmsc] καί[cc] σῴζω[viaa3s] ἐγώ[rpa-s] δίδωμι[viaa3s] εἰς[pa] ὄνειδος[nansc] ὁ[damp] καταπατέω[vppaamp] ἐγώ[rpa-s] διάψαλμα[nnnsc] ἐξαποστέλλω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dans] ἔλεος[nansc] αὐτός[rpgms] καί[cc] ὁ[dafs] ἀλήθεια[nafsc] αὐτός[rpgms]. **v.5** καί[cc] ῥύομαι[viam3s] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s] ἐκ[pg] μέσος[angnsn] σκύμνος[ngmpc] κοιμάομαι[viap1s] ταράσσω[vpxpnms] υἱός[nnmpc] ἄνθρωπος[ngmpc] ὁ[dnmp] ὀδούς[nnmpc] αὐτός[rpgmp] ὅπλον[nansc] καί[cc] βέλος[nanpc] καί[cc] ὁ[dnfs] γλῶσσα[nnfsc] αὐτός[rpgmp] μάχαιρα[nnfsc] ὀξύς[annfsn]. **v.6** ὑψόω[vdap2s] ἐπί[pa] ὁ[damp] οὐρανός[nampc] ὁ[dnms] θεός[nnmsc] καί[cc] ἐπί[pa] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc] ὁ[dnfs] δόξα[nnfsc] σύ[rpg-s]. **v.7** παγίς[nafsc] ἑτοιμάζω[viaa3p] ὁ[ddmp] πούς[ndmpc] ἐγώ[rpg-s] καί[cc] κατακάμπτω[viaa3p] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s] ὀρύσσω[viaa3p] πρό[pg] πρόσωπον[ngnsc] ἐγώ[rpg-s] βόθρος[namsc] καί[cc] ἐμπίπτω[viaa3p] εἰς[pa] αὐτός[rpams] διάψαλμα[nnnsc]. **v.8** ἕτοιμος[annfsn] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-s] ὁ[dnms] θεός[nnmsc] ἕτοιμος[annfsn] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-s] ᾄδω[vifm1s] καί[cc] ψάλλω[vifa1s]. **v.9** ἐξεγείρω[vdap2s] ὁ[dnfs] δόξα[nnfsc] ἐγώ[rpg-s] ἐξεγείρω[vdap2s] ψαλτήριον[nnnsc] καί[cc] κιθάρα[nnfsc] ἐξεγείρω[vifp1s] ὄρθρος[ngmsc]. **v.10** ἐξομολογέω[vifm1s] σύ[rpd-s] ἐν[pd] λαός[ndmpc] κύριος[nvmsc] ψάλλω[vifa1s] σύ[rpd-s] ἐν[pd] ἔθνος[ndnpc]. **v.11** ὅτι[cs] μεγαλύνω[viap3s] ἕως[pg] ὁ[dgmp] οὐρανός[ngmpc] ὁ[dnns] ἔλεος[nnnsc] σύ[rpg-s] καί[cc] ἕως[pg] ὁ[dgfp] νεφέλη[ngfpc] ὁ[dnfs] ἀλήθεια[nnfsc] σύ[rpg-s]. **v.12** ὑψόω[vdap2s] ἐπί[pa] ὁ[damp] οὐρανός[nampc] ὁ[dnms] θεός[nnmsc] καί[cc] ἐπί[pa] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc] ὁ[dnfs] δόξα[nnfsc] σύ[rpg-s]. **57. v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] μή[x] διαφθείρω[vspa2s] ὁ[ddms] Δαυίδ[ndmsp] εἰς[pa] στηλογραφία[nafsc].

3 θρώπων. καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ ἀδικίαν
4 αἱ χεῖρες ὑμῶν συμπλέκουσιν. ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ
5 ἀπὸ μήτρας ἐπλανήθησαν ἀπὸ γαστρός ἐλάλησαν ψεύδη. θυ-
μὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως ὡσεὶ ἀσπίδος κωφῆς καὶ
6 βυούσης τὰ ὦτα αὐτῆς. ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων
7 φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ. ὁ θεὸς συνέτριψεν
τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν τὰς μύλας τῶν λεόντων
8 συνέθλασεν κύριος. ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμε-
9 νον ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν. ὡσεὶ κηρὸς ὁ
τακεὶς ἀνταναιρεθήσονται ἐπέπεσε πῦρ καὶ οὐκ εἶδον τὸν ἥλιον.
10 πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον ὡσεὶ ζῶντας ὡ-
11 σεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς. εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ
ἐκδίκησιν ἀσεβῶν τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁ-
12 μαρτωλοῦ. καὶ ἐρεῖ ἄνθρωπος εἰ ἄρα ἔστιν καρπὸς τῷ δικαίῳ
ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

**58** εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαυιδ εἰς στηλογραφίαν ὁπότε
ἀπέστειλεν Σαουλ καὶ ἐφύλαξεν τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι
2 αὐτόν. ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεός καὶ ἐκ τῶν ἐπανι-
3 στανομένων ἐπ᾽ ἐμὲ λύτρωσαί με. ῥῦσαί με ἐκ τῶν ἐργαζομένων
4 τὴν ἀνομίαν καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με. ὅτι ἰδοὺ ἐθήρευ-
σαν τὴν ψυχήν μου ἐπέθεντο ἐπ᾽ ἐμὲ κραταιοί οὔτε ἡ ἀνομία μου

---

**v.2** εἰ[cs] ἀληθῶς[b] ἄρα[x] δικαιοσύνη[nafsc] λαλέω[vipa2p] εὐθύς[annfsn] κρίνω[vipa2p] ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc]. **v.3** καί[cc] γάρ[cc] ἐν[pd] καρδία[ndfsc] ἀνομία[ngfsc] ἐργάζομαι[vipm2p] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] ἀδικία[nafsc] ὁ[dnfp] χείρ[nnfpc] σύ[rpg-p] συμπλέκω[vipa3p]. **v.4** ἀπαλλοτριόω[viap3p] ὁ[dnmp] ἁμαρτωλός[annmpn] ἀπό[pg] μήτρα[ngfsc] πλανάω[viap3p] ἀπό[pg] γαστήρ[ngfsc] λαλέω[viaa3p] ψεῦδος[nanpc]. **v.5** θυμός[nnmsc] αὐτός[rpdmp] κατά[pa] ὁ[dafs] ὁμοίωσις[nafsc] ὁ[dgms] ὄφις[ngmsc] ὡσεί[x] ἀσπίς[ngfsc] κωφός[angfsn] καί[cc] βύω[vppanfs] ὁ[danp] οὖς[nanpc] αὐτός[rpgfs]. **v.6** ὅστις[rrnfs] οὐ[b] εἰσακούω[vifm3s] φωνή[nafsc] ἐπαείδω[vppagmp] φάρμακος[ngmsc] τέ[cc] φαρμακεύω[vpppgms] παρά[pg] σοφός[angmsn]. **v.7** ὁ[dnms] θεός[nnmsc] συντρίβω[viaa3s] ὁ[damp] ὀδούς[nampc] αὐτός[rpgmp] ἐν[pd] ὁ[ddns] στόμα[ndnsc] αὐτός[rpgmp] ὁ[dafp] μύλη[nafpc] ὁ[dgmp] λέων[ngmpc] συνθλάω[viaa3s] κύριος[nnmsc]. **v.8** ἐξουδενόω[vifp3p] ὡς[cs] ὕδωρ[nnnsc] διαπορεύομαι[vppmnns] ἐντείνω[vifa3s] ὁ[dans] τόξον[nansc] αὐτός[rpgms] ἕως[pg] ὅς[rrgns] ἀσθενέω[vifa3p]. **v.9** ὡσεί[x] κηρός[nnmsc] ὁ[dnms] τήκω[vpapnms] ἀνταναιρέω[vifp3p] ἐπιπίπτω[viaa3s] πῦρ[nnnsc] καί[cc] οὐ[b] ὁράω[viaa3p] ὁ[dams] ἥλιος[namsc]. **v.10** πρό[pg] ὁ[dgns] συνίημι[vnpa] ὁ[dafp] ἄκανθα[nafpc] σύ[rpg-p] ὁ[dafs] ῥάμνος[nafsc] ὡσεί[x] ζάω[vppaamp] ὡσεί[x] ἐν[pd] ὀργή[ndfsc] καταπίνω[vifm3s] σύ[rpa-p]. **v.11** εὐφραίνω[vifp3s] δίκαιος[annmsn] ὅταν[cs] ὁράω[vsaa3s] ἐκδίκησις[nafsc] ἀσεβής[angmpn] ὁ[dafp] χείρ[nafpc] αὐτός[rpgms] νίπτω[vifm3s] ἐν[pd] ὁ[ddns] αἷμα[ndnsc] ὁ[dgms] ἁμαρτωλός[angmsn]. **v.12** καί[cc] λέγω[vifa3s] ἄνθρωπος[nnmsc] εἰ[cs] ἄρα[x] εἰμί[vipa3s] καρπός[nnmsc] ὁ[ddms] δίκαιος[andmsn] ἄρα[x] εἰμί[vipa3s] ὁ[dnms] θεός[nnmsc] κρίνω[vppanms] αὐτός[rpamp] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc]. **58.** **v.1** εἰς[pa] ὁ[dans] τέλος[nansc] μή[x] διαφθείρω[vspa2s] ὁ[ddms] Δαυίδ[ndmsp] εἰς[pa] στηλογραφία[nafsc] ὁπότε[cs] ἀποστέλλω[viaa3s] Σαούλ[nnmsp] καί[cc] φυλάσσω[viaa3s] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms] ὁ[dgns] θανατόω[vnaa] αὐτός[rpams]. **v.2** ἐξαιρέω[vdam2s] ἐγώ[rpams] ἐκ[pg] ὁ[dgmp] ἐχθρός[angmpn] ἐγώ[rpgms] ὁ[dnms] θεός[nnmsc] καί[cc] ἐκ[pg] ὁ[dgmp] ἐπανίστημι[vppmgmp] ἐπί[pa] ἐγώ[rpams] λυτρόω[vdam2s] ἐγώ[rpams]. **v.3** ῥύομαι[vdam2s] ἐγώ[rpa-s] ἐκ[pg] ὁ[dgmp] ἐργάζομαι[vppmgmp] ὁ[dafs] ἀνομία[nafsc] καί[cc] ἐκ[pg] ἀνήρ[ngmpc] αἷμα[ngnpc] σῴζω[vdaa2s] ἐγώ[rpa-s].

οὔτε ἡ ἁμαρτία μου κύριε. ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυ- 5
ναν ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἰδέ. καὶ σύ κύριε ὁ θεὸς 6
τῶν δυνάμεων ὁ θεὸς Ισραηλ πρόσχες τοῦ ἐπισκέψασθαι πάντα
τὰ ἔθνη μὴ οἰκτιρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν
διάψαλμα. ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων 7
καὶ κυκλώσουσιν πόλιν. ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐ- 8
τῶν καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν ὅτι τίς ἤκουσεν. καὶ σύ 9
κύριε ἐκγελάσῃ αὐτούς ἐξουδενώσεις πάντα τὰ ἔθνη. τὸ κράτος 10
μου πρὸς σὲ φυλάξω ὅτι ὁ θεὸς ἀντιλήμπτωρ μου εἶ. ὁ θεός μου 11
τὸ ἔλεος αὐτοῦ προφθάσει με ὁ θεὸς δείξει μοι ἐν τοῖς ἐχθροῖς
μου. μὴ ἀποκτείνῃς αὐτούς μήποτε ἐπιλάθωνται τοῦ λαοῦ μου 12
διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου καὶ κατάγαγε αὐτούς ὁ
ὑπερασπιστής μου κύριε. ἁμαρτίαν στόματος αὐτῶν λόγον χει- 13
λέων αὐτῶν καὶ συλλημφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν καὶ
ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται συντέλειαι. ἐν ὀργῇ συν- 14
τελείας καὶ οὐ μὴ ὑπάρξωσιν καὶ γνώσονται ὅτι ὁ θεὸς δεσπόζει
τοῦ Ιακωβ τῶν περάτων τῆς γῆς διάψαλμα. ἐπιστρέψουσιν εἰς 15
ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων καὶ κυκλώσουσιν πόλιν. αὐ- 16
τοὶ διασκορπισθήσονται τοῦ φαγεῖν ἐὰν δὲ μὴ χορτασθῶσιν καὶ
γογγύσουσιν. ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου καὶ ἀγαλλιάσομαι 17
τὸ πρωὶ τὸ ἔλεός σου ὅτι ἐγενήθης ἀντιλήμπτωρ μου καὶ κατα-

---

κραυγή μου πρὸς σὲ ἐλθάτω. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου 3
ἀπ' ἐμοῦ ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι κλῖνον τὸ οὖς σου πρός με ἐν
ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε ταχὺ εἰσάκουσόν μου. ὅτι ἐξέλι- 4
πον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον
συνεφρύγησαν. ἐπλήγη ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία 5
μου ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. ἀπὸ φωνῆς τοῦ 6
στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. ὡμοιώ- 7
θην πελεκᾶνι ἐρημικῷ ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.
ἠγρύπνησα καὶ ἐγενήθην ὡσεὶ στρουθίον μονάζον ἐπὶ δώματι. 8

---

**v.3** οὐ[b] προτίθημι[viam1s] πρό[pg] ὀφθαλμός[ngmpc] ἐγώ[rpg-s] πρᾶγμα[nansc] παράνομος[anansn] ποιέω[vppaamp] παράβασις[nafpc] μισέω[viaa1s]. **v.4** οὐ[b] κολλάω[viap3s] ἐγώ[rpd-s] καρδία[nnfsc] σκαμβός[annfsn] ἐκκλίνω[vppagms] ἀπό[pg] ἐγώ[rpg-s] ὁ[dgms] πονηρός[angnsn] οὐ[b] γινώσκω[viia1s]. **v.5** ὁ[dams] καταλαλέω[vppaams] λάθρᾳ[b] ὁ[dgms] πλησίον[b] αὐτός[rpgms] οὗτος[rdams] ἐκδιώκω[viia1s] ὑπερήφανος[andmsn] ὀφθαλμός[ndmsc] καί[cc] ἄπληστος[andfsn] καρδία[ndfsc] οὗτος[rddms] οὐ[b] συνεσθίω[viia1s]. **v.6** ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-s] ἐπί[pa] ὁ[damp] πιστός[anampn] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dgns] συγκάθημαι[vnam] αὐτός[rpamp] μετά[pg] ἐγώ[rpg-s] πορεύομαι[vppmnms] ἐν[pd] ὁδός[ndfsc] ἄμωμος[andfsn] οὗτος[rdnms] ἐγώ[rpd-s] λειτουργέω[viia3s]. **v.7** οὐ[b] κατοικέω[viia3s] ἐν[pd] μέσος[andnsn] ὁ[dgfs] οἰκία[ngfsc] ἐγώ[rpg-s] ποιέω[vppanms] ὑπερηφανία[nafsc] λαλέω[vppanms] ἄδικος[ananpn] οὐ[b] κατευθύνω[viaa3s] ἐναντίον[pg] ὁ[dgmp] ὀφθαλμός[ngmpc] ἐγώ[rpg-s]. **v.8** εἰς[pa] ὁ[dafp] πρωΐα[nafpc] ἀποκτείνω[viia1s] πᾶς[aiampn] ὁ[damp] ἁμαρτωλός[anampn] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dgns] ἐξολεθρεύω[vnaa] ἐκ[pg] πόλις[ngfsc] κύριος[ngmsc] πᾶς[aiampn] ὁ[damp] ἐργάζομαι[vppmamp] ὁ[dafs] ἀνομία[nafsc]. **101. v.1** προσευχή[nnfsc] ὁ[ddms] πτωχός[andmsn] ὅταν[cs] ἀκηδιάω[vsaa3s] καί[cc] ἐναντίον[pg] κύριος[ngmsc] ἐκχέω[vspa3s] ὁ[dafs] δέησις[nafsc] αὐτός[rpgms]. **v.2** εἰσακούω[vdaa2s] κύριος[nvmsc] ὁ[dgfs] προσευχή[ngfsc] ἐγώ[rpg-s] καί[cc] ὁ[dnfs] κραυγή[nnfsc] ἐγώ[rpg-s] πρός[pa] σύ[rpams] ἔρχομαι[vdaa3s]. **v.3** μή[x] ἀποστρέφω[vsaa2s] ὁ[dans] πρόσωπον[nansc] σύ[rpgms] ἀπό[pg] ἐγώ[rpg-s] ἐν[pd] ὅς[rrdfs] ἄν[x] ἡμέρα[ndfsc] θλίβω[vspp1s] κλίνω[vdaa2s] ὁ[dans] οὖς[nansc] σύ[rpgms] πρός[pa] ἐγώ[rpa-s] ἐν[pd] ὅς[rrdfs] ἄν[x] ἡμέρα[ndfsc] ἐπικαλέω[vsam1s] σύ[rpams] ταχύς[b] εἰσακούω[vdaa2s] ἐγώ[rpg-s]. **v.4** ὅτι[cs] ἐκλείπω[viaa3p] ὡσεί[x] καπνός[nnmsc] ὁ[dnfp] ἡμέρα[nnfpc] ἐγώ[rpg-s] καί[cc] ὁ[dnnp] ὀστέον[nnnpc] ἐγώ[rpg-s] ὡσεί[x] φρύγιον[nnnsc] συμφρύγω[viaa3p]. **v.5** πλήσσω[viap3s] ὡσεί[x] χόρτος[nnmsc] καί[cc] ξηραίνω[viap3s] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-s] ὅτι[cs] ἐπιλανθάνομαι[viam1s] ὁ[dgns] ἐσθίω[vnaa] ὁ[dams] ἄρτος[namsc] ἐγώ[rpg-s]. **v.6** ἀπό[pg] φωνή[ngfsc] ὁ[dgms] στεναγμός[ngmsc] ἐγώ[rpg-s] κολλάω[viap3s] ὁ[dnns] ὀστέον[nnnsc] ἐγώ[rpg-s] ὁ[ddfs] σάρξ[ndfsc] ἐγώ[rpg-s]. **v.7** ὁμοιόω[viap1s] πελεκάν[ndmsc] ἐρημικός[andmsn] γίνομαι[viap1s] ὡσεί[x] νυκτικόραξ[nnmsc] ἐν[pd] οἰκόπεδον[ndnsc].

9 ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου καὶ οἱ ἐπαινοῦντές
10 με κατ᾽ ἐμοῦ ὤμνυον. ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον καὶ τὸ πόμα
11 μου μετὰ κλαυθμοῦ ἐκίρνων. ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ
12 τοῦ θυμοῦ σου ὅτι ἐπάρας κατέρραξάς με. αἱ ἡμέραι μου ὡσεὶ
13 σκιὰ ἐκλίθησαν καὶ ἐγὼ ὡσεὶ χόρτος ἐξηράνθην. σὺ δέ κύριε εἰς
τὸν αἰῶνα μένεις καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
14 σὺ ἀναστὰς οἰκτιρήσεις τὴν Σιων ὅτι καιρὸς τοῦ οἰκτιρῆσαι αὐτήν
15 ὅτι ἥκει καιρός. ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς
16 καὶ τὸν χοῦν αὐτῆς οἰκτιρήσουσιν. καὶ φοβηθήσονται τὰ ἔθνη τὸ
17 ὄνομα κυρίου καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. ὅτι
οἰκοδομήσει κύριος τὴν Σιων καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.
18 ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν καὶ οὐκ ἐξουδένωσεν
19 τὴν δέησιν αὐτῶν. γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν καὶ λαὸς
20 ὁ κτιζόμενος αἰνέσει τὸν κύριον. ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου
21 αὐτοῦ κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν. τοῦ ἀκοῦσαι
τὸν στεναγμὸν τῶν πεπεδημένων τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθα-
22 νατωμένων. τοῦ ἀναγγεῖλαι ἐν Σιων τὸ ὄνομα κυρίου καὶ τὴν
23 αἴνεσιν αὐτοῦ ἐν Ιερουσαλημ. ἐν τῷ συναχθῆναι λαοὺς ἐπὶ τὸ
24 αὐτὸ καὶ βασιλείας τοῦ δουλεύειν τῷ κυρίῳ. ἀπεκρίθη αὐτῷ ἐν
ὁδῷ ἰσχύος αὐτοῦ τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

---

**v.8** ἀγρυπνέω[viaa1s] καί[cc] γίνομαι[viap1s] ὡσεί[x] στρουθίον[nnnsc] μονάζω[vppanns] ἐπί[pd] δῶμα[ndnsc]. **v.9** ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc] ὀνειδίζω[viia3p] ἐγώ[rpa-s] ὁ[dnmp] ἐχθρός[annmpn] ἐγώ[rpg-s] καί[cc] ὁ[dnmp] ἐπαινέω[vppanmp] ἐγώ[rpa-s] κατά[pg] ἐγώ[rpg-s] ὄμνυμι[viia3p]. **v.10** ὅτι[cs] σποδός[nafsc] ὡσεί[x] ἄρτος[namsc] ἐσθίω[viaa1s] καί[cc] ὁ[dans] πόμα[nansc] ἐγώ[rpg-s] μετά[pg] κλαυθμός[ngmsc] κιρνάω[viia1s]. **v.11** ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] ὀργή[ngfsc] σύ[rpgms] καί[cc] ὁ[dgms] θυμός[ngmsc] σύ[rpgms] ὅτι[cs] ἐπαίρω[vpaanms] καταράσσω[viaa2s] ἐγώ[rpa-s]. **v.12** ὁ[dnfp] ἡμέρα[nnfpc] ἐγώ[rpg-s] ὡσεί[x] σκιά[nnfsc] κλίνω[viap3p] καί[cc] ἐγώ[rpn-s] ὡσεί[x] χόρτος[nnmsc] ξηραίνω[viap1s]. **v.13** σύ[rpnms] δέ[cc] κύριος[nvmsc] εἰς[pa] ὁ[dams] αἰών[namsc] μένω[vipa2s] καί[cc] ὁ[dnns] μνημόσυνον[nnnsc] σύ[rpgms] εἰς[pa] γενεά[nafsc] καί[cc] γενεά[nafsc]. **v.14** σύ[rpnms] ἀνίστημι[vpaanms] οἰκτίρω[vifa2s] ὁ[dafs] Σιών[nafsp] ὅτι[cs] καιρός[nnmsc] ὁ[dgns] οἰκτίρω[vnaa] αὐτός[rpafs] ὅτι[cs] ἥκω[vipa3s] καιρός[nnmsc]. **v.15** ὅτι[cs] εὐδοκέω[viaa3p] ὁ[dnmp] δοῦλος[nnmpc] σύ[rpgms] ὁ[damp] λίθος[nampc] αὐτός[rpgfs] καί[cc] ὁ[dams] χοῦς[namsc] αὐτός[rpgfs] οἰκτίρω[vifa3p]. **v.16** καί[cc] φοβέω[vifp3p] ὁ[dnnp] ἔθνος[nnnpc] ὁ[dans] ὄνομα[nansc] κύριος[ngmsc] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] βασιλεύς[nnmpc] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dafs] δόξα[nafsc] σύ[rpgms]. **v.17** ὅτι[cs] οἰκοδομέω[vifa3s] κύριος[nnmsc] ὁ[dafs] Σιών[nafsp] καί[cc] ὁράω[vifp3s] ἐν[pd] ὁ[ddfs] δόξα[ndfsc] αὐτός[rpgms]. **v.18** ἐπιβλέπω[viaa3s] ἐπί[pa] ὁ[dafs] προσευχή[nafsc] ὁ[dgmp] ταπεινός[angmpn] καί[cc] οὐ[b] ἐξουδενόω[viaa3s] ὁ[dafs] δέησις[nafsc] αὐτός[rpgmp]. **v.19** γράφω[vdap3s] οὗτος[rdnfs] εἰς[pa] γενεά[nafsc] ἕτερος[aiafsn] καί[cc] λαός[nnmsc] ὁ[dnms] κτίζω[vpppnms] αἰνέω[vifa3s] ὁ[dams] κύριος[namsc]. **v.20** ὅτι[cs] ἐκκύπτω[viaa3s] ἐκ[pg] ὕψος[ngnsc] ἅγιος[angnsn] αὐτός[rpgms] κύριος[nnmsc] ἐκ[pg] οὐρανός[ngmsc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] ἐπιβλέπω[viaa3s]. **v.21** ὁ[dgns] ἀκούω[vnaa] ὁ[dams] στεναγμός[namsc] ὁ[dgmp] πεδάω[vpxpgmp] ὁ[dgns] λύω[vnaa] ὁ[damp] υἱός[nampc] ὁ[dgmp] θανατόω[vpxpgmp]. **v.22** ὁ[dgns] ἀναγγέλλω[vnaa] ἐν[pd] Σιών[ndfsp] ὁ[dans] ὄνομα[nansc] κύριος[ngmsc] καί[cc] ὁ[dafs] αἴνεσις[nafsc] αὐτός[rpgms] ἐν[pd] Ἰερουσαλήμ[ndfsp]. **v.23** ἐν[pd] ὁ[ddns] συνάγω[vnap] λαός[nampc] ἐπί[pa] ὁ[dans] αὐτός[rpans] καί[cc] βασιλεία[nafpc] ὁ[dgns] δουλεύω[vnpa] ὁ[ddms] κύριος[ndmsc]. **v.24** ἀποκρίνομαι[viap3s] αὐτός[rpdms] ἐν[pd] ὁδός[ndfsc] ἰσχύς[ngfsc] αὐτός[rpgms] ὁ[dafs] ὀλιγότης[nafsc] ὁ[dgfp] ἡμέρα[ngfpc] ἐγώ[rpg-s] ἀναγγέλλω[vdaa2s] ἐγώ[rpd-s].

μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου ἐν γενεᾷ γενεῶν τὰ ἔτη 25
σου. κατ᾽ ἀρχὰς σύ κύριε τὴν γῆν ἐθεμελίωσας καὶ ἔργα τῶν 26
χειρῶν σού εἰσιν οἱ οὐρανοί. αὐτοὶ ἀπολοῦνται σὺ δὲ διαμενεῖς 27
καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἀλ-
λάξεις αὐτούς καὶ ἀλλαγήσονται. σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη 28
σου οὐκ ἐκλείψουσιν. οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσιν 29
καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.
τῷ Δαυιδ εὐλόγει ἡ ψυχή μου τὸν κύριον καί πάντα τὰ ἐντός **102**
μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. εὐλόγει ἡ ψυχή μου τὸν κύριον 2
καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. τὸν εὐιλα- 3
τεύοντα πάσαις ταῖς ἀνομίαις σου τὸν ἰώμενον πάσας τὰς νόσους
σου. τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου τὸν στεφανοῦν- 4
τά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν 5
ἐπιθυμίαν σου ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. ποιῶν 6
ἐλεημοσύνας ὁ κύριος καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. ἐγνώ- 7
ρισεν τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ τοῖς υἱοῖς Ισραηλ τὰ θελήματα
αὐτοῦ. οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος μακρόθυμος καὶ πο- 8
λυέλεος. οὐκ εἰς τέλος ὀργισθήσεται οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. 9
οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν οὐδὲ κατὰ τὰς ἀνο- 10
μίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ 11
ἀπὸ τῆς γῆς ἐκραταίωσεν κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φο-

---

**v.25** μή[x] ἀνάγω[vsaa2s] ἐγώ[rpa-s] ἐν[pd] ἥμισυς[andnsn] ἡμέρα[ngfpc] ἐγώ[rpg-s] ἐν[pd] γενεά[ndfsc] γενεά[ngfpc] ὁ[dnnp] ἔτος[nnnpc] σύ[rpgms]. **v.26** κατά[pa] ἀρχή[nafpc] σύ[rpnms] κύριος[nvmsc] ὁ[dafs] γῆ[nafsc] θεμελιόω[viaa2s] καί[cc] ἔργον[nnnpc] ὁ[dgfp] χείρ[ngfpc] σύ[rpgms] εἰμί[vipa3p] ὁ[dnmp] οὐρανός[nnmpc]. **v.27** αὐτός[rpnmp] ἀπόλλυμι[vifm3p] σύ[rpnms] δέ[cc] διαμένω[vifa2s] καί[cc] πᾶς[ainmpn] ὡς[cs] ἱμάτιον[nnnsc] παλαιόω[vifp3p] καί[cc] ὡσεί[x] περιβόλαιον[nansc] ἀλλάσσω[vifa2s] αὐτός[rpamp] καί[cc] ἀλλάσσω[vifp3p]. **v.28** σύ[rpnms] δέ[cc] ὁ[dnms] αὐτός[atnmsn] εἰμί[vipa2s] καί[cc] ὁ[dnnp] ἔτος[nnnpc] σύ[rpgms] οὐ[b] ἐκλείπω[vifa3p]. **v.29** ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgmp] δοῦλος[ngmpc] σύ[rpgms] κατασκηνόω[vifa3p] καί[cc] ὁ[dnns] σπέρμα[nnnsc] αὐτός[rpgmp] εἰς[pa] ὁ[dams] αἰών[namsc] κατευθύνω[vifp3s]. **102. v.1** ὁ[ddms] Δαυίδ[ndmsp] εὐλογέω[vdpa2s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ὁ[dams] κύριος[namsc] καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] ἐντός[b] ἐγώ[rpg-s] ὁ[dans] ὄνομα[nansc] ὁ[dans] ἅγιος[anansn] αὐτός[rpgms]. **v.2** εὐλογέω[vdpa2s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ὁ[dams] κύριος[namsc] καί[cc] μή[x] ἐπιλανθάνομαι[vdpm2s] πᾶς[aiafpn] ὁ[dafp] ἀνταπόδοσις[nafpc] αὐτός[rpgms]. **v.3** ὁ[dams] εὐιλατεύω[vppaams] πᾶς[aidfpn] ὁ[ddfp] ἀνομία[ndfpc] σύ[rpgfs] ὁ[dams] ἰάομαι[vppmams] πᾶς[aiafpn] ὁ[dafp] νόσος[nafpc] σύ[rpgfs]. **v.4** ὁ[dams] λυτρόω[vppmams] ἐκ[pg] φθορά[ngfsc] ὁ[dafs] ζωή[nafsc] σύ[rpgfs] ὁ[dams] στεφανόω[vppaams] σύ[rpafs] ἐν[pd] ἔλεος[ndnsc] καί[cc] οἰκτιρμός[ndmpc]. **v.5** ὁ[dams] ἐμπίπλημι[vppaams] ἐν[pd] ἀγαθός[andnpn] ὁ[dafs] ἐπιθυμία[nafsc] σύ[rpgfs] ἀνακαινίζω[vifp3s] ὡς[cs] ἀετός[ngmsc] ὁ[dnfs] νεότης[nnfsc] σύ[rpgfs]. **v.6** ποιέω[vppanms] ἐλεημοσύνη[nafpc] ὁ[dnms] κύριος[nnmsc] καί[cc] κρίμα[nansc] πᾶς[aidmpn] ὁ[ddmp] ἀδικέω[vpppdmp]. **v.7** γνωρίζω[viaa3s] ὁ[dafp] ὁδός[nafpc] αὐτός[rpgms] ὁ[ddms] Μωϋσῆς[ndmsp] ὁ[ddmp] υἱός[ndmpc] Ἰσραήλ[ngmsp] ὁ[danp] θέλημα[nanpc] αὐτός[rpgms]. **v.8** οἰκτίρμων[annmsn] καί[cc] ἐλεήμων[annmsn] ὁ[dnms] κύριος[nnmsc] μακρόθυμος[annmsn] καί[cc] πολυέλεος[annmsn]. **v.9** οὐ[b] εἰς[pa] τέλος[nansc] ὀργίζω[vifp3s] οὐδέ[cc] εἰς[pa] ὁ[dams] αἰών[namsc] μηνίω[vifa3s]. **v.10** οὐ[b] κατά[pa] ὁ[dafp] ἁμαρτία[nafpc] ἐγώ[rpg-p] ποιέω[viaa3s] ἐγώ[rpd-p] οὐδέ[cc] κατά[pa] ὁ[dafp] ἀνομία[nafpc] ἐγώ[rpg-p] ἀνταποδίδωμι[viaa3s] ἐγώ[rpd-p].

12 βουμένους αὐτόν. καθ᾽ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν
13 ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν. καθὼς οἰκτίρει πατὴρ
14 υἱοὺς οἰκτίρησεν κύριος τοὺς φοβουμένους αὐτόν. ὅτι αὐτὸς ἔ-
15 γνω τὸ πλάσμα ἡμῶν μνήσθητι ὅτι χοῦς ἐσμεν. ἄνθρωπος ὡσεὶ
χόρτος αἱ ἡμέραι αὐτοῦ ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.
16 ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται
17 ἔτι τὸν τόπον αὐτοῦ. τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ
ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν καὶ ἡ δικαιοσύνη
18 αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν. τοῖς φυλάσσουσιν τὴν διαθήκην αὐτοῦ
19 καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. κύριος
ἐν τῷ οὐρανῷ ἡτοίμασεν τὸν θρόνον αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ
20 πάντων δεσπόζει. εὐλογεῖτε τὸν κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ
δυνατοὶ ἰσχύι ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φωνῆς
21 τῶν λόγων αὐτοῦ. εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐ-
22 τοῦ λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ. εὐλογεῖτε τὸν
κύριον πάντα τὰ ἔργα αὐτοῦ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ
εὐλόγει ἡ ψυχή μου τὸν κύριον.
**103** τῷ Δαυιδ εὐλόγει ἡ ψυχή μου τὸν κύριον κύριε ὁ θεός μου ἐ-
2 μεγαλύνθης σφόδρα ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω. ἀ-
ναβαλλόμενος φῶς ὡς ἱμάτιον ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν.

---

**v.11** ὅτι[cs] κατά[pa] ὁ[dans] ὕψος[nansc] ὁ[dgms] οὐρανός[ngmsc] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] κραταιόω[viaa3s] κύριος[nnmsc] ὁ[dans] ἔλεος[nansc] αὐτός[rpgms] ἐπί[pa] ὁ[damp] φοβέω[vppmamp] αὐτός[rpams]. **v.12** κατά[pa] ὅσος[aransn] ἀπέχω[vipa3p] ἀνατολή[nnfpc] ἀπό[pg] δυσμή[ngfpc] μακρύνω[viaa3s] ἀπό[pg] ἐγώ[rpg-p] ὁ[dafp] ἀνομία[nafpc] ἐγώ[rpg-p]. **v.13** καθώς[cs] οἰκτίρω[vipa3s] πατήρ[nnmsc] υἱός[nampc] οἰκτίρω[viaa3s] κύριος[nnmsc] ὁ[damp] φοβέω[vppmamp] αὐτός[rpams]. **v.14** ὅτι[cs] αὐτός[rpnms] γινώσκω[viaa3s] ὁ[dans] πλάσμα[nansc] ἐγώ[rpg-p] μιμνῄσκομαι[vdap2s] ὅτι[cs] χοῦς[nnmsc] εἰμί[vipa1p]. **v.15** ἄνθρωπος[nnmsc] ὡσεί[x] χόρτος[nnmsc] ὁ[dnfp] ἡμέρα[nnfpc] αὐτός[rpgms] ὡσεί[x] ἄνθος[nnnsc] ὁ[dgms] ἀγρός[ngmsc] οὕτως[b] ἐξανθέω[vifa3s]. **v.16** ὅτι[cs] πνεῦμα[nnnsc] διέρχομαι[viaa3s] ἐν[pd] αὐτός[rpdms] καί[cc] οὐ[b] ὑπάρχω[vifa3s] καί[cc] οὐ[b] ἐπιγινώσκω[vifm3s] ἔτι[b] ὁ[dams] τόπος[namsc] αὐτός[rpgms]. **v.17** ὁ[dnns] δέ[cc] ἔλεος[nnnsc] ὁ[dgms] κύριος[ngmsc] ἀπό[pg] ὁ[dgms] αἰών[ngmsc] καί[cc] ἕως[pg] ὁ[dgms] αἰών[ngmsc] ἐπί[pa] ὁ[damp] φοβέω[vppmamp] αὐτός[rpams] καί[cc] ὁ[dnfs] δικαιοσύνη[nnfsc] αὐτός[rpgms] ἐπί[pa] υἱός[nampc] υἱός[ngmpc]. **v.18** ὁ[ddmp] φυλάσσω[vppadmp] ὁ[dafs] διαθήκη[nafsc] αὐτός[rpgms] καί[cc] μιμνήσκομαι[vpxmdmp] ὁ[dgfp] ἐντολή[ngfpc] αὐτός[rpgms] ὁ[dgns] ποιέω[vnaa] αὐτός[rpafp]. **v.19** κύριος[nnmsc] ἐν[pd] ὁ[ddms] οὐρανός[ndmsc] ἑτοιμάζω[viaa3s] ὁ[dams] θρόνος[namsc] αὐτός[rpgms] καί[cc] ὁ[dnfs] βασιλεία[nnfsc] αὐτός[rpgms] πᾶς[aigmpn] δεσπόζω[vipa3s]. **v.20** εὐλογέω[vdpa2p] ὁ[dams] κύριος[namsc] πᾶς[ainmpn] ὁ[dnmp] ἄγγελος[nnmpc] αὐτός[rpgms] δυνατός[annmpn] ἰσχύς[ndfsc] ποιέω[vppanmp] ὁ[dams] λόγος[namsc] αὐτός[rpgms] ὁ[dgns] ἀκούω[vnaa] ὁ[dgfs] φωνή[ngfsc] ὁ[dgmp] λόγος[ngmpc] αὐτός[rpgms]. **v.21** εὐλογέω[vdpa2p] ὁ[dams] κύριος[namsc] πᾶς[ainfpn] ὁ[dnfp] δύναμις[nnfpc] αὐτός[rpgms] λειτουργός[nnmpc] αὐτός[rpgms] ποιέω[vppanmp] ὁ[dans] θέλημα[nansc] αὐτός[rpgms]. **v.22** εὐλογέω[vdpa2p] ὁ[dams] κύριος[namsc] πᾶς[ainnpn] ὁ[dnnp] ἔργον[nnnpc] αὐτός[rpgms] ἐν[pd] πᾶς[aidmsn] τόπος[ndmsc] ὁ[dgfs] δεσποτεία[ngfsc] αὐτός[rpgms] εὐλογέω[vdpa2s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ὁ[dams] κύριος[namsc]. **103. v.1** ὁ[ddms] Δαυίδ[ndmsp] εὐλογέω[vdpa2s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ὁ[dams] κύριος[namsc] κύριος[nvmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-s] μεγαλύνω[viap2s] σφόδρα[b] ἐξομολόγησις[nafsc] καί[cc] εὐπρέπεια[nafsc] ἐνδύω[viam2s]. **v.2** ἀναβάλλω[vppmnms] φῶς[nansc] ὡς[cs] ἱμάτιον[nansc] ἐκτείνω[vppanms] ὁ[dams] οὐρανός[namsc] ὡσεί[x] δέρρις[nafsc].

ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν 3
αὐτοῦ ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. ὁ ποιῶν τοὺς ἀγγέ- 4
λους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.
ἐθεμελίωσεν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς οὐ κλιθήσεται εἰς 5
τὸν αἰῶνα τοῦ αἰῶνος. ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ 6
ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται 7
ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. ἀναβαίνουσιν ὄρη καὶ κα- 8
ταβαίνουσιν πεδία εἰς τόπον ὃν ἐθεμελίωσας αὐτοῖς. ὅριον ἔθου 9
ὃ οὐ παρελεύσονται οὐδὲ ἐπιστρέψουσιν καλύψαι τὴν γῆν. ὁ ἐ- 10
ξαποστέλλων πηγὰς ἐν φάραγξιν ἀνὰ μέσον τῶν ὀρέων διελεύσον-
ται ὕδατα. ποτιοῦσιν πάντα τὰ θηρία τοῦ ἀγροῦ προσδέξονται 11
ὄναγροι εἰς δίψαν αὐτῶν. ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατα- 12
σκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσιν φωνήν. ποτίζων ὄρη ἐκ 13
τῶν ὑπερῴων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ
γῆ. ἐξανατέλλων χόρτον τοῖς κτήνεσιν καὶ χλόην τῇ δουλείᾳ τῶν 14
ἀνθρώπων τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς. καὶ οἶνος εὐφραίνει 15
καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος
καρδίαν ἀνθρώπου στηρίζει. χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου 16
αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν. ἐκεῖ στρουθία ἐννοσσεύ- 17
σουσιν τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν. ὄρη τὰ ὑψηλὰ ταῖς 18
ἐλάφοις πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις. ἐποίησεν σελή- 19

---

**v.3** ὁ[dnms] στεγάζω[vppanms] ἐν[pd] ὕδωρ[ndnpc] ὁ[danp] ὑπερῷον[nanpc] αὐτός[rpgms] ὁ[dnms] τίθημι[vppanms] νέφος[nanpc] ὁ[dafs] ἐπίβασις[nafsc] αὐτός[rpgms] ὁ[dnms] περιπατέω[vppanms] ἐπί[pg] πτέρυξ[ngfpc] ἄνεμος[ngmpc]. **v.4** ὁ[dnms] ποιέω[vppanms] ὁ[damp] ἄγγελος[nampc] αὐτός[rpgms] πνεῦμα[nnnpc] καί[cc] ὁ[damp] λειτουργός[nampc] αὐτός[rpgms] πῦρ[nansc] φλέγω[vppaans]. **v.5** θεμελιόω[viaa3s] ὁ[dafs] γῆ[nafsc] ἐπί[pa] ὁ[dafs] ἀσφάλεια[nafsc] αὐτός[rpgfs] οὐ[b] κλίνω[vifp3s] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dgms] αἰών[ngmsc]. **v.6** ἄβυσσος[nnfsc] ὡς[cs] ἱμάτιον[nnnsc] ὁ[dnns] περιβόλαιον[nnnsc] αὐτός[rpgms] ἐπί[pg] ὁ[dgnp] ὄρος[ngnpc] ἵστημι[vifm3p] ὕδωρ[nnnpc]. **v.7** ἀπό[pg] ἐπιτίμησις[ngfsc] σύ[rpgms] φεύγω[vifm3p] ἀπό[pg] φωνή[ngfsc] βροντή[ngfsc] σύ[rpgms] δειλιάω[vifa3p]. **v.8** ἀναβαίνω[vipa3p] ὄρος[nanpc] καί[cc] καταβαίνω[vipa3p] πεδίον[nanpc] εἰς[pa] τόπος[namsc] ὅς[rrams] θεμελιόω[viaa2s] αὐτός[rpdmp]. **v.9** ὅριον[nansc] τίθημι[viam2s] ὅς[rrans] οὐ[b] παρέρχομαι[vifm3p] οὐδέ[cc] ἐπιστρέφω[vifa3p] καλύπτω[vnaa] ὁ[dafs] γῆ[nafsc]. **v.10** ὁ[dnms] ἐξαποστέλλω[vppanms] πηγή[nafpc] ἐν[pd] φάραγξ[ndfpc] ἀνά[pa] μέσος[anansn] ὁ[dgnp] ὄρος[ngnpc] διέρχομαι[vifm3p] ὕδωρ[nnnpc]. **v.11** ποτίζω[vifa3p] πᾶς[aianpn] ὁ[danp] θηρίον[nanpc] ὁ[dgms] ἀγρός[ngmsc] προσδέχομαι[vifm3p] ὄναγρος[nnmpc] εἰς[pa] δίψα[nafsc] αὐτός[rpgmp]. **v.12** ἐπί[pa] αὐτός[rpanp] ὁ[dnnp] πετεινός[nnnpc] ὁ[dgms] οὐρανός[ngmsc] κατασκηνόω[vifa3s] ἐκ[pg] μέσος[angnsn] ὁ[dgmp] πέτρος[ngmpc] δίδωμι[vifa3p] φωνή[nafsc]. **v.13** ποτίζω[vppanms] ὄρος[nanpc] ἐκ[pg] ὁ[dgnp] ὑπερῷον[ngnpc] αὐτός[rpgms] ἀπό[pg] καρπός[ngmsc] ὁ[dgnp] ἔργον[ngnpc] σύ[rpgms] χορτάζω[vifp3s] ὁ[dnfs] γῆ[nnfsc]. **v.14** ἐξανατέλλω[vppanms] χόρτος[namsc] ὁ[ddnp] κτῆνος[ndnpc] καί[cc] χλόη[nafsc] ὁ[ddfs] δουλεία[ndfsc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ὁ[dgns] ἐξάγω[vnaa] ἄρτος[namsc] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.15** καί[cc] οἶνος[nnmsc] εὐφραίνω[vipa3s] καρδία[nafsc] ἄνθρωπος[ngmsc] ὁ[dgns] ἱλαρύνω[vnaa] πρόσωπον[nansc] ἐν[pd] ἔλαιον[ndnsc] καί[cc] ἄρτος[nnmsc] καρδία[nafsc] ἄνθρωπος[ngmsc] στηρίζω[vipa3s]. **v.16** χορτάζω[vifp3s] ὁ[dnnp] ξύλον[nnnpc] ὁ[dgns] πεδίον[ngnsc] ὁ[dnfp] κέδρος[nnfpc] ὁ[dgms] Λίβανος[ngmsp] ὅς[rrafp] φυτεύω[viaa3s]. **v.17** ἐκεῖ[b] στρουθίον[nnnpc] ἐννοσσεύω[vifa3p] ὁ[dgms] ἐρωδιός[ngmsc] ὁ[dnfs] οἰκία[nnfsc] ἡγέομαι[vipm3s] αὐτός[rpgnp]. **v.18** ὄρος[nnnpc] ὁ[dnnp] ὑψηλός[annnpn] ὁ[ddfp] ἔλαφος[ndfpc] πέτρα[nnfsc] καταφυγή[nnfsc] ὁ[ddmp] χοιρογρύλλιος[ndmpc].

20 νην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. ἔθου σκότος καὶ
ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.
21 σκύμνοι ὠρυόμενοι ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ βρῶσιν
22 αὐτοῖς. ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν καὶ ἐν ταῖς μάνδραις
23 αὐτῶν κοιτασθήσονται. ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐ-
24 τοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. ὡς ἐμεγαλύνθη
τὰ ἔργα σου κύριε πάντα ἐν σοφίᾳ ἐποίησας ἐπληρώθη ἡ γῆ τῆς
25 κτήσεώς σου. αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος ἐκεῖ
26 ἑρπετά ὧν οὐκ ἔστιν ἀριθμός ζῷα μικρὰ μετὰ μεγάλων. ἐκεῖ
πλοῖα διαπορεύονται δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.
27 πάντα πρὸς σὲ προσδοκῶσιν δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον.
28 δόντος σου αὐτοῖς συλλέξουσιν ἀνοίξαντος δέ σου τὴν χεῖρα τὰ
29 σύμπαντα πλησθήσονται χρηστότητος. ἀποστρέψαντος δέ σου
τὸ πρόσωπον ταραχθήσονται ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐ-
30 κλείψουσιν καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. ἐξαποστελεῖς
τὸ πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον
31 τῆς γῆς. ἤτω ἡ δόξα κυρίου εἰς τὸν αἰῶνα εὐφρανθήσεται κύ-
32 ριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν
33 αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. ᾄσω τῷ
34 κυρίῳ ἐν τῇ ζωῇ μου ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω. ἡδυνθείη

---

**v.19** ποιέω[viaa3s] σελήνη[nafsc] εἰς[pa] καιρός[nampc] ὁ[dnms] ἥλιος[nnmsc] γινώσκω[viaa3s] ὁ[dafs] δύσις[nafsc] αὐτός[rpgms]. **v.20** τίθημι[viam2s] σκότος[nansc] καί[cc] γίνομαι[viam3s] νύξ[nnfsc] ἐν[pd] αὐτός[rpdfs] διέρχομαι[vifm3p] πᾶς[ainnpn] ὁ[dnnp] θηρίον[nnnpc] ὁ[dgms] δρυμός[ngmsc]. **v.21** σκύμνος[nnmpc] ὠρύομαι[vppmnmp] ἁρπάζω[vnaa] καί[cc] ζητέω[vnaa] παρά[pg] ὁ[dgms] θεός[ngmsc] βρῶσις[nafsc] αὐτός[rpdmp]. **v.22** ἀνατέλλω[viaa3s] ὁ[dnms] ἥλιος[nnmsc] καί[cc] συνάγω[viap3p] καί[cc] ἐν[pd] ὁ[ddfp] μάνδρα[ndfpc] αὐτός[rpgmp] κοιτάζω[vifp3p]. **v.23** ἐξέρχομαι[vifm3s] ἄνθρωπος[nnmsc] ἐπί[pa] ὁ[dans] ἔργον[nansc] αὐτός[rpgms] καί[cc] ἐπί[pa] ὁ[dafs] ἐργασία[nafsc] αὐτός[rpgms] ἕως[pg] ἑσπέρα[ngfsc]. **v.24** ὡς[cs] μεγαλύνω[viap3s] ὁ[dnnp] ἔργον[nnnpc] σύ[rpgms] κύριος[nvmsc] πᾶς[aianpn] ἐν[pd] σοφία[ndfsc] ποιέω[viaa2s] πληρόω[viap3s] ὁ[dnfs] γῆ[nnfsc] ὁ[dgfs] κτῆσις[ngfsc] σύ[rpgms]. **v.25** οὗτος[rdnfs] ὁ[dnfs] θάλασσα[nnfsc] ὁ[dnfs] μέγας[annfsn] καί[cc] εὐρύχωρος[annfsn] ἐκεῖ[b] ἑρπετόν[nnnpc] ὅς[rrgnp] οὐ[b] εἰμί[vipa3s] ἀριθμός[nnmsc] ζῷον[nnnpc] μικρός[annnpn] μετά[pg] μέγας[angnpn]. **v.26** ἐκεῖ[b] πλοῖον[nnnpc] διαπορεύομαι[vipm3p] δράκων[nnmsc] οὗτος[rdnms] ὅς[rrams] πλάσσω[viaa2s] ἐμπαίζω[vnpa] αὐτός[rpdms]. **v.27** πᾶς[ainnpn] πρός[pa] σύ[rpams] προσδοκάω[vipa3p] δίδωμι[vnaa] ὁ[dafs] τροφή[nafsc] αὐτός[rpdnp] εὔκαιρος[anafsn]. **v.28** δίδωμι[vpaagms] σύ[rpgms] αὐτός[rpdnp] συλλέγω[vifa3p] ἀνοίγω[vpaagms] δέ[cc] σύ[rpgms] ὁ[dafs] χείρ[nafsc] ὁ[dnnp] σύμπας[annnpn] πίμπλημι[vifp3p] χρηστότης[ngfsc]. **v.29** ἀποστρέφω[vpaagms] δέ[cc] σύ[rpgms] ὁ[dans] πρόσωπον[nansc] ταράσσω[vifp3p] ἀνταναιρέω[vifa2s] ὁ[dans] πνεῦμα[nansc] αὐτός[rpgmp] καί[cc] ἐκλείπω[vifa3p] καί[cc] εἰς[pa] ὁ[dams] χοῦς[namsc] αὐτός[rpgmp] ἐπιστρέφω[vifa3p]. **v.30** ἐξαποστέλλω[vifa2s] ὁ[dans] πνεῦμα[nansc] σύ[rpgms] καί[cc] κτίζω[vifp3p] καί[cc] ἀνακαινίζω[vifa2s] ὁ[dans] πρόσωπον[nansc] ὁ[dgfs] γῆ[ngfsc]. **v.31** εἰμί[vdpa3s] ὁ[dnfs] δόξα[nnfsc] κύριος[ngmsc] εἰς[pa] ὁ[dams] αἰών[namsc] εὐφραίνω[vifp3s] κύριος[nnmsc] ἐπί[pd] ὁ[ddnp] ἔργον[ndnpc] αὐτός[rpgms]. **v.32** ὁ[dnms] ἐπιβλέπω[vppanms] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] καί[cc] ποιέω[vppanms] αὐτός[rpafs] τρέμω[vnpa] ὁ[dnms] ἅπτω[vppmnms] ὁ[dgnp] ὄρος[ngnpc] καί[cc] καπνίζω[vipm3p]. **v.33** ᾄδω[vifa1s] ὁ[ddms] κύριος[ndmsc] ἐν[pd] ὁ[ddfs] ζωή[ndfsc] ἐγώ[rpg-s] ψάλλω[vifa1s] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-s] ἕως[cs] ὑπάρχω[vipa1s].

αὐτῷ ἡ διαλογή μου ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ. ἐ- 35
κλίποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν
αὐτούς εὐλόγει ἡ ψυχή μου τὸν κύριον.
αλληλουια ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα **104**
αὐτοῦ ἀπαγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἔργα αὐτοῦ. ᾄσατε αὐτῷ 2
καὶ ψάλατε αὐτῷ διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ. ἐπαι- 3
νεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ εὐφρανθήτω καρδία ζητούν-
των τὸν κύριον. ζητήσατε τὸν κύριον καὶ κραταιώθητε ζητήσατε 4
τὸ πρόσωπον αὐτοῦ διὰ παντός. μνήσθητε τῶν θαυμασίων αὐτοῦ 5
ὧν ἐποίησεν τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.
σπέρμα Αβρααμ δοῦλοι αὐτοῦ υἱοὶ Ιακωβ ἐκλεκτοὶ αὐτοῦ. αὐτὸς 6, 7
κύριος ὁ θεὸς ἡμῶν ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. ἐμνήσθη 8
εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ λόγου οὗ ἐνετείλατο εἰς χιλίας γε-
νεάς. ὃν διέθετο τῷ Αβρααμ καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ισαακ. καὶ 9, 10
ἔστησεν αὐτὴν τῷ Ιακωβ εἰς πρόσταγμα καὶ τῷ Ισραηλ διαθήκην
αἰώνιον. λέγων σοὶ δώσω τὴν γῆν Χανααν σχοίνισμα κληρονο- 11
μίας ὑμῶν. ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς ὀλιγοστοὺς καὶ 12
παροίκους ἐν αὐτῇ. καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος ἐκ βασι- 13
λείας εἰς λαὸν ἕτερον. οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς 14
καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. μὴ ἅπτεσθε τῶν χριστῶν μου 15

---

**v.34** ἠδύνω[voap3s] αὐτός[rpdms] ὁ[dnfs] διαλογή[nnfsc] ἐγώ[rpg-s] ἐγώ[rpn-s] δέ[cc] εὐφραίνω[vifp1s] ἐπί[pd] ὁ[ddms] κύριος[ndmsc]. **v.35** ἐκλείπω[voaa3p] ἁμαρτωλός[annmpn] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἄνομος[annmpn] ὥστε[cs] μή[x] ὑπάρχω[vnpa] αὐτός[rpamp] εὐλογέω[vdpa2s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ὁ[dams] κύριος[namsc]. **104.** **v.1** ἁλληλουϊά[t] ἐξομολογέω[vdpm2p] ὁ[ddms] κύριος[ndmsc] καί[cc] ἐπικαλέω[vdpm2p] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] ἀπαγγέλλω[vdaa2p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgms]. **v.2** ᾄδω[vdaa2p] αὐτός[rpdms] καί[cc] ψάλλω[vdaa2p] αὐτός[rpdms] διηγέομαι[vdam2p] πᾶς[aianpn] ὁ[danp] θαυμάσιος[ananpn] αὐτός[rpgms]. **v.3** ἐπαινέω[vdpm2p] ἐν[pd] ὁ[ddns] ὄνομα[ndnsc] ὁ[ddns] ἅγιος[andnsn] αὐτός[rpgms] εὐφραίνω[vdap3s] καρδία[nnfsc] ζητέω[vppagmp] ὁ[dams] κύριος[namsc]. **v.4** ζητέω[vdaa2p] ὁ[dams] κύριος[namsc] καί[cc] κραταιόω[vdap2p] ζητέω[vdaa2p] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgms] διά[pg] πᾶς[aignsn]. **v.5** μιμνῄσκομαι[vdap2p] ὁ[dgnp] θαυμάσιος[angnpn] αὐτός[rpgms] ὅς[rrgnp] ποιέω[viaa3s] ὁ[danp] τέρας[nanpc] αὐτός[rpgms] καί[cc] ὁ[danp] κρίμα[nanpc] ὁ[dgns] στόμα[ngnsc] αὐτός[rpgms]. **v.6** σπέρμα[nnnsc] Ἀβραάμ[ngmsp] δοῦλος[nnmpc] αὐτός[rpgms] υἱός[nnmpc] Ἰακώβ[ngmsp] ἐκλεκτός[annmpn] αὐτός[rpgms]. **v.7** αὐτός[rpnms] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] γῆ[ndfsc] ὁ[dnnp] κρίμα[nnnpc] αὐτός[rpgms]. **v.8** μιμνῄσκομαι[viap3s] εἰς[pa] ὁ[dams] αἰών[namsc] διαθήκη[ngfsc] αὐτός[rpgms] λόγος[ngmsc] ὅς[rrgms] ἐντέλλομαι[viam3s] εἰς[pa] χίλιοι[acafpn] γενεά[nafpc]. **v.9** ὅς[rrams] διατίθημι[viam3s] ὁ[ddms] Ἀβραάμ[ndmsp] καί[cc] ὁ[dgms] ὅρκος[ngmsc] αὐτός[rpgms] ὁ[ddms] Ἰσαάκ[ndmsp]. **v.10** καί[cc] ἵστημι[viaa3s] αὐτός[rpafs] ὁ[ddms] Ἰακώβ[ndmsp] εἰς[pa] πρόσταγμα[nansc] καί[cc] ὁ[ddms] Ἰσραήλ[ndmsp] διαθήκη[nafsc] αἰώνιος[anafsn]. **v.11** λέγω[vppanms] σύ[rpd-s] δίδωμι[vifa1s] ὁ[dafs] γῆ[nafsc] Χανάαν[ngmsp] σχοίνισμα[nansc] κληρονομία[ngfsc] σύ[rpg-p]. **v.12** ἐν[pd] ὁ[ddns] εἰμί[vnpa] αὐτός[rpamp] ἀριθμός[ndmsc] βραχύς[anampn] ὀλιγοστός[anampn] καί[cc] πάροικος[anampn] ἐν[pd] αὐτός[rpdfs]. **v.13** καί[cc] διέρχομαι[viaa3p] ἐκ[pg] ἔθνος[ngnsc] εἰς[pa] ἔθνος[nansc] ἐκ[pg] βασιλεία[ngfsc] εἰς[pa] λαός[namsc] ἕτερος[aiamsn]. **v.14** οὐ[b] ἀφίημι[viaa3s] ἄνθρωπος[namsc] ἀδικέω[vnaa] αὐτός[rpamp] καί[cc] ἐλέγχω[viaa3s] ὑπέρ[pg] αὐτός[rpgmp] βασιλεύς[nampc].

16 καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. καὶ ἐκάλεσεν λιμὸν
17 ἐπὶ τὴν γῆν πᾶν στήριγμα ἄρτου συνέτριψεν. ἀπέστειλεν ἔμπρο-
18 σθεν αὐτῶν ἄνθρωπον εἰς δοῦλον ἐπράθη Ιωσηφ. ἐταπείνωσαν
19 ἐν πέδαις τοὺς πόδας αὐτοῦ σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ. μέ-
χρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ τὸ λόγιον κυρίου ἐπύρωσεν αὐτόν.
20 ἀπέστειλεν βασιλεὺς καὶ ἔλυσεν αὐτόν ἄρχων λαῶν καὶ ἀφῆκεν
21 αὐτόν. κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ καὶ ἄρχοντα
22 πάσης τῆς κτήσεως αὐτοῦ. τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ
23 ὡς ἑαυτὸν καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι. καὶ εἰσῆλθεν
24 Ισραηλ εἰς Αἴγυπτον καὶ Ιακωβ παρῴκησεν ἐν γῇ Χαμ. καὶ ηὔ-
ξησεν τὸν λαὸν αὐτοῦ σφόδρα καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς
25 ἐχθροὺς αὐτοῦ. μετέστρεψεν τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν
26 λαὸν αὐτοῦ τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ. ἐξαπέστει-
27 λεν Μωυσῆν τὸν δοῦλον αὐτοῦ Ααρων ὃν ἐξελέξατο αὐτόν. ἔθετο
ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ καὶ τῶν τεράτων ἐν
28 γῇ Χαμ. ἐξαπέστειλεν σκότος καὶ ἐσκότασεν καὶ παρεπίκραναν
29 τοὺς λόγους αὐτοῦ. μετέστρεψεν τὰ ὕδατα αὐτῶν εἰς αἷμα καὶ
30 ἀπέκτεινεν τοὺς ἰχθύας αὐτῶν. ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους
31 ἐν τοῖς ταμιείοις τῶν βασιλέων αὐτῶν. εἶπεν καὶ ἦλθεν κυνό-
32 μυια καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν. ἔθετο τὰς βροχὰς

---

**v.15** μή[x] ἅπτω[vdpm2p] ὁ[dgmp] χριστός[angmpn] ἐγώ[rpgms] καί[cc] ἐν[pd] ὁ[ddmp] προφήτης[ndmpc] ἐγώ[rpgms] μή[x] πονηρεύομαι[vdpm2p]. **v.16** καί[cc] καλέω[viaa3s] λιμός[namsc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] πᾶς[aiansn] στήριγμα[nansc] ἄρτος[ngmsc] συντρίβω[viaa3s]. **v.17** ἀποστέλλω[viaa3s] ἔμπροσθεν[pg] αὐτός[rpgmp] ἄνθρωπος[namsc] εἰς[pa] δοῦλος[namsc] πιπράσκω[viap3s] Ἰωσήφ[nnmsp]. **v.18** ταπεινόω[viaa3p] ἐν[pd] πέδη[ndfpc] ὁ[damp] πούς[nampc] αὐτός[rpgms] σίδηρος[namsc] διέρχομαι[viaa3s] ὁ[dnfs] ψυχή[nnfsc] αὐτός[rpgms]. **v.19** μέχρι[pg] ὁ[dgns] ἔρχομαι[vnaa] ὁ[dams] λόγος[namsc] αὐτός[rpgms] ὁ[dans] λόγιον[nansc] κύριος[ngmsc] πυρόω[viaa3s] αὐτός[rpams]. **v.20** ἀποστέλλω[viaa3s] βασιλεύς[nnmsc] καί[cc] λύω[viaa3s] αὐτός[rpams] ἄρχων[nnmsc] λαός[ngmpc] καί[cc] ἀφίημι[viaa3s] αὐτός[rpams]. **v.21** καθίστημι[viaa3s] αὐτός[rpams] κύριος[namsc] ὁ[dgms] οἶκος[ngmsc] αὐτός[rpgms] καί[cc] ἄρχων[namsc] πᾶς[aigfsn] ὁ[dgfs] κτῆσις[ngfsc] αὐτός[rpgms]. **v.22** ὁ[dgns] παιδεύω[vnaa] ὁ[damp] ἄρχων[nampc] αὐτός[rpgms] ὡς[cs] ἑαυτοῦ[rxams] καί[cc] ὁ[damp] πρεσβύτερος[anampc] αὐτός[rpgms] σοφίζω[vnaa]. **v.23** καί[cc] εἰσέρχομαι[viaa3s] Ἰσραήλ[nnmsp] εἰς[pa] Αἴγυπτος[nafsp] καί[cc] Ἰακώβ[nnmsp] παροικέω[viaa3s] ἐν[pd] γῆ[ndfsc] Χαμ[ngmsp]. **v.24** καί[cc] αὐξάνω[viaa3s] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] σφόδρα[b] καί[cc] κραταιόω[viaa3s] αὐτός[rpams] ὑπέρ[pa] ὁ[damp] ἐχθρός[anampn] αὐτός[rpgms]. **v.25** μεταστρέφω[viaa3s] ὁ[dafs] καρδία[nafsc] αὐτός[rpgmp] ὁ[dgns] μισέω[vnaa] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] ὁ[dgns] δολιόω[vnpm] ἐν[pd] ὁ[ddmp] δοῦλος[ndmpc] αὐτός[rpgms]. **v.26** ἐξαποστέλλω[viaa3s] Μωϋσῆς[namsp] ὁ[dams] δοῦλος[namsc] αὐτός[rpgms] Ἀαρών[namsp] ὅς[rrams] ἐκλέγω[viam3s] αὐτός[rpams]. **v.27** τίθημι[viam3s] ἐν[pd] αὐτός[rpdmp] ὁ[damp] λόγος[nampc] ὁ[dgnp] σημεῖον[ngnpc] αὐτός[rpgms] καί[cc] ὁ[dgnp] τέρας[ngnpc] ἐν[pd] γῆ[ndfsc] Χαμ[ngmsp]. **v.28** ἐξαποστέλλω[viaa3s] σκότος[nansc] καί[cc] σκοτάζω[viaa3s] καί[cc] παραπικραίνω[viaa3p] ὁ[damp] λόγος[nampc] αὐτός[rpgms]. **v.29** μεταστρέφω[viaa3s] ὁ[danp] ὕδωρ[nanpc] αὐτός[rpgmp] εἰς[pa] αἷμα[nansc] καί[cc] ἀποκτείνω[viaa3s] ὁ[damp] ἰχθύς[nampc] αὐτός[rpgmp]. **v.30** ἐξέρπω[viaa3s] ὁ[dnfs] γῆ[nnfsc] αὐτός[rpgmp] βάτραχος[nampc] ἐν[pd] ὁ[ddnp] ταμιεῖον[ndnpc] ὁ[dgmp] βασιλεύς[ngmpc] αὐτός[rpgmp]. **v.31** λέγω[viaa3s] καί[cc] ἔρχομαι[viaa3s] κυνόμυια[nnfsc] καί[cc] σκνίψ[nnmpc] ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] ὅριον[ndnpc] αὐτός[rpgmp].

αὐτῶν χάλαζαν πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν. καὶ ἐπάταξεν 33
τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν καὶ συνέτριψεν πᾶν
ξύλον ὁρίου αὐτῶν. εἶπεν καὶ ἦλθεν ἀκρὶς καὶ βροῦχος οὗ οὐκ 34
ἦν ἀριθμός. καὶ κατέφαγεν πάντα τὸν χόρτον ἐν τῇ γῇ αὐτῶν 35
καὶ κατέφαγεν τὸν καρπὸν τῆς γῆς αὐτῶν. καὶ ἐπάταξεν πᾶν 36
πρωτότοκον ἐν τῇ γῇ αὐτῶν ἀπαρχὴν παντὸς πόνου αὐτῶν. καὶ 37
ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς
αὐτῶν ἀσθενῶν. εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν ὅτι ἐπέ- 38
πεσεν ὁ φόβος αὐτῶν ἐπ᾽ αὐτούς. διεπέτασεν νεφέλην εἰς σκέπην 39
αὐτοῖς καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα. ᾔτησαν καὶ ἦλθεν 40
ὀρτυγομήτρα καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς. διέρρηξεν 41
πέτραν καὶ ἐρρύησαν ὕδατα ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.
ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ τοῦ πρὸς Αβρααμ τὸν 42
δοῦλον αὐτοῦ. καὶ ἐξήγαγεν τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει καὶ 43
τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. καὶ ἔδωκεν αὐτοῖς χώρας 44
ἐθνῶν καὶ πόνους λαῶν ἐκληρονόμησαν. ὅπως ἂν φυλάξωσιν τὰ 45
δικαιώματα αὐτοῦ καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν.

αλληλουια ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι χρηστός ὅτι εἰς τὸν αἰ- **105**
ῶνα τὸ ἔλεος αὐτοῦ. τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου ἀ- 2
κουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ. μακάριοι οἱ φυλάσ- 3

---

**v.32** τίθημι[viam3s] ὁ[dafp] βροχή[nafpc] αὐτός[rpgmp] χάλαζα[nafsc] πῦρ[nansc] καταφλέγω[vppaans] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] αὐτός[rpgmp]. **v.33** καί[cc] πατάσσω[viaa3s] ὁ[dafp] ἄμπελος[nafpc] αὐτός[rpgmp] καί[cc] ὁ[dafp] συκῆ[nafpc] αὐτός[rpgmp] καί[cc] συντρίβω[viaa3s] πᾶς[aiansn] ξύλον[nansc] ὅριον[ngnsc] αὐτός[rpgmp]. **v.34** λέγω[viaa3s] καί[cc] ἔρχομαι[viaa3s] ἀκρίς[nnfsc] καί[cc] βροῦχος[nnmsc] ὅς[rrgm'srrgns] οὐ[b] εἰμί[viia3s] ἀριθμός[nnmsc]. **v.35** καί[cc] κατεσθίω[viaa3s] πᾶς[aiamsn] ὁ[dams] χόρτος[namsc] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] αὐτός[rpgmp] καί[cc] κατεσθίω[viaa3s] ὁ[dams] καρπός[namsc] ὁ[dgfs] γῆ[ngfsc] αὐτός[rpgmp]. **v.36** καί[cc] πατάσσω[viaa3s] πᾶς[ainnsn] πρωτότοκος[anansn] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] αὐτός[rpgmp] ἀπαρχή[nafsc] πᾶς[aigmsn] πόνος[ngmsc] αὐτός[rpgmp]. **v.37** καί[cc] ἐξάγω[viaa3s] αὐτός[rpamp] ἐν[pd] ἀργύριον[ndnsc] καί[cc] χρυσίον[ndnsc] καί[cc] οὐ[b] εἰμί[viia3s] ἐν[pd] ὁ[ddfp] φυλή[ndfpc] αὐτός[rpgmp] ἀσθενέω[vppanms]. **v.38** εὐφραίνω[viap3s] Αἴγυπτος[nnfsp] ἐν[pd] ὁ[ddfs] ἔξοδος[ndfsc] αὐτός[rpgmp] ὅτι[cs] ἐπιπίπτω[viaa3s] ὁ[dnms] φόβος[nnmsc] αὐτός[rpgmp] ἐπί[pa] αὐτός[rpamp]. **v.39** διαπετάννυμι[viaa3s] νεφέλη[nafsc] εἰς[pa] σκέπη[nafsc] αὐτός[rpdmp] καί[cc] πῦρ[nansc] ὁ[dgns] φωτίζω[vnaa] αὐτός[rpdmp] ὁ[dafs] νύξ[nafsc]. **v.40** αἰτέω[viaa3p] καί[cc] ἔρχομαι[viaa3s] ὀρτυγομήτρα[nnfsc] καί[cc] ἄρτος[namsc] οὐρανός[ngmsc] ἐμπίπλημι[viaa3s] αὐτός[rpamp]. **v.41** διαρρήγνυμι[viaa3s] πέτρα[nafsc] καί[cc] ῥέω[viaa3p] ὕδωρ[nnnpc] πορεύομαι[viap3p] ἐν[pd] ἄνυδρος[andnpn] ποταμός[nnmpc]. **v.42** ὅτι[cs] μιμνῄσκομαι[viap3s] ὁ[dgms] λόγος[ngmsc] ὁ[dgms] ἅγιος[angmsn] αὐτός[rpgms] ὁ[dgms] πρός[pa] Ἀβραάμ[namsp] ὁ[dams] δοῦλος[namsc] αὐτός[rpgms]. **v.43** καί[cc] ἐξάγω[viaa3s] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] ἐν[pd] ἀγαλλίασις[ndfsc] καί[cc] ὁ[damp] ἐκλεκτός[anampn] αὐτός[rpgms] ἐν[pd] εὐφροσύνη[ndfsc]. **v.44** καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdmp] χώρα[nafpc] ἔθνος[ngnpc] καί[cc] πόνος[nampc] λαός[ngmpc] κληρονομέω[viaa3p]. **v.45** ὅπως[cs] ἄν[x] φυλάσσω[vsaa3p] ὁ[danp] δικαίωμα[nanpc] αὐτός[rpgms] καί[cc] ὁ[dams] νόμος[namsc] αὐτός[rpgms] ἐκζητέω[vsaa3p]. **105. v.1** ἁλληλουϊά[t] ἐξομολογέω[vdpm2p] ὁ[ddms] κύριος[ndmsc] ὅτι[cs] χρηστός[annmsn] ὅτι[cs] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dnns] ἔλεος[nnnsc] αὐτός[rpgms]. **v.2** τίς[rqnms] λαλέω[vifa3s] ὁ[dafp] δυναστεία[nafpc] ὁ[dgms] κύριος[ngmsc] ἀκουστός[anafpn] ποιέω[vifa3s] πᾶς[aiafpn] ὁ[dafp] αἴνεσις[nafpc] αὐτός[rpgms].

4 σοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. μνή-
σθητι ἡμῶν κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου ἐπίσκεψαι ἡμᾶς
5 ἐν τῷ σωτηρίῳ σου. τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου
τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου τοῦ ἐπαινεῖ-
6 σθαι μετὰ τῆς κληρονομίας σου. ἡμάρτομεν μετὰ τῶν πατέρων
7 ἡμῶν ἠνομήσαμεν ἠδικήσαμεν. οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ
οὐ συνῆκαν τὰ θαυμάσιά σου οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ
ἐλέους σου καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσ-
8 σῃ. καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ τοῦ γνωρίσαι
9 τὴν δυναστείαν αὐτοῦ. καὶ ἐπετίμησεν τῇ ἐρυθρᾷ θαλάσσῃ καὶ
10 ἐξηράνθη καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ. καὶ
ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισούντων καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ
11 χειρὸς ἐχθροῦ. καὶ ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς εἷς
12 ἐξ αὐτῶν οὐχ ὑπελείφθη. καὶ ἐπίστευσαν ἐν τοῖς λόγοις αὐτοῦ
13 καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ. ἐτάχυναν ἐπελάθοντο τῶν ἔργων
14 αὐτοῦ οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ. καὶ ἐπεθύμησαν ἐ-
15 πιθυμίαν ἐν τῇ ἐρήμῳ καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ. καὶ
ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν καὶ ἐξαπέστειλεν πλησμονὴν εἰς
16 τὰς ψυχὰς αὐτῶν. καὶ παρώργισαν Μωυσῆν ἐν τῇ παρεμβολῇ
17 καὶ Ααρων τὸν ἅγιον κυρίου. ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν Δα-
18 θαν καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Αβιρων. καὶ ἐξεκαύθη

---

**v.3** μακάριος[annmpn] ὁ[dnmp] φυλάσσω[vppanmp] κρίσις[nafsc] καί[cc] ποιέω[vppanmp] δικαιοσύνη[nafsc] ἐν[pd] πᾶς[aidmsn] καιρός[ndmsc]. **v.4** μιμνῄσκομαι[vdap2s] ἐγώ[rpg-p] κύριος[nvmsc] ἐν[pd] ὁ[ddfs] εὐδοκία[ndfsc] ὁ[dgms] λαός[ngmsc] σύ[rpgms] ἐπισκέπτομαι[vdam2s] ἐγώ[rpa-p] ἐν[pd] ὁ[ddns] σωτήριον[ndnsc] σύ[rpgms]. **v.5** ὁ[dgns] ὁράω[vnaa] ἐν[pd] ὁ[ddfs] χρηστότης[ndfsc] ὁ[dgmp] ἐκλεκτός[angmpn] σύ[rpgms] ὁ[dgns] εὐφραίνω[vnap] ἐν[pd] ὁ[ddfs] εὐφροσύνη[ndfsc] ὁ[dgns] ἔθνος[ngnsc] σύ[rpgms] ὁ[dgns] ἐπαινέω[vnpm] μετά[pg] ὁ[dgfs] κληρονομία[ngfsc] σύ[rpgms]. **v.6** ἁμαρτάνω[viaa1p] μετά[pg] ὁ[dgmp] πατήρ[ngmpc] ἐγώ[rpg-p] ἀνομέω[viaa1p] ἀδικέω[viaa1p]. **v.7** ὁ[dnmp] πατήρ[nnmpc] ἐγώ[rpg-p] ἐν[pd] Αἴγυπτος[ndfsp] οὐ[b] συνίημι[viaa3p] ὁ[danp] θαυμάσιος[ananpn] σύ[rpgms] οὐ[b] μιμνῄσκομαι[viap3p] ὁ[dgns] πλῆθος[ngnsc] ὁ[dgns] ἔλεος[ngnsc] σύ[rpgms] καί[cc] παραπικραίνω[viaa3p] ἀναβαίνω[vppanmp] ἐν[pd] ὁ[ddfs] ἐρυθρός[andfsn] θάλασσα[ndfsc]. **v.8** καί[cc] σῴζω[viaa3s] αὐτός[rpamp] ἕνεκα[pg] ὁ[dgns] ὄνομα[ngnsc] αὐτός[rpgms] ὁ[dgns] γνωρίζω[vnaa] ὁ[dafs] δυναστεία[nafsc] αὐτός[rpgms]. **v.9** καί[cc] ἐπιτιμάω[viaa3s] ὁ[ddfs] ἐρυθρός[andfsn] θάλασσα[ndfsc] καί[cc] ξηραίνω[viap3s] καί[cc] ὁδηγέω[viaa3s] αὐτός[rpamp] ἐν[pd] ἄβυσσος[ndfsc] ὡς[cs] ἐν[pd] ἔρημος[ndfsc]. **v.10** καί[cc] σῴζω[viaa3s] αὐτός[rpamp] ἐκ[pg] χείρ[ngfsc] μισέω[vppagmp] καί[cc] λυτρόω[viam3s] αὐτός[rpamp] ἐκ[pg] χείρ[ngfsc] ἐχθρός[angmsn]. **v.11** καί[cc] καλύπτω[viaa3s] ὕδωρ[nnnsc] ὁ[damp] θλίβω[vppaamp] αὐτός[rpamp] εἷς[acnmsn] ἐκ[pg] αὐτός[rpgmp] οὐ[b] ὑπολείπω[viap3s]. **v.12** καί[cc] πιστεύω[viaa3p] ἐν[pd] ὁ[ddmp] λόγος[ndmpc] αὐτός[rpgms] καί[cc] ᾄδω[viaa3p] ὁ[dafs] αἴνεσις[nafsc] αὐτός[rpgms]. **v.13** ταχύνω[viaa3p] ἐπιλανθάνομαι[viam3p] ὁ[dgnp] ἔργον[ngnpc] αὐτός[rpgms] οὐ[b] ὑπομένω[viaa3p] ὁ[dafs] βουλή[nafsc] αὐτός[rpgms]. **v.14** καί[cc] ἐπιθυμέω[viaa3p] ἐπιθυμία[nafsc] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc] καί[cc] πειράζω[viaa3p] ὁ[dams] θεός[namsc] ἐν[pd] ἄνυδρος[andfsn]. **v.15** καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdmp] ὁ[dans] αἴτημα[nansc] αὐτός[rpgmp] καί[cc] ἐξαποστέλλω[viaa3s] πλησμονή[nafsc] εἰς[pa] ὁ[dafp] ψυχή[nafpc] αὐτός[rpgmp]. **v.16** καί[cc] παροργίζω[viaa3p] Μωϋσῆς[namsp] ἐν[pd] ὁ[ddfs] παρεμβολή[ndfsc] καί[cc] Ἀαρών[namsp] ὁ[dams] ἅγιος[anamsn] κύριος[ngmsc]. **v.17** ἀνοίγω[viap3s] ὁ[dnfs] γῆ[nnfsc] καί[cc] καταπίνω[viaa3s] Δαθαν[nnmsp] καί[cc] καλύπτω[viaa3s] ἐπί[pa] ὁ[dafs] συναγωγή[nafsc] Αβιρων[ngmsp].

πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν φλὸξ κατέφλεξεν ἁμαρτωλούς. καὶ 19
ἐποίησαν μόσχον ἐν Χωρηβ καὶ προσεκύνησαν τῷ γλυπτῷ. καὶ 20
ἠλλάξαντο τὴν δόξαν αὐτῶν ἐν ὁμοιώματι μόσχου ἔσθοντος χόρ-
τον. ἐπελάθοντο τοῦ θεοῦ τοῦ σῴζοντος αὐτούς τοῦ ποιήσαντος 21
μεγάλα ἐν Αἰγύπτῳ. θαυμαστὰ ἐν γῇ Χαμ φοβερὰ ἐπὶ θαλάσσης 22
ἐρυθρᾶς. καὶ εἶπεν τοῦ ἐξολεθρεῦσαι αὐτούς εἰ μὴ Μωυσῆς ὁ 23
ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ τοῦ ἀποστρέ-
ψαι τὴν ὀργὴν αὐτοῦ τοῦ μὴ ἐξολεθρεῦσαι. καὶ ἐξουδένωσαν 24
γῆν ἐπιθυμητήν οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. καὶ ἐγόγγυσαν 25
ἐν τοῖς σκηνώμασιν αὐτῶν οὐκ εἰσήκουσαν τῆς φωνῆς κυρίου.
καὶ ἐπῆρεν τὴν χεῖρα αὐτοῦ αὐτοῖς τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ 26
ἐρήμῳ. καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσιν καὶ 27
διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. καὶ ἐτελέσθησαν τῷ Βεελ- 28
φεγωρ καὶ ἔφαγον θυσίας νεκρῶν. καὶ παρώξυναν αὐτὸν ἐν τοῖς 29
ἐπιτηδεύμασιν αὐτῶν καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις. καὶ ἔ- 30
στη Φινεες καὶ ἐξιλάσατο καὶ ἐκόπασεν ἡ θραῦσις. καὶ ἐλογίσθη 31
αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. καὶ 32
παρώργισαν αὐτὸν ἐφ᾽ ὕδατος ἀντιλογίας καὶ ἐκακώθη Μωυσῆς
δι᾽ αὐτούς. ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ καὶ διέστειλεν 33
ἐν τοῖς χείλεσιν αὐτοῦ. οὐκ ἐξωλέθρευσαν τὰ ἔθνη ἃ εἶπεν κύ- 34
ριος αὐτοῖς. καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσιν καὶ ἔμαθον τὰ ἔργα 35

---

**v.18** καί[cc] ἐκκαίω[viap3s] πῦρ[nnnsc] ἐν[pd] ὁ[ddfs] συναγωγή[ndfsc] αὐτός[rpgmp] φλόξ[nnfsc] καταφλέγω[viaa3s] ἁμαρτωλός[anampn]. **v.19** καί[cc] ποιέω[viaa3p] μόσχος[namsc] ἐν[pd] Χωρήβ[nd-sp] καί[cc] προσκυνέω[viaa3p] ὁ[ddns] γλυπτός[andnsn]. **v.20** καί[cc] ἀλλάσσω[viam3p] ὁ[dafs] δόξα[nafsc] αὐτός[rpgmp] ἐν[pd] ὁμοίωμα[ndnsc] μόσχος[ngmsc] ἔσθω[vppagms] χόρτος[namsc]. **v.21** ἐπιλανθάνομαι[viam3p] ὁ[dgms] θεός[ngmsc] ὁ[dgms] σῴζω[vppagms] αὐτός[rpamp] ὁ[dgms] ποιέω[vpaagms] μέγας[ananpn] ἐν[pd] Αἴγυπτος[ndfsp]. **v.22** θαυμαστός[ananpn] ἐν[pd] γῆ[ndfsc] Χαμ[ngmsp] φοβερός[ananpn] ἐπί[pg] θάλασσα[ngfsc] ἐρυθρός[angfsn]. **v.23** καί[cc] λέγω[viaa3s] ὁ[dgns] ἐξολεθρεύω[vnaa] αὐτός[rpamp] εἰ[cs] μή[x] Μωϋσῆς[nnmsp] ὁ[dnms] ἐκλεκτός[annmsn] αὐτός[rpgms] ἵστημι[viaa3s] ἐν[pd] ὁ[ddfs] θραῦσις[ndfsc] ἐνώπιον[pg] αὐτός[rpgms] ὁ[dgns] ἀποστρέφω[vnaa] ὁ[dafs] ὀργή[nafsc] αὐτός[rpgms] ὁ[dgns] μή[x] ἐξολεθρεύω[vnaa]. **v.24** καί[cc] ἐξουδενόω[viaa3p] γῆ[nafsc] ἐπιθυμητός[anafsn] οὐ[b] πιστεύω[viaa3p] ὁ[ddms] λόγος[ndmsc] αὐτός[rpgms]. **v.25** καί[cc] γογγύζω[viaa3p] ἐν[pd] ὁ[ddnp] σκήνωμα[ndnpc] αὐτός[rpgmp] οὐ[b] εἰσακούω[viaa3p] ὁ[dgfs] φωνή[ngfsc] κύριος[ngmsc]. **v.26** καί[cc] ἐπαίρω[viaa3s] ὁ[dafs] χείρ[nafsc] αὐτός[rpgms] αὐτός[rpdmp] ὁ[dgns] καταβάλλω[vnaa] αὐτός[rpamp] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc]. **v.27** καί[cc] ὁ[dgns] καταβάλλω[vnaa] ὁ[dans] σπέρμα[nansc] αὐτός[rpgmp] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] καί[cc] διασκορπίζω[vnaa] αὐτός[rpamp] ἐν[pd] ὁ[ddfp] χώρα[ndfpc]. **v.28** καί[cc] τελέω[viap3p] ὁ[ddms] Βεελφεγωρ[ndmsp] καί[cc] ἐσθίω[viaa3p] θυσία[nafpc] νεκρός[angmpn]. **v.29** καί[cc] παροξύνω[viaa3p] αὐτός[rpams] ἐν[pd] ὁ[ddnp] ἐπιτήδευμα[ndnpc] αὐτός[rpgmp] καί[cc] πληθύνω[viap3s] ἐν[pd] αὐτός[rpdmp] ὁ[dnfs] πτῶσις[nnfsc]. **v.30** καί[cc] ἵστημι[viaa3s] Φινεες[nnmsp] καί[cc] ἐξιλάσκομαι[viam3s] καί[cc] κοπάζω[viaa3s] ὁ[dnfs] θραῦσις[nnfsc]. **v.31** καί[cc] λογίζομαι[viap3s] αὐτός[rpdms] εἰς[pa] δικαιοσύνη[nafsc] εἰς[pa] γενεά[nafsc] καί[cc] γενεά[nafsc] ἕως[pg] ὁ[dgms] αἰών[ngmsc]. **v.32** καί[cc] παροργίζω[viaa3p] αὐτός[rpams] ἐπί[pg] ὕδωρ[ngnsc] ἀντιλογία[ngfsc] καί[cc] κακόω[viap3s] Μωϋσῆς[nnmsp] διά[pa] αὐτός[rpamp]. **v.33** ὅτι[cs] παραπικραίνω[viaa3p] ὁ[dans] πνεῦμα[nansc] αὐτός[rpgms] καί[cc] διαστέλλω[viaa3s] ἐν[pd] ὁ[ddnp] χεῖλος[ndnpc] αὐτός[rpgms]. **v.34** οὐ[b] ἐξολεθρεύω[viaa3p] ὁ[danp] ἔθνος[nanpc] ὅς[rranp] λέγω[viaa3s] κύριος[nnmsc] αὐτός[rpdmp].

36 αὐτῶν. καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν καὶ ἐγενήθη αὐτοῖς
37 εἰς σκάνδαλον. καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέ-
38 ρας αὐτῶν τοῖς δαιμονίοις. καὶ ἐξέχεαν αἷμα ἀθῷον αἷμα υἱῶν
αὐτῶν καὶ θυγατέρων ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χανααν καὶ ἐφονο-
39 κτονήθη ἡ γῆ ἐν τοῖς αἵμασιν. καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν
40 καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. καὶ ὠργίσθη θυ-
μῷ κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐβδελύξατο τὴν κληρονομίαν
41 αὐτοῦ. καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐθνῶν καὶ ἐκυρίευσαν
42 αὐτῶν οἱ μισοῦντες αὐτούς. καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν
43 καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. πλεονάκις ἐρρύσατο
αὐτούς αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν καὶ ἐ-
44 ταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. καὶ εἶδεν ἐν τῷ θλίβεσθαι
45 αὐτοὺς ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. καὶ ἐμνήσθη
τῆς διαθήκης αὐτοῦ καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους
46 αὐτοῦ. καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν
47 αἰχμαλωτισάντων αὐτούς. σῶσον ἡμᾶς κύριε ὁ θεὸς ἡμῶν καὶ
ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν τοῦ ἐξομολογήσασθαι τῷ ὀνό-
48 ματι τῷ ἁγίῳ σου τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. εὐλογητὸς
κύριος ὁ θεὸς Ισραηλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος καὶ ἐρεῖ
πᾶς ὁ λαός γένοιτο γένοιτο.

**106** αλληλουια ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι χρηστός ὅτι εἰς τὸν αἰ-

---

**v.35** καί[cc] μίγνυμι[viap3p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] καί[cc] μανθάνω[viaa3p] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgnp]. **v.36** καί[cc] δουλεύω[viaa3p] ὁ[ddnp] γλυπτός[andnpn] αὐτός[rpgnp] καί[cc] γίνομαι[viap3s] αὐτός[rpdmp] εἰς[pa] σκάνδαλον[nansc]. **v.37** καί[cc] θύω[viaa3p] ὁ[damp] υἱός[nampc] αὐτός[rpgmp] καί[cc] ὁ[dafp] θυγάτηρ[nafpc] αὐτός[rpgmp] ὁ[ddnp] δαιμόνιον[ndnpc]. **v.38** καί[cc] ἐκχέω[viaa3p] αἷμα[nansc] ἀθῷος[anansn] αἷμα[nansc] υἱός[ngmpc] αὐτός[rpgmp] καί[cc] θυγάτηρ[ngfpc] ὅς[rrgmp] θύω[viaa3p] ὁ[ddnp] γλυπτός[andnpn] Χανάαν[ngfsp] καί[cc] φονοκτονέω[viap3s] ὁ[dnfs] γῆ[nnfsc] ἐν[pd] ὁ[ddnp] αἷμα[ndnpc]. **v.39** καί[cc] μιαίνω[viap3s] ἐν[pd] ὁ[ddnp] ἔργον[ndnpc] αὐτός[rpgmp] καί[cc] πορνεύω[viaa3p] ἐν[pd] ὁ[ddnp] ἐπιτήδευμα[ndnpc] αὐτός[rpgmp]. **v.40** καί[cc] ὀργίζω[viap3s] θυμός[ndmsc] κύριος[nnmsc] ἐπί[pa] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] καί[cc] βδελύσσω[viam3s] ὁ[dafs] κληρονομία[nafsc] αὐτός[rpgms]. **v.41** καί[cc] παραδίδωμι[viaa3s] αὐτός[rpamp] εἰς[pa] χείρ[nafpc] ἔθνος[ngnpc] καί[cc] κυριεύω[viaa3p] αὐτός[rpgmp] ὁ[dnmp] μισέω[vppanmp] αὐτός[rpamp]. **v.42** καί[cc] θλίβω[viaa3p] αὐτός[rpamp] ὁ[dnmp] ἐχθρός[annmpn] αὐτός[rpgmp] καί[cc] ταπεινόω[viap3p] ὑπό[pa] ὁ[dafp] χείρ[nafpc] αὐτός[rpgmp]. **v.43** πλεονάκις[b] ῥύομαι[viam3s] αὐτός[rpamp] αὐτός[rpnmp] δέ[cc] παραπικραίνω[viaa3p] αὐτός[rpams] ἐν[pd] ὁ[ddfs] βουλή[ndfsc] αὐτός[rpgmp] καί[cc] ταπεινόω[viap3p] ἐν[pd] ὁ[ddfp] ἀνομία[ndfpc] αὐτός[rpgmp]. **v.44** καί[cc] ὁράω[viaa3s] ἐν[pd] ὁ[ddns] θλίβω[vnpm] αὐτός[rpamp] ἐν[pd] ὁ[ddns] αὐτός[rpams] εἰσακούω[vnaa] ὁ[dgfs] δέησις[ngfsc] αὐτός[rpgmp]. **v.45** καί[cc] μιμνῄσκομαι[viap3s] ὁ[dgfs] διαθήκη[ngfsc] αὐτός[rpgms] καί[cc] μεταμέλομαι[viap3s] κατά[pa] ὁ[dans] πλῆθος[nansc] ὁ[dgns] ἔλεος[ngnsc] αὐτός[rpgms]. **v.46** καί[cc] δίδωμι[viaa3s] αὐτός[rpamp] εἰς[pa] οἰκτιρμός[nampc] ἐναντίον[pg] πᾶς[aigmpn] ὁ[dgmp] αἰχμαλωτίζω[vpaagmp] αὐτός[rpamp]. **v.47** σῴζω[vdaa2s] ἐγώ[rpa-p] κύριος[nvmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] καί[cc] ἐπισυνάγω[vdaa2s] ἐγώ[rpa-p] ἐκ[pg] ὁ[dgnp] ἔθνος[ngnpc] ὁ[dgns] ἐξομολογέω[vnam] ὁ[ddns] ὄνομα[ndnsc] ὁ[ddns] ἅγιος[andnsn] σύ[rpgms] ὁ[dgns] ἐγκαυχάομαι[vnpm] ἐν[pd] ὁ[ddfs] αἴνεσις[ndfsc] σύ[rpgms]. **v.48** εὐλογητός[annmsn] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] Ἰσραήλ[ngmsp] ἀπό[pg] ὁ[dgms] αἰών[ngmsc] καί[cc] ἕως[pg] ὁ[dgms] αἰών[ngmsc] καί[cc] λέγω[vifa3s] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] γίνομαι[voam3s] γίνομαι[voam3s].

ῶνα τὸ ἔλεος αὐτοῦ. εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ κυρίου οὓς 2
ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ. ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς 3
ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης. ἐπλανή- 4
θησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ ὁδὸν πόλεως κατοικητηρίου οὐχ
εὗρον. πεινῶντες καὶ διψῶντες ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν. 5
καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς καὶ ἐκ τῶν ἀ- 6
ναγκῶν αὐτῶν ἐρρύσατο αὐτοὺς. καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν 7
εὐθεῖαν τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. ἐξομολογη- 8
σάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς
υἱοῖς τῶν ἀνθρώπων. ὅτι ἐχόρτασεν ψυχὴν κενὴν καὶ ψυχὴν πει- 9
νῶσαν ἐνέπλησεν ἀγαθῶν. καθημένους ἐν σκότει καὶ σκιᾷ θα- 10
νάτου πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. ὅτι παρεπίκραναν 11
τὰ λόγια τοῦ θεοῦ καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν. καὶ 12
ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν ἠσθένησαν καὶ οὐκ ἦν ὁ
βοηθῶν. καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς καὶ 13
ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτοὺς. καὶ ἐξήγαγεν αὐτοὺς ἐκ 14
σκότους καὶ σκιᾶς θανάτου καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν.
ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια 15
αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. ὅτι συνέτριψεν πύλας χαλκᾶς 16
καὶ μοχλοὺς σιδηροῦς συνέκλασεν. ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ 17

**106.** **v.1** ἁλληλουϊά[t] ἐξομολογέω[vdpm2p] ὁ[ddms] κύριος[ndmsc] ὅτι[cs] χρηστός[annmsn] ὅτι[cs] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dnns] ἔλεος[nnnsc] αὐτός[rpgms]. **v.2** λέγω[vdaa3p] ὁ[dnmp] λυτρόω[vpxpnmp] ὑπό[pg] κύριος[ngmsc] ὅς[rramp] λυτρόω[viam3s] ἐκ[pg] χείρ[ngfsc] ἐχθρός[angmsn]. **v.3** ἐκ[pg] ὁ[dgfp] χώρα[ngfpc] συνάγω[viaa3s] αὐτός[rpamp] ἀπό[pg] ἀνατολή[ngfpc] καί[cc] δυσμή[ngfpc] καί[cc] βορέας[ngmsc] καί[cc] θάλασσα[ngfsc]. **v.4** πλανάω[viap3p] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc] ἐν[pd] ἄνυδρος[andfsn] ὁδός[nafsc] πόλις[ngfsc] κατοικητήριον[ngnsc] οὐ[b] εὑρίσκω[viaa3p]. **v.5** πεινάω[vppanmp] καί[cc] διψάω[vppanmp] ὁ[dnfs] ψυχή[nnfsc] αὐτός[rpgmp] ἐν[pd] αὐτός[rpdmp] ἐκλείπω[viaa3s]. **v.6** καί[cc] κράζω[viaa3p] πρός[pa] κύριος[namsc] ἐν[pd] ὁ[ddns] θλίβω[vnpm] αὐτός[rpamp] καί[cc] ἐκ[pg] ὁ[dgfp] ἀνάγκη[ngfpc] αὐτός[rpgmp] ῥύομαι[viam3s] αὐτός[rpamp]. **v.7** καί[cc] ὁδηγέω[viaa3s] αὐτός[rpamp] εἰς[pa] ὁδός[nafsc] εὐθύς[anafsn] ὁ[dgns] πορεύομαι[vnap] εἰς[pa] πόλις[nafsc] κατοικητήριον[ngnsc]. **v.8** ἐξομολογέω[vdam3p] ὁ[ddms] κύριος[ndmsc] ὁ[danp] ἔλεος[nanpc] αὐτός[rpgms] καί[cc] ὁ[danp] θαυμάσιος[ananpn] αὐτός[rpgms] ὁ[ddmp] υἱός[ndmpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc]. **v.9** ὅτι[cs] χορτάζω[viaa3s] ψυχή[nafsc] κενός[anafsn] καί[cc] ψυχή[nafsc] πεινάω[vppaafs] ἐμπίπλημι[viaa3s] ἀγαθός[angnpn]. **v.10** κάθημαι[vppmamp] ἐν[pd] σκότος[ndnsc] καί[cc] σκιά[ndfsc] θάνατος[ngmsc] πεδάω[vpxpamp] ἐν[pd] πτωχεία[ndfsc] καί[cc] σίδηρος[ndmsc]. **v.11** ὅτι[cs] παραπικραίνω[viaa3p] ὁ[danp] λόγιον[nanpc] ὁ[dgms] θεός[ngmsc] καί[cc] ὁ[dafs] βουλή[nafsc] ὁ[dgms] ὕψιστος[angmsn] παροξύνω[viaa3p]. **v.12** καί[cc] ταπεινόω[viap3s] ἐν[pd] κόπος[ndmpc] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgmp] ἀσθενέω[viaa3p] καί[cc] οὐ[b] εἰμί[viia3s] ὁ[dnms] βοηθέω[vppanms]. **v.13** καί[cc] κράζω[viaa3p] πρός[pa] κύριος[namsc] ἐν[pd] ὁ[ddns] θλίβω[vnpm] αὐτός[rpamp] καί[cc] ἐκ[pg] ὁ[dgfp] ἀνάγκη[ngfpc] αὐτός[rpgmp] σῴζω[viaa3s] αὐτός[rpamp]. **v.14** καί[cc] ἐξάγω[viaa3s] αὐτός[rpamp] ἐκ[pg] σκότος[ngnsc] καί[cc] σκιά[ngfsc] θάνατος[ngmsc] καί[cc] ὁ[damp] δεσμός[nampc] αὐτός[rpgmp] διαρρήγνυμι[viaa3s]. **v.15** ἐξομολογέω[vdam3p] ὁ[ddms] κύριος[ndmsc] ὁ[danp] ἔλεος[nanpc] αὐτός[rpgms] καί[cc] ὁ[danp] θαυμάσιος[ananpn] αὐτός[rpgms] ὁ[ddmp] υἱός[ndmpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc]. **v.16** ὅτι[cs] συντρίβω[viaa3s] πύλη[nafpc] χαλκοῦς[anafpn] καί[cc] μοχλός[nampc] σιδηροῦς[anampn] συγκλάω[viaa3s].

18 ἀνομίας αὐτῶν διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν. πᾶν
βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ
19 θανάτου. καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς
20 καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. ἀπέστειλεν τὸν λόγον
αὐτοῦ καὶ ἰάσατο αὐτοὺς καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθο-
21 ρῶν αὐτῶν. ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ
22 θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. καὶ θυσάτωσαν θυ-
σίαν αἰνέσεως καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.
23 οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν ἐν πλοίοις ποιοῦντες ἐργα-
24 σίαν ἐν ὕδασι πολλοῖς. αὐτοὶ εἴδοσαν τὰ ἔργα κυρίου καὶ τὰ
25 θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ. εἶπεν καὶ ἔστη πνεῦμα καταιγίδος
26 καὶ ὑψώθη τὰ κύματα αὐτῆς. ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν
καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐ-
27 τήκετο. ἐταράχθησαν ἐσαλεύθησαν ὡς ὁ μεθύων καὶ πᾶσα ἡ
28 σοφία αὐτῶν κατεπόθη. καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλί-
29 βεσθαι αὐτούς καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς. καὶ
ἐπέταξεν τῇ καταιγίδι καὶ ἔστη εἰς αὔραν καὶ ἐσίγησαν τὰ κύματα
30 αὐτῆς. καὶ εὐφράνθησαν ὅτι ἡσύχασαν καὶ ὡδήγησεν αὐτοὺς ἐ-
31 πὶ λιμένα θελήματος αὐτῶν. ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ
32 ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. ὑ-
ψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ καὶ ἐν καθέδρᾳ πρεσβυτέρων

---

**v.28** στάζω[viaa3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ἀπό[pg] ἀκηδία[ngfsc] βεβαιόω[vdaa2s] ἐγώ[rpa-s] ἐν[pd] ὁ[ddmp] λόγος[ndmpc] σύ[rpgms]. **v.29** ὁδός[nafsc] ἀδικία[ngfsc] ἀφίστημι[vdaa2s] ἀπό[pg] ἐγώ[rpg-s] καί[cc] ὁ[ddms] νόμος[ndmsc] σύ[rpgms] ἐλεέω[vdaa2s] ἐγώ[rpa-s]. **v.30** ὁδός[nafsc] ἀλήθεια[ngfsc] αἱρετίζω[viam1s] ὁ[danp] κρίμα[nanpc] σύ[rpgms] οὐ[b] ἐπιλανθάνομαι[viam1s]. **v.31** κολλάω[viap1s] ὁ[ddnp] μαρτύριον[ndnpc] σύ[rpgms] κύριος[nvmsc] μή[x] ἐγώ[rpa-s] καταισχύνω[vspa2s]. **v.32** ὁδός[nafsc] ἐντολή[ngfpc] σύ[rpgms] τρέχω[viaa1s] ὅταν[cs] πλατύνω[viaa2s] ὁ[dafs] καρδία[nafsc] ἐγώ[rpg-s]. **v.33** ε[am—n] η[t] νομοθετέω[vdaa2s] ἐγώ[rpa-s] κύριος[nvmsc] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgnp] δικαίωμα[ngnpc] σύ[rpgms] καί[cc] ἐκζητέω[vifa1s] αὐτός[rpafs] διά[pg] πᾶς[aignsn]. **v.34** συνετίζω[vdaa2s] ἐγώ[rpa-s] καί[cc] ἐξερευνάω[vifa1s] ὁ[dams] νόμος[namsc] σύ[rpgms] καί[cc] φυλάσσω[vifa1s] αὐτός[rpams] ἐν[pd] ὅλος[andfsn] καρδία[ndfsc] ἐγώ[rpg-s]. **v.35** ὁδηγέω[vdaa2s] ἐγώ[rpa-s] ἐν[pd] τρίβος[ndfsc] ὁ[dgfp] ἐντολή[ngfpc] σύ[rpgms] ὅτι[cs] αὐτός[rpafs] θέλω[viaa1s]. **v.36** κλίνω[vdaa2s] ὁ[dafs] καρδία[nafsc] ἐγώ[rpg-s] εἰς[pa] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms] καί[cc] μή[x] εἰς[pa] πλεονεξία[nafsc]. **v.37** ἀποστρέφω[vdaa2s] ὁ[damp] ὀφθαλμός[nampc] ἐγώ[rpg-s] ὁ[dgns] μή[x] ὁράω[vnaa] ματαιότης[nafsc] ἐν[pd] ὁ[ddfs] ὁδός[ndfsc] σύ[rpgms] ζάω[vdaa2s] ἐγώ[rpa-s]. **v.38** ἵστημι[vdaa2s] ὁ[ddms] δοῦλος[ndmsc] σύ[rpgms] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] εἰς[pa] ὁ[dams] φόβος[namsc] σύ[rpgms]. **v.39** περιαιρέω[vdaa2s] ὁ[dams] ὀνειδισμός[namsc] ἐγώ[rpg-s] ὅς[rrams] ὑποπτεύω[viaa1s] ὁ[danp] γάρ[cc] κρίμα[nnnpc] σύ[rpgms] χρηστός[annnpn]. **v.40** ἰδού[i] ἐπιθυμέω[viaa1s] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] ἐν[pd] ὁ[ddfs] δικαιοσύνη[ndfsc] σύ[rpgms] ζάω[vdaa2s] ἐγώ[rpa-s]. **v.41** σ[am—n] ουαυ[t] καί[cc] ἔρχομαι[voaa3s] ἐπί[pa] ἐγώ[rpa-s] ὁ[dnns] ἔλεος[nnnsc] σύ[rpgms] κύριος[nvmsc] ὁ[dnns] σωτήριον[nnnsc] σύ[rpgms] κατά[pa] ὁ[dans] λόγιον[nansc] σύ[rpgms]. **v.42** καί[cc] ἀποκρίνομαι[vifp1s] ὁ[ddmp] ὀνειδίζω[vppadmp] ἐγώ[rpa-s] λόγος[namsc] ὅτι[cs] ἐλπίζω[viaa1s] ἐπί[pa] ὁ[damp] λόγος[nampc] σύ[rpgms]. **v.43** καί[cc] μή[x] περιαιρέω[vsaa2s] ἐκ[pg] ὁ[dgns] στόμα[ngnsc] ἐγώ[rpg-s] λόγος[namsc] ἀλήθεια[ngfsc] ἕως[pp] σφόδρα[b] ὅτι[cs] ἐπί[pa] ὁ[danp] κρίμα[nanpc] σύ[rpgms] ἐπελπίζω[viaa1s]. **v.44** καί[cc] φυλάσσω[vifa1s] ὁ[dams] νόμος[namsc] σύ[rpgms] διά[pg] πᾶς[aignsn] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dgms] αἰών[ngmsc].

46 τὰς ἐντολάς σου ἐξεζήτησα. καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου
47 ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην. καὶ ἐμελέτων ἐν ταῖς ἐν-
48 τολαῖς σου αἷς ἠγάπησα σφόδρα. καὶ ἦρα τὰς χεῖράς μου πρὸς
τὰς ἐντολάς σου ἃς ἠγάπησα καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασίν
49 σου. ζ΄ ζαι μνήσθητι τὸν λόγον σου τῷ δούλῳ σου ᾧ ἐπήλπισάς
50 με. αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου ὅτι τὸ λόγιόν σου
51 ἔζησέν με. ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα ἀπὸ δὲ τοῦ νό-
52 μου σου οὐκ ἐξέκλινα. ἐμνήσθην τῶν κριμάτων σου ἀπ΄ αἰῶνος
53 κύριε καὶ παρεκλήθην. ἀθυμία κατέσχεν με ἀπὸ ἁμαρτωλῶν
54 τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. ψαλτὰ ἦσάν μοι τὰ δι-
55 καιώματά σου ἐν τόπῳ παροικίας μου. ἐμνήσθην ἐν νυκτὶ τοῦ
56 ὀνόματός σου κύριε καὶ ἐφύλαξα τὸν νόμον σου. αὕτη ἐγενήθη
57 μοι ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. η΄ ηθ μερίς μου κύριε εἶπα
58 φυλάξασθαι τὸν νόμον σου. ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ
59 καρδίᾳ μου ἐλέησόν με κατὰ τὸ λόγιόν σου. διελογισάμην τὰς
ὁδούς σου καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.
60 ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.
61 σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι καὶ τοῦ νόμου σου οὐκ
62 ἐπελαθόμην. μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι
63 ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. μέτοχος ἐγώ εἰμι πάντων

---

**v.45** καί[cc] πορεύομαι[viim1s] ἐν[pd] πλατυσμός[ndmsc] ὅτι[cs] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] ἐκζητέω[viaa1s]. **v.46** καί[cc] λαλέω[viia1s] ἐν[pd] ὁ[ddnp] μαρτύριον[ndnpc] σύ[rpgms] ἐναντίον[pg] βασιλεύς[ngmpc] καί[cc] οὐ[b] αἰσχύνω[viip1s]. **v.47** καί[cc] μελετάω[viia1s] ἐν[pd] ὁ[ddfp] ἐντολή[ndfpc] σύ[rpgms] ὅς[rrdfp] ἀγαπάω[viaa1s] σφόδρα[b]. **v.48** καί[cc] αἴρω[viaa1s] ὁ[dafp] χείρ[nafpc] ἐγώ[rpg-s] πρός[pa] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] ὅς[rrafp] ἀγαπάω[viaa1s] καί[cc] ἀδολεσχέω[viia1s] ἐν[pd] ὁ[ddnp] δικαίωμα[ndnpc] σύ[rpgms]. **v.49** ζ[am—n] ζαι[t] μιμνῄσκομαι[vdap2s] ὁ[dams] λόγος[namsc] σύ[rpgms] ὁ[ddms] δοῦλος[ndmsc] σύ[rpgms] ὅς[rrdms] ἐπελπίζω[viaa2s] ἐγώ[rpa-s]. **v.50** οὗτος[rdnfs] ἐγώ[rpa-s] παρακαλέω[viaa3s] ἐν[pd] ὁ[ddfs] ταπείνωσις[ndfsc] ἐγώ[rpg-s] ὅτι[cs] ὁ[dnns] λόγιον[nnnsc] σύ[rpgms] ζάω[viaa3s] ἐγώ[rpa-s]. **v.51** ὑπερήφανος[annmpn] παρανομέω[viia3p] ἕως[pp] σφόδρα[b] ἀπό[pg] δέ[cc] ὁ[dgms] νόμος[ngmsc] σύ[rpgms] οὐ[b] ἐκκλίνω[viaa1s]. **v.52** μιμνῄσκομαι[viap1s] ὁ[dgnp] κρίμα[ngnpc] σύ[rpgms] ἀπό[pg] αἰών[ngmsc] κύριος[nvmsc] καί[cc] παρακαλέω[viap1s]. **v.53** ἀθυμία[nnfsc] κατέχω[viaa3s] ἐγώ[rpa-s] ἀπό[pg] ἁμαρτωλός[angmpn] ὁ[dgmp] ἐγκαταλιμπάνω[vppagmp] ὁ[dams] νόμος[namsc] σύ[rpgms]. **v.54** ψαλτός[annnpn] εἰμί[viia3p] ἐγώ[rpd-s] ὁ[dnnp] δικαίωμα[nnnpc] σύ[rpgms] ἐν[pd] τόπος[ndmsc] παροικία[ngfsc] ἐγώ[rpg-s]. **v.55** μιμνῄσκομαι[viap1s] ἐν[pd] νύξ[ndfsc] ὁ[dgns] ὄνομα[ngnsc] σύ[rpgms] κύριος[nvmsc] καί[cc] φυλάσσω[viaa1s] ὁ[dams] νόμος[namsc] σύ[rpgms]. **v.56** οὗτος[rdnfs] γίνομαι[viap3s] ἐγώ[rpd-s] ὅτι[cs] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] ἐκζητέω[viaa1s]. **v.57** η[am—n] ηθ[t] μερίς[nnfsc] ἐγώ[rpg-s] κύριος[nvmsc] λέγω[viaa1s] φυλάσσω[vnam] ὁ[dams] νόμος[namsc] σύ[rpgms]. **v.58** δέομαι[viap1s] ὁ[dgns] πρόσωπον[ngnsc] σύ[rpgms] ἐν[pd] ὅλος[andfsn] καρδία[ndfsc] ἐγώ[rpg-s] ἐλεέω[vdaa2s] ἐγώ[rpa-s] κατά[pa] ὁ[dans] λόγιον[nansc] σύ[rpgms]. **v.59** διαλογίζομαι[viam1s] ὁ[dafp] ὁδός[nafpc] σύ[rpgms] καί[cc] ἐπιστρέφω[viaa1s] ὁ[damp] πούς[nampc] ἐγώ[rpg-s] εἰς[pa] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms]. **v.60** ἑτοιμάζω[viap1s] καί[cc] οὐ[b] ταράσσω[viap1s] ὁ[dgns] φυλάσσω[vnam] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms]. **v.61** σχοινίον[nnnpc] ἁμαρτωλός[angmpn] περιπλέκω[viap3p] ἐγώ[rpd-s] καί[cc] ὁ[dgms] νόμος[ngmsc] σύ[rpgms] οὐ[b] ἐπιλανθάνομαι[viam1s]. **v.62** μεσονύκτιον[nansc] ἐξεγείρω[viim1s] ὁ[dgns] ἐξομολογέω[vnpm] σύ[rpdms] ἐπί[pa] ὁ[danp] κρίμα[nanpc] ὁ[dgfs] δικαιοσύνη[ngfsc] σύ[rpgms].

τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. τοῦ 64
ἐλέους σου κύριε πλήρης ἡ γῆ τὰ δικαιώματά σου δίδαξόν με.
θ′ τηθ χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου κύριε κατὰ τὸν 65
λόγον σου. χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με ὅτι 66
ταῖς ἐντολαῖς σου ἐπίστευσα. πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐ- 67
πλημμέλησα διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. χρηστὸς εἶ σύ 68
κύριε καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.
ἐπληθύνθη ἐπ′ ἐμὲ ἀδικία ὑπερηφάνων ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ 69
μου ἐξερευνήσω τὰς ἐντολάς σου. ἐτυρώθη ὡς γάλα ἡ καρδία 70
αὐτῶν ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. ἀγαθόν μοι ὅτι ἐτα- 71
πείνωσάς με ὅπως ἂν μάθω τὰ δικαιώματά σου. ἀγαθόν μοι ὁ 72
νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.
ι′ ιωθ αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με συνέτισόν με καὶ 73
μαθήσομαι τὰς ἐντολάς σου. οἱ φοβούμενοί σε ὄψονταί με καὶ 74
εὐφρανθήσονται ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. ἔγνων κύριε 75
ὅτι δικαιοσύνη τὰ κρίματά σου καὶ ἀληθείᾳ ἐταπείνωσάς με. γε- 76
νηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου
τῷ δούλῳ σου. ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι ὅτι ὁ 77
νόμος σου μελέτη μού ἐστιν. αἰσχυνθήτωσαν ὑπερήφανοι ὅτι ἀ- 78
δίκως ἠνόμησαν εἰς ἐμέ ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

---

**v.63** μέτοχος[annmsn] ἐγώ[rpn-s] εἰμί[vipa1s] πᾶς[aigmpn] ὁ[dgmp] φοβέω[vppmgmp] σύ[rpams] καί[cc] ὁ[dgmp] φυλάσσω[vppagmp] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms]. **v.64** ὁ[dgns] ἔλεος[ngnsc] σύ[rpgms] κύριος[nvmsc] πλήρης[annfsn] ὁ[dnfs] γῆ[nnfsc] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] διδάσκω[vdaa2s] ἐγώ[rpa-s]. **v.65** ϑ′[am—n] τηθ[t] χρηστότης[nafsc] ποιέω[viaa2s] μετά[pg] ὁ[dgms] δοῦλος[ngmsc] σύ[rpgms] κύριος[nvmsc] κατά[pa] ὁ[dams] λόγος[namsc] σύ[rpgms]. **v.66** χρηστότης[nafsc] καί[cc] παιδεία[nafsc] καί[cc] γνῶσις[nafsc] διδάσκω[vdaa2s] ἐγώ[rpa-s] ὅτι[cs] ὁ[ddfp] ἐντολή[ndfpc] σύ[rpgms] πιστεύω[viaa1s]. **v.67** πρό[pg] ὁ[dgns] ἐγώ[rpa-s] ταπεινόω[vnap] ἐγώ[rpn-s] πλημμελέω[viaa1s] διά[pa] οὗτος[rdans] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] φυλάσσω[viaa1s]. **v.68** χρηστός[annmsn] εἰμί[vipa2s] σύ[rpnms] κύριος[nvmsc] καί[cc] ἐν[pd] ὁ[ddfs] χρηστότης[ndfsc] σύ[rpgms] διδάσκω[vdaa2s] ἐγώ[rpa-s] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms]. **v.69** πληθύνω[viap3s] ἐπί[pa] ἐγώ[rpa-s] ἀδικία[nnfsc] ὑπερήφανος[angmpn] ἐγώ[rpn-s] δέ[cc] ἐν[pd] ὅλος[andfsn] καρδία[ndfsc] ἐγώ[rpg-s] ἐξερευνάω[vifa1s] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms]. **v.70** τυρόω[viap3s] ὡς[cs] γάλα[nnnnsc] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgmp] ἐγώ[rpn-s] δέ[cc] ὁ[dams] νόμος[namsc] σύ[rpgms] μελετάω[viaa1s]. **v.71** ἀγαθός[annnsn] ἐγώ[rpd-s] ὅτι[cs] ταπεινόω[viaa2s] ἐγώ[rpa-s] ὅπως[cs] ἄν[x] μανθάνω[vsaa1s] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms]. **v.72** ἀγαθός[annnsn] ἐγώ[rpd-s] ὁ[dnms] νόμος[nnmsc] ὁ[dgns] στόμα[ngnsc] σύ[rpgms] ὑπέρ[pa] χιλιάς[nafpc] χρυσίον[ngnsc] καί[cc] ἀργύριον[ngnsc]. **v.73** ι′[am—n] ιωθ[t] ὁ[dnfp] χείρ[nnfpc] σύ[rpgms] ποιέω[viaa3p] ἐγώ[rpa-s] καί[cc] πλάσσω[viaa3p] ἐγώ[rpa-s] συνετίζω[vdaa2s] ἐγώ[rpa-s] καί[cc] μανθάνω[vifm1s] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms]. **v.74** ὁ[dnmp] φοβέω[vppmnmp] σύ[rpams] ὁράω[vifm3p] ἐγώ[rpa-s] καί[cc] εὐφραίνω[vifp3p] ὅτι[cs] εἰς[pa] ὁ[damp] λόγος[nampc] σύ[rpgms] ἐπελπίζω[viaa1s]. **v.75** γινώσκω[viaa1s] κύριος[nvmsc] ὅτι[cs] δικαιοσύνη[nnfsc] ὁ[dnnp] κρίμα[nnnpc] σύ[rpgms] καί[cc] ἀλήθεια[ndfsc] ταπεινόω[viaa2s] ἐγώ[rpa-s]. **v.76** γίνομαι[vdap3s] δή[x] ὁ[dnns] ἔλεος[nnnsc] σύ[rpgms] ὁ[dgns] παρακαλέω[vnaa] ἐγώ[rpa-s] κατά[pa] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] ὁ[ddms] δοῦλος[ndmsc] σύ[rpgms]. **v.77** ἔρχομαι[vdaa3p] ἐγώ[rpd-s] ὁ[dnmp] οἰκτιρμός[nnmpc] σύ[rpgms] καί[cc] ζάω[vifm1s] ὅτι[cs] ὁ[dnms] νόμος[nnmsc] σύ[rpgms] μελέτη[nnfsc] ἐγώ[rpg-s] εἰμί[vipa3s]. **v.78** αἰσχύνω[vdap3p] ὑπερήφανος[annmpn] ὅτι[cs] ἀδίκως[b] ἀνομέω[viaa3p] εἰς[pa] ἐγώ[rpa-s] ἐγώ[rpn-s] δέ[cc] ἀδολεσχέω[vifa1s] ἐν[pd] ὁ[ddfp] ἐντολή[ndfpc] σύ[rpgms].

79 ἐπιστρεψάτωσάν μοι οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρ-
80 τύριά σου. γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασίν
81 σου ὅπως ἂν μὴ αἰσχυνθῶ. ια΄ χαφ ἐκλείπει εἰς τὸ σωτήριόν
82 σου ἡ ψυχή μου καὶ εἰς τὸν λόγον σου ἐπήλπισα. ἐξέλιπον οἱ
ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου λέγοντες πότε παρακαλέσεις με.
83 ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ τὰ δικαιώματά σου οὐκ ἐπελα-
84 θόμην. πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου πότε ποιήσεις μοι
85 ἐκ τῶν καταδιωκόντων με κρίσιν. διηγήσαντό μοι παράνομοι
86 ἀδολεσχίας ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου κύριε. πᾶσαι αἱ ἐντολαί
87 σου ἀλήθεια ἀδίκως κατεδίωξάν με βοήθησόν μοι. παρὰ βρα-
χὺ συνετέλεσάν με ἐν τῇ γῇ ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς
88 σου. κατὰ τὸ ἔλεός σου ζῆσόν με καὶ φυλάξω τὰ μαρτύρια τοῦ
89 στόματός σου. ιβ΄ λαβδ εἰς τὸν αἰῶνα κύριε ὁ λόγος σου διαμένει
90 ἐν τῷ οὐρανῷ. εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου ἐθεμελίωσας
91 τὴν γῆν καὶ διαμένει. τῇ διατάξει σου διαμένει ἡ ἡμέρα ὅτι τὰ
92 σύμπαντα δοῦλα σά. εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν
93 τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. εἰς τὸν αἰῶνα οὐ μὴ
ἐπιλάθωμαι τῶν δικαιωμάτων σου ὅτι ἐν αὐτοῖς ἔζησάς με κύριε.
94, 95 σός εἰμι ἐγώ σῶσόν με ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. ἐμὲ
ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με τὰ μαρτύριά σου συνῆκα.

---

**v.79** ἐπιστρέφω[vdaa3p] ἐγώ[rpd-s] ὁ[dnmp] φοβέω[vppmnmp] σύ[rpams] καί[cc] ὁ[dnmp] γινώσκω[vppanmp] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms]. **v.80** γίνομαι[vdap3s] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-s] ἄμωμος[annfsn] ἐν[pd] ὁ[ddnp] δικαίωμα[ndnpc] σύ[rpgms] ὅπως[cs] ἄν[x] μή[x] αἰσχύνω[vsap1s]. **v.81** ια΄[am—n] χαφ[t] ἐκλείπω[vipa3s] εἰς[pa] ὁ[dans] σωτήριον[nansc] σύ[rpgms] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] καί[cc] εἰς[pa] ὁ[dams] λόγος[namsc] σύ[rpgms] ἐπελπίζω[viaa1s]. **v.82** ἐκλείπω[viaa3p] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-s] εἰς[pa] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] λέγω[vppanmp] πότε[b] παρακαλέω[vifa2s] ἐγώ[rpa-s]. **v.83** ὅτι[cs] γίνομαι[viap1s] ὡς[cs] ἀσκός[nnmsc] ἐν[pd] πάχνη[ndfsc] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] οὐ[b] ἐπιλανθάνομαι[viam1s]. **v.84** πόσος[aqnfpn] εἰμί[vipa3p] ὁ[dnfp] ἡμέρα[nnfpc] ὁ[dgms] δοῦλος[ngmsc] σύ[rpgms] πότε[b] ποιέω[vifa2s] ἐγώ[rpd-s] ἐκ[pg] ὁ[dgmp] καταδιώκω[vppagmp] ἐγώ[rpa-s] κρίσις[nafsc]. **v.85** διηγέομαι[viam3p] ἐγώ[rpd-s] παράνομος[annmpn] ἀδολεσχία[nafpc] ἀλλά[cc] οὐ[b] ὡς[cs] ὁ[dnms] νόμος[nnmsc] σύ[rpgms] κύριος[nvmsc]. **v.86** πᾶς[ainfpn] ὁ[dnfp] ἐντολή[nnfpc] σύ[rpgms] ἀλήθεια[nnfsc] ἀδίκως[b] καταδιώκω[viaa3p] ἐγώ[rpa-s] βοηθέω[vdaa2s] ἐγώ[rpd-s]. **v.87** παρά[pa] βραχύς[anansn] συντελέω[viaa3p] ἐγώ[rpa-s] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] ἐγώ[rpn-s] δέ[cc] οὐ[b] ἐγκαταλείπω[viaa1s] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms]. **v.88** κατά[pa] ὁ[dans] ἔλεος[nansc] σύ[rpgms] ζάω[vdaa2s] ἐγώ[rpa-s] καί[cc] φυλάσσω[vifa1s] ὁ[danp] μαρτύριον[nanpc] ὁ[dgns] στόμα[ngnsc] σύ[rpgms]. **v.89** ιβ΄[am—n] λαβδ[t] εἰς[pa] ὁ[dams] αἰών[namsc] κύριος[nvmsc] ὁ[dnms] λόγος[nnmsc] σύ[rpgms] διαμένω[vipa3s] ἐν[pd] ὁ[ddms] οὐρανός[ndmsc]. **v.90** εἰς[pa] γενεά[nafsc] καί[cc] γενεά[nafsc] ὁ[dnfs] ἀλήθεια[nnfsc] σύ[rpgms] θεμελιόω[viaa2s] ὁ[dafs] γῆ[nafsc] καί[cc] διαμένω[vipa3s]. **v.91** ὁ[ddfs] διάταξις[ndfsc] σύ[rpgms] διαμένω[vipa3s] ὁ[dnfs] ἡμέρα[nnfsc] ὅτι[cs] ὁ[dnnp] σύμπας[annnpn] δοῦλος[annnpn] σός[asnnpn]. **v.92** εἰ[cs] μή[x] ὅτι[cs] ὁ[dnms] νόμος[nnmsc] σύ[rpgms] μελέτη[nnfsc] ἐγώ[rpg-s] εἰμί[vipa3s] τότε[b] ἄν[x] ἀπόλλυμι[viam1s] ἐν[pd] ὁ[ddfs] ταπείνωσις[ndfsc] ἐγώ[rpg-s]. **v.93** εἰς[pa] ὁ[dams] αἰών[namsc] οὐ[b] μή[x] ἐπιλανθάνομαι[vsam1s] ὁ[dgnp] δικαίωμα[ngnpc] σύ[rpgms] ὅτι[cs] ἐν[pd] αὐτός[rpdmp] ζάω[viaa2s] ἐγώ[rpa-s] κύριος[nvmsc]. **v.94** σός[asnmsn] εἰμί[vipa1s] ἐγώ[rpn-s] σῴζω[vdaa2s] ἐγώ[rpa-s] ὅτι[cs] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] ἐκζητέω[viaa1s]. **v.95** ἐγώ[rpa-s] ὑπομένω[viaa3p] ἁμαρτωλός[annmpn] ὁ[dgns] ἀπόλλυμι[vnaa] ἐγώ[rpa-s] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms] συνίημι[viaa1s].

πάσης συντελείας εἶδον πέρας πλατεῖα ἡ ἐντολή σου σφόδρα. ιγ' 96, 97
μημ ὡς ἠγάπησα τὸν νόμον σου κύριε ὅλην τὴν ἡμέραν μελέτη
μού ἐστιν. ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου 98
ὅτι εἰς τὸν αἰῶνά μοί ἐστιν. ὑπὲρ πάντας τοὺς διδάσκοντάς με 99
συνῆκα ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν. ὑπὲρ πρεσβυ- 100
τέρους συνῆκα ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. ἐκ πάσης ὁδοῦ 101
πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου ὅπως ἂν φυλάξω τοὺς λόγους
σου. ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα ὅτι σὺ ἐνομοθέτησάς 102
μοι. ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι καὶ 103
κηρίον τῷ στόματί μου. ἀπὸ τῶν ἐντολῶν σου συνῆκα διὰ τοῦτο 104
ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας ὅτι σὺ ἐνομοθέτησάς μοι. ιδ' νουν 105
λύχνος τοῖς ποσίν μου ὁ λόγος σου καὶ φῶς ταῖς τρίβοις μου. ὀ- 106
μώμοκα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης
σου. ἐταπεινώθην ἕως σφόδρα κύριε ζῆσόν με κατὰ τὸν λόγον 107
σου. τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή κύριε καὶ τὰ 108
κρίματά σου δίδαξόν με. ἡ ψυχή μου ἐν ταῖς χερσίν μου διὰ 109
παντός καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. ἔθεντο ἁμαρτωλοὶ 110
παγίδα μοι καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. ἐκληρονό- 111
μησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα ὅτι ἀγαλλίαμα τῆς καρδίας
μού εἰσιν. ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά 112

---

**v.96** πᾶς[aigfsn] συντέλεια[ngfsc] ὁράω[viaa1s] πέρας[nnnsc] πλατύς[annfsn] ὁ[dnfs] ἐντολή[nnfsc] σύ[rpgms] σφόδρα[b]. **v.97** ιγ'[am—n] μημ[t] ὡς[cs] ἀγαπάω[viaa1s] ὁ[dams] νόμος[namsc] σύ[rpgms] κύριος[nvmsc] ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc] μελέτη[nnfsc] ἐγώ[rpg-s] εἰμί[vipa3s]. **v.98** ὑπέρ[pa] ὁ[damp] ἐχθρός[anampn] ἐγώ[rpg-s] σοφίζω[viaa2s] ἐγώ[rpa-s] ὁ[dafs] ἐντολή[nafsc] σύ[rpgms] ὅτι[cs] εἰς[pa] ὁ[dams] αἰών[namsc] ἐγώ[rpd-s] εἰμί[vipa3s]. **v.99** ὑπέρ[pa] πᾶς[aiampn] ὁ[damp] διδάσκω[vppaamp] ἐγώ[rpa-s] συνίημι[viaa1s] ὅτι[cs] ὁ[dnnp] μαρτύριον[nnnpc] σύ[rpgms] μελέτη[nnfsc] ἐγώ[rpg-s] εἰμί[vipa3s]. **v.100** ὑπέρ[pa] πρεσβύτερος[anampc] συνίημι[viaa1s] ὅτι[cs] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] ἐκζητέω[viaa1s]. **v.101** ἐκ[pg] πᾶς[aigfsn] ὁδός[ngfsc] πονηρός[angfsn] κωλύω[viaa1s] ὁ[damp] πούς[nampc] ἐγώ[rpg-s] ὅπως[cs] ἄν[x] φυλάσσω[vsaa1s] ὁ[damp] λόγος[nampc] σύ[rpgms]. **v.102** ἀπό[pg] ὁ[dgnp] κρίμα[ngnpc] σύ[rpgms] οὐ[b] ἐκκλίνω[viaa1s] ὅτι[cs] σύ[rpnms] νομοθετέω[viaa2s] ἐγώ[rpd-s]. **v.103** ὡς[cs] γλυκύς[annnpn] ὁ[ddms] λάρυγξ[ndmsc] ἐγώ[rpg-s] ὁ[dnnp] λόγιον[nnnpc] σύ[rpgms] ὑπέρ[pa] μέλι[nansc] καί[cc] κηρίον[nansc] ὁ[ddns] στόμα[ndnsc] ἐγώ[rpg-s]. **v.104** ἀπό[pg] ὁ[dgfp] ἐντολή[ngfpc] σύ[rpgms] συνίημι[viaa1s] διά[pa] οὗτος[rdans] μισέω[viaa1s] πᾶς[aiafsn] ὁδός[nafsc] ἀδικία[ngfsc] ὅτι[cs] σύ[rpnms] νομοθετέω[viaa2s] ἐγώ[rpd-s]. **v.105** ιδ'[am—n] νουν[t] λύχνος[nnmsc] ὁ[ddmp] πούς[ndmpc] ἐγώ[rpg-s] ὁ[dnms] λόγος[nnmsc] σύ[rpgms] καί[cc] φῶς[nnnsc] ὁ[ddfp] τρίβος[ndfpc] ἐγώ[rpg-s]. **v.106** ὄμνυμι[vixa1s] καί[cc] ἵστημι[viaa1s] ὁ[dgns] φυλάσσω[vnam] ὁ[danp] κρίμα[nanpc] ὁ[dgfs] δικαιοσύνη[ngfsc] σύ[rpgms]. **v.107** ταπεινόω[viap1s] ἕως[pp] σφόδρα[b] κύριος[nvmsc] ζάω[vdaa2s] ἐγώ[rpa-s] κατά[pa] ὁ[dams] λόγος[namsc] σύ[rpgms]. **v.108** ὁ[danp] ἑκούσιος[ananpn] ὁ[dgns] στόμα[ngnsc] ἐγώ[rpg-s] εὐδοκέω[vdaa2s] δή[x] κύριος[nvmsc] καί[cc] ὁ[danp] κρίμα[nanpc] σύ[rpgms] διδάσκω[vdaa2s] ἐγώ[rpa-s]. **v.109** ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ἐν[pd] ὁ[ddfp] χείρ[ndfpc] ἐγώ[rpg-s] διά[pg] πᾶς[aignsn] καί[cc] ὁ[dgms] νόμος[ngmsc] σύ[rpgms] οὐ[b] ἐπιλανθάνομαι[viam1s]. **v.110** τίθημι[viam3p] ἁμαρτωλός[annmpn] παγίς[nafsc] ἐγώ[rpd-s] καί[cc] ἐκ[pg] ὁ[dgfp] ἐντολή[ngfpc] σύ[rpgms] οὐ[b] πλανάω[viap1s]. **v.111** κληρονομέω[viaa1s] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὅτι[cs] ἀγαλλίαμα[nnnsc] ὁ[dgfs] καρδία[ngfsc] ἐγώ[rpg-s] εἰμί[vipa3p].

113 σου εἰς τὸν αἰῶνα δι᾽ ἀντάμειψιν. ιε΄ σαμχ παρανόμους ἐμίσησα
114 καὶ τὸν νόμον σου ἠγάπησα. βοηθός μου καὶ ἀντιλήμπτωρ μου
115 εἶ σύ εἰς τὸν λόγον σου ἐπήλπισα. ἐκκλίνατε ἀπ᾽ ἐμοῦ πονηρευό-
116 μενοι καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου. ἀντιλαβοῦ μου
κατὰ τὸ λόγιόν σου καὶ ζήσομαι καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς
117 προσδοκίας μου. βοήθησόν μοι καὶ σωθήσομαι καὶ μελετήσω ἐν
118 τοῖς δικαιώμασίν σου διὰ παντός. ἐξουδένωσας πάντας τοὺς ἀ-
ποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου ὅτι ἄδικον τὸ ἐνθύμημα
119 αὐτῶν. παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς
120 γῆς διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου διὰ παντός. καθήλω-
σον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου ἀπὸ γὰρ τῶν κριμάτων σου
121 ἐφοβήθην. ισ΄ αιν ἐποίησα κρίμα καὶ δικαιοσύνην μὴ παραδῷς
122 με τοῖς ἀδικοῦσίν με. ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν μὴ συ-
123 κοφαντησάτωσάν με ὑπερήφανοι. οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς
124 τὸ σωτήριόν σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. ποίησον
μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου καὶ τὰ δικαιώματά σου
125 δίδαξόν με. δοῦλός σού εἰμι ἐγώ συνέτισόν με καὶ γνώσομαι τὰ
126 μαρτύριά σου. καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ διεσκέδασαν τὸν
127 νόμον σου. διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον
128 καὶ τοπάζιον. διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθού-

---

**v.112** κλίνω[viaa1s] ὁ[dafs] καρδία[nafsc] ἐγώ[rpg-s] ὁ[dgns] ποιέω[vnaa] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] εἰς[pa] ὁ[dams] αἰών[namsc] διά[pa] ἀντάμειψις[nafsc]. **v.113** ιε΄[am—n] σαμχ[t] παράνομος[anampn] μισέω[viaa1s] καί[cc] ὁ[dams] νόμος[namsc] σύ[rpgms] ἀγαπάω[viaa1s]. **v.114** βοηθός[nnmsc] ἐγώ[rpg-s] καί[cc] ἀντιλήμπτωρ[nnmsc] ἐγώ[rpg-s] εἰμί[vipa2s] σύ[rpnms] εἰς[pa] ὁ[dams] λόγος[namsc] σύ[rpgms] ἐπελπίζω[viaa1s]. **v.115** ἐκκλίνω[vdaa2p] ἀπό[pg] ἐγώ[rpg-s] πονηρεύομαι[vppmnmp] καί[cc] ἐξερευνάω[vifa1s] ὁ[dafp] ἐντολή[nafpc] ὁ[dgms] θεός[ngmsc] ἐγώ[rpg-s]. **v.116** ἀντιλαμβάνομαι[vdam2s] ἐγώ[rpg-s] κατά[pa] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] καί[cc] ζάω[vifm1s] καί[cc] μή[x] καταισχύνω[vspa2s] ἐγώ[rpa-s] ἀπό[pg] ὁ[dgfs] προσδοκία[ngfsc] ἐγώ[rpg-s]. **v.117** βοηθέω[vdaa2s] ἐγώ[rpd-s] καί[cc] σῴζω[vifp1s] καί[cc] μελετάω[vifa1s] ἐν[pd] ὁ[ddnp] δικαίωμα[ndnpc] σύ[rpgms] διά[pg] πᾶς[aignsn]. **v.118** ἐξουδενόω[viaa2s] πᾶς[aiampn] ὁ[damp] ἀφίστημι[vpaaamp] ἀπό[pg] ὁ[dgnp] δικαίωμα[ngnpc] σύ[rpgms] ὅτι[cs] ἄδικος[annnsn] ὁ[dnns] ἐνθύμημα[nnnsc] αὐτός[rpgmp]. **v.119** παραβαίνω[vppaamp] λογίζομαι[viam1s] πᾶς[aiampn] ὁ[damp] ἁμαρτωλός[anampn] ὁ[dgfs] γῆ[ngfsc] διά[pa] οὗτος[rdans] ἀγαπάω[viaa1s] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms] διά[pg] πᾶς[aignsn]. **v.120** καθηλόω[vdaa2s] ἐκ[pg] ὁ[dgms] φόβος[ngmsc] σύ[rpgms] ὁ[dafp] σάρξ[nafpc] ἐγώ[rpg-s] ἀπό[pg] γάρ[cc] ὁ[dgnp] κρίμα[ngnpc] σύ[rpgms] φοβέω[viap1s]. **v.121** ισ΄[am—n] αιν[t] ποιέω[viaa1s] κρίμα[nansc] καί[cc] δικαιοσύνη[nafsc] μή[x] παραδίδωμι[vsaa2s] ἐγώ[rpa-s] ὁ[ddmp] ἀδικέω[vppadmp] ἐγώ[rpa-s]. **v.122** ἐκδέχομαι[vdam2s] ὁ[dams] δοῦλος[namsc] σύ[rpgms] εἰς[pa] ἀγαθός[anansn] μή[x] συκοφαντέω[vdaa3p] ἐγώ[rpa-s] ὑπερήφανος[annmpn]. **v.123** ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-s] ἐκλείπω[viaa3p] εἰς[pa] ὁ[dans] σωτήριον[nansc] σύ[rpgms] καί[cc] εἰς[pa] ὁ[dans] λόγιον[nansc] ὁ[dgfs] δικαιοσύνη[ngfsc] σύ[rpgms]. **v.124** ποιέω[vdaa2s] μετά[pg] ὁ[dgms] δοῦλος[ngmsc] σύ[rpgms] κατά[pa] ὁ[dans] ἔλεος[nansc] σύ[rpgms] καί[cc] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] διδάσκω[vdaa2s] ἐγώ[rpa-s]. **v.125** δοῦλος[nnmsc] σύ[rpgms] εἰμί[vipa1s] ἐγώ[rpn-s] συνετίζω[vdaa2s] ἐγώ[rpa-s] καί[cc] γινώσκω[vifm1s] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms]. **v.126** καιρός[nnmsc] ὁ[dgns] ποιέω[vnaa] ὁ[ddms] κύριος[ndmsc] διασκεδάζω[viaa3p] ὁ[dams] νόμος[namsc] σύ[rpgms]. **v.127** διά[pa] οὗτος[rdans] ἀγαπάω[viaa1s] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] ὑπέρ[pa] χρυσίον[nansc] καί[cc] τοπάζιον[nansc].

μην πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. ιζʹ φη θαυμαστὰ τὰ μαρτύριά 129
σου διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. ἡ δήλωσις τῶν 130
λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους. τὸ στόμα μου ἤνοιξα 131
καὶ εἵλκυσα πνεῦμα ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. ἐπίβλεψον 132
ἐπʹ ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνο-
μά σου. τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου καὶ 133
μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. λύτρωσαί με ἀπὸ συκο- 134
φαντίας ἀνθρώπων καὶ φυλάξω τὰς ἐντολάς σου. τὸ πρόσωπόν 135
σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου καὶ δίδαξόν με τὰ δικαιώματά
σου. διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου ἐπεὶ οὐκ 136
ἐφύλαξαν τὸν νόμον σου. ιηʹ σαδη δίκαιος εἶ κύριε καὶ εὐθὴς ἡ 137
κρίσις σου. ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου καὶ ἀλήθειαν 138
σφόδρα. ἐξέτηξέν με ὁ ζῆλος τοῦ οἴκου σου ὅτι ἐπελάθοντο τῶν 139
λόγων σου οἱ ἐχθροί μου. πεπυρωμένον τὸ λόγιόν σου σφόδρα 140
καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. νεώτερός εἰμι ἐγὼ καὶ ἐξου- 141
δενωμένος τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. ἡ δικαιοσύνη 142
σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ νόμος σου ἀλήθεια. θλῖψις 143
καὶ ἀνάγκη εὕροσάν με αἱ ἐντολαί σου μελέτη μου. δικαιοσύνη 144
τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα συνέτισόν με καὶ ζήσομαι. ιθʹ 145
κωφ ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου ἐπάκουσόν μου κύριε τὰ δι-

---

**v.128** διά[pa] οὗτος[rdans] πρός[pa] πᾶς[aiafpn] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] κατορθόω[viim1s] πᾶς[aiafsn] ὁδός[nafsc] ἄδικος[anafsn] μισέω[viaa1s]. **v.129** ιζʹ[am—n] φη[t] θαυμαστός[annnpn] ὁ[dnnp] μαρτύριον[nnnpc] σύ[rpgms] διά[pa] οὗτος[rdans] ἐξερευνάω[viaa3s] αὐτός[rpanp] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s]. **v.130** ὁ[dnfs] δήλωσις[nnfsc] ὁ[dgmp] λόγος[ngmpc] σύ[rpgms] φωτίζω[vifa3s] καί[cc] συνετίζω[vifa3s] νήπιος[anampn]. **v.131** ὁ[dans] στόμα[nansc] ἐγώ[rpg-s] ἀνοίγω[viaa1s] καί[cc] ἕλκω[viaa1s] πνεῦμα[nansc] ὅτι[cs] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] ἐπιποθέω[viia1s]. **v.132** ἐπιβλέπω[vdaa2s] ἐπί[pa] ἐγώ[rpa-s] καί[cc] ἐλεέω[vdaa2s] ἐγώ[rpa-s] κατά[pa] ὁ[dans] κρίμα[nansc] ὁ[dgmp] ἀγαπάω[vppagmp] ὁ[dans] ὄνομα[nansc] σύ[rpgms]. **v.133** ὁ[danp] διάβημα[nanpc] ἐγώ[rpg-s] κατευθύνω[vdaa2s] κατά[pa] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] καί[cc] μή[x] κατακυριεύω[vdaa3s] ἐγώ[rpg-s] πᾶς[ainfsn] ἀνομία[nnfsc]. **v.134** λυτρόω[vdam2s] ἐγώ[rpa-s] ἀπό[pg] συκοφαντία[ngfsc] ἄνθρωπος[ngmpc] καί[cc] φυλάσσω[vifa1s] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms]. **v.135** ὁ[dans] πρόσωπον[nansc] σύ[rpgms] ἐπιφαίνω[vdaa2s] ἐπί[pa] ὁ[dams] δοῦλος[namsc] σύ[rpgms] καί[cc] διδάσκω[vdaa2s] ἐγώ[rpa-s] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms]. **v.136** διέξοδος[nafpc] ὕδωρ[ngnpc] καταβαίνω[viaa3p] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-s] ἐπεί[cs] οὐ[b] φυλάσσω[viaa3p] ὁ[dams] νόμος[namsc] σύ[rpgms]. **v.137** ιηʹ[am—n] σαδη[t] δίκαιος[annmsn] εἰμί[vipa2s] κύριος[nvmsc] καί[cc] εὐθής[annfsn] ὁ[dnfs] κρίσις[nnfsc] σύ[rpgms]. **v.138** ἐντέλλομαι[viam2s] δικαιοσύνη[nafsc] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms] καί[cc] ἀλήθεια[nafsc] σφόδρα[b]. **v.139** ἐκτήκω[viaa3s] ἐγώ[rpa-s] ὁ[dnms] ζῆλος[nnmsc] ὁ[dgms] οἶκος[ngmsc] σύ[rpgms] ὅτι[cs] ἐπιλανθάνομαι[viam3p] ὁ[dgmp] λόγος[ngmpc] σύ[rpgms] ὁ[dnmp] ἐχθρός[annmpn] ἐγώ[rpg-s]. **v.140** πυρόω[vpxpnns] ὁ[dnns] λόγιον[nnnsc] σύ[rpgms] σφόδρα[b] καί[cc] ὁ[dnms] δοῦλος[nnmsc] σύ[rpgms] ἀγαπάω[viaa3s] αὐτός[rpans]. **v.141** νέος[annmsc] εἰμί[vipa1s] ἐγώ[rpn-s] καί[cc] ἐξουδενόω[vpppnms] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] οὐ[b] ἐπιλανθάνομαι[viam1s]. **v.142** ὁ[dnfs] δικαιοσύνη[nnfsc] σύ[rpgms] δικαιοσύνη[nnfsc] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] ὁ[dnms] νόμος[nnmsc] σύ[rpgms] ἀλήθεια[nnfsc]. **v.143** θλῖψις[nnfsc] καί[cc] ἀνάγκη[nnfsc] εὑρίσκω[viaa3p] ἐγώ[rpa-s] ὁ[dnfp] ἐντολή[nnfpc] σύ[rpgms] μελέτη[nnfsc] ἐγώ[rpg-s]. **v.144** δικαιοσύνη[nnfsc] ὁ[dnnp] μαρτύριον[nnnpc] σύ[rpgms] εἰς[pa] ὁ[dams] αἰών[namsc] συνετίζω[vdaa2s] ἐγώ[rpa-s] καί[cc] ζάω[vifm1s].

146 καιώματά σου ἐκζητήσω. ἐκέκραξά σε σῶσόν με καὶ φυλάξω
147 τὰ μαρτύριά σου. προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα εἰς τοὺς
148 λόγους σου ἐπήλπισα. προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρ-
149 θρον τοῦ μελετᾶν τὰ λόγιά σου. τῆς φωνῆς μου ἄκουσον κύριε
150 κατὰ τὸ ἔλεός σου κατὰ τὸ κρίμα σου ζῆσόν με. προσήγγισαν οἱ
καταδιώκοντές με ἀνομίᾳ ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.
151, 152 ἐγγὺς εἶ σύ κύριε καὶ πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. κατ᾽ ἀρχὰς
ἔγνων ἐκ τῶν μαρτυρίων σου ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐ-
153 τά. κ΄ ρης ἰδὲ τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με ὅτι τὸν νόμον
154 σου οὐκ ἐπελαθόμην. κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με
155 διὰ τὸν λόγον σου ζῆσόν με. μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία
156 ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. οἱ οἰκτιρμοί σου πολλοί
157 κύριε κατὰ τὸ κρίμα σου ζῆσόν με. πολλοὶ οἱ ἐκδιώκοντές με
158 καὶ ἐκθλίβοντές με ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. εἶδον
ἀσυνθετοῦντας καὶ ἐξετηκόμην ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.
159 ἰδὲ ὅτι τὰς ἐντολάς σου ἠγάπησα κύριε ἐν τῷ ἐλέει σου ζῆσόν με.
160 ἀρχὴ τῶν λόγων σου ἀλήθεια καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα
161 τῆς δικαιοσύνης σου. κα΄ σεν ἄρχοντες κατεδίωξάν με δωρεάν
162 καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. ἀγαλλιάσο-

---

**v.145** ιθ΄[am—n] κωφ[t] κράζω[viaa1s] ἐν[pd] ὅλος[andfsn] καρδία[ndfsc] ἐγώ[rpg-s] ἐπακούω[vdaa2s] ἐγώ[rpg-s] κύριος[nvmsc] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] ἐκζητέω[vifa1s]. **v.146** κράζω[viaa1s] σύ[rpams] σῴζω[vdaa2s] ἐγώ[rpa-s] καί[cc] φυλάσσω[vifa1s] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms]. **v.147** προφθάνω[viaa1s] ἐν[pd] ἀωρία[ndfsc] καί[cc] κράζω[viaa1s] εἰς[pa] ὁ[damp] λόγος[nampc] σύ[rpgms] ἐπελπίζω[viaa1s]. **v.148** προφθάνω[viaa3p] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-s] πρός[pa] ὄρθρος[namsc] ὁ[dgns] μελετάω[vnpa] ὁ[danp] λόγιον[nanpc] σύ[rpgms]. **v.149** ὁ[dgfs] φωνή[ngfsc] ἐγώ[rpg-s] ἀκούω[vdaa2s] κύριος[nvmsc] κατά[pa] ὁ[dans] ἔλεος[nansc] σύ[rpgms] κατά[pa] ὁ[dans] κρίμα[nansc] σύ[rpgms] ζάω[vdaa2s] ἐγώ[rpa-s]. **v.150** προσεγγίζω[viaa3p] ὁ[dnmp] καταδιώκω[vppanmp] ἐγώ[rpa-s] ἀνομία[ndfsc] ἀπό[pg] δέ[cc] ὁ[dgms] νόμος[ngmsc] σύ[rpgms] μακρύνω[viap3p]. **v.151** ἐγγύς[b] εἰμί[vipa2s] σύ[rpnms] κύριος[nvmsc] καί[cc] πᾶς[ainfpn] ὁ[dnfp] ἐντολή[nnfpc] σύ[rpgms] ἀλήθεια[nnfsc]. **v.152** κατά[pa] ἀρχή[nafpc] γινώσκω[viaa1s] ἐκ[pg] ὁ[dgnp] μαρτύριον[ngnpc] σύ[rpgms] ὅτι[cs] εἰς[pa] ὁ[dams] αἰών[namsc] θεμελιόω[viaa2s] αὐτός[rpanp]. **v.153** κ΄[am—n] ρης[t] ὁράω[vdaa2s] ὁ[dafs] ταπείνωσις[nafsc] ἐγώ[rpg-s] καί[cc] ἐξαιρέω[vdam2s] ἐγώ[rpa-s] ὅτι[cs] ὁ[dams] νόμος[namsc] σύ[rpgms] οὐ[b] ἐπιλανθάνομαι[viam1s]. **v.154** κρίνω[vdaa2s] ὁ[dafs] κρίσις[nafsc] ἐγώ[rpg-s] καί[cc] λυτρόω[vdam2s] ἐγώ[rpa-s] διά[pa] ὁ[dams] λόγος[namsc] σύ[rpgms] ζάω[vdaa2s] ἐγώ[rpa-s]. **v.155** μακράν[b] ἀπό[pg] ἁμαρτωλός[angmpn] σωτηρία[nnfsc] ὅτι[cs] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms] οὐ[b] ἐκζητέω[viaa3p]. **v.156** ὁ[dnmp] οἰκτιρμός[nnmpc] σύ[rpgms] πολύς[annmpn] κύριος[nvmsc] κατά[pa] ὁ[dans] κρίμα[nansc] σύ[rpgms] ζάω[vdaa2s] ἐγώ[rpa-s]. **v.157** πολύς[annmpn] ὁ[dnmp] ἐκδιώκω[vppanmp] ἐγώ[rpa-s] καί[cc] ἐκθλίβω[vppanmp] ἐγώ[rpa-s] ἐκ[pg] ὁ[dgnp] μαρτύριον[ngnpc] σύ[rpgms] οὐ[b] ἐκκλίνω[viaa1s]. **v.158** ὁράω[viaa1s] ἀσυνθετέω[vppaamp] καί[cc] ἐκτήκω[viim1s] ὅτι[cs] ὁ[danp] λόγιον[nanpc] σύ[rpgms] οὐ[b] φυλάσσω[viam3p]. **v.159** ὁράω[vdaa2s] ὅτι[cs] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] ἀγαπάω[viaa1s] κύριος[nvmsc] ἐν[pd] ὁ[ddns] ἔλεος[ndnsc] σύ[rpgms] ζάω[vdaa2s] ἐγώ[rpa-s]. **v.160** ἀρχή[nnfsc] ὁ[dgmp] λόγος[ngmpc] σύ[rpgfs] ἀλήθεια[nnfsc] καί[cc] εἰς[pa] ὁ[dams] αἰών[namsc] πᾶς[ainnpn] ὁ[dnnp] κρίμα[nnnpc] ὁ[dgfs] δικαιοσύνη[ngfsc] σύ[rpgms]. **v.161** κα΄[am—n] σεν[t] ἄρχων[nnmpc] καταδιώκω[viaa3p] ἐγώ[rpa-s] δωρεάν[b] καί[cc] ἀπό[pg] ὁ[dgmp] λόγος[ngmpc] σύ[rpgms] δειλιάω[viaa3s] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-s].

μαι ἐγὼ ἐπὶ τὰ λόγιά σου ὡς ὁ εὑρίσκων σκῦλα πολλά. ἀδικίαν 163
ἐμίσησα καὶ ἐβδελυξάμην τὸν δὲ νόμον σου ἠγάπησα. ἑπτάκις 164
τῆς ἡμέρας ᾔνεσά σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. εἰ- 165
ρήνη πολλὴ τοῖς ἀγαπῶσίν τὸν νόμον σου καὶ οὐκ ἔστιν αὐτοῖς
σκάνδαλον. προσεδόκων τὸ σωτήριόν σου κύριε καὶ τὰς ἐντολάς 166
σου ἠγάπησα. ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου καὶ ἠγά- 167
πησεν αὐτὰ σφόδρα. ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά 168
σου ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου κύριε. κβʹ θαυ ἐγγισάτω 169
ἡ δέησίς μου ἐνώπιόν σου κύριε κατὰ τὸ λόγιόν σου συνέτισόν
με. εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου κατὰ τὸ λόγιόν σου 170
ῥῦσαί με. ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον ὅταν διδάξῃς με τὰ 171
δικαιώματά σου. φθέγξαιτο ἡ γλῶσσά μου τὸ λόγιόν σου ὅτι πᾶ- 172
σαι αἱ ἐντολαί σου δικαιοσύνη. γενέσθω ἡ χείρ σου τοῦ σῶσαί 173
με ὅτι τὰς ἐντολάς σου ᾐρετισάμην. ἐπεπόθησα τὸ σωτήριόν σου 174
κύριε καὶ ὁ νόμος σου μελέτη μού ἐστιν. ζήσεται ἡ ψυχή μου 175
καὶ αἰνέσει σε καὶ τὰ κρίματά σου βοηθήσει μοι. ἐπλανήθην ὡς 176
πρόβατον ἀπολωλός ζήτησον τὸν δοῦλόν σου ὅτι τὰς ἐντολάς σου
οὐκ ἐπελαθόμην.

ᾠδὴ τῶν ἀναβαθμῶν πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα **119**
καὶ εἰσήκουσέν μου. κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων 2

---

**v.162** ἀγαλλιάω[vifm1s] ἐγώ[rpn-s] ἐπί[pa] ὁ[danp] λόγιον[nanpc] σύ[rpgms] ὡς[cs] ὁ[dnms] εὑρίσκω[vppanms] σκῦλον[nanpc] πολύς[ananpn]. **v.163** ἀδικία[nafsc] μισέω[viaa1s] καί[cc] βδελύσσω[viam1s] ὁ[dams] δέ[cc] νόμος[namsc] σύ[rpgms] ἀγαπάω[viaa1s]. **v.164** ἑπτάκις[b] ὁ[dgfs] ἡμέρα[ngfsc] αἰνέω[viaa1s] σύ[rpdms] ἐπί[pa] ὁ[danp] κρίμα[nanpc] ὁ[dgfs] δικαιοσύνη[ngfsc] σύ[rpgms]. **v.165** εἰρήνη[nnfsc] πολύς[annfsn] ὁ[ddmp] ἀγαπάω[vppadmp] ὁ[dams] νόμος[namsc] σύ[rpgms] καί[cc] οὐ[b] εἰμί[vipa3s] αὐτός[rpdmp] σκάνδαλον[nnnsc]. **v.166** προσδοκάω[viia1s] ὁ[dans] σωτήριον[nansc] σύ[rpgms] κύριος[nvmsc] καί[cc] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] ἀγαπάω[viaa1s]. **v.167** φυλάσσω[viaa3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms] καί[cc] ἀγαπάω[viaa3s] αὐτός[rpanp] σφόδρα[b]. **v.168** φυλάσσω[viaa1s] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] καί[cc] ὁ[danp] μαρτύριον[nanpc] σύ[rpgms] ὅτι[cs] πᾶς[ainfpn] ὁ[dnfp] ὁδός[nnfpc] ἐγώ[rpg-s] ἐναντίον[pg] σύ[rpgms] κύριος[nvmsc]. **v.169** κβʹ[am—n] θαυ[t] ἐγγίζω[vdaa3s] ὁ[dnfs] δέησις[nnfsc] ἐγώ[rpg-s] ἐνώπιον[pg] σύ[rpgms] κύριος[nvmsc] κατά[pa] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] συνετίζω[vdaa2s] ἐγώ[rpa-s]. **v.170** εἰσέρχομαι[voaa3s] ὁ[dnns] ἀξίωμα[nnnsc] ἐγώ[rpg-s] ἐνώπιον[pg] σύ[rpgms] κατά[pa] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] ῥύομαι[vdam2s] ἐγώ[rpa-s]. **v.171** ἐξερεύγομαι[viam3p] ὁ[dnnp] χεῖλος[nnnpc] ἐγώ[rpg-s] ὕμνος[namsc] ὅταν[cs] διδάσκω[vsaa2s] ἐγώ[rpa-s] ὁ[danp] δικαίωμα[nanpc] σύ[rpgms]. **v.172** φθέγγομαι[voam3s] ὁ[dnfs] γλῶσσα[nnfsc] ἐγώ[rpg-s] ὁ[dans] λόγιον[nansc] σύ[rpgms] ὅτι[cs] πᾶς[ainfpn] ὁ[dnfp] ἐντολή[nnfpc] σύ[rpgms] δικαιοσύνη[nnfsc]. **v.173** γίνομαι[vdam3s] ὁ[dnfs] χείρ[nnfsc] σύ[rpgms] ὁ[dgns] σῴζω[vnaa] ἐγώ[rpa-s] ὅτι[cs] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] αἱρετίζω[viam1s]. **v.174** ἐπιποθέω[viaa1s] ὁ[dans] σωτήριον[nansc] σύ[rpgms] κύριος[nvmsc] καί[cc] ὁ[dnms] νόμος[nnmsc] σύ[rpgms] μελέτη[nnfsc] ἐγώ[rpg-s] εἰμί[vipa3s]. **v.175** ζάω[vifm3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] καί[cc] αἰνέω[vifa3s] σύ[rpams] καί[cc] ὁ[danp] κρίμα[nanpc] σύ[rpgms] βοηθέω[vifa3s] ἐγώ[rpd-s]. **v.176** πλανάω[viap1s] ὡς[cs] πρόβατον[nnnsc] ἀπόλλυμι[vpxanns] ζητέω[vdaa2s] ὁ[dams] δοῦλος[namsc] σύ[rpgms] ὅτι[cs] ὁ[dafp] ἐντολή[nafpc] σύ[rpgms] οὐ[b] ἐπιλανθάνομαι[viam1s]. **119. v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] πρός[pa] κύριος[namsc] ἐν[pd] ὁ[ddns] θλίβω[vnpm] ἐγώ[rpa-s] κράζω[viaa1s] καί[cc] εἰσακούω[viaa3s] ἐγώ[rpg-s].

3 ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας. τί δοθείη σοι καὶ τί προστεθείη
4 σοι πρὸς γλῶσσαν δολίαν. τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα
5 σὺν τοῖς ἄνθραξιν τοῖς ἐρημικοῖς. οἴμμοι ὅτι ἡ παροικία μου
6 ἐμακρύνθη κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδαρ. πολλὰ
7 παρῴκησεν ἡ ψυχή μου. μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην
εἰρηνικός ὅταν ἐλάλουν αὐτοῖς ἐπολέμουν με δωρεάν.

**120** ᾠδὴ τῶν ἀναβαθμῶν ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη πόθεν
2 ἥξει ἡ βοήθειά μου. ἡ βοήθειά μου παρὰ κυρίου τοῦ ποιήσαν-
3 τος τὸν οὐρανὸν καὶ τὴν γῆν. μὴ δῷς εἰς σάλον τὸν πόδα σου
4 μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ
5 φυλάσσων τὸν Ισραηλ. κύριος φυλάξει σε κύριος σκέπη σου ἐπὶ
6 χεῖρα δεξιάν σου. ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε οὐδὲ ἡ σε-
7 λήνη τὴν νύκτα. κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ φυλάξει
8 τὴν ψυχήν σου. κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν
σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

**121** ᾠδὴ τῶν ἀναβαθμῶν εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσιν μοι εἰς οἶ-
2 κον κυρίου πορευσόμεθα. ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς
3 αὐλαῖς σου Ιερουσαλημ. Ιερουσαλημ οἰκοδομουμένη ὡς πόλις
4 ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί
φυλαὶ κυρίου μαρτύριον τῷ Ισραηλ τοῦ ἐξομολογήσασθαι τῷ ὀ-
5 νόματι κυρίου. ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν θρόνοι ἐπὶ

---

**v.2** κύριος[nvmsc] ῥύομαι[vdam2s] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s] ἀπό[pg] χεῖλος[ngnpc] ἄδικος[angnpn] καί[cc] ἀπό[pg] γλῶσσα[ngfsc] δόλιος[angfsn]. **v.3** τίς[rqnns] δίδωμι[voap3s] σύ[rpd-s] καί[cc] τίς[rqnns] προστίθημι[voap3s] σύ[rpd-s] πρός[pa] γλῶσσα[nafsc] δόλιος[anafsn]. **v.4** ὁ[danp] βέλος[nanpc] ὁ[dgms] δυνατός[angmsn] ἀκονάω[vpxpnnp] σύν[pd] ὁ[ddmp] ἄνθραξ[ndmpc] ὁ[ddmp] ἐρημικός[andmpn]. **v.5** οἴμμοι[i] ὅτι[cs] ὁ[dnfs] παροικία[nnfsc] ἐγώ[rpg-s] μακρύνω[viap3s] κατασκηνόω[viaa1s] μετά[pg] ὁ[dgnp] σκήνωμα[ngnpc] Κηδαρ[ngfsp]. **v.6** πολύς[ananpn] παροικέω[viaa3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s]. **v.7** μετά[pg] ὁ[dgmp] μισέω[vppagmp] ὁ[dafs] εἰρήνη[nafsc] εἰμί[viim1s] εἰρηνικός[annmsn] ὅταν[cs] λαλέω[viia1s] αὐτός[rpdmp] πολεμέω[viia3p] ἐγώ[rpa-s] δωρεάν[b]. **120. v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] αἴρω[viaa1s] ὁ[damp] ὀφθαλμός[nampc] ἐγώ[rpg-s] εἰς[pa] ὁ[danp] ὄρος[nanpc] πόθεν[b] ἥκω[vifa3s] ὁ[dnfs] βοήθεια[nnfsc] ἐγώ[rpg-s]. **v.2** ὁ[dnfs] βοήθεια[nnfsc] ἐγώ[rpg-s] παρά[pg] κύριος[ngmsc] ὁ[dgms] ποιέω[vpaagms] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dafs] γῆ[nafsc]. **v.3** μή[x] δίδωμι[vsaa2s] εἰς[pa] σάλος[namsc] ὁ[dams] πούς[namsc] σύ[rpg-s] μηδέ[x] νυστάζω[vsaa3s] ὁ[dnms] φυλάσσω[vppanms] σύ[rpa-s]. **v.4** ἰδού[i] οὐ[b] νυστάζω[vifa3s] οὐδέ[cc] ὑπνόω[vifa3s] ὁ[dnms] φυλάσσω[vppanms] ὁ[dams] Ἰσραήλ[namsp]. **v.5** κύριος[nnmsc] φυλάσσω[vifa3s] σύ[rpa-s] κύριος[nnmsc] σκέπη[nnfsc] σύ[rpg-s] ἐπί[pa] χείρ[nafsc] δεξιός[anafsn] σύ[rpg-s]. **v.6** ἡμέρα[ngfsc] ὁ[dnms] ἥλιος[nnmsc] οὐ[b] συγκαίω[vifa3s] σύ[rpa-s] οὐδέ[cc] ὁ[dnfs] σελήνη[nnfsc] ὁ[dafs] νύξ[nafsc]. **v.7** κύριος[nnmsc] φυλάσσω[vifa3s] σύ[rpa-s] ἀπό[pg] πᾶς[aignsn] κακός[angnsn] φυλάσσω[vifa3s] ὁ[dafs] ψυχή[nafsc] σύ[rpg-s]. **v.8** κύριος[nnmsc] φυλάσσω[vifa3s] ὁ[dafs] εἴσοδος[nafsc] σύ[rpg-s] καί[cc] ὁ[dafs] ἔξοδος[nafsc] σύ[rpg-s] ἀπό[pg] ὁ[dgns] νῦν[b] καί[cc] ἕως[pg] ὁ[dgms] αἰών[ngmsc]. **121. v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] εὐφραίνω[viap1s] ἐπί[pd] ὁ[ddmp] λέγω[vpxadmp] ἐγώ[rpd-s] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc] πορεύομαι[vifm1p]. **v.2** ἵστημι[vpxanmp] εἰμί[viia3p] ὁ[dnmp] πούς[nnmpc] ἐγώ[rpg-p] ἐν[pd] ὁ[ddfp] αὐλή[ndfpc] σύ[rpgfs] Ἰερουσαλήμ[nvfsp]. **v.3** Ἰερουσαλήμ[nnfsp] οἰκοδομέω[vpppnfs] ὡς[cs] πόλις[nnfsc] ὅς[rrgfs] ὁ[dnfs] μετοχή[nnfsc] αὐτός[rpgfs] ἐπί[pa] ὁ[dans] αὐτός[rtans]. **v.4** ἐκεῖ[b] γάρ[cc] ἀναβαίνω[viaa3p] ὁ[dnfp] φυλή[nnfpc] φυλή[nnfpc] κύριος[ngmsc] μαρτύριον[nansc] ὁ[ddms] Ἰσραήλ[ndmsp] ὁ[dgns] ἐξομολογέω[vnam] ὁ[ddns] ὄνομα[ndnsc] κύριος[ngmsc].

οἶκον Δαυιδ. ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ιερουσαλημ καὶ 6
εὐθηνία τοῖς ἀγαπῶσίν σε. γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου 7
καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσίν σου. ἕνεκα τῶν ἀδελφῶν μου 8
καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. ἕνεκα τοῦ 9
οἴκου κυρίου τοῦ θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

ᾠδὴ τῶν ἀναβαθμῶν πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κα- **122**
τοικοῦντα ἐν τῷ οὐρανῷ. ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας 2
τῶν κυρίων αὐτῶν ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας
αὐτῆς οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν ἕως
οὗ οἰκτιρῆσαι ἡμᾶς. ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς ὅτι ἐπὶ 3
πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ 4
ἡμῶν τὸ ὄνειδος τοῖς εὐθηνοῦσιν καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερη-
φάνοις.

ᾠδὴ τῶν ἀναβαθμῶν εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν εἰπάτω δὴ Ισ- **123**
ραηλ. εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους 2
ἐφ᾽ ἡμᾶς. ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς ἐν τῷ ὀργισθῆναι τὸν 3
θυμὸν αὐτῶν ἐφ᾽ ἡμᾶς. ἄρα τὸ ὕδωρ κατεπόντισεν ἡμᾶς χείμαρ- 4
ρον διῆλθεν ἡ ψυχὴ ἡμῶν. ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ 5
τὸ ἀνυπόστατον. εὐλογητὸς κύριος ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θή- 6
ραν τοῖς ὀδοῦσιν αὐτῶν. ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη 7
ἐκ τῆς παγίδος τῶν θηρευόντων ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρ-

---

**v.5** ὅτι[cs] ἐκεῖ[b] καθίζω[viaa3p] θρόνος[nnmpc] εἰς[pa] κρίσις[nafsc] θρόνος[nnmpc] ἐπί[pa] οἶκος[namsc] Δαυίδ[ngmsp]. **v.6** ἐρωτάω[vdaa2p] δή[x] ὁ[danp] εἰς[pa] εἰρήνη[nafsc] ὁ[dafs] Ἰερουσαλήμ[ndfsp] καί[cc] εὐθηνία[nnfsc] ὁ[ddmp] ἀγαπάω[vppadmp] σύ[rpafs]. **v.7** γίνομαι[vdam3s] δή[x] εἰρήνη[nnfsc] ἐν[pd] ὁ[ddfs] δύναμις[ndfsc] σύ[rpgfs] καί[cc] εὐθηνία[nnfsc] ἐν[pd] ὁ[ddfp] πυργόβαρις[ndfpc] σύ[rpgfs]. **v.8** ἕνεκα[pg] ὁ[dgmp] ἀδελφός[ngmpc] ἐγώ[rpg-s] καί[cc] ὁ[dgmp] πλησίον[b] ἐγώ[rpg-s] λαλέω[viia1s] δή[x] εἰρήνη[nafsc] περί[pg] σύ[rpgfs]. **v.9** ἕνεκα[pg] ὁ[dgms] οἶκος[ngmsc] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc] ἐγώ[rpg-p] ἐκζητέω[viaa1s] ἀγαθός[ananpn] σύ[rpdfs]. **122. v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] πρός[pa] σύ[rpams] αἴρω[viaa1s] ὁ[damp] ὀφθαλμός[nampc] ἐγώ[rpg-s] ὁ[dams] κατοικέω[vppaams] ἐν[pd] ὁ[ddms] οὐρανός[ndmsc]. **v.2** ἰδού[i] ὡς[cs] ὀφθαλμός[nnmpc] δοῦλος[ngmpc] εἰς[pa] χείρ[nafpc] ὁ[dgmp] κύριος[ngmpc] αὐτός[rpgmp] ὡς[cs] ὀφθαλμός[nnmpc] παιδίσκη[ngfsc] εἰς[pa] χείρ[nafpc] ὁ[dgfs] κυρία[ngfsc] αὐτός[rpgfs] οὕτως[b] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-p] πρός[pa] κύριος[namsc] ὁ[dams] θεός[namsc] ἐγώ[rpg-p] ἕως[pg] ὅς[rrgns] οἰκτίρω[voaa3s] ἐγώ[rpa-p]. **v.3** ἐλεέω[vdaa2s] ἐγώ[rpa-p] κύριος[nvmsc] ἐλεέω[vdaa2s] ἐγώ[rpa-p] ὅτι[cs] ἐπί[pa] πολύς[anansn] πίμπλημι[viap1p] ἐξουδένωσις[ngfsc]. **v.4** ἐπί[pa] πολύς[anansc] πίμπλημι[viap3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-p] ὁ[dnns] ὄνειδος[nnnsc] ὁ[ddmp] εὐθηνέω[vppadmp] καί[cc] ὁ[dnfs] ἐξουδένωσις[nnfsc] ὁ[ddmp] ὑπερήφανος[andmpn]. **123. v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] εἰ[cs] μή[x] ὅτι[cs] κύριος[nnmsc] εἰμί[viia3s] ἐν[pd] ἐγώ[rpd-p] λέγω[vdaa3s] δή[x] Ἰσραήλ[nnmsp]. **v.2** εἰ[cs] μή[x] ὅτι[cs] κύριος[nnmsc] εἰμί[viia3s] ἐν[pd] ἐγώ[rpd-p] ἐν[pd] ὁ[ddns] ἐπανίστημι[vnaa] ἄνθρωπος[nampc] ἐπί[pa] ἐγώ[rpa-p]. **v.3** ἄρα[x] ζάω[vppaamp] ἄν[x] καταπίνω[viaa3p] ἐγώ[rpa-p] ἐν[pd] ὁ[ddns] ὀργίζω[vnap] ὁ[dams] θυμός[namsc] αὐτός[rpgmp] ἐπί[pa] ἐγώ[rpa-p]. **v.4** ἄρα[x] ὁ[dnns] ὕδωρ[nnnsc] καταποντίζω[viaa3s] ἐγώ[rpa-p] χείμαρρος[namsc] διέρχομαι[viaa3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-p]. **v.5** ἄρα[x] διέρχομαι[viaa3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-p] ὁ[dans] ὕδωρ[nansc] ὁ[dans] ἀνυπόστατος[anansn]. **v.6** εὐλογητός[annmsn] κύριος[nnmsc] ὅς[rrnms] οὐ[b] δίδωμι[viaa3s] ἐγώ[rpa-p] εἰς[pa] θήρα[nafsc] ὁ[ddmp] ὀδούς[ndmpc] αὐτός[rpgmp].

8 ῥύσθημεν. ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος
τὸν οὐρανὸν καὶ τὴν γῆν.
**124** ᾠδὴ τῶν ἀναβαθμῶν οἱ πεποιθότες ἐπὶ κύριον ὡς ὄρος Σιων οὐ
2 σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ιερουσαλημ. ὄρη κύκλῳ
αὐτῆς καὶ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως
3 τοῦ αἰῶνος. ὅτι οὐκ ἀφήσει τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν
κλῆρον τῶν δικαίων ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίᾳ
4 χεῖρας αὐτῶν. ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ
5 καρδίᾳ. τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος
μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν εἰρήνη ἐπὶ τὸν Ισραηλ.
**125** ᾠδὴ τῶν ἀναβαθμῶν ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν
2 Σιων ἐγενήθημεν ὡς παρακεκλημένοι. τότε ἐπλήσθη χαρᾶς τὸ
στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως τότε ἐροῦσιν ἐν
3 τοῖς ἔθνεσιν ἐμεγάλυνεν κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν. ἐμεγά-
λυνεν κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν ἐγενήθημεν εὐφραινόμενοι.
4 ἐπίστρεψον κύριε τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάρρους ἐν τῷ
5, 6 νότῳ. οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσιν. πο-
ρευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον αἴροντες τὰ σπέρματα αὐτῶν
ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν.
**126** ᾠδὴ τῶν ἀναβαθμῶν τῷ Σαλωμων ἐὰν μὴ κύριος οἰκοδομήσῃ
οἶκον εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν ἐὰν μὴ κύριος

---

**v.7** ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-p] ὡς[cs] στρουθίον[nnnsc] ῥύομαι[viap3s] ἐκ[pg] ὁ[dgfs] παγίς[ngfsc] ὁ[dgmp] θηρεύω[vppagmp] ὁ[dnfs] παγίς[nnfsc] συντρίβω[viap3s] καί[cc] ἐγώ[rpn-p] ῥύομαι[viap1p]. **v.8** ὁ[dnfs] βοήθεια[nnfsc] ἐγώ[rpg-p] ἐν[pd] ὄνομα[ndnsc] κύριος[ngmsc] ὁ[dgms] ποιέω[vpaagms] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dafs] γῆ[nafsc]. **124.** **v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] ὁ[dnmp] πείθω[vpxanmp] ἐπί[pa] κύριος[namsc] ὡς[cs] ὄρος[nnnsc] Σιών[ngfsp] οὐ[b] σαλεύω[vifp3s] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dnms] κατοικέω[vppanms] Ἰερουσαλήμ[nafsp]. **v.2** ὄρος[nnnpc] κύκλος[pg] αὐτός[rpgfs] καί[cc] κύριος[nnmsc] κύκλος[pg] ὁ[dgms] λαός[ngmsc] αὐτός[rpgms] ἀπό[pg] ὁ[dgns] νῦν[b] καί[cc] ἕως[pg] ὁ[dgms] αἰών[ngmsc]. **v.3** ὅτι[cs] οὐ[b] ἀφίημι[vifa3s] ὁ[dafs] ῥάβδος[nafsc] ὁ[dgmp] ἁμαρτωλός[angmpn] ἐπί[pa] ὁ[dams] κλῆρος[namsc] ὁ[dgmp] δίκαιος[angmpn] ὅπως[cs] ἄν[x] μή[x] ἐκτείνω[vsaa3p] ὁ[dnmp] δίκαιος[annmpn] ἐν[pd] ἀνομία[ndfsc] χείρ[nafpc] αὐτός[rpgmp]. **v.4** ἀγαθύνω[vdaa2s] κύριος[nvmsc] ὁ[ddmp] ἀγαθός[andmpn] καί[cc] ὁ[ddmp] εὐθύς[andmpn] ὁ[ddfs] καρδία[ndfsc]. **v.5** ὁ[damp] δέ[cc] ἐκκλίνω[vppaamp] εἰς[pa] ὁ[dafp] στραγγαλιά[nafpc] ἀπάγω[vifa3s] κύριος[nnmsc] μετά[pg] ὁ[dgmp] ἐργάζομαι[vppmgmp] ὁ[dafs] ἀνομία[nafsc] εἰρήνη[nnfsc] ἐπί[pa] ὁ[dams] Ἰσραήλ[namsp]. **125.** **v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] ἐν[pd] ὁ[ddns] ἐπιστρέφω[vnaa] κύριος[namsc] ὁ[dafs] αἰχμαλωσία[nafsc] Σιών[ngfsp] γίνομαι[viap1p] ὡς[cs] παρακαλέω[vpxpnmp]. **v.2** τότε[b] πίμπλημι[viap3s] χαρά[ngfsc] ὁ[dnns] στόμα[nnnsc] ἐγώ[rpg-p] καί[cc] ὁ[dnfs] γλῶσσα[nnfsc] ἐγώ[rpg-p] ἀγαλλίασις[ngfsc] τότε[b] λέγω[vifa3p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] μεγαλύνω[viaa3s] κύριος[nnmsc] ὁ[dgns] ποιέω[vnaa] μετά[pg] αὐτός[rpgmp]. **v.3** μεγαλύνω[viaa3s] κύριος[nnmsc] ὁ[dgns] ποιέω[vnaa] μετά[pg] ἐγώ[rpg-p] γίνομαι[viap1p] εὐφραίνω[vppmnmp]. **v.4** ἐπιστρέφω[vdaa2s] κύριος[nvmsc] ὁ[dafs] αἰχμαλωσία[nafsc] ἐγώ[rpg-p] ὡς[cs] χείμαρρος[nampc] ἐν[pd] ὁ[ddms] νότος[ndmsc]. **v.5** ὁ[dnmp] σπείρω[vppanmp] ἐν[pd] δάκρυ[ndnpc] ἐν[pd] ἀγαλλίασις[ndfsc] θερίζω[vifa3p]. **v.6** πορεύομαι[vppmnmp] πορεύομαι[viim3p] καί[cc] κλαίω[viia3p] αἴρω[vppanmp] ὁ[danp] σπέρμα[nanpc] αὐτός[rpgmp] ἔρχομαι[vppmnmp] δέ[cc] ἥκω[vifa3p] ἐν[pd] ἀγαλλίασις[ndfsc] αἴρω[vppanmp] ὁ[danp] δράγμα[nanpc] αὐτός[rpgmp].

φυλάξῃ πόλιν εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. εἰς μάτην ὑ- 2
μῖν ἐστιν τοῦ ὀρθρίζειν ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι οἱ ἔσθοντες
ἄρτον ὀδύνης ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. ἰδοὺ ἡ κλη- 3
ρονομία κυρίου υἱοί ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. ὡσεὶ 4
βέλη ἐν χειρὶ δυνατοῦ οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. μα- 5
κάριος ἄνθρωπος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν οὐ
καταισχυνθήσονται ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλῃ.

ᾠδὴ τῶν ἀναβαθμῶν μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύ- **127**
ριον οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. τοὺς πόνους τῶν καρ- 2
πῶν σου φάγεσαι μακάριος εἶ καὶ καλῶς σοι ἔσται. ἡ γυνή σου 3
ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου οἱ υἱοί σου
ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. ἰδοὺ οὕτως εὐλο- 4
γηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον. εὐλογήσαι σε 5
κύριος ἐκ Σιων καὶ ἴδοις τὰ ἀγαθὰ Ιερουσαλημ πάσας τὰς ἡμέ-
ρας τῆς ζωῆς σου. καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου εἰρήνη ἐπὶ τὸν 6
Ισραηλ.

ᾠδὴ τῶν ἀναβαθμῶν πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός **128**
μου εἰπάτω δὴ Ισραηλ. πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός 2
μου καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. ἐπὶ τοῦ νώτου μου ἐτέκται- 3
νον οἱ ἁμαρτωλοί ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. κύριος δίκαιος 4

---

**126.** **v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] ὁ[ddms] Σαλωμών[ndmsp] ἐάν[cs] μή[x] κύριος[nnmsc] οἰκοδομέω[vsaa3s] οἶκος[namsc] εἰς[pp] μάτην[b] κοπιάω[viaa3p] ὁ[dnmp] οἰκοδομέω[vppanmp] αὐτός[rpams] ἐάν[cs] μή[x] κύριος[nnmsc] φυλάσσω[vsaa3s] πόλις[nafsc] εἰς[pp] μάτην[b] ἀγρυπνέω[viaa3s] ὁ[dnms] φυλάσσω[vppanms]. **v.2** εἰς[pp] μάτην[b] σύ[rpd-p] εἰμί[vipa3s] ὁ[dgns] ὀρθρίζω[vnpa] ἐγείρω[vnpm] μετά[pa] ὁ[dans] κάθημαι[vnpm] ὁ[dnmp] ἔσθω[vppanmp] ἄρτος[namsc] ὀδύνη[ngfsc] ὅταν[cs] δίδωμι[vsaa3s] ὁ[ddmp] ἀγαπητός[andmpn] αὐτός[rpgms] ὕπνος[namsc]. **v.3** ἰδού[i] ὁ[dnfs] κληρονομία[nnfsc] κύριος[ngmsc] υἱός[nnmpc] ὁ[dnms] μισθός[nnmsc] ὁ[dgms] καρπός[ngmsc] ὁ[dgfs] γαστήρ[ngfsc]. **v.4** ὡσεί[x] βέλος[nnnpc] ἐν[pd] χείρ[ndfsc] δυνατός[angmsn] οὕτως[b] ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgmp] ἐκτινάσσω[vpxpgmp]. **v.5** μακάριος[annmsn] ἄνθρωπος[nnmsc] ὅς[rrnms] πληρόω[vifa3s] ὁ[dafs] ἐπιθυμία[nafsc] αὐτός[rpgms] ἐκ[pg] αὐτός[rpgmp] οὐ[b] καταισχύνω[vifp3p] ὅταν[cs] λαλέω[vspa3p] ὁ[ddmp] ἐχθρός[andmpn] αὐτός[rpgmp] ἐν[pd] πύλη[ndfsc]. **127.** **v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] μακάριος[annmpn] πᾶς[ainmpn] ὁ[dnmp] φοβέω[vppmnmp] ὁ[dams] κύριος[namsc] ὁ[dnmp] πορεύομαι[vppmnmp] ἐν[pd] ὁ[ddfp] ὁδός[ndfpc] αὐτός[rpgms]. **v.2** ὁ[damp] πόνος[nampc] ὁ[dgmp] καρπός[ngmpc] σύ[rpg-s] ἐσθίω[vifm2s] μακάριος[annmsn] εἰμί[vipa2s] καί[cc] καλῶς[b] σύ[rpd-s] εἰμί[vifm3s]. **v.3** ὁ[dnfs] γυνή[nnfsc] σύ[rpg-s] ὡς[cs] ἄμπελος[nnfsc] εὐθηνέω[vppanfs] ἐν[pd] ὁ[ddnp] κλίτος[ndnpc] ὁ[dgfs] οἰκία[ngfsc] σύ[rpg-s] ὁ[dnmp] υἱός[nnmpc] σύ[rpg-s] ὡς[cs] νεόφυτος[annnpn] ἐλαία[ngfpc] κύκλος[pg] ὁ[dgfs] τράπεζα[ngfsc] σύ[rpg-s]. **v.4** ἰδού[i] οὕτως[b] εὐλογέω[vifp3s] ἄνθρωπος[nnmsc] ὁ[dnms] φοβέω[vppmnms] ὁ[dams] κύριος[namsc]. **v.5** εὐλογέω[voaa3s] σύ[rpa-s] κύριος[nnmsc] ἐκ[pg] Σιών[ngfsp] καί[cc] ὁράω[voaa2s] ὁ[danp] ἀγαθός[ananpn] Ἰερουσαλήμ[ngfsp] πᾶς[aiafpn] ὁ[dafp] ἡμέρα[nafpc] ὁ[dgfs] ζωή[ngfsc] σύ[rpg-s]. **v.6** καί[cc] ὁράω[voaa2s] υἱός[nampc] ὁ[dgmp] υἱός[ngmpc] σύ[rpg-s] εἰρήνη[nnfsc] ἐπί[pa] ὁ[dams] Ἰσραήλ[namsp]. **128.** **v.1** ᾠδή[nnfsc] ὁ[dgmp] ἀναβαθμός[ngmpc] πλεονάκις[b] πολεμέω[viaa3p] ἐγώ[rpa-s] ἐκ[pg] νεότης[ngfsc] ἐγώ[rpg-s] λέγω[vdaa3s] δή[x] Ἰσραήλ[nnmsp]. **v.2** πλεονάκις[b] πολεμέω[viaa3p] ἐγώ[rpa-s] ἐκ[pg] νεότης[ngfsc] ἐγώ[rpg-s] καί[cc] γάρ[cc] οὐ[b] δύναμαι[viap3p] ἐγώ[rpd-s]. **v.3** ἐπί[pg] ὁ[dgns] νῶτον[ngnsc] ἐγώ[rpg-s] τεκταίνω[viia3p] ὁ[dnmp] ἁμαρτωλός[annmpn] μακρύνω[viaa3p] ὁ[dafs] ἀνομία[nafsc] αὐτός[rpgmp].

5 συνέκοψεν αὐχένας ἁμαρτωλῶν. αἰσχυνθήτωσαν καὶ ἀποστρα-
6 φήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιων. γενηθήτωσαν
7 ὡς χόρτος δωμάτων ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη. οὗ οὐκ
ἐπλήρωσεν τὴν χεῖρα αὐτοῦ ὁ θερίζων καὶ τὸν κόλπον αὐτοῦ ὁ
8 τὰ δράγματα συλλέγων. καὶ οὐκ εἶπαν οἱ παράγοντες εὐλογία
κυρίου ἐφ᾽ ὑμᾶς εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι κυρίου.

**129**, 2 ᾠδὴ τῶν ἀναβαθμῶν ἐκ βαθέων ἐκέκραξά σε κύριε. κύριε
εἰσάκουσον τῆς φωνῆς μου γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς
3 τὴν φωνὴν τῆς δεήσεώς μου. ἐὰν ἀνομίας παρατηρήσῃ κύριε
4, 5 κύριε τίς ὑποστήσεται. ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. ἕνεκεν
τοῦ νόμου σου ὑπέμεινά σε κύριε ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν
6 λόγον σου. ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον ἀπὸ φυλακῆς
πρωίας μέχρι νυκτός ἀπὸ φυλακῆς πρωίας ἐλπισάτω Ισραηλ ἐπὶ
7 τὸν κύριον. ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ᾽ αὐτῷ λύ-
8 τρωσις. καὶ αὐτὸς λυτρώσεται τὸν Ισραηλ ἐκ πασῶν τῶν ἀνομιῶν
αὐτοῦ.

**130** ᾠδὴ τῶν ἀναβαθμῶν τῷ Δαυιδ κύριε οὐχ ὑψώθη μου ἡ καρδία
οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου οὐδὲ ἐπορεύθην ἐν μεγά-
2 λοις οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. εἰ μὴ ἐταπεινοφρόνουν ἀλλὰ
ὕψωσα τὴν ψυχήν μου ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα
3 αὐτοῦ ὡς ἀνταπόδοσις ἐπὶ τὴν ψυχήν μου. ἐλπισάτω Ισραηλ ἐπὶ

---

σύνης σου λαλήσουσιν καὶ τὰ θαυμάσιά σου διηγήσονται. καὶ 6
τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσιν καὶ τὴν μεγαλωσύνην σου
διηγήσονται. μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξε- 7
ρεύξονται καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. οἰκτίρμων καὶ 8
ἐλεήμων ὁ κύριος μακρόθυμος καὶ πολυέλεος. χρηστὸς κύριος 9

---

**v.11** ῥύομαι$^{vdam2s}$ ἐγώ$^{rpa-s}$ καί$^{cc}$ ἐξαιρέω$^{vdam2s}$ ἐγώ$^{rpa-s}$ ἐκ$^{pg}$ χείρ$^{ngfsc}$ υἱός$^{ngmpc}$ ἀλλότριος$^{angmpn}$ ὅς$^{rrgmp}$ ὁ$^{dnns}$ στόμα$^{nnnsc}$ λαλέω$^{viaa3s}$ ματαιότης$^{nafsc}$ καί$^{cc}$ ὁ$^{dnfs}$ δεξιός$^{annfsn}$ αὐτός$^{rpgmp}$ δεξιός$^{annfsn}$ ἀδικία$^{ngfsc}$. **v.12** ὅς$^{rrgmp}$ ὁ$^{dnmp}$ υἱός$^{nnmpc}$ ὡς$^{cs}$ νεόφυτος$^{annnpn}$ ἁδρύνω$^{vpxpnnp}$ ἐν$^{pd}$ ὁ$^{ddfs}$ νεότης$^{ndfsc}$ αὐτός$^{rpgmp}$ ὁ$^{dnfp}$ θυγάτηρ$^{nnfpc}$ αὐτός$^{rpgmp}$ καλλωπίζω$^{vpxpnfp}$ περικοσμέω$^{vpxpnfp}$ ὡς$^{cs}$ ὁμοίωμα$^{nnnsc}$ ναός$^{ngmsc}$. **v.13** ὁ$^{dnnp}$ ταμιεῖον$^{nnnpc}$ αὐτός$^{rpgmp}$ πλήρης$^{annnpn}$ ἐξερεύγομαι$^{vpppnnp}$ ἐκ$^{pg}$ οὗτος$^{rdgns}$ εἰς$^{pa}$ οὗτος$^{rdans}$ ὁ$^{dnnp}$ πρόβατον$^{nnnpc}$ αὐτός$^{rpgmp}$ πολυτόκος$^{annnpn}$ πληθύνω$^{vppannp}$ ἐν$^{pd}$ ὁ$^{ddfp}$ ἔξοδος$^{ndfpc}$ αὐτός$^{rpgmp}$. **v.14** ὁ$^{dnmp}$ βοῦς$^{nnmpc}$ αὐτός$^{rpgmp}$ παχύς$^{annmpn}$ οὐ$^{b}$ εἰμί$^{vipa3s}$ κατάπτωμα$^{nnnsc}$ φραγμός$^{ngmsc}$ οὐδέ$^{cc}$ διέξοδος$^{nnfsc}$ οὐδέ$^{cc}$ κραυγή$^{nnfsc}$ ἐν$^{pd}$ ὁ$^{ddfp}$ πλατύς$^{andfpn}$ αὐτός$^{rpgmp}$. **v.15** μακαρίζω$^{viaa3p}$ ὁ$^{dams}$ λαός$^{namsc}$ ὅς$^{rrdms}$ οὗτος$^{rdnnp}$ εἰμί$^{vipa3s}$ μακάριος$^{annmsn}$ ὁ$^{dnms}$ λαός$^{nnmsc}$ ὅς$^{rrgms}$ κύριος$^{nnmsc}$ ὁ$^{dnms}$ θεός$^{nnmsc}$ αὐτός$^{rpgms}$. **144. v.1** αἴνεσις$^{nnfsc}$ ὁ$^{ddms}$ Δαυίδ$^{ndmsp}$ ὑψόω$^{vifa1s}$ σύ$^{rpams}$ ὁ$^{dnms}$ θεός$^{nnmsc}$ ἐγώ$^{rpg-s}$ ὁ$^{dnms}$ βασιλεύς$^{nnmsc}$ ἐγώ$^{rpg-s}$ καί$^{cc}$ εὐλογέω$^{vifa1s}$ ὁ$^{dans}$ ὄνομα$^{nansc}$ σύ$^{rpgms}$ εἰς$^{pa}$ ὁ$^{dams}$ αἰών$^{namsc}$ καί$^{cc}$ εἰς$^{pa}$ ὁ$^{dams}$ αἰών$^{namsc}$ ὁ$^{dgms}$ αἰών$^{ngmsc}$. **v.2** κατά$^{pa}$ ἕκαστος$^{aiafsn}$ ἡμέρα$^{nafsc}$ εὐλογέω$^{vifa1s}$ σύ$^{rpams}$ καί$^{cc}$ αἰνέω$^{vifa1s}$ ὁ$^{dans}$ ὄνομα$^{nansc}$ σύ$^{rpgms}$ εἰς$^{pa}$ ὁ$^{dams}$ αἰών$^{namsc}$ καί$^{cc}$ εἰς$^{pa}$ ὁ$^{dams}$ αἰών$^{namsc}$ ὁ$^{dgms}$ αἰών$^{ngmsc}$. **v.3** μέγας$^{annmsn}$ κύριος$^{nnmsc}$ καί$^{cc}$ αἰνετός$^{annmsn}$ σφόδρα$^{b}$ καί$^{cc}$ ὁ$^{dgfs}$ μεγαλωσύνη$^{ngfsc}$ αὐτός$^{rpgms}$ οὐ$^{b}$ εἰμί$^{vipa3s}$ πέρας$^{nnnsc}$. **v.4** γενεά$^{nnfsc}$ καί$^{cc}$ γενεά$^{nnfsc}$ ἐπαινέω$^{vifa3s}$ ὁ$^{danp}$ ἔργον$^{nanpc}$ σύ$^{rpgms}$ καί$^{cc}$ ὁ$^{dafs}$ δύναμις$^{nafsc}$ σύ$^{rpgms}$ ἀπαγγέλλω$^{vifa3p}$. **v.5** ὁ$^{dafs}$ μεγαλοπρέπεια$^{nafsc}$ ὁ$^{dgfs}$ δόξα$^{ngfsc}$ ὁ$^{dgfs}$ ἁγιωσύνη$^{ngfsc}$ σύ$^{rpgms}$ λαλέω$^{vifa3p}$ καί$^{cc}$ ὁ$^{danp}$ θαυμάσιος$^{ananpn}$ σύ$^{rpgms}$ διηγέομαι$^{vifm3p}$. **v.6** καί$^{cc}$ ὁ$^{dafs}$ δύναμις$^{nafsc}$ ὁ$^{dgnp}$ φοβερός$^{angnpn}$ σύ$^{rpgms}$ λέγω$^{vifa3p}$ καί$^{cc}$ ὁ$^{dafs}$ μεγαλωσύνη$^{nafsc}$ σύ$^{rpgms}$ διηγέομαι$^{vifm3p}$. **v.7** μνήμη$^{nafsc}$ ὁ$^{dgns}$ πλῆθος$^{ngnsc}$ ὁ$^{dgfs}$ χρηστότης$^{ngfsc}$ σύ$^{rpg-s}$ ἐξερεύγομαι$^{vifm3p}$ καί$^{cc}$ ὁ$^{ddfs}$ δικαιοσύνη$^{ndfsc}$ σύ$^{rpgms}$ ἀγαλλιάω$^{vifm3p}$. **v.8** οἰκτίρμων$^{annmsn}$ καί$^{cc}$ ἐλεήμων$^{annmsn}$ ὁ$^{dnms}$ κύριος$^{nnmsc}$ μακρόθυμος$^{annmsn}$ καί$^{cc}$ πολυέλεος$^{annmsn}$.

τοῖς σύμπασιν καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.
10 ἐξομολογησάσθωσάν σοι κύριε πάντα τὰ ἔργα σου καὶ οἱ ὅσιοί
11 σου εὐλογησάτωσάν σε. δόξαν τῆς βασιλείας σου ἐροῦσιν καὶ
12 τὴν δυναστείαν σου λαλήσουσιν. τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀν-
θρώπων τὴν δυναστείαν σου καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας
13 τῆς βασιλείας σου. ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων
καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ [1] πιστὸς κύριος ἐν
14 τοῖς λόγοις αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. ὑποστη-
ρίζει κύριος πάντας τοὺς καταπίπτοντας καὶ ἀνορθοῖ πάντας τοὺς
15 κατερραγμένους. οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσιν καὶ σὺ
16 δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. ἀνοίγεις σὺ τὴν χεῖρά σου
17 καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας. δίκαιος κύριος ἐν πάσαις ταῖς
18 ὁδοῖς αὐτοῦ καὶ ὅσιος ἐν πᾶσιν τοῖς ἔργοις αὐτοῦ. ἐγγὺς κύ-
ριος πᾶσιν τοῖς ἐπικαλουμένοις αὐτόν πᾶσι τοῖς ἐπικαλουμένοις
19 αὐτὸν ἐν ἀληθείᾳ. θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ
20 τῆς δεήσεως αὐτῶν ἐπακούσεται καὶ σώσει αὐτούς. φυλάσσει
κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν καὶ πάντας τοὺς ἁμαρτω-
21 λοὺς ἐξολεθρεύσει. αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου καὶ
εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα καὶ
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
**145** αλληλουια Αγγαιου καὶ Ζαχαριου αἴνει ἡ ψυχή μου τὸν κύ-

---

**v.9** χρηστός[annmsn] κύριος[nnmsc] ὁ[ddmp] σύμπας[andmpn] καί[cc] ὁ[dnmp] οἰκτιρμός[nnmpc] αὐτός[rpgms] ἐπί[pa] πᾶς[aiansn] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgms]. **v.10** ἐξομολογέω[vdam3p] σύ[rpdms] κύριος[nvmsc] πᾶς[ainnsn] ὁ[dnnp] ἔργον[nnnpc] σύ[rpgms] καί[cc] ὁ[dnmp] ὅσιος[annmpn] σύ[rpgms] εὐλογέω[vdaa3p] σύ[rpams]. **v.11** δόξα[nafsc] ὁ[dgfs] βασιλεία[ngfsc] σύ[rpgms] λέγω[vifa3p] καί[cc] ὁ[dafs] δυναστεία[nafsc] σύ[rpgms] λαλέω[vifa3p]. **v.12** ὁ[dgns] γνωρίζω[vnaa] ὁ[ddmp] υἱός[ndmpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ὁ[dafs] δυναστεία[nafsc] σύ[rpgms] καί[cc] ὁ[dafs] δόξα[nafsc] ὁ[dgfs] μεγαλοπρέπεια[ngfsc] ὁ[dgfs] βασιλεία[ngfsc] σύ[rpgms]. **v.13** ὁ[dnfs] βασιλεία[nnfsc] σύ[rpgms] βασιλεία[nnfsc] πᾶς[aigmpn] ὁ[dgmp] αἰών[ngmpc] καί[cc] ὁ[dnfs] δεσποτεία[nnfsc] σύ[rpgms] ἐν[pd] πᾶς[aidfsn] γενεά[ndfsc] καί[cc] γενεά[ndfsc] [1][1] πιστός[annmsn] κύριος[nnmsc] ἐν[pd] ὁ[ddmp] λόγος[ndmpc] αὐτός[rpgms] καί[cc] ὅσιος[annmsn] ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] ἔργον[ndnpc] αὐτός[rpgms]. **v.14** ὑποστηρίζω[vipa3s] κύριος[nnmsc] πᾶς[aiampn] ὁ[damp] καταπίπτω[vppaamp] καί[cc] ἀνορθόω[vipa3s] πᾶς[aiampn] ὁ[damp] καταράσσω[vpxpamp]. **v.15** ὁ[dnmp] ὀφθαλμός[nnmpc] πᾶς[aigmpn] εἰς[pa] σύ[rpams] ἐλπίζω[vipa3p] καί[cc] σύ[rpnms] δίδωμι[vipa2s] ὁ[dafs] τροφή[nafsc] αὐτός[rpgmp] ἐν[pd] εὐκαιρία[ndfsc]. **v.16** ἀνοίγω[vipa2s] σύ[rpnms] ὁ[dafs] χείρ[nafsc] σύ[rpgms] καί[cc] ἐμπίπλημι[vipa2s] πᾶς[aiansn] ζῷον[nansc] εὐδοκία[ngfsc]. **v.17** δίκαιος[annmsn] κύριος[nnmsc] ἐν[pd] πᾶς[aidfpn] ὁ[ddfp] ὁδός[ndfpc] αὐτός[rpgms] καί[cc] ὅσιος[annmsn] ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] ἔργον[ndnpc] αὐτός[rpgms]. **v.18** ἐγγύς[b] κύριος[nnmsc] πᾶς[aidmpn] ὁ[ddmp] ἐπικαλέω[vppmdmp] αὐτός[rpams] πᾶς[aidmpn] ὁ[ddmp] ἐπικαλέω[vppmdmp] αὐτός[rpams] ἐν[pd] ἀλήθεια[ndfsc]. **v.19** θέλημα[nansc] ὁ[dgmp] φοβέω[vppmgmp] αὐτός[rpams] ποιέω[vifa3s] καί[cc] ὁ[dgfs] δέησις[ngfsc] αὐτός[rpgmp] ἐπακούω[vifm3s] καί[cc] σῴζω[vifa3s] αὐτός[rpamp]. **v.20** φυλάσσω[vipa3s] κύριος[nnmsc] πᾶς[aiampn] ὁ[damp] ἀγαπάω[vppaamp] αὐτός[rpams] καί[cc] πᾶς[aiampn] ὁ[damp] ἁμαρτωλός[anampn] ἐξολεθρεύω[vifa3s]. **v.21** αἴνεσις[nafsc] κύριος[ngmsc] λαλέω[vifa3s] ὁ[dnns] στόμα[nnnsc] ἐγώ[rpg-s] καί[cc] εὐλογέω[vdpa3s] πᾶς[ainfsn] σάρξ[nnfsc] ὁ[dans] ὄνομα[nansc] ὁ[dans] ἅγιος[anansn] αὐτός[rpgms] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dgms] αἰών[ngmsc].

ριον. αἰνέσω κύριον ἐν ζωῇ μου ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω. 2
μὴ πεποίθατε ἐπ᾽ ἄρχοντας καὶ ἐφ᾽ υἱοὺς ἀνθρώπων οἷς οὐκ ἔστιν 3
σωτηρία. ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὴν 4
γῆν αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ
αὐτῶν. μακάριος οὗ ὁ θεὸς Ιακωβ βοηθός ἡ ἐλπὶς αὐτοῦ ἐπὶ 5
κύριον τὸν θεὸν αὐτοῦ. τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν 6
τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς τὸν φυλάσσοντα ἀλήθειαν
εἰς τὸν αἰῶνα. ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις διδόντα τρο- 7
φὴν τοῖς πεινῶσιν κύριος λύει πεπεδημένους. κύριος ἀνορθοῖ 8
κατερραγμένους κύριος σοφοῖ τυφλούς κύριος ἀγαπᾷ δικαίους.
κύριος φυλάσσει τοὺς προσηλύτους ὀρφανὸν καὶ χήραν ἀναλήμ- 9
ψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. βασιλεύσει κύριος εἰς τὸν 10
αἰῶνα ὁ θεός σου Σιων εἰς γενεὰν καὶ γενεάν.

αλληλουια Αγγαιου καὶ Ζαχαριου αἰνεῖτε τὸν κύριον ὅτι ἀ- **146**
γαθὸν ψαλμός τῷ θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις. οἰκοδομῶν Ιε- 2
ρουσαλημ ὁ κύριος καὶ τὰς διασπορὰς τοῦ Ισραηλ ἐπισυνάξει.
ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν καὶ δεσμεύων τὰ 3
συντρίμματα αὐτῶν. ὁ ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς 4
ὀνόματα καλῶν. μέγας ὁ κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐ- 5
τοῦ καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. ἀναλαμβάνων 6

---

**145. v.1** ἀλληλουϊά[t] Αγγαιας[ngmsp] καί[cc] Ζαχαρίας[ngmsp] αἰνέω[vdpa2s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ὁ[dams] κύριος[namsc]. **v.2** αἰνέω[vifa1s] κύριος[namsc] ἐν[pd] ζωή[ndfsc] ἐγώ[rpg-s] ψάλλω[vifa1s] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-s] ἕως[pg] ὑπάρχω[vipa1s]. **v.3** μή[x] πείθω[vdxa2p] ἐπί[pa] ἄρχων[nampc] καί[cc] ἐπί[pa] υἱός[nampc] ἄνθρωπος[ngmpc] ὅς[rrdmp] οὐ[b] εἰμί[vipa3s] σωτηρία[nnfsc]. **v.4** ἐξέρχομαι[vifm3s] ὁ[dnns] πνεῦμα[nnnsc] αὐτός[rpgms] καί[cc] ἐπιστρέφω[vifa3s] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] αὐτός[rpgms] ἐν[pd] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfsc] ἀπόλλυμι[vifm3p] πᾶς[ainmpn] ὁ[dnmp] διαλογισμός[nnmpc] αὐτός[rpgmp]. **v.5** μακάριος[annmsn] ὅς[rrgms] ὁ[dnms] θεός[nnmsc] Ἰακώβ[ngmsp] βοηθός[nnmsc] ὁ[dnfs] ἐλπίς[nnfsc] αὐτός[rpgms] ἐπί[pa] κύριος[namsc] ὁ[dams] θεός[namsc] αὐτός[rpgms]. **v.6** ὁ[dams] ποιέω[vpaaams] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dafs] γῆ[nafsc] ὁ[dafs] θάλασσα[nafsc] καί[cc] πᾶς[aiamsn] ὁ[danp] ἐν[pd] αὐτός[rpdmp] ὁ[dams] φυλάσσω[vppaams] ἀλήθεια[nafsc] εἰς[pa] ὁ[dams] αἰών[namsc]. **v.7** ποιέω[vppaams] κρίμα[nansc] ὁ[ddmp] ἀδικέω[vpppdmp] δίδωμι[vppaams] τροφή[nafsc] ὁ[ddmp] πεινάω[vppadmp] κύριος[nnmsc] λύω[vipa3s] πεδάω[vpxpamp]. **v.8** κύριος[nnmsc] ἀνορθόω[vipa3s] καταράσσω[vpxpamp] κύριος[nnmsc] σοφόω[vipa3s] τυφλός[anampn] κύριος[nnmsc] ἀγαπάω[vipa3s] δίκαιος[anampn]. **v.9** κύριος[nnmsc] φυλάσσω[vipa3s] ὁ[damp] προσήλυτος[nampc] ὀρφανός[anamsn] καί[cc] χήρα[nafsc] ἀναλαμβάνω[vifm3s] καί[cc] ὁδός[nafsc] ἁμαρτωλός[angmpn] ἀφανίζω[vifa3s]. **v.10** βασιλεύω[vifa3s] κύριος[nnmsc] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpgfs] Σιών[nvfsp] εἰς[pa] γενεά[nafsc] καί[cc] γενεά[nafsc]. **146. v.1** ἀλληλουϊά[t] Αγγαιας[ngmsp] καί[cc] Ζαχαρίας[ngmsp] αἰνέω[vdpa2p] ὁ[dams] κύριος[namsc] ὅτι[cs] ἀγαθός[annnsn] ψαλμός[nnmsc] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p] ἡδύνω[voap3s] αἴνεσις[nnfsc]. **v.2** οἰκοδομέω[vppanms] Ἰερουσαλήμ[ngfsp] ὁ[dnms] κύριος[nnmsc] καί[cc] ὁ[dafp] διασπορά[nafpc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐπισυνάγω[vifa3s]. **v.3** ὁ[dnms] ἰάομαι[vppmnms] ὁ[damp] συντρίβω[vpxpamp] ὁ[dafs] καρδία[nafsc] καί[cc] δεσμεύω[vppanms] ὁ[danp] σύντριμμα[nanpc] αὐτός[rpgmp]. **v.4** ὁ[dnms] ἀριθμέω[vppanms] πλῆθος[nanpc] ἄστρον[ngnpc] καί[cc] πᾶς[aidmpn] αὐτός[rpdmp] ὄνομα[nanpc] καλέω[vppanms]. **v.5** μέγας[annmsn] ὁ[dnms] κύριος[nnmsc] ἐγώ[rpg-p] καί[cc] μέγας[annfsn] ὁ[dnfs] ἰσχύς[nnfsc] αὐτός[rpgms] καί[cc] ὁ[dgfs] σύνεσις[ngfsc] αὐτός[rpgms] οὐ[b] εἰμί[vipa3s] ἀριθμός[nnmsc].

7 πραεῖς ὁ κύριος ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως τῆς γῆς. ἐξάρξατε
8 τῷ κυρίῳ ἐν ἐξομολογήσει ψάλατε τῷ θεῷ ἡμῶν ἐν κιθάρᾳ. τῷ
περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις τῷ ἑτοιμάζοντι τῇ γῇ ὑε-
τόν τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον καὶ χλόην τῇ δουλείᾳ τῶν
9 ἀνθρώπων. διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν καὶ τοῖς νεοσσοῖς
10 τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. οὐκ ἐν τῇ δυναστείᾳ
11 τοῦ ἵππου θελήσει οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. εὐ-
δοκεῖ κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ
τὸ ἔλεος αὐτοῦ.

**147** αλληλουια Αγγαιου καὶ Ζαχαριου ἐπαίνει Ιερουσαλημ τὸν κύ-
2 ριον αἴνει τὸν θεόν σου Σιων. ὅτι ἐνίσχυσεν τοὺς μοχλοὺς τῶν
3 πυλῶν σου εὐλόγησεν τοὺς υἱούς σου ἐν σοί. ὁ τιθεὶς τὰ ὅριά
4 σου εἰρήνην καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. ὁ ἀποστέλλων τὸ
5 λόγιον αὐτοῦ τῇ γῇ ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. τοῦ
6 διδόντος χιόνα ὡσεὶ ἔριον ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος. βάλ-
λοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς κατὰ πρόσωπον ψύχους
7 αὐτοῦ τίς ὑποστήσεται. ἀποστελεῖ τὸν λόγον αὐτοῦ καὶ τήξει
8 αὐτά πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα. ἀπαγγέλ-
λων τὸν λόγον αὐτοῦ τῷ Ιακωβ δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ
9 Ισραηλ. οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει καὶ τὰ κρίματα αὐτοῦ
οὐκ ἐδήλωσεν αὐτοῖς.

---

**v.6** ἀναλαμβάνω[vppanms] πραΰς[anampn] ὁ[dnms] κύριος[nnmsc] ταπεινόω[vppanms] δέ[cc] ἁμαρτωλός[anampn] ἕως[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.7** ἐξάρχω[vdaa2p] ὁ[ddms] κύριος[ndmsc] ἐν[pd] ἐξομολόγησις[ndfsc] ψάλλω[vdaa2p] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p] ἐν[pd] κιθάρα[ndfsc]. **v.8** ὁ[ddms] περιβάλλω[vppadms] ὁ[dams] οὐρανός[namsc] ἐν[pd] νεφέλη[ndfpc] ὁ[ddms] ἑτοιμάζω[vppadms] ὁ[ddfs] γῆ[ndfsc] ὑετός[namsc] ὁ[ddms] ἐξανατέλλω[vppadms] ἐν[pd] ὄρος[ndnpc] χόρτος[namsc] καί[cc] χλόη[nafsc] ὁ[ddfs] δουλεία[ndfsc] ὁ[dgmp] ἄνθρωπος[ngmpc]. **v.9** δίδωμι[vppadms] ὁ[ddnp] κτῆνος[ndnpc] τροφή[nafsc] αὐτός[rpgnp] καί[cc] ὁ[ddmp] νεοσσός[ndmpc] ὁ[dgmp] κόραξ[ngmpc] ὁ[ddmp] ἐπικαλέω[vppmdmp] αὐτός[rpams]. **v.10** οὐ[b] ἐν[pd] ὁ[ddfs] δυναστεία[ndfsc] ὁ[dgms] ἵππος[ngmsc] θέλω[vifa3s] οὐδέ[cc] ἐν[pd] ὁ[ddfp] κνήμη[ndfpc] ὁ[dgms] ἀνήρ[ngmsc] εὐδοκέω[vipa3s]. **v.11** εὐδοκέω[vipa3s] κύριος[nnmsc] ἐν[pd] ὁ[ddmp] φοβέω[vppmdmp] αὐτός[rpams] καί[cc] ἐν[pd] ὁ[ddmp] ἐλπίζω[vppadmp] ἐπί[pa] ὁ[dans] ἔλεος[nansc] αὐτός[rpgms]. **147. v.1** ἀλληλουϊά[t] Αγγαιας[ngmsp] καί[cc] Ζαχαρίας[ngmsp] ἐπαινέω[vdpa2s] Ἰερουσαλήμ[nvfsp] ὁ[dams] κύριος[namsc] αἰνέω[vdpa2s] ὁ[dams] θεός[namsc] σύ[rpgfs] Σιών[nvfsp]. **v.2** ὅτι[cs] ἐνισχύω[viaa3s] ὁ[damp] μοχλός[nampc] ὁ[dgfp] πύλη[ngfpc] σύ[rpg-s] εὐλογέω[viaa3s] ὁ[damp] υἱός[nampc] σύ[rpgfs] ἐν[pd] σύ[rpdfs]. **v.3** ὁ[dnms] τίθημι[vppanms] ὁ[danp] ὅριον[nanpc] σύ[rpgfs] εἰρήνη[nafsc] καί[cc] στέαρ[nansc] πυρός[ngmsc] ἐμπίπλημι[vppanms] σύ[rpafs]. **v.4** ὁ[dnms] ἀποστέλλω[vppanms] ὁ[dans] λόγιον[nansc] αὐτός[rpgms] ὁ[ddfs] γῆ[ndfsc] ἕως[pg] τάχος[ngnsc] τρέχω[vifm3s] ὁ[dnms] λόγος[nnmsc] αὐτός[rpgms]. **v.5** ὁ[dgms] δίδωμι[vppagms] χιών[nafsc] ὡσεί[x] ἔριον[nansc] ὁμίχλη[nafsc] ὡσεί[x] σποδός[nafsc] πάσσω[vppagms]. **v.6** βάλλω[vppagms] κρύσταλλος[namsc] αὐτός[rpgms] ὡσεί[x] ψωμός[nampc] κατά[pa] πρόσωπον[nansc] ψῦχος[ngnsc] αὐτός[rpgms] τίς[rqnms] ὑφίστημι[vifm3s]. **v.7** ἀποστέλλω[vifa3s] ὁ[dams] λόγος[namsc] αὐτός[rpgms] καί[cc] τήκω[vifa3s] αὐτός[rpanp] πνέω[vifa3s] ὁ[dans] πνεῦμα[nansc] αὐτός[rpgms] καί[cc] ῥέω[vifm3s] ὕδωρ[nnnpc]. **v.8** ἀπαγγέλλω[vppanms] ὁ[dams] λόγος[namsc] αὐτός[rpgms] ὁ[ddms] Ἰακώβ[ndmsp] δικαίωμα[nanpc] καί[cc] κρίμα[nanpc] αὐτός[rpgms] ὁ[ddms] Ἰσραήλ[ndmsp]. **v.9** οὐ[b] ποιέω[viaa3s] οὕτως[b] πᾶς[aidnsn] ἔθνος[ndnsc] καί[cc] ὁ[danp] κρίμα[nanpc] αὐτός[rpgms] οὐ[b] δηλόω[viaa3s] αὐτός[rpdnp].

αλληλουια Αγγαιου καὶ Ζαχαριου αἰνεῖτε τὸν κύριον ἐκ τῶν **148**
οὐρανῶν αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. αἰνεῖτε αὐτόν πάντες οἱ 2
ἄγγελοι αὐτοῦ αἰνεῖτε αὐτόν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. αἰνεῖτε 3
αὐτόν ἥλιος καὶ σελήνη αἰνεῖτε αὐτόν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
αἰνεῖτε αὐτόν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω 4
τῶν οὐρανῶν. αἰνεσάτωσαν τὸ ὄνομα κυρίου ὅτι αὐτὸς εἶπεν καὶ 5
ἐγενήθησαν αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. ἔστησεν αὐτὰ εἰς 6
τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος πρόσταγμα ἔθετο καὶ οὐ
παρελεύσεται. αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς δράκοντες καὶ πᾶ- 7
σαι ἄβυσσοι. πῦρ χάλαζα χιών κρύσταλλος πνεῦμα καταιγίδος 8
τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. τὰ ὄρη καὶ πάντες οἱ βουνοί ξύλα 9
καρποφόρα καὶ πᾶσαι κέδροι. τὰ θηρία καὶ πάντα τὰ κτήνη 10
ἑρπετὰ καὶ πετεινὰ πτερωτά. βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί 11
ἄρχοντες καὶ πάντες κριταὶ γῆς. νεανίσκοι καὶ παρθένοι πρε- 12
σβῦται μετὰ νεωτέρων. αἰνεσάτωσαν τὸ ὄνομα κυρίου ὅτι ὑψώθη 13
τὸ ὄνομα αὐτοῦ μόνου ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐ-
ρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ ὕμνος πᾶσι τοῖς ὁσίοις 14
αὐτοῦ τοῖς υἱοῖς Ισραηλ λαῷ ἐγγίζοντι αὐτῷ.

αλληλουια ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν ἡ αἴνεσις αὐτοῦ ἐν ἐκ- **149**
κλησίᾳ ὁσίων. εὐφρανθήτω Ισραηλ ἐπὶ τῷ ποιήσαντι αὐτόν καὶ 2

---

**148.** **v.1** ἁλληλουϊά[t] Αγγαιας[ngmsp] καί[cc] Ζαχαρίας[ngmsp] αἰνέω[vdpa2p] ὁ[dams] κύριος[namsc] ἐκ[pg] ὁ[dgmp] οὐρανός[ngmpc] αἰνέω[vdpa2p] αὐτός[rpams] ἐν[pd] ὁ[ddnp] ὕψιστος[andnpn]. **v.2** αἰνέω[vdpa2p] αὐτός[rpams] πᾶς[ainmpn] ὁ[dnmp] ἄγγελος[nnmpc] αὐτός[rpgms] αἰνέω[vdpa2p] αὐτός[rpams] πᾶς[ainfpn] ὁ[dnfp] δύναμις[nnfpc] αὐτός[rpgms]. **v.3** αἰνέω[vdpa2p] αὐτός[rpams] ἥλιος[nnmsc] καί[cc] σελήνη[nnfsc] αἰνέω[vdpa2p] αὐτός[rpams] πᾶς[ainnpn] ὁ[dnnp] ἄστρον[nnnpc] καί[cc] ὁ[dnns] φῶς[nnnsc]. **v.4** αἰνέω[vdpa2p] αὐτός[rpams] ὁ[dnmp] οὐρανός[nnmpc] ὁ[dgmp] οὐρανός[ngmpc] καί[cc] ὁ[dnns] ὕδωρ[nnnsc] ὁ[dnns] ὑπεράνω[pg] ὁ[dgmp] οὐρανός[ngmpc]. **v.5** αἰνέω[vdaa3p] ὁ[dans] ὄνομα[nansc] κύριος[ngmsc] ὅτι[cs] αὐτός[rpnms] λέγω[viaa3s] καί[cc] γίνομαι[viap3p] αὐτός[rpnms] ἐντέλλομαι[viam3s] καί[cc] κτίζω[viap3p]. **v.6** ἵστημι[viaa3s] αὐτός[rpanp] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dgms] αἰών[ngmsc] πρόσταγμα[nansc] τίθημι[viam3s] καί[cc] οὐ[b] παρέρχομαι[vifm3s]. **v.7** αἰνέω[vdpa2p] ὁ[dams] κύριος[namsc] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] δράκων[nnmpc] καί[cc] πᾶς[ainfpn] ἄβυσσος[nnfpc]. **v.8** πῦρ[nnnsc] χάλαζα[nnfsc] χιών[nnfsc] κρύσταλλος[nnmsc] πνεῦμα[nnnsc] καταιγίς[ngfsc] ὁ[dnnp] ποιέω[vppannp] ὁ[dams] λόγος[namsc] αὐτός[rpgms]. **v.9** ὁ[dnnp] ὄρος[nnnpc] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] βουνός[nnmpc] ξύλον[nnnpc] καρποφόρος[annnpn] καί[cc] πᾶς[ainfpn] κέδρος[nnfpc]. **v.10** ὁ[dnnp] θηρίον[nnnpc] καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] κτῆνος[nnnpc] ἑρπετόν[nnnpc] καί[cc] πετεινός[nnnpc] πτερωτός[annnpn]. **v.11** βασιλεύς[nnmpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[ainmpn] λαός[nnmpc] ἄρχων[nnmpc] καί[cc] πᾶς[ainmpn] κριτής[nnmpc] γῆ[ngfsc]. **v.12** νεανίσκος[nnmpc] καί[cc] παρθένος[nnfpc] πρεσβύτης[nnmpc] μετά[pg] νέος[angmpc]. **v.13** αἰνέω[vdaa3p] ὁ[dans] ὄνομα[nansc] κύριος[ngmsc] ὅτι[cs] ὑψόω[viap3s] ὁ[dnns] ὄνομα[nnnsc] αὐτός[rpgms] μόνος[angmsn] ὁ[dnfs] ἐξομολόγησις[nnfsc] αὐτός[rpgms] ἐπί[pg] γῆ[ngfsc] καί[cc] οὐρανός[ngmsc]. **v.14** καί[cc] ὑψόω[vifa3s] κέρας[nansc] λαός[ngmsc] αὐτός[rpgms] ὕμνος[nnmsc] πᾶς[aidmpn] ὁ[ddmp] ὅσιος[andmpn] αὐτός[rpgms] ὁ[ddmp] υἱός[ndmpc] Ἰσραήλ[ngmsp] λαός[ndmsc] ἐγγίζω[vppadms] αὐτός[rpdms].
**149.** **v.1** ἁλληλουϊά[t] ᾄδω[vdaa2p] ὁ[ddms] κύριος[ndmsc] ᾆσμα[nansc] καινός[anansn] ὁ[dnfs] αἴνεσις[nnfsc] αὐτός[rpgms] ἐν[pd] ἐκκλησία[ndfsc] ὅσιος[angmpn].

3 υἱοὶ Σιων ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. αἰνεσάτωσαν
τὸ ὄνομα αὐτοῦ ἐν χορῷ ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν
4 αὐτῷ. ὅτι εὐδοκεῖ κύριος ἐν λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν
5 σωτηρίᾳ. καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν
6 κοιτῶν αὐτῶν. αἱ ὑψώσεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν καὶ
7 ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. τοῦ ποιῆσαι ἐκδίκησιν
8 ἐν τοῖς ἔθνεσιν ἐλεγμοὺς ἐν τοῖς λαοῖς. τοῦ δῆσαι τοὺς βασιλεῖς
αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδη-
9 ραῖς. τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον δόξα αὕτη ἐστὶν
πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

**150** αλληλουια αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ αἰνεῖτε αὐτὸν
2 ἐν στερεώματι δυνάμεως αὐτοῦ. αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστεί-
αις αὐτοῦ αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
3 αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ
4 κιθάρᾳ. αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ αἰνεῖτε αὐτὸν ἐν
5 χορδαῖς καὶ ὀργάνῳ. αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις αἰ-
6 νεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. πᾶσα πνοὴ αἰνεσάτω τὸν
κύριον αλληλουια.

**151** οὗτος ὁ ψαλμὸς ἰδιόγραφος εἰς Δαυιδ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ
ὅτε ἐμονομάχησεν τῷ Γολιαδ μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου
καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου ἐποίμαινον τὰ πρόβατα

---

**v.2** εὐφραίνω[vdap3s] Ἰσραήλ[nnmsp] ἐπί[pd] ὁ[ddms] ποιέω[vpaadms] αὐτός[rpams] καί[cc] υἱός[nnmpc] Σιών[ngfsp] ἀγαλλιάω[vdpm3p] ἐπί[pd] ὁ[ddms] βασιλεύς[ndmsc] αὐτός[rpgmp]. **v.3** αἰνέω[vdaa3p] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] ἐν[pd] χορός[ndmsc] ἐν[pd] τύμπανον[ndnsc] καί[cc] ψαλτήριον[ndnsc] ψάλλω[vdaa3p] αὐτός[rpdms]. **v.4** ὅτι[cs] εὐδοκέω[vipa3s] κύριος[nnmsc] ἐν[pd] λαός[ndmsc] αὐτός[rpgms] καί[cc] ὑψόω[vifa3s] πραΰς[anampn] ἐν[pd] σωτηρία[ndfsc]. **v.5** καυχάομαι[vifm3p] ὅσιος[annmpn] ἐν[pd] δόξα[ndfsc] καί[cc] ἀγαλλιάω[vifm3p] ἐπί[pg] ὁ[dgfp] κοίτη[ngfpc] αὐτός[rpgmp]. **v.6** ὁ[dnfp] ὕψωσις[nnfpc] ὁ[dgms] θεός[ngmsc] ἐν[pd] ὁ[ddms] λάρυγξ[ndmsc] αὐτός[rpgmp] καί[cc] ῥομφαία[nnfpc] δίστομος[annfpn] ἐν[pd] ὁ[ddfp] χείρ[ndfpc] αὐτός[rpgmp]. **v.7** ὁ[dgns] ποιέω[vnaa] ἐκδίκησις[nafsc] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ἐλεγμός[nampc] ἐν[pd] ὁ[ddmp] λαός[ndmpc]. **v.8** ὁ[dgns] δέω[vnaa] ὁ[damp] βασιλεύς[nampc] αὐτός[rpgmp] ἐν[pd] πέδη[ndfpc] καί[cc] ὁ[damp] ἔνδοξος[anampn] αὐτός[rpgmp] ἐν[pd] χειροπέδη[ndfpc] σιδηροῦς[andfpn]. **v.9** ὁ[dgns] ποιέω[vnaa] ἐν[pd] αὐτός[rpdmp] κρίμα[nansc] ἔγγραπτος[anansn] δόξα[nnfsc] οὗτος[rdnfs] εἰμί[vipa3s] πᾶς[aidmpn] ὁ[ddmp] ὅσιος[andmpn] αὐτός[rpgms]. **150. v.1** ἁλληλουϊά[t] αἰνέω[vdpa2p] ὁ[dams] θεός[namsc] ἐν[pd] ὁ[ddnp] ἅγιος[andnpn] αὐτός[rpgms] αἰνέω[vdpa2p] αὐτός[rpams] ἐν[pd] στερέωμα[ndnsc] δύναμις[ngfsc] αὐτός[rpgms]. **v.2** αἰνέω[vdpa2p] αὐτός[rpams] ἐπί[pd] ὁ[ddfp] δυναστεία[ndfpc] αὐτός[rpgms] αἰνέω[vdpa2p] αὐτός[rpams] κατά[pa] ὁ[dans] πλῆθος[nansc] ὁ[dgfs] μεγαλωσύνη[ngfsc] αὐτός[rpgms]. **v.3** αἰνέω[vdpa2p] αὐτός[rpams] ἐν[pd] ἦχος[ndmsc] σάλπιγξ[ngfsc] αἰνέω[vdpa2p] αὐτός[rpams] ἐν[pd] ψαλτήριον[ndnsc] καί[cc] κιθάρα[ndfsc]. **v.4** αἰνέω[vdpa2p] αὐτός[rpams] ἐν[pd] τύμπανον[ndnsc] καί[cc] χορός[ndmsc] αἰνέω[vdpa2p] αὐτός[rpams] ἐν[pd] χορδή[ndfpc] καί[cc] ὄργανον[ndnsc]. **v.5** αἰνέω[vdpa2p] αὐτός[rpams] ἐν[pd] κύμβαλον[ndnpc] εὔηχος[andnpn] αἰνέω[vdpa2p] αὐτός[rpams] ἐν[pd] κύμβαλον[ndnpc] ἀλαλαγμός[ngmsc]. **v.6** πᾶς[ainfsn] πνοή[nnfsc] αἰνέω[vdaa3s] ὁ[dams] κύριος[namsc] ἁλληλουϊά[t].

τοῦ πατρός μου. αἱ χεῖρές μου ἐποίησαν ὄργανον οἱ δάκτυλοί 2
μου ἥρμοσαν ψαλτήριον. καὶ τίς ἀναγγελεῖ τῷ κυρίῳ μου αὐτὸς 3
κύριος αὐτὸς εἰσακούει. αὐτὸς ἐξαπέστειλεν τὸν ἄγγελον αὐτοῦ 4
καὶ ἦρέν με ἐκ τῶν προβάτων τοῦ πατρός μου καὶ ἔχρισέν με ἐν
τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ. οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι 5
καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς κύριος. ἐξῆλθον εἰς συνάντησιν τῷ 6
ἀλλοφύλῳ καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ. ἐγὼ 7
δὲ σπασάμενος τὴν παρ᾽ αὐτοῦ μάχαιραν ἀπεκεφάλισα αὐτὸν καὶ
ἦρα ὄνειδος ἐξ υἱῶν Ισραηλ.

**151.** **v.1** οὗτος[rdnms] ὁ[dnms] ψαλμός[nnmsc] ἰδιόγραφος[annmsn] εἰς[pa] Δαυίδ[namsp] καί[cc] ἔξωθεν[b] ὁ[dgms] ἀριθμός[ngmsc] ὅτε[cs] μονομαχέω[viaa3s] ὁ[ddms] Γολιαδ[ndmsp] μικρός[annmsn] εἰμί[viim1s] ἐν[pd] ὁ[ddmp] ἀδελφός[ndmpc] ἐγώ[rpgms] καί[cc] νέος[annmsc] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpgms] ποιμαίνω[viia1s] ὁ[danp] πρόβατον[nanpc] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpgms]. **v.2** ὁ[dnfp] χείρ[nnfpc] ἐγώ[rpgms] ποιέω[viaa3p] ὄργανον[nansc] ὁ[dnmp] δάκτυλος[nnmpc] ἐγώ[rpgms] ἁρμόζω[viaa3p] ψαλτήριον[nansc]. **v.3** καί[cc] τίς[rqnms] ἀναγγέλλω[vifa3s] ὁ[ddms] κύριος[ndmsc] ἐγώ[rpgms] αὐτός[rtnms] κύριος[nnmsc] αὐτός[rpnms] εἰσακούω[vipa3s]. **v.4** αὐτός[rpnms] ἐξαποστέλλω[viaa3s] ὁ[dams] ἄγγελος[namsc] αὐτός[rpgms] καί[cc] αἴρω[viaa3s] ἐγώ[rpams] ἐκ[pg] ὁ[dgnp] πρόβατον[ngnpc] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpgms] καί[cc] χρίω[viaa3s] ἐγώ[rpams] ἐν[pd] ὁ[ddns] ἔλαιον[ndnsc] ὁ[dgfs] χρῖσις[ngfsc] αὐτός[rpgms]. **v.5** ὁ[dnmp] ἀδελφός[nnmpc] ἐγώ[rpgms] καλός[annmpn] καί[cc] μέγας[annmpn] καί[cc] οὐ[b] εὐδοκέω[viaa3s] ἐν[pd] αὐτός[rpdmp] κύριος[nnmsc]. **v.6** ἐξέρχομαι[viaa1s] εἰς[pa] συνάντησις[nafsc] ὁ[ddms] ἀλλόφυλος[andmsn] καί[cc] ἐπικαταράομαι[viam3s] ἐγώ[rpams] ἐν[pd] ὁ[ddnp] εἴδωλον[ndnpc] αὐτός[rpgms]. **v.7** ἐγώ[rpnms] δέ[cc] σπάω[vpamnms] ὁ[dafs] παρά[pg] αὐτός[rpgms] μάχαιρα[nafsc] ἀποκεφαλίζω[viaa1s] αὐτός[rpams] καί[cc] αἴρω[viaa1s] ὄνειδος[nansc] ἐκ[pg] υἱός[ngmpc] Ἰσραήλ[ngmsp].

# ΩΔΗ

**1** ᾠδὴ Μωυσέως ἐν τῇ ἐξόδῳ ᾄσωμεν τῷ κυρίῳ ἐνδόξως γὰρ δε-
2 δόξασται ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. βοηθὸς
καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν οὗτός μου θεός καὶ δο-
3 ξάσω αὐτόν θεὸς τοῦ πατρός μου καὶ ὑψώσω αὐτόν. κύριος
4 συντρίβων πολέμους κύριος ὄνομα αὐτῷ. ἅρματα Φαραω καὶ
τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν ἐπιλέκτους ἀναβάτας
5 τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ. πόντῳ ἐκάλυψεν
6 αὐτούς κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. ἡ δεξιά σου κύριε δε-
7 δόξασται ἐν ἰσχύι ἡ δεξιά σου χείρ κύριε ἔθραυσεν ἐχθρούς. καὶ
τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους ἀπέστει-
8 λας τὴν ὀργήν σου καὶ κατέφαγεν αὐτοὺς ὡς καλάμην. καὶ διὰ
πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ ἐπάγη ὡσεὶ τεῖχος τὰ
9 ὕδατα ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης. εἶπεν ὁ ἐχθρός
διώξας καταλήμψομαι μεριῶ σκῦλα ἐμπλήσω ψυχήν μου ἀνελῶ
10 τῇ μαχαίρῃ μου κυριεύσει ἡ χείρ μου. ἀπέστειλας τὸ πνεῦ-
μά σου ἐκάλυψεν αὐτοὺς θάλασσα ἔδυσαν ὡσεὶ μόλιβος ἐν ὕδατι
11 σφοδρῷ. τίς ὅμοιός σοι ἐν θεοῖς κύριε τίς ὅμοιός σοι δεδοξασμέ-

**1.** **v.1** ᾠδή[nnfsc] Μωϋσῆς[ngmsp] ἐν[pd] ὁ[ddfs] ἔξοδος[ndfsc] ᾄδω[vsaa1p] ὁ[ddms] κύριος[ndmsc] ἐνδόξως[b] γάρ[cc] δοξάζω[vixp3s] ἵππος[namsc] καί[cc] ἀναβάτης[namsc] ῥίπτω[viaa3s] εἰς[pa] θάλασσα[nafsc]. **v.2** βοηθός[nnmsc] καί[cc] σκεπαστής[nnmsc] γίνομαι[viam3s] ἐγώ[rpd-s] εἰς[pa] σωτηρία[nafsc] οὗτος[rdnms] ἐγώ[rpg-s] θεός[nnmsc] καί[cc] δοξάζω[vifa1s] αὐτός[rpams] θεός[nnmsc] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpg-s] καί[cc] ὑψόω[vifa1s] αὐτός[rpams]. **v.3** κύριος[nnmsc] συντρίβω[vppanms] πόλεμος[nampc] κύριος[nnmsc] ὄνομα[nnnsc] αὐτός[rpdms]. **v.4** ἅρμα[nanpc] Φαραώ[ngmsp] καί[cc] ὁ[dafs] δύναμις[nafsc] αὐτός[rpgms] ῥίπτω[viaa3s] εἰς[pa] θάλασσα[nafsc] ἐπίλεκτος[anampn] ἀναβάτης[nampc] τριστάτης[nampc] καταποντίζω[viaa3s] ἐν[pd] ἐρυθρός[andfsn] θάλασσα[ndfsc]. **v.5** πόντος[ndmsc] καλύπτω[viaa3s] αὐτός[rpamp] καταδύω[viaa3p] εἰς[pa] βυθός[namsc] ὡσεί[x] λίθος[nnmsc]. **v.6** ὁ[dnfs] δεξιός[annfsn] σύ[rpg-s] κύριος[nvmsc] δοξάζω[vixp3s] ἐν[pd] ἰσχύς[ndfsc] ὁ[dnfs] δεξιός[annfsn] σύ[rpg-s] χείρ[nnfsc] κύριος[nvmsc] θραύω[viaa3s] ἐχθρός[anampn]. **v.7** καί[cc] ὁ[ddns] πλῆθος[ndnsc] ὁ[dgfs] δόξα[ngfsc] σύ[rpg-s] συντρίβω[viaa2s] ὁ[damp] ὑπεναντίος[anampn] ἀποστέλλω[viaa2s] ὁ[dafs] ὀργή[nafsc] σύ[rpg-s] καί[cc] κατεσθίω[viaa3s] αὐτός[rpamp] ὡς[cs] καλάμη[nafsc]. **v.8** καί[cc] διά[pg] πνεῦμα[ngnsc] ὁ[dgms] θυμός[ngmsc] σύ[rpg-s] διΐστημι[viaa3s] ὁ[dnns] ὕδωρ[nnnsc] πήγνυμι[viap3s] ὡσεί[x] τεῖχος[nnnsc] ὁ[dnnp] ὕδωρ[nnnpc] πήγνυμι[viap3s] ὁ[dnnp] κῦμα[nnnpc] ἐν[pd] μέσος[andnsn] ὁ[dgfs] θάλασσα[ngfsc]. **v.9** λέγω[viaa3s] ὁ[dnms] ἐχθρός[annmsn] διώκω[vpaanms] καταλαμβάνω[vifm1s] μερίζω[vifa1s] σκῦλον[nanpc] ἐμπίπλημι[vifa1s] ψυχή[nafsc] ἐγώ[rpg-s] ἀναιρέω[vifa1s] ὁ[ddfs] μάχαιρα[ndfsc] ἐγώ[rpg-s] κυριεύω[vifa3s] ὁ[dnfs] χείρ[nnfsc] ἐγώ[rpg-s]. **v.10** ἀποστέλλω[viaa2s] ὁ[dans] πνεῦμα[nansc] σύ[rpg-s] καλύπτω[viaa3s] αὐτός[rpamp] θάλασσα[nnfsc] δύω[viaa3p] ὡσεί[x] μόλιβος[nnmsc] ἐν[pd] ὕδωρ[ndnsc] σφοδρός[andnsn].

νος ἐν ἁγίοις θαυμαστὸς ἐν δόξαις ποιῶν τέρατα. ἐξέτεινας τὴν 12
δεξιάν σου καὶ κατέπιεν αὐτοὺς ἡ γῆ. ὡδήγησας τῇ δικαιοσύνῃ 13
σου τὸν λαόν σου τοῦτον ὃν ἐλυτρώσω παρεκάλεσας τῇ ἰσχύι σου
εἰς κατάλυμα ἅγιόν σου. ἤκουσαν ἔθνη καὶ ὠργίσθησαν ὠδῖνες 14
ἔλαβον κατοικοῦντας Φυλιστιιμ. τότε ἔσπευσαν ἡγεμόνες Εδωμ 15
καὶ ἄρχοντες Μωαβιτῶν ἔλαβεν αὐτοὺς τρόμος ἐτάκησαν πάντες
οἱ κατοικοῦντες Χανααν. ἐπιπέσοι ἐπ᾽ αὐτοὺς φόβος καὶ τρό- 16
μος μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν ἕως ἂν παρέλθῃ ὁ
λαός σου κύριε ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος ὃν ἐκτήσω.
εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου εἰς 17
ἕτοιμον κατοικητήριόν σου ὃ κατειργάσω κύριε ἁγίασμα κύριε ὃ
ἡτοίμασαν αἱ χεῖρές σου. κύριος βασιλεύων τὸν αἰῶνα καὶ ἐπ᾽ 18
αἰῶνα καὶ ἔτι. ὅτι εἰσῆλθεν ἵππος Φαραω σὺν ἅρμασιν καὶ ἀ- 19
ναβάταις εἰς θάλασσαν καὶ ἐπήγαγεν ἐπ᾽ αὐτοὺς κύριος τὸ ὕδωρ
τῆς θαλάσσης οἱ δὲ υἱοὶ Ισραηλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ
τῆς θαλάσσης.

[ᾠδὴ Μωυσέως ἐν τῷ Δευτερονομίῳ] πρόσεχε οὐρανέ καὶ λα- **2**
λήσω καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. προσδοκάσθω 2
ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά
μου ὡσεὶ ὄμβρος ἐπ᾽ ἄγρωστιν καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον. ὅτι 3

---

**v.11** τίς[rqnms] ὅμοιος[annmsn] σύ[rpd-s] ἐν[pd] θεός[ndmpc] κύριος[nvmsc] τίς[rqnms] ὅμοιος[annmsn] σύ[rpd-s] δοξάζω[vpxpnms] ἐν[pd] ἅγιος[andnpn] θαυμαστός[annmsn] ἐν[pd] δόξα[ndfpc] ποιέω[vppanms] τέρας[nanpc]. **v.12** ἐκτείνω[viaa2s] ὁ[dafs] δεξιός[anafsn] σύ[rpg-s] καί[cc] καταπίνω[viaa3s] αὐτός[rpamp] ὁ[dnfs] γῆ[nnfsc]. **v.13** ὁδηγέω[viaa2s] ὁ[ddfs] δικαιοσύνη[ndfsc] σύ[rpgms] ὁ[dams] λαός[namsc] σύ[rpgms] οὗτος[rdams] ὅς[rrams] λυτρόω[viam2s] παρακαλέω[viaa2s] ὁ[ddfs] ἰσχύς[ndfsc] σύ[rpgms] εἰς[pa] κατάλυμα[nansc] ἅγιος[anansn] σύ[rpgms]. **v.14** ἀκούω[viaa3p] ἔθνος[nnnpc] καί[cc] ὀργίζω[viap3p] ὠδίν[nnfpc] λαμβάνω[viaa3p] κατοικέω[vppaamp] Φυλιστιιμ[nampp]. **v.15** τότε[b] σπεύδω[viaa3p] ἡγεμών[nnmpc] Εδωμ[ngmsp] καί[cc] ἄρχων[nnmpc] Μωαβίτης[ngmpp] λαμβάνω[viaa3s] αὐτός[rpamp] τρόμος[nnmsc] τήκω[viap3p] πᾶς[ainmpn] ὁ[dnmp] κατοικέω[vppanmp] Χανάαν[nafsp]. **v.16** ἐπιπίπτω[voaa3s] ἐπί[pa] αὐτός[rpamp] φόβος[nnmsc] καί[cc] τρόμος[nnmsc] μέγεθος[ndnsc] βραχίων[ngmsc] σύ[rpg-s] ἀπολιθόομαι[vdap3p] ἕως[pg] ἄν[x] παρέρχομαι[vsaa3s] ὁ[dnms] λαός[nnmsc] σύ[rpg-s] κύριος[nvmsc] ἕως[pg] ἄν[x] παρέρχομαι[vsaa3s] ὁ[dnms] λαός[nnmsc] σύ[rpg-s] οὗτος[rdnms] ὅς[rrams] κτάομαι[viam2s]. **v.17** εἰσάγω[vpaanms] καταφυτεύω[vdaa2s] αὐτός[rpamp] εἰς[pa] ὄρος[nansc] κληρονομία[ngfsc] σύ[rpg-s] εἰς[pa] ἕτοιμος[anansn] κατοικητήριον[nansc] σύ[rpg-s] ὅς[rrans] κατεργάζομαι[viam2s] κύριος[nvmsc] ἁγίασμα[nansc] κύριος[nvmsc] ὅς[rrans] ἑτοιμάζω[viaa3p] ὁ[dnfp] χείρ[nnfpc] σύ[rpg-s]. **v.18** κύριος[nnmsc] βασιλεύω[vppanms] ὁ[dams] αἰών[namsc] καί[cc] ἐπί[pa] αἰών[namsc] καί[cc] ἔτι[b]. **v.19** ὅτι[cs] εἰσέρχομαι[viaa3s] ἵππος[nnmsc] Φαραώ[ngmsp] σύν[pd] ἅρμα[ndnpc] καί[cc] ἀναβάτης[ndmpc] εἰς[pa] θάλασσα[nafsc] καί[cc] ἐπάγω[viaa3s] ἐπί[pa] αὐτός[rpamp] κύριος[nnmsc] ὁ[dans] ὕδωρ[nansc] ὁ[dgfs] θάλασσα[ngfsc] ὁ[dnmp] δέ[cc] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] πορεύομαι[viap3p] διά[pg] ξηρός[angfsn] ἐν[pd] μέσος[andnsn] ὁ[dgfs] θάλασσα[ngfsc]. **2. v.1** ᾠδή[nnfsc] Μωϋσῆς[ngmsp] ἐν[pd] ὁ[ddns] Δευτερονόμιον[ndnsp] προσέχω[vdpa2s] οὐρανός[nvmsc] καί[cc] λαλέω[vifa1s] καί[cc] ἀκούω[vdpa3s] γῆ[nnfsc] ῥῆμα[nanpc] ἐκ[pg] στόμα[ngnsc] ἐγώ[rpg-s]. **v.2** προσδοκάω[vdpm3s] ὡς[cs] ὑετός[nnmsc] ὁ[dnns] ἀπόφθεγμα[nnnsc] ἐγώ[rpg-s] καί[cc] καταβαίνω[vdaa3s] ὡς[cs] δρόσος[nnfsc] ὁ[dnnp] ῥῆμα[nnnpc] ἐγώ[rpg-s] ὡσεί[x] ὄμβρος[nnmsc] ἐπί[pa] ἄγρωστις[nafsc] καί[cc] ὡσεί[x] νιφετός[nnmsc] ἐπί[pa] χόρτος[namsc].

4 ὄνομα κυρίου ἐκάλεσα δότε μεγαλωσύνην τῷ θεῷ ἡμῶν. θεός
ἀληθινὰ τὰ ἔργα αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις θεὸς πι-
5 στός καὶ οὐκ ἔστιν ἀδικία δίκαιος καὶ ὅσιος κύριος. ἡμάρτοσαν
6 οὐκ αὐτῷ τέκνα μωμητά γενεὰ σκολιὰ καὶ διεστραμμένη. ταῦτα
κυρίῳ ἀνταποδίδοτε οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός οὐκ αὐτὸς
οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέν σε καὶ ἔκτισέν σε.
7 μνήσθητε ἡμέρας αἰῶνος σύνετε ἔτη γενεᾶς γενεῶν ἐπερώτησον
τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι τοὺς πρεσβυτέρους σου καὶ
8 ἐροῦσίν σοι. ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη ὡς διέσπειρεν υἱοὺς
9 Αδαμ ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ. καὶ ἐ-
γενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ιακωβ σχοίνισμα κληρονομίας
10 αὐτοῦ Ισραηλ. αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ ἐν δίψει καύμα-
τος ἐν ἀνύδρῳ ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύ-
11 λαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ. ὡς ἀετὸς σκεπάσαι νοσσιὰν
αὐτοῦ καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν διεὶς τὰς πτέρυγας
αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων
12 αὐτοῦ. κύριος μόνος ἦγεν αὐτούς καὶ οὐκ ἦν μετ᾽ αὐτῶν θεὸς
13 ἀλλότριος. ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς ἐψώμισεν
αὐτοὺς γενήματα ἀγρῶν ἐθήλασαν μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐκ
14 στερεᾶς πέτρας. βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέ-
ατος ἀρνῶν καὶ κριῶν υἱῶν ταύρων καὶ τράγων μετὰ στέατος νε-

---

**v.3** ὅτι[cs] ὄνομα[nansc] κύριος[ngmsc] καλέω[viaa1s] δίδωμι[vdaa2p] μεγαλωσύνη[nafsc] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p]. **v.4** θεός[nnmsc] ἀληθινός[annnpn] ὁ[dnnp] ἔργον[nnnpc] αὐτός[rpgms] καί[cc] πᾶς[ainfpn] ὁ[dnfp] ὁδός[nnfpc] αὐτός[rpgms] κρίσις[nnfsc] θεός[nnmsc] πιστός[annmsn] καί[cc] οὐ[b] εἰμί[vipa3s] ἀδικία[nnfsc] δίκαιος[annmsn] καί[cc] ὅσιος[annmsn] κύριος[nnmsc]. **v.5** ἁμαρτάνω[viaa3p] οὐ[b] αὐτός[rpdms] τέκνον[nnnpc] μωμητός[annnpn] γενεά[nnfsc] σκολιός[annfsn] καί[cc] διαστρέφω[vpxpnfs]. **v.6** οὗτος[rdanp] κύριος[ndmsc] ἀνταποδίδωμι[vipa2p] οὕτως[b] λαός[nnmsc] μωρός[annmsn] καί[cc] οὐχί[b] σοφός[annmsn] οὐ[b] αὐτός[rpnms] οὗτος[rdnms] σύ[rpg-s] πατήρ[nnmsc] κτάομαι[viam3s] σύ[rpa-s] καί[cc] ποιέω[viaa3s] σύ[rpa-s] καί[cc] κτίζω[viaa3s] σύ[rpa-s]. **v.7** μιμνῄσκομαι[vdap2p] ἡμέρα[nafpc] αἰών[ngmsc] συνίημι[vdaa2p] ἔτος[nanpc] γενεά[ngfsc] γενεά[ngfpc] ἐπερωτάω[vdaa2s] ὁ[dams] πατήρ[namsc] σύ[rpg-s] καί[cc] ἀναγγέλλω[vifa3s] σύ[rpd-s] ὁ[damp] πρεσβύτερος[anampc] σύ[rpg-s] καί[cc] λέγω[vifa3p] σύ[rpd-s]. **v.8** ὅτε[cs] διαμερίζω[viia3s] ὁ[dnms] ὕψιστος[annmsn] ἔθνος[nanpc] ὡς[cs] διασπείρω[viaa3s] υἱός[nampc] Ἀδάμ[ngmsp] ἵστημι[viaa3s] ὅριον[nanpc] ἔθνος[ngnpc] κατά[pa] ἀριθμός[namsc] ἄγγελος[ngmpc] θεός[ngmsc]. **v.9** καί[cc] γίνομαι[viap3s] μερίς[nnfsc] κύριος[ngmsc] λαός[nnmsc] αὐτός[rpgms] Ἰακώβ[nnmsp] σχοίνισμα[nnnsc] κληρονομία[ngfsc] αὐτός[rpgms] Ἰσραήλ[nnmsp]. **v.10** αὐταρκέω[viaa3s] αὐτός[rpams] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc] ἐν[pd] δίψος[ndnsc] καῦμα[ngnsc] ἐν[pd] ἄνυδρος[andfsn] κυκλόω[viaa3s] αὐτός[rpams] καί[cc] παιδεύω[viaa3s] αὐτός[rpams] καί[cc] διαφυλάσσω[viaa3s] αὐτός[rpams] ὡς[cs] κόρη[nafsc] ὀφθαλμός[ngmsc]. **v.11** ὡς[cs] ἀετός[nnmsc] σκεπάζω[voaa3s] νοσσία[nafsc] αὐτός[rpgms] καί[cc] ἐπί[pd] ὁ[ddmp] νεοσσός[ndmpc] αὐτός[rpgms] ἐπιποθέω[viaa3s] διΐημι[vpaanms] ὁ[dafp] πτέρυξ[nafpc] αὐτός[rpgms] δέχομαι[viam3s] αὐτός[rpamp] καί[cc] ἀναλαμβάνω[viaa3s] αὐτός[rpamp] ἐπί[pg] ὁ[dgnp] μετάφρενον[ngnpc] αὐτός[rpgms]. **v.12** κύριος[nnmsc] μόνος[annmsn] ἄγω[viia3s] αὐτός[rpamp] καί[cc] οὐ[b] εἰμί[viia3s] μετά[pg] αὐτός[rpgmp] θεός[nnmsc] ἀλλότριος[annmsn]. **v.13** ἀναβιβάζω[viaa3s] αὐτός[rpamp] ἐπί[pa] ὁ[dafs] ἰσχύς[nafsc] ὁ[dgfs] γῆ[ngfsc] ψωμίζω[viaa3s] αὐτός[rpamp] γένημα[nanpc] ἀγρός[ngmpc] θηλάζω[viaa3p] μέλι[nnnsc] ἐκ[pg] πέτρα[ngfsc] καί[cc] ἔλαιον[nnnsc] ἐκ[pg] στερεός[angfsn] πέτρα[ngfsc].

φρῶν πυροῦ καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον. καὶ ἔφαγεν Ιακωβ 15
καὶ ἐνεπλήσθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος ἐλιπάνθη ἐπα-
χύνθη ἐπλατύνθη καὶ ἐγκατέλιπεν θεὸν τὸν ποιήσαντα αὐτὸν καὶ
ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ. παρώξυνάν με ἐπ᾽ ἀλλοτρίοις 16
ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με. ἔθυσαν δαιμονίοις καὶ 17
οὐ θεῷ θεοῖς οἷς οὐκ ᾔδεισαν καινοὶ καὶ πρόσφατοι ἥκασιν οὓς
οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν. θεὸν τὸν γεννήσαντά σε ἐγκα- 18
τέλιπες καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε. καὶ εἶδεν κύριος 19
καὶ ἐζήλωσεν καὶ παρωξύνθη δι᾽ ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέ-
ρων. καὶ εἶπεν ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν καὶ δείξω 20
τί ἔσται αὐτοῖς ἐπ᾽ ἐσχάτων ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν υἱοί οἷς
οὐκ ἔστιν πίστις ἐν αὐτοῖς. αὐτοὶ παρεζήλωσάν με ἐπ᾽ οὐ θεῷ πα- 21
ρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ᾽
οὐκ ἔθνει ἐπ᾽ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. ὅτι πῦρ ἐκκέκαυ- 22
ται ἐκ τοῦ θυμοῦ μου καυθήσεται ἕως ᾅδου κάτω καταφάγεται
γῆν καὶ τὰ γενήματα αὐτῆς φλέξει θεμέλια ὀρέων. συνάξω εἰς 23
αὐτοὺς κακὰ καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς. τηκόμενοι 24
λιμῷ καὶ βρώσει ὀρνέων καὶ ὀπισθότονος ἀνίατος ὀδόντας θηρίων
ἐξαποστελῶ εἰς αὐτοὺς μετὰ θυμοῦ συρόντων ἐπὶ γῆς. ἔξωθεν 25
ἀτεκνώσει αὐτοὺς μάχαιρα καὶ ἐκ τῶν ταμιείων φόβος νεανίσκος

---

**v.14** βούτυρον[nansc] βοῦς[ngmpc] καί[cc] γάλα[nannsc] πρόβατον[ngnpc] μετά[pg] στέαρ[ngnsc] ἀρνός[ngmpc] καί[cc] κριός[ngmpc] υἱός[ngmpc] ταῦρος[ngmpc] καί[cc] τράγος[ngmpc] μετά[pg] στέαρ[ngnsc] νεφρός[ngmpc] πυρός[ngmsc] καί[cc] αἷμα[nansc] σταφυλή[ngfsc] πίνω[viaa3p] οἶνος[namsc]. **v.15** καί[cc] ἐσθίω[viaa3s] Ἰακώβ[nnmsp] καί[cc] ἐμπίπλημι[viap3s] καί[cc] ἀπολακτίζω[viaa3s] ὁ[dnms] ἀγαπάω[vpxpnms] λιπαίνω[viap3s] παχύνω[viap3s] πλατύνω[viap3s] καί[cc] ἐγκαταλείπω[viaa3s] θεός[namsc] ὁ[dams] ποιέω[vpaaams] αὐτός[rpams] καί[cc] ἀφίστημι[viaa3s] ἀπό[pg] θεός[ngmsc] σωτήρ[ngmsc] αὐτός[rpgms]. **v.16** παροξύνω[viaa3p] ἐγώ[rpa-s] ἐπί[pd] ἀλλότριος[andmpn] ἐν[pd] βδέλυγμα[ndnpc] αὐτός[rpgmp] ἐκπικραίνω[viaa3p] ἐγώ[rpa-s]. **v.17** θύω[viaa3p] δαιμόνιον[ndnpc] καί[cc] οὐ[b] θεός[ndmsc] θεός[ndmpc] ὅς[rrdmp] οὐ[b] οἶδα[viya3p] καινός[annmpn] καί[cc] πρόσφατος[annmpn] ἥκω[vixa3p] ὅς[rramp] οὐ[b] οἶδα[viya3p] ὁ[dnmp] πατήρ[nnmpc] αὐτός[rpgmp]. **v.18** θεός[namsc] ὁ[dams] γεννάω[vpaaams] σύ[rpa-s] ἐγκαταλείπω[viaa2s] καί[cc] ἐπιλανθάνομαι[viam2s] θεός[ngmsc] ὁ[dgms] τρέφω[vppagms] σύ[rpa-s]. **v.19** καί[cc] ὁράω[viaa3s] κύριος[nnmsc] καί[cc] ζηλόω[viaa3s] καί[cc] παροξύνω[viap3s] διά[pa] ὀργή[nafsc] υἱός[ngmpc] αὐτός[rpgms] καί[cc] θυγάτηρ[ngfpc]. **v.20** καί[cc] λέγω[viaa3s] ἀποστρέφω[vifa1s] ὁ[dans] πρόσωπον[nansc] ἐγώ[rpg-s] ἀπό[pg] αὐτός[rpgmp] καί[cc] δείκνυμι[vifa1s] τίς[rqans] εἰμί[vifm3s] αὐτός[rpdmp] ἐπί[pg] ἔσχατος[angnpn] ὅτι[cs] γενεά[nnfsc] ἐκστρέφω[vpxpnfs] εἰμί[vipa3s] υἱός[nnmpc] ὅς[rrdmp] οὐ[b] εἰμί[vipa3s] πίστις[nnfsc] ἐν[pd] αὐτός[rpdmp]. **v.21** αὐτός[rpnmp] παραζηλόω[viaa3p] ἐγώ[rpa-s] ἐπί[pd] οὐ[b] θεός[ndmsc] παροργίζω[viaa3p] ἐγώ[rpa-s] ἐν[pd] ὁ[ddnp] εἴδωλον[ndnpc] αὐτός[rpgmp] καί&ἐγώ[cc&rpn-s] παραζηλόω[vifa1s] αὐτός[rpamp] ἐπί[pd] οὐ[b] ἔθνος[ndnsc] ἐπί[pd] ἔθνος[ndnsc] ἀσύνετος[andnsn] παροργίζω[vifa1s] αὐτός[rpamp]. **v.22** ὅτι[cs] πῦρ[nnnsc] ἐκκαίω[vixp3s] ἐκ[pg] ὁ[dgms] θυμός[ngmsc] ἐγώ[rpg-s] καίω[vifp3s] ἕως[pg] ᾅδης[ngmsc] κάτω[b] κατεσθίω[vifm3s] γῆ[nafsc] καί[cc] ὁ[danp] γένημα[nanpc] αὐτός[rpgfs] φλέγω[vifa3s] θεμέλιον[nanpc] ὄρος[ngnpc]. **v.23** συνάγω[vifa1s] εἰς[pa] αὐτός[rpamp] κακός[ananpn] καί[cc] ὁ[danp] βέλος[nanpc] ἐγώ[rpg-s] συντελέω[vifa1s] εἰς[pa] αὐτός[rpamp]. **v.24** τήκω[vpppnmp] λιμός[ndmsc] καί[cc] βρῶσις[ndfsc] ὄρνεον[ngnpc] καί[cc] ὀπισθότονος[annmsn] ἀνίατος[annmsn] ὀδούς[nampc] θηρίον[ngnpc] ἐξαποστέλλω[vifa1s] εἰς[pa] αὐτός[rpamp] μετά[pg] θυμός[ngmsc] σύρω[vppagn’pvppagmp] ἐπί[pg] γῆ[ngfsc].

26 σὺν παρθένῳ θηλάζων μετὰ καθεστηκότος πρεσβυτέρου. εἶπα
διασπερῶ αὐτούς παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.
27 εἰ μὴ δι᾽ ὀργὴν ἐχθρῶν ἵνα μὴ μακροχρονίσωσιν καὶ ἵνα μὴ συνε-
πιθῶνται οἱ ὑπεναντίοι μὴ εἴπωσιν ἡ χεὶρ ἡμῶν ὑψηλή καὶ οὐχὶ
28 κύριος ἐποίησεν ταῦτα πάντα. ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐ-
29 στιν καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη. οὐκ ἐφρόνησαν συνιέναι
30 ταῦτα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον. πῶς διώξεται εἷς
χιλίους καὶ δύο μετακινήσουσιν μυριάδας εἰ μὴ ὁ θεὸς ἀπέδοτο
31 αὐτοὺς καὶ ὁ κύριος παρέδωκεν αὐτούς. οὐ γάρ εἰσιν οἱ θεοὶ αὐ-
32 τῶν ὡς ὁ θεὸς ἡμῶν οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι. ἐκ γὰρ ἀμπέλου
Σοδομων ἡ ἄμπελος αὐτῶν καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομορρας
33 ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς βότρυς πικρίας αὐτοῖς. θυ-
34 μὸς δρακόντων ὁ οἶνος αὐτῶν καὶ θυμὸς ἀσπίδων ἀνίατος. οὐκ
ἰδοὺ ταῦτα πάντα συνῆκται παρ᾽ ἐμοὶ καὶ ἐσφράγισται ἐν τοῖς θη-
35 σαυροῖς μου. ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω ἐν καιρῷ ὅταν
σφαλῇ ὁ ποὺς αὐτῶν ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν καὶ πάρε-
36 στιν ἕτοιμα ὑμῖν. ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοῖς
δούλοις αὐτοῦ παρακληθήσεται εἶδεν γὰρ αὐτοὺς παραλελυμέ-
37 νους καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους. καὶ εἶπεν
κύριος ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν ἐφ᾽ οἷς ἐπεποίθεισαν ἐπ᾽ αὐτοῖς.

**v.25** ἔξωθεν[b] ἀτεκνόω[vifa3s] αὐτός[rpamp] μάχαιρα[nnfsc] καί[cc] ἐκ[pg] ὁ[dgnp] ταμιεῖον[ngnpc] φόβος[nnmsc] νεανίσκος[nnmsc] σύν[pd] παρθένος[ndfsc] θηλάζω[vppanms] μετά[pg] καθίστημι[vpxagms] πρεσβύτερος[angmsc]. **v.26** λέγω[viaa1s] διασπείρω[vifa1s] αὐτός[rpamp] παύω[vifa1s] δή[x] ἐκ[pg] ἄνθρωπος[ngmpc] ὁ[dans] μνημόσυνον[nansc] αὐτός[rpgmp]. **v.27** εἰ[cs] μή[x] διά[pa] ὀργή[nafsc] ἐχθρός[angmpn] ἵνα[cs] μή[x] μακροχρονίζω[vsaa3p] καί[cc] ἵνα[cs] μή[x] συνεπιτίθημι[vsam3p] ὁ[dnmp] ὑπεναντίος[annmpn] μή[x] λέγω[vsaa3p] ὁ[dnfs] χείρ[nnfsc] ἐγώ[rpg-p] ὑψηλός[annfsn] καί[cc] οὐχί[b] κύριος[nnmsc] ποιέω[viaa3s] οὗτος[rdanp] πᾶς[aianpn]. **v.28** ὅτι[cs] ἔθνος[nnnsc] ἀπόλλυμι[vpxanns] βουλή[nafsc] εἰμί[vipa3s] καί[cc] οὐ[b] εἰμί[vipa3s] ἐν[pd] αὐτός[rpdmp] ἐπιστήμη[nnfsc]. **v.29** οὐ[b] φρονέω[viaa3p] συνίημι[vnpa] οὗτος[rdanp] καταδέχομαι[vdam3p] εἰς[pa] ὁ[dams] ἔπειμι-2[vppaams] χρόνος[namsc]. **v.30** πῶς[b] διώκω[vifm3s] εἷς[acnmsn] χίλιοι[acampn] καί[cc] δύο[ac—n] μετακινέω[vifa3p] μυριάς[nafpc] εἰ[cs] μή[x] ὁ[dnms] θεός[nnmsc] ἀποδίδωμι[viam3s] αὐτός[rpamp] καί[cc] ὁ[dnms] κύριος[nnmsc] παραδίδωμι[viaa3s] αὐτός[rpamp]. **v.31** οὐ[b] γάρ[cc] εἰμί[vipa3p] ὁ[dnmp] θεός[nnmpc] αὐτός[rpgmp] ὡς[cs] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] ὁ[dnmp] δέ[cc] ἐχθρός[annmpn] ἐγώ[rpg-p] ἀνόητος[annmpn]. **v.32** ἐκ[pg] γάρ[cc] ἄμπελος[ngfsc] Σόδομα[ngnpp] ὁ[dnfs] ἄμπελος[nnfsc] αὐτός[rpgmp] καί[cc] ὁ[dnfs] κληματίς[nnfsc] αὐτός[rpgmp] ἐκ[pg] Γόμορρα[ngfsp] ὁ[dnfs] σταφυλή[nnfsc] αὐτός[rpgmp] σταφυλή[nnfsc] χολή[ngfsc] βότρυς[nnmsc] πικρία[ngfsc] αὐτός[rpdmp]. **v.33** θυμός[nnmsc] δράκων[ngmpc] ὁ[dnms] οἶνος[nnmsc] αὐτός[rpgmp] καί[cc] θυμός[nnmsc] ἀσπίς[ngfpc] ἀνίατος[annmsn]. **v.34** οὐ[b] ἰδού[i] οὗτος[rdnnp] πᾶς[ainnpn] συνάγω[vixm3s] παρά[pd] ἐγώ[rpd-s] καί[cc] σφραγίζω[vixp3s] ἐν[pd] ὁ[ddmp] θησαυρός[ndmpc] ἐγώ[rpg-s]. **v.35** ἐν[pd] ἡμέρα[ndfsc] ἐκδίκησις[ngfsc] ἀνταποδίδωμι[vifa1s] ἐν[pd] καιρός[ndmsc] ὅταν[cs] σφάλλω[vsap3s] ὁ[dnms] πούς[nnmsc] αὐτός[rpgmp] ὅτι[cs] ἐγγύς[b] ἡμέρα[nnfsc] ἀπώλεια[ngfsc] αὐτός[rpgmp] καί[cc] πάρειμι[vipa3s] ἕτοιμος[annnpn] σύ[rpd-p]. **v.36** ὅτι[cs] κρίνω[vifa3s] κύριος[nnmsc] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] καί[cc] ἐπί[pd] ὁ[ddmp] δοῦλος[ndmpc] αὐτός[rpgms] παρακαλέω[vifp3s] ὁράω[viaa3s] γάρ[cc] αὐτός[rpamp] παραλύω[vpxpamp] καί[cc] ἐκλείπω[vpxaamp] ἐν[pd] ἐπαγωγή[ndfsc] καί[cc] παρίημι[vpxpamp]. **v.37** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ποῦ[b] εἰμί[vipa3p] ὁ[dnmp] θεός[nnmpc] αὐτός[rpgmp] ἐπί[pd] ὅς[rrdmp] πείθω[viya3p] ἐπί[pd] αὐτός[rpdmp].

ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε καὶ ἐπίνετε τὸν οἶνον τῶν 38
σπονδῶν αὐτῶν ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν καὶ γενη-
θήτωσαν ὑμῖν σκεπασταί. ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι καὶ οὐκ ἔστιν 39
θεὸς πλὴν ἐμοῦ ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω πατάξω κἀγὼ ἰ-
άσομαι καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου. ὅτι ἀρῶ 40
εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου καὶ ἐρῶ
ζῶ ἐγὼ εἰς τὸν αἰῶνα. ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν 41
μου καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου καὶ ἀνταποδώσω δίκην
τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσίν με ἀνταποδώσω. μεθύσω τὰ βέλη 42
μου ἀφ᾽ αἵματος καὶ ἡ μάχαιρά μου καταφάγεται κρέα ἀφ᾽ αἵμα-
τος τραυματιῶν καὶ αἰχμαλωσίας ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.
εὐφράνθητε οὐρανοί ἅμα αὐτῷ καὶ προσκυνησάτωσαν αὐτῷ πάν- 43
τες οἱ ἄγγελοι θεοῦ εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ καὶ
ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ
ἐκδικεῖται καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς καὶ
τοῖς μισοῦσιν ἀνταποδώσει καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ
λαοῦ αὐτοῦ.

[προσευχὴ Αννας μητρὸς Σαμουηλ] ἐστερεώθη ἡ καρδία μου **3**
ἐν κυρίῳ ὑψώθη κέρας μου ἐν θεῷ μου ἐπλατύνθη ἐπ᾽ ἐχθρούς
μου τὸ στόμα μου ηὐφράνθην ἐν σωτηρίᾳ σου. ὅτι οὐκ ἔστιν 2
ἅγιος ὡς κύριος καὶ οὐκ ἔστιν δίκαιος ὡς ὁ θεὸς ἡμῶν οὐκ ἔστιν

---

**v.38** ὅς[rrgmp] ὁ[dans] στέαρ[nansc] ὁ[dgfp] θυσία[ngfpc] αὐτός[rpgmp] ἐσθίω[viia2p] καί[cc] πίνω[viia2p] ὁ[dams] οἶνος[namsc] ὁ[dgfp] σπονδή[ngfpc] αὐτός[rpgmp] ἀνίστημι[vdaa3p] καί[cc] βοηθέω[vdaa3p] σύ[rpd-p] καί[cc] γίνομαι[vdap3p] σύ[rpd-p] σκεπαστής[nnmpc]. **v.39** ὁράω[vdaa2p] ὁράω[vdaa2p] ὅτι[cs] ἐγώ[rpn-s] εἰμί[vipa1s] καί[cc] οὐ[b] εἰμί[vipa3s] θεός[nnmsc] πλήν[pg] ἐγώ[rpg-s] ἐγώ[rpn-s] ἀποκτείνω[vifa1s] καί[cc] ζάω[vnpa] ποιέω[vifa1s] πατάσσω[vifa1s] καί&ἐγώ[cc&rpn-s] ἰάομαι[vifm1s] καί[cc] οὐ[b] εἰμί[vipa3s] ὅς[rrnms] ἐξαιρέω[vifm3s] ἐκ[pg] ὁ[dgfp] χείρ[ngfpc] ἐγώ[rpg-s]. **v.40** ὅτι[cs] αἴρω[vifa1s] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] ὁ[dafs] χείρ[nafsc] ἐγώ[rpg-s] καί[cc] ὄμνυμι[vifm1s] ὁ[ddfs] δεξιός[andfsn] ἐγώ[rpg-s] καί[cc] λέγω[vifa1s] ζάω[vipa1s] ἐγώ[rpn-s] εἰς[pa] ὁ[dams] αἰών[namsc]. **v.41** ὅτι[cs] παροξύνω[vifa1s] ὡς[cs] ἀστραπή[nafsc] ὁ[dafs] μάχαιρα[nafsc] ἐγώ[rpg-s] καί[cc] ἀντέχω[vifm3s] κρίμα[ngnsc] ὁ[dnfs] χείρ[nnfsc] ἐγώ[rpg-s] καί[cc] ἀνταποδίδωμι[vifa1s] δίκη[nafsc] ὁ[ddmp] ἐχθρός[andmpn] καί[cc] ὁ[ddmp] μισέω[vppadmp] ἐγώ[rpa-s] ἀνταποδίδωμι[vifa1s]. **v.42** μεθύσκω[vifa1s] ὁ[danp] βέλος[nanpc] ἐγώ[rpg-s] ἀπό[pg] αἷμα[ngnsc] καί[cc] ὁ[dnfs] μάχαιρα[nnfsc] ἐγώ[rpg-s] κατεσθίω[vifm3s] κρέας[nanpc] ἀπό[pg] αἷμα[ngnsc] τραυματίας[ngmpc] καί[cc] αἰχμαλωσία[ngfsc] ἀπό[pg] κεφαλή[ngfsc] ἄρχων[ngmpc] ἔθνος[ngnpc]. **v.43** εὐφραίνω[vdap2p] οὐρανός[nnmpc] ἅμα[pd] αὐτός[rpdms] καί[cc] προσκυνέω[vdaa3p] αὐτός[rpdms] πᾶς[ainmpn] ὁ[dnmp] ἄγγελος[nnmpc] θεός[ngmsc] εὐφραίνω[vdap2p] ἔθνος[nnnpc] μετά[pg] ὁ[dgms] λαός[ngmsc] αὐτός[rpgms] καί[cc] ἐνισχύω[vdaa3p] αὐτός[rpdms] πᾶς[ainmpn] υἱός[nnmpc] θεός[ngmsc] ὅτι[cs] ὁ[dnns] αἷμα[nnnsc] ὁ[dgmp] υἱός[ngmpc] αὐτός[rpgms] ἐκδικέω[vipp3s] καί[cc] ἐκδικέω[vifa3s] καί[cc] ἀνταποδίδωμι[vifa3s] δίκη[nafsc] ὁ[ddmp] ἐχθρός[andmpn] καί[cc] ὁ[ddmp] μισέω[vppadmp] ἀνταποδίδωμι[vifa3s] καί[cc] ἐκκαθαρίζω[vifa3s] κύριος[nnmsc] ὁ[dafs] γῆ[nafsc] ὁ[dgms] λαός[ngmsc] αὐτός[rpgms]. **3. v.1** προσευχή[nnfsc] Ἄννα[ngfsp] μήτηρ[ngfsc] Σαμουήλ[ngmsp] στερεόω[viap3s] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-s] ἐν[pd] κύριος[ndmsc] ὑψόω[viap3s] κέρας[nnnsc] ἐγώ[rpg-s] ἐν[pd] θεός[ndmsc] ἐγώ[rpg-s] πλατύνω[viap3s] ἐπί[pa] ἐχθρός[anampn] ἐγώ[rpg-s] ὁ[dnns] στόμα[nnnsc] ἐγώ[rpg-s] εὐφραίνω[viap1s] ἐν[pd] σωτηρία[ndfsc] σύ[rpg-s].

3 ἅγιος πλὴν σοῦ. μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλά μηδὲ ἐξελ-
θάτω μεγαλορημοσύνη ἐκ τοῦ στόματος ὑμῶν ὅτι θεὸς γνώσεων
4 κύριος καὶ θεὸς ἑτοιμάζον ἐπιτηδεύματα αὐτοῦ. τόξον δυνα-
5 τῶν ἠσθένησεν καὶ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. πλήρεις
ἄρτων ἠλαττώθησαν καὶ οἱ πεινῶντες παρῆκαν γῆν ὅτι στεῖρα ἔ-
6 τεκεν ἑπτά καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησεν. κύριος θανατοῖ
7 καὶ ζωογονεῖ κατάγει εἰς ᾅδου καὶ ἀνάγει. κύριος πτωχίζει καὶ
8 πλουτίζει ταπεινοῖ καὶ ἀνυψοῖ. ἀνιστᾷ ἀπὸ γῆς πένητα καὶ ἀπὸ
κοπρίας ἐγείρει πτωχὸν τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ
9 καὶ θρόνον δόξης κατακληρονομῶν αὐτοῖς. διδοὺς εὐχὴν τῷ
εὐχομένῳ καὶ εὐλόγησεν ἔτη δικαίου ὅτι οὐκ ἐν ἰσχύι δυνατὸς
10 ἀνήρ. κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ κύριος ἅγιος
μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ καὶ μὴ καυχάσθω ὁ
δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ
πλούτῳ αὐτοῦ ἀλλ᾽ ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος συνίειν
καὶ γινώσκειν τὸν κύριον καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν
μέσῳ τῆς γῆς κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν αὐτὸς
κρινεῖ ἄκρα γῆς δίκαιος ὢν καὶ δίδωσιν ἰσχὺν τοῖς βασιλεῦσιν
ἡμῶν καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ.
**4**, 2 προσευχὴ Αμβακουμ. κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ
ἐφοβήθην κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην ἐν μέσῳ δύο ζῴων

---

**v.2** ὅτι[cs] οὐ[b] εἰμί[vipa3s] ἅγιος[annmsn] ὡς[cs] κύριος[nnmsc] καί[cc] οὐ[b] εἰμί[vipa3s] δίκαιος[annmsn] ὡς[cs] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p] οὐ[b] εἰμί[vipa3s] ἅγιος[annmsn] πλήν[pg] σύ[rpg-s]. **v.3** μή[x] καυχάομαι[vdpm2p] καί[cc] μή[x] λαλέω[vdpa2p] ὑψηλός[ananpn] μηδέ[x] ἐξέρχομαι[vdap3s] μεγαλορρημοσύνη[nnfsc] ἐκ[pg] ὁ[dgns] στόμα[ngnsc] σύ[rpg-p] ὅτι[cs] θεός[nnmsc] γνῶσις[ngfpc] κύριος[nnmsc] καί[cc] θεός[nnmsc] ἑτοιμάζω[vppanns] ἐπιτήδευμα[nanpc] αὐτός[rpgms]. **v.4** τόξον[nansc] δυνατός[angmpn] ἀσθενέω[viaa3s] καί[cc] ἀσθενέω[vppanmp] περιζώννυμι[viam3p] δύναμις[nafsc]. **v.5** πλήρης[annmpn] ἄρτος[ngmpc] ἐλαττόω[viap3p] καί[cc] ὁ[dnmp] πεινάω[vppanmp] παρίημι[viaa3p] γῆ[nafsc] ὅτι[cs] στεῖρα[nnfsc] τίκτω[viaa3s] ἑπτά[ac—n] καί[cc] ὁ[dnfs] πολύς[annfsn] ἐν[pd] τέκνον[ndnpc] ἀσθενέω[viaa3s]. **v.6** κύριος[nnmsc] θανατόω[vipa3s] καί[cc] ζῳογονέω[vipa3s] κατάγω[vipa3s] εἰς[pa] ᾅδης[ngmsc] καί[cc] ἀνάγω[vipa3s]. **v.7** κύριος[nnmsc] πτωχίζω[vipa3s] καί[cc] πλουτίζω[vipa3s] ταπεινόω[vipa3s] καί[cc] ἀνυψόω[vipa3s]. **v.8** ἀνίστημι[vipa3s] ἀπό[pg] γῆ[ngfsc] πένης[namsc] καί[cc] ἀπό[pg] κοπρία[ngfsc] ἐγείρω[vipa3s] πτωχός[anamsn] ὁ[dgns] καθίζω[vnaa] αὐτός[rpams] μετά[pg] δυνάστης[ngmpc] λαός[ngmsc] καί[cc] θρόνος[namsc] δόξα[ngfsc] κατακληρονομέω[vppanms] αὐτός[rpdmp]. **v.9** δίδωμι[vppanms] εὐχή[nafsc] ὁ[ddms] εὔχομαι[vppmdms] καί[cc] εὐλογέω[viaa3s] ἔτος[nanpc] δίκαιος[angmsn] ὅτι[cs] οὐ[b] ἐν[pd] ἰσχύς[ndfsc] δυνατός[annmsn] ἀνήρ[nnmsc]. **v.10** κύριος[nnmsc] ἀσθενής[anamsn] ποιέω[vifa3s] ὁ[dams] ἀντίδικος[namsc] αὐτός[rpgms] κύριος[nnmsc] ἅγιος[annmsn] μή[x] καυχάομαι[vdpm3s] ὁ[dnms] σοφός[annmsn] ἐν[pd] ὁ[ddfs] σοφία[ndfsc] αὐτός[rpgms] καί[cc] μή[x] καυχάομαι[vdpm3s] ὁ[dnms] δυνατός[annmsn] ἐν[pd] ὁ[ddfs] δύναμις[ndfsc] αὐτός[rpgms] καί[cc] μή[x] καυχάομαι[vdpm3s] ὁ[dnms] πλούσιος[annmsn] ἐν[pd] ὁ[ddms] πλοῦτος[ndmsc] αὐτός[rpgms] ἀλλά[cc] ἤ[cc] ἐν[pd] οὗτος[rddns] καυχάομαι[vdpm3s] ὁ[dnms] καυχάομαι[vppanms] συνίημι[vnpa] καί[cc] γινώσκω[vnpa] ὁ[dams] κύριος[namsc] καί[cc] ποιέω[vnpa] κρίμα[nansc] καί[cc] δικαιοσύνη[nafsc] ἐν[pd] μέσος[andnsn] ὁ[dgfs] γῆ[ngfsc] κύριος[nnmsc] ἀναβαίνω[viaa3s] εἰς[pa] οὐρανός[nampc] καί[cc] βροντάω[viaa3s] αὐτός[rpnms] κρίνω[vifa3s] ἄκρος[ananpn] γῆ[ngfsc] δίκαιος[annmsn] εἰμί[vppanms] καί[cc] δίδωμι[vipa3s] ἰσχύς[nafsc] ὁ[ddmp] βασιλεύς[ndmpc] ἐγώ[rpg-p] καί[cc] ὑψόω[vifa3s] κέρας[nansc] χριστός[angmsn] αὐτός[rpgms]. **4. v.1** προσευχή[nnfsc] Αμβακουμ[ngmsp].

γνωσθήσῃ ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ ἐν τῷ παρεῖναι τὸν
καιρὸν ἀναδειχθήσῃ ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ
ἐλέους μνησθήσῃ. ὁ θεὸς ἐκ Θαιμαν ἥξει καὶ ὁ ἅγιος ἐξ ὄρους 3
Φαραν κατασκίου δασέως διάψαλμα ἐκάλυψεν οὐρανοὺς ἡ ἀρε-
τὴ αὐτοῦ καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. καὶ φέγγος αὐτοῦ ὡς 4
φῶς ἔσται κέρατα ἐν χερσὶν αὐτοῦ καὶ ἔθετο ἀγάπησιν κραταιὰν
ἰσχύος αὐτοῦ. πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος καὶ ἐξε- 5
λεύσεται ἐν πεδίλοις οἱ πόδες αὐτοῦ. ἔστη καὶ ἐσαλεύθη ἡ γῆ 6
ἐπέβλεψεν καὶ ἐτάκη ἔθνη διεθρύβη τὰ ὄρη βίᾳ ἐτάκησαν βουνοὶ
αἰώνιοι. πορείας αἰωνίους αὐτοῦ ἀντὶ κόπων εἶδον σκηνώματα 7
Αἰθιόπων πτοηθήσονται καὶ αἱ σκηναὶ γῆς Μαδιαμ. μὴ ἐν πο- 8
ταμοῖς ὠργίσθης κύριε ἢ ἐν ποταμοῖς ὁ θυμός σου ἢ ἐν θαλάσσῃ
τὸ ὅρμημά σου ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου καὶ ἡ ἱππασία
σου σωτηρία. ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα λέγει 9
κύριος διάψαλμα ποταμῶν ῥαγήσεται γῆ. ὄψονταί σε καὶ ὠδινή- 10
σουσιν λαοί σκορπίζων ὕδατα πορείας ἔδωκεν ἡ ἄβυσσος φωνὴν
αὐτῆς ὕψος φαντασίας αὐτῆς ἐπήρθη. ὁ ἥλιος καὶ ἡ σελήνη 11
ἔστη ἐν τῇ τάξει αὐτῆς εἰς φῶς βολίδες σου πορεύσονται εἰς φέγ-
γος ἀστραπῆς ὅπλων σου. ἐν ἀπειλῇ σου ὀλιγώσεις γῆν καὶ ἐν 12
θυμῷ κατάξεις ἔθνη. ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι 13

---

οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου ἢ ἐν κεκονιαμένοις μετὰ ἀδικίας καὶ
10 ἐν οἴκῳ κοινῷ. ψυχὴ ἀσεβοῦς οὐκ ἐλεηθήσεται ὑπ᾽ οὐδενὸς τῶν
11 ἀνθρώπων. ζημιουμένου ἀκολάστου πανουργότερος γίνεται ὁ
12 ἄκακος συνίων δὲ σοφὸς δέξεται γνῶσιν. συνίει δίκαιος καρ-
13 δίας ἀσεβῶν καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς. ὃς φράσσει τὰ ὦτα
τοῦ μὴ ἐπακοῦσαι ἀσθενοῦς καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔ-
14 σται ὁ εἰσακούων. δόσις λάθριος ἀνατρέπει ὀργάς δώρων δὲ ὁ
15 φειδόμενος θυμὸν ἐγείρει ἰσχυρόν. εὐφροσύνη δικαίων ποιεῖν
16 κρίμα ὅσιος δὲ ἀκάθαρτος παρὰ κακούργοις. ἀνὴρ πλανώμενος
17 ἐξ ὁδοῦ δικαιοσύνης ἐν συναγωγῇ γιγάντων ἀναπαύσεται. ἀνὴρ
ἐνδεὴς ἀγαπᾷ εὐφροσύνην φιλῶν οἶνον καὶ ἔλαιον εἰς πλοῦτον.
18, 19 περικάθαρμα δὲ δικαίου ἄνομος. κρεῖσσον οἰκεῖν ἐν γῇ ἐρήμῳ
20 ἢ μετὰ γυναικὸς μαχίμου καὶ γλωσσώδους καὶ ὀργίλου. θη-
σαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται ἐπὶ στόματος σοφοῦ ἄφρονες δὲ

---

**v.2** πᾶς[ainmsn] ἀνήρ[nnmsc] φαίνω[vipp3s] ἑαυτοῦ[rxdms] δίκαιος[annmsn] κατευθύνω[vipa3s] δέ[cc] καρδία[nafpc] κύριος[nnmsc]. **v.3** ποιέω[vnpa] δίκαιος[ananpn] καί[cc] ἀληθεύω[vnpa] ἀρεστός[annnpn] παρά[pd] θεός[ndmsc] μᾶλλον[b] ἤ[cc] θυσία[ngfpc] αἷμα[nnnsc]. **v.4** μεγαλόφρων[nnmsc] ἐπί[pd] ὕβρις[ndfsc] θρασυκάρδιος[annmsn] λαμπτήρ[nnmsc] δέ[cc] ἀσεβής[angmpn] ἁμαρτία[nnfsc]. **v.6** ὁ[dnms] ἐνεργέω[vppanms] θησαύρισμα[nanpc] γλῶσσα[ndfsc] ψευδής[andfsn] μάταιος[ananpn] διώκω[vipa3s] ἐπί[pa] παγίς[nafpc] θάνατος[ngmsc]. **v.7** ὄλεθρος[nnmsc] ἀσεβής[andmpn] ἐπιξενόομαι[vifp3s] οὐ[b] γάρ[cc] βούλομαι[vipm3p] πράσσω[vnpa] ὁ[danp] δίκαιος[ananpn]. **v.8** πρός[pa] ὁ[damp] σκολιός[anampn] σκολιός[anafpn] ὁδός[nafpc] ἀποστέλλω[vipa3s] ὁ[dnms] θεός[nnmsc] ἁγνός[annnpn] γάρ[cc] καί[cc] ὀρθός[annnpn] ὁ[dnnp] ἔργον[nnnpc] αὐτός[rpgms]. **v.9** ἀγαθός[annnsc] οἰκέω[vnpa] ἐπί[pg] γωνία[ngfsc] ὕπαιθρος[angfsn] ἤ[cc] ἐν[pd] κονιάω[vpxpdnp] μετά[pg] ἀδικία[ngfsc] καί[cc] ἐν[pd] οἶκος[ndmsc] κοινός[andmsn]. **v.10** ψυχή[nnfsc] ἀσεβής[angmsn] οὐ[b] ἐλεέω[vifp3s] ὑπό[pg] οὐδείς[rigms] ὁ[dgmp] ἄνθρωπος[ngmpc]. **v.11** ζημιόω[vpppgms] ἀκόλαστος[angmsn] πανοῦργος[annmsc] γίνομαι[vipm3s] ὁ[dnms] ἄκακος[annmsn] συνίημι[vppanms] δέ[cc] σοφός[annmsn] δέχομαι[vifm3s] γνῶσις[nafsc]. **v.12** συνίημι[vipa3s] δίκαιος[annmsn] καρδία[nafpc] ἀσεβής[angmpn] καί[cc] φαυλίζω[vipa3s] ἀσεβής[anampn] ἐν[pd] κακός[andnpn]. **v.13** ὅς[rrnms] φράσσω[vipa3s] ὁ[danp] οὖς[nanpc] ὁ[dgns] μή[x] ἐπακούω[vnaa] ἀσθενής[angmsn] καί[b] αὐτός[rpnms] ἐπικαλέω[vifm3s] καί[cc] οὐ[b] εἰμί[vifm3s] ὁ[dnms] εἰσακούω[vppanms]. **v.14** δόσις[nnfsc] λάθριος[annfsn] ἀνατρέπω[vipa3s] ὀργή[nafpc] δῶρον[ngnpc] δέ[cc] ὁ[dnms] φείδομαι[vppmnms] θυμός[namsc] ἐγείρω[vipa3s] ἰσχυρός[anamsn]. **v.15** εὐφροσύνη[nnfsc] δίκαιος[angmpn] ποιέω[vnpa] κρίμα[nansc] ὅσιος[annmsn] δέ[cc] ἀκάθαρτος[annmsn] παρά[pd] κακοῦργος[andmpn]. **v.16** ἀνήρ[nnmsc] πλανάω[vppmnms] ἐκ[pg] ὁδός[ngfsc] δικαιοσύνη[ngfsc] ἐν[pd] συναγωγή[ndfsc] γίγας[ngmpc] ἀναπαύω[vifm3s]. **v.17** ἀνήρ[nnmsc] ἐνδεής[annmsn] ἀγαπάω[vipa3s] εὐφροσύνη[nafsc] φιλέω[vppanms] οἶνος[namsc] καί[cc] ἔλαιον[nansc] εἰς[pa] πλοῦτος[namsc]. **v.18** περικάθαρμα[nnnsc] δέ[cc] δίκαιος[angmsn] ἄνομος[annmsn]. **v.19** ἀγαθός[annnsc] οἰκέω[vnpa] ἐν[pd] γῆ[ndfsc] ἔρημος[andfsn] ἤ[cc] μετά[pg] γυνή[ngfsc] μάχιμος[angfsn] καί[cc] γλωσσώδης[angfsn] καί[cc] ὀργίλος[angfsn].

ἄνδρες καταπίονται αὐτόν. ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης 21
εὑρήσει ζωὴν καὶ δόξαν. πόλεις ὀχυρὰς ἐπέβη σοφὸς καὶ κα- 22
θεῖλεν τὸ ὀχύρωμα ἐφ᾽ ᾧ ἐπεποίθεισαν οἱ ἀσεβεῖς. ὃς φυλάσσει 23
τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν
αὐτοῦ. θρασὺς καὶ αὐθάδης καὶ ἀλαζὼν λοιμὸς καλεῖται ὃς δὲ 24
μνησικακεῖ παράνομος. ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν οὐ 25
γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι. ἀσεβὴς ἐπιθυμεῖ 26
ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς ὁ δὲ δίκαιος ἐλεᾷ καὶ οἰκτίρει
ἀφειδῶς. θυσίαι ἀσεβῶν βδέλυγμα κυρίῳ καὶ γὰρ παρανόμως 27
προσφέρουσιν αὐτάς. μάρτυς ψευδὴς ἀπολεῖται ἀνὴρ δὲ ὑπή- 28
κοος φυλασσόμενος λαλήσει. ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται 29
προσώπῳ ὁ δὲ εὐθὴς αὐτὸς συνίει τὰς ὁδοὺς αὐτοῦ. οὐκ ἔστιν 30
σοφία οὐκ ἔστιν ἀνδρεία οὐκ ἔστιν βουλὴ πρὸς τὸν ἀσεβῆ. ἵππος 31
ἑτοιμάζεται εἰς ἡμέραν πολέμου παρὰ δὲ κυρίου ἡ βοήθεια.

αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς ὑπὲρ δὲ ἀργύριον **22**
καὶ χρυσίον χάρις ἀγαθή. πλούσιος καὶ πτωχὸς συνήντησαν 2
ἀλλήλοις ἀμφοτέρους δὲ ὁ κύριος ἐποίησεν. πανοῦργος ἰδὼν 3
πονηρὸν τιμωρούμενον κραταιῶς αὐτὸς παιδεύεται οἱ δὲ ἄφρο-
νες παρελθόντες ἐζημιώθησαν. γενεὰ σοφίας φόβος κυρίου καὶ 4
πλοῦτος καὶ δόξα καὶ ζωή. τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκο- 5

---

**v.20** θησαυρός[nnmsc] ἐπιθυμητός[annmsn] ἀναπαύω[vifm3s] ἐπί[pg] στόμα[ngnsc] σοφός[angmsn] ἄφρων[annmpn] δέ[cc] ἀνήρ[nnmpc] καταπίνω[vifm3p] αὐτός[rpams]. **v.21** ὁδός[nnfsc] δικαιοσύνη[ngfsc] καί[cc] ἐλεημοσύνη[ngfsc] εὑρίσκω[vifa3s] ζωή[nafsc] καί[cc] δόξα[nafsc]. **v.22** πόλις[nafpc] ὀχυρός[anafpn] ἐπιβαίνω[viaa3s] σοφός[annmsn] καί[cc] καθαιρέω[viaa3s] ὁ[dans] ὀχύρωμα[nansc] ἐπί[pd] ὅς[rrdns] πείθω[viya3p] ὁ[dnmp] ἀσεβής[annmpn]. **v.23** ὅς[rrnms] φυλάσσω[vipa3s] ὁ[dans] στόμα[nansc] αὐτός[rpgms] καί[cc] ὁ[dafs] γλῶσσα[nafsc] διατηρέω[vipa3s] ἐκ[pg] θλῖψις[ngfsc] ὁ[dafs] ψυχή[nafsc] αὐτός[rpgms]. **v.24** θρασύς[annmsn] καί[cc] αὐθάδης[annmsn] καί[cc] ἀλαζών[nnmsc] λοιμός[annmsn] καλέω[vipp3s] ὅς[rrnms] δέ[cc] μνησικακέω[vipa3s] παράνομος[annmsn]. **v.25** ἐπιθυμία[nnfpc] ὀκνηρός[anamsn] ἀποκτείνω[vipa3p] οὐ[b] γάρ[cc] προαιρέω[vipm3p] ὁ[dnfp] χείρ[nnfpc] αὐτός[rpgms] ποιέω[vnpa] τι-σριανς. **v.26** ἀσεβής[annmsn] ἐπιθυμέω[vipa3s] ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc] ἐπιθυμία[nafpc] κακός[anafpn] ὁ[dnms] δέ[cc] δίκαιος[annmsn] ἐλεάω[vipa3s] καί[cc] οἰκτίρω[vipa3s] ἀφειδῶς[b]. **v.27** θυσία[nnfpc] ἀσεβής[angmpn] βδέλυγμα[nnnsc] κύριος[ndmsc] καί[cc] γάρ[cc] παρανόμως[b] προσφέρω[vipa3p] αὐτός[rpafp]. **v.28** μάρτυς[nnmsc] ψευδής[annmsn] ἀπόλλυμι[vifm3s] ἀνήρ[nnmsc] δέ[cc] ὑπήκοος[annmsn] φυλάσσω[vppmnms] λαλέω[vifa3s]. **v.29** ἀσεβής[annmsn] ἀνήρ[nnmsc] ἀναιδῶς[b] ὑφίστημι[vipm3s] πρόσωπον[ndnsc] ὁ[dnms] δέ[cc] εὐθής[annmsn] αὐτός[rpnms] συνίημι[vipa3s] ὁ[dafp] ὁδός[nafpc] αὐτός[rpgms]. **v.30** οὐ[b] εἰμί[vipa3s] σοφία[nnfsc] οὐ[b] εἰμί[vipa3s] ἀνδρεία[nnfsc] οὐ[b] εἰμί[vipa3s] βουλή[nnfsc] πρός[pa] ὁ[dams] ἀσεβής[anamsn]. **v.31** ἵππος[nnmsc] ἑτοιμάζω[vipp3s] εἰς[pa] ἡμέρα[nafsc] πόλεμος[ngmsc] παρά[pg] δέ[cc] κύριος[ngmsc] ὁ[dnfs] βοήθεια[nnfsc]. **22.** **v.1** αἱρετός[annnsc] ὄνομα[nnnsc] καλός[annnsn] ἤ[cc] πλοῦτος[nnmsc] πολύς[annmsn] ὑπέρ[pa] δέ[cc] ἀργύριον[nansc] καί[cc] χρυσίον[nansc] χάρις[nnfsc] ἀγαθός[annfsn]. **v.2** πλούσιος[annmsn] καί[cc] πτωχός[annmsn] συναντάω[viaa3p] ἀλλήλων[redmp] ἀμφότεροι[adampn] δέ[cc] ὁ[dnms] κύριος[nnmsc] ποιέω[viaa3s]. **v.3** πανοῦργος[annmsn] ὁράω[vpaanms] πονηρός[anamsn] τιμωρέω[vpppams] κραταιῶς[b] αὐτός[rpnms] παιδεύω[vipp3s] ὁ[dnmp] δέ[cc] ἄφρων[annmpn] παρέρχομαι[vpaanmp] ζημιόω[viap3p]. **v.4** γενεά[nnfsc] σοφία[ngfsc] φόβος[nnmsc] κύριος[ngmsc] καί[cc] πλοῦτος[nnmsc] καί[cc] δόξα[nnfsc] καί[cc] ζωή[nnfsc].

7 λιαῖς ὁ δὲ φυλάσσων τὴν ἑαυτοῦ ψυχὴν ἀφέξεται αὐτῶν. πλού-
8 σιοι πτωχῶν ἄρξουσιν καὶ οἰκέται ἰδίοις δεσπόταις δανιοῦσιν. ὁ
σπείρων φαῦλα θερίσει κακά πληγὴν δὲ ἔργων αὐτοῦ συντελέσει
[1] ἄνδρα ἱλαρὸν καὶ δότην εὐλογεῖ ὁ θεός ματαιότητα δὲ ἔργων
9 αὐτοῦ συντελέσει. ὁ ἐλεῶν πτωχὸν αὐτὸς διατραφήσεται τῶν γὰρ
ἑαυτοῦ ἄρτων ἔδωκεν τῷ πτωχῷ [1] νίκην καὶ τιμὴν περιποιεῖται
10 ὁ δῶρα δούς τὴν μέντοι ψυχὴν ἀφαιρεῖται τῶν κεκτημένων. ἔκ-
βαλε ἐκ συνεδρίου λοιμόν καὶ συνεξελεύσεται αὐτῷ νεῖκος ὅταν
11 γὰρ καθίσῃ ἐν συνεδρίῳ πάντας ἀτιμάζει. ἀγαπᾷ κύριος ὁσίας
καρδίας δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι χείλεσιν ποιμαίνει βα-
12 σιλεύς. οἱ δὲ ὀφθαλμοὶ κυρίου διατηροῦσιν αἴσθησιν φαυλίζει
13 δὲ λόγους παράνομος. προφασίζεται καὶ λέγει ὀκνηρός λέων ἐν
14 ταῖς ὁδοῖς ἐν δὲ ταῖς πλατείαις φονευταί. βόθρος βαθὺς στόμα
παρανόμου ὁ δὲ μισηθεὶς ὑπὸ κυρίου ἐμπεσεῖται εἰς αὐτόν [1]
εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρός καὶ οὐκ ἀγαπᾷ τοῦ ἀποστρέ-
ψαι ἀπ᾽ αὐτῶν ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδοῦ σκολιᾶς καὶ κακῆς.
15 ἄνοια ἐξῆπται καρδίας νέου ῥάβδος δὲ καὶ παιδεία μακρὰν ἀπ᾽
16 αὐτοῦ. ὁ συκοφαντῶν πένητα πολλὰ ποιεῖ τὰ ἑαυτοῦ δίδωσιν δὲ
17 πλουσίῳ ἐπ᾽ ἐλάσσονι. λόγοις σοφῶν παράβαλλε σὸν οὖς καὶ ἄ-
κουε ἐμὸν λόγον τὴν δὲ σὴν καρδίαν ἐπίστησον ἵνα γνῷς ὅτι καλοί

---

**v.5** τρίβολος[nnmpc] καί[cc] παγίς[nnfpc] ἐν[pd] ὁδός[ndfpc] σκολιός[andfpn] ὁ[dnms] δέ[cc] φυλάσσω[vppanms] ὁ[dafs] ἑαυτοῦ[rxgms] ψυχή[nafsc] ἀπέχω[vifm3s] αὐτός[rpgmp]. **v.7** πλούσιος[annmpn] πτωχός[angmpn] ἄρχω[vifa3p] καί[cc] οἰκέτης[nnmpc] ἴδιος[andmpn] δεσπότης[ndmpc] δανείζω[vifa3p]. **v.8** ὁ[dnms] σπείρω[vppanms] φαῦλος[ananpn] θερίζω[vifa3s] κακός[ananpn] πληγή[nafsc] δέ[cc] ἔργον[ngnpc] αὐτός[rpgms] συντελέω[vifa3s] [1][1] ἀνήρ[namsc] ἱλαρός[anamsn] καί[cc] δότης[namsc] εὐλογέω[vipa3s] ὁ[dnms] θεός[nnmsc] ματαιότης[nafsc] δέ[cc] ἔργον[ngnpc] αὐτός[rpgms] συντελέω[vifa3s]. **v.9** ὁ[dnms] ἐλεέω[vppanms] πτωχός[anamsn] αὐτός[rpnms] διατρέφω[vifp3s] ὁ[dgmp] γάρ[cc] ἑαυτοῦ[rxgms] ἄρτος[ngmpc] δίδωμι[viaa3s] ὁ[ddms] πτωχός[andmsn] [1][1] νίκη[nafsc] καί[cc] τιμή[nafsc] περιποιέω[vipm3s] ὁ[dnms] δῶρον[nanpc] δίδωμι[vpaanms] ὁ[dafs] μέντοι[x] ψυχή[nafsc] ἀφαιρέω[vipm3s] ὁ[dgmp] κτάομαι[vpxmgmp]. **v.10** ἐκβάλλω[vdaa2s] ἐκ[pg] συνέδριον[ngnsc] λοιμός[anams'nnamsc] καί[cc] συνεξέρχομαι[vifm3s] αὐτός[rpdms] νεῖκος[nnnsc] ὅταν[cs] γάρ[cc] καθίζω[vsaa3s] ἐν[pd] συνέδριον[ndnsc] πᾶς[aiampn] ἀτιμάζω[vipa3s]. **v.11** ἀγαπάω[vipa3s] κύριος[nnmsc] ὅσιος[anafpn] καρδία[nafpc] δεκτός[annmpn] δέ[cc] αὐτός[rpdms] πᾶς[ainmpn] ἄμωμος[annmpn] χεῖλος[ndnpc] ποιμαίνω[vipa3s] βασιλεύς[nnmsc]. **v.12** ὁ[dnmp] δέ[cc] ὀφθαλμός[nnmpc] κύριος[ngmsc] διατηρέω[vipa3p] αἴσθησις[nafsc] φαυλίζω[vipa3s] δέ[cc] λόγος[nampc] παράνομος[annmsn]. **v.13** προφασίζομαι[vipm3s] καί[cc] λέγω[vipa3s] ὀκνηρός[annmsn] λέων[nnmsc] ἐν[pd] ὁ[ddfp] ὁδός[ndfpc] ἐν[pd] δέ[cc] ὁ[ddfp] πλατύς[andfpn] φονευτής[nnmpc]. **v.14** βόθρος[nnmsc] βαθύς[annmsn] στόμα[nnnsc] παράνομος[angmsn] ὁ[dnms] δέ[cc] μισέω[vpapnms] ὑπό[pg] κύριος[ngmsc] ἐμπίπτω[vifm3s] εἰς[pa] αὐτός[rpams] [1][1] εἰμί[vipa3p] ὁδός[nnfpc] κακός[annfpn] ἐνώπιον[pg] ἀνήρ[ngmsc] καί[cc] οὐ[b] ἀγαπάω[vipa3s] ὁ[dgns] ἀποστρέφω[vnaa] ἀπό[pg] αὐτός[rpgmp] ἀποστρέφω[vnpa] δέ[cc] δεῖ[vipa3s] ἀπό[pg] ὁδός[ngfsc] σκολιός[angfsn] καί[cc] κακός[angfsn]. **v.15** ἄνοια[nnfsc] ἐξάπτω[vixp3s] καρδία[ngfsc] νέος[angmsn] ῥάβδος[nnfsc] δέ[cc] καί[cc] παιδεία[nnfsc] μακράν[b] ἀπό[pg] αὐτός[rpgms]. **v.16** ὁ[dnms] συκοφαντέω[vppanms] πένης[namsc] πολύς[ananpn] ποιέω[vipa3s] ὁ[danp] ἑαυτοῦ[rxgms] δίδωμι[vipa3s] δέ[cc] πλούσιος[andmsn] ἐπί[pd] ἐλαχύς[andmsc].

εἰσιν. καὶ ἐὰν ἐμβάλῃς αὐτοὺς εἰς τὴν καρδίαν σου εὐφρανοῦσίν 18
σε ἅμα ἐπὶ σοῖς χείλεσιν. ἵνα σου γένηται ἐπὶ κύριον ἡ ἐλπὶς καὶ 19
γνωρίσῃ σοι τὴν ὁδὸν αὐτοῦ. καὶ σὺ δὲ ἀπόγραψαι αὐτὰ σεαυτῷ 20
τρισσῶς εἰς βουλὴν καὶ γνῶσιν ἐπὶ τὸ πλάτος τῆς καρδίας σου.
διδάσκω οὖν σε ἀληθῆ λόγον καὶ γνῶσιν ἀγαθὴν ὑπακούειν τοῦ 21
ἀποκρίνεσθαι λόγους ἀληθείας τοῖς προβαλλομένοις σοι. μὴ ἀ- 22
ποβιάζου πένητα πτωχὸς γάρ ἐστιν καὶ μὴ ἀτιμάσῃς ἀσθενῆ ἐν
πύλαις. ὁ γὰρ κύριος κρινεῖ αὐτοῦ τὴν κρίσιν καὶ ῥύσῃ σὴν ἄ- 23
συλον ψυχήν. μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει φίλῳ δὲ ὀργίλῳ μὴ 24
συναυλίζου. μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ καὶ λάβῃς βρόχους 25
τῇ σῇ ψυχῇ. μὴ δίδου σεαυτὸν εἰς ἐγγύην αἰσχυνόμενος πρό- 26
σωπον. ἐὰν γὰρ μὴ ἔχῃς πόθεν ἀποτείσῃς λήμψονται τὸ στρῶμα 27
τὸ ὑπὸ τὰς πλευράς σου. μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ 28
πατέρες σου. ὁρατικὸν ἄνδρα καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ 29
βασιλεῦσι δεῖ παρεστάναι καὶ μὴ παρεστάναι ἀνδράσι νωθροῖς.
ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυναστῶν νοητῶς νόει τὰ **23**
παρατιθέμενά σοι. καὶ ἐπίβαλλε τὴν χεῖρά σου εἰδὼς ὅτι τοιαῦτά 2
σε δεῖ παρασκευάσαι. εἰ δὲ ἀπληστότερος εἶ μὴ ἐπιθύμει τῶν 3
ἐδεσμάτων αὐτοῦ ταῦτα γὰρ ἔχεται ζωῆς ψευδοῦς. μὴ παρεκτεί- 4

---

**v.17** λόγος[ndmpc] σοφός[angmpn] παραβάλλω[vdpa2s] σός[asansn] οὖς[nansc] καί[cc] ἀκούω[vdpa2s] ἐμός[asamsn] λόγος[namsc] ὁ[dafs] δέ[cc] σός[asafsn] καρδία[nafsc] ἐφίστημι[vdaa2s] ἵνα[cs] γινώσκω[vsaa2s] ὅτι[cs] καλός[annmpn] εἰμί[vipa3p]. **v.18** καί[cc] ἐάν[cs] ἐμβάλλω[vsaa2s] αὐτός[rpamp] εἰς[pa] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] εὐφραίνω[vifa3p] σύ[rpa-s] ἅμα[b] ἐπί[pd] σός[asdnpn] χεῖλος[ndnpc]. **v.19** ἵνα[cs] σύ[rpg-s] γίνομαι[vsam3s] ἐπί[pa] κύριος[namsc] ὁ[dnfs] ἐλπίς[nnfsc] καί[cc] γνωρίζω[vsaa3s] σύ[rpd-s] ὁ[dafs] ὁδός[nafsc] αὐτός[rpgms]. **v.20** καί[b] σύ[rpn-s] δέ[cc] ἀπογράφω[vdam2s] αὐτός[rpanp] σεαυτοῦ[rxdms] τρισσῶς[b] εἰς[pa] βουλή[nafsc] καί[cc] γνῶσις[nafsc] ἐπί[pa] ὁ[dans] πλάτος[nansc] ὁ[dgfs] καρδία[ngfsc] σύ[rpg-s]. **v.21** διδάσκω[vipa1s] οὖν[cc] σύ[rpa-s] ἀληθής[anamsn] λόγος[namsc] καί[cc] γνῶσις[nafsc] ἀγαθός[anafsn] ὑπακούω[vnpa] ὁ[dgns] ἀποκρίνομαι[vnpm] λόγος[nampc] ἀλήθεια[ngfsc] ὁ[ddmp] προβάλλω[vppmdmp] σύ[rpd-s]. **v.22** μή[x] ἀποβιάζομαι[vdpm2s] πένης[namsc] πτωχός[annmsn] γάρ[cc] εἰμί[vipa3s] καί[cc] μή[x] ἀτιμάζω[vsaa2s] ἀσθενής[anamsn] ἐν[pd] πύλη[ndfpc]. **v.23** ὁ[dnms] γάρ[cc] κύριος[nnmsc] κρίνω[vifa3s] αὐτός[rpgms] ὁ[dafs] κρίσις[nafsc] καί[cc] ῥύομαι[vifm2s] σός[asafsn] ἄσυλος[anafsn] ψυχή[nafsc]. **v.24** μή[x] εἰμί[vdpa2s] ἑταῖρος[nnmsc] ἀνήρ[ndmsc] θυμώδης[andmsn] φίλος[andmsn] δέ[cc] ὀργίλος[andmsn] μή[x] συναυλίζομαι[vdpm2s]. **v.25** μήποτε[cs] μανθάνω[vsaa2s] ὁ[dgfp] ὁδός[ngfpc] αὐτός[rpgms] καί[cc] λαμβάνω[vsaa2s] βρόχος[nampc] ὁ[ddfs] σός[asdfsn] ψυχή[ndfsc]. **v.26** μή[x] δίδωμι[vdpa2s] σεαυτοῦ[rxams] εἰς[pa] ἐγγύη[nafsc] αἰσχύνω[vppmnms] πρόσωπον[nansc]. **v.27** ἐάν[cs] γάρ[cc] μή[x] ἔχω[vspa2s] πόθεν[b] ἀποτίνω[vsaa2s] λαμβάνω[vifm3p] ὁ[dans] στρῶμα[nansc] ὁ[dans] ὑπό[pa] ὁ[dafp] πλευρά[nafpc] σύ[rpg-s]. **v.28** μή[x] μεταίρω[vdpa2s] ὅριον[nanpc] αἰώνιος[ananpn] ὅς[rranp] τίθημι[viam3p] ὁ[dnmp] πατήρ[nnmpc] σύ[rpg-s]. **v.29** ὁρατικός[anamsn] ἀνήρ[namsc] καί[cc] ὀξύς[anamsn] ἐν[pd] ὁ[ddnp] ἔργον[ndnpc] αὐτός[rpgms] βασιλεύς[ndmpc] δεῖ[vipa3s] παρίστημι[vnxa] καί[cc] μή[x] παρίστημι[vnxa] ἀνήρ[ndmpc] νωθρός[andmpn]. **23. v.1** ἐάν[cs] καθίζω[vsaa2s] δειπνέω[vnpa] ἐπί[pg] τράπεζα[ngfsc] δυνάστης[ngmpc] νοητῶς[b] νοέω[vdpa2s] ὁ[danp] παρατίθημι[vpppanp] σύ[rpd-s]. **v.2** καί[cc] ἐπιβάλλω[vdpa2s] ὁ[dafs] χείρ[nafsc] σύ[rpg-s] οἶδα[vpxanms] ὅτι[cs] τοιοῦτος[adanpn] σύ[rpa-s] δεῖ[vipa3s] παρασκευάζω[vnaa]. **v.3** εἰ[cs] δέ[cc] ἄπληστος[annmsc] εἰμί[vipa2s] μή[x] ἐπιθυμέω[vdpa2s] ὁ[dgnp] ἔδεσμα[ngnpc] αὐτός[rpgms] οὗτος[rdnnp] γάρ[cc] ἔχω[vipm3s] ζωή[ngfsc] ψευδής[angfsn].

5 νου πένης ὢν πλουσίῳ τῇ δὲ σῇ ἐννοίᾳ ἀπόσχου. ἐὰν ἐπιστήσῃς
τὸ σὸν ὄμμα πρὸς αὐτόν οὐδαμοῦ φανεῖται κατεσκεύασται γὰρ
αὐτῷ πτέρυγες ὥσπερ ἀετοῦ καὶ ὑποστρέφει εἰς τὸν οἶκον τοῦ
6 προεστηκότος αὐτοῦ. μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ μηδὲ ἐπι-
7 θύμει τῶν βρωμάτων αὐτοῦ. ὃν τρόπον γὰρ εἴ τις καταπίοι τρίχα
8 οὕτως ἐσθίει καὶ πίνει. μηδὲ πρὸς σὲ εἰσαγάγῃς αὐτὸν καὶ φά-
γῃς τὸν ψωμόν σου μετ᾽ αὐτοῦ ἐξεμέσει γὰρ αὐτὸν καὶ λυμανεῖται
9 τοὺς λόγους σου τοὺς καλούς. εἰς ὦτα ἄφρονος μηδὲν λέγε μή-
10 ποτε μυκτηρίσῃ τοὺς συνετοὺς λόγους σου. μὴ μεταθῇς ὅρια
11 αἰώνια εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς. ὁ γὰρ λυτρούμενος
αὐτοὺς κύριος κραταιός ἐστιν καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ
12 σοῦ. δὸς εἰς παιδείαν τὴν καρδίαν σου τὰ δὲ ὦτά σου ἑτοίμασον
13 λόγοις αἰσθήσεως. μὴ ἀπόσχῃ νήπιον παιδεύειν ὅτι ἐὰν πατάξῃς
14 αὐτὸν ῥάβδῳ οὐ μὴ ἀποθάνῃ. σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ
15 τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ. υἱέ ἐὰν σοφὴ γένηταί σου
16 ἡ καρδία εὐφρανεῖς καὶ τὴν ἐμὴν καρδίαν. καὶ ἐνδιατρίψει λό-
17 γοις τὰ σὰ χείλη πρὸς τὰ ἐμὰ χείλη ἐὰν ὀρθὰ ὦσιν. μὴ ζηλούτω ἡ
καρδία σου ἁμαρτωλούς ἀλλὰ ἐν φόβῳ κυρίου ἴσθι ὅλην τὴν ἡμέ-
18 ραν. ἐὰν γὰρ τηρήσῃς αὐτά ἔσται σοι ἔκγονα ἡ δὲ ἐλπίς σου οὐκ
19 ἀποστήσεται. ἄκουε υἱέ καὶ σοφὸς γίνου καὶ κατεύθυνε ἐννοίας

---

**v.4** μή[x] παρεκτείνω[vdpm2s] πένης[nnmsc] εἰμί[vppanms] πλούσιος[andmsn] ὁ[ddfs] δέ[cc] σός[asdfsn] ἔννοια[ndfsc] ἀπέχω[vdam2s]. **v.5** ἐάν[cs] ἐφίστημι[vsaa2s] ὁ[dans] σός[asansn] ὄμμα[nansc] πρός[pa] αὐτός[rpams] οὐδαμοῦ[b] φαίνω[vifm3s] κατασκευάζω[vixp3s] γάρ[cc] αὐτός[rpdms] πτέρυξ[nnfpc] ὥσπερ[cs] ἀετός[ngmsc] καί[cc] ὑποστρέφω[vipa3s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] ὁ[dgms] προΐστημι[vpxagms] αὐτός[rpgms]. **v.6** μή[x] συνδειπνέω[vdpa2s] ἀνήρ[ndmsc] βάσκανος[andmsn] μηδέ[x] ἐπιθυμέω[vdpa2s] ὁ[dgnp] βρῶμα[ngnpc] αὐτός[rpgms]. **v.7** ὅς[rrams] τρόπος[namsc] γάρ[cc] εἰ[cs] τι-οριναμς καταπίνω[voaa3s] θρίξ[nafsc] οὕτως[b] ἐσθίω[vipa3s] καί[cc] πίνω[vipa3s]. **v.8** μηδέ[x] πρός[pa] σύ[rpa-s] εἰσάγω[vsaa2s] αὐτός[rpams] καί[cc] ἐσθίω[vsaa2s] ὁ[dams] ψωμός[namsc] σύ[rpg-s] μετά[pg] αὐτός[rpgms] ἐξεμέω[vifa3s] γάρ[cc] αὐτός[rpams] καί[cc] λυμαίνω[vifm3s] ὁ[damp] λόγος[nampc] σύ[rpg-s] ὁ[damp] καλός[anampn]. **v.9** εἰς[pa] οὖς[nanpc] ἄφρων[angmsn] μηδείς[rians] λέγω[vdpa2s] μήποτε[cs] μυκτηρίζω[vsaa3s] ὁ[damp] συνετός[anampn] λόγος[nampc] σύ[rpg-s]. **v.10** μή[x] μετατίθημι[vspa2s] ὅριον[nanpc] αἰώνιος[ananpn] εἰς[pa] δέ[cc] κτῆμα[nansc] ὀρφανός[angmpn] μή[x] εἰσέρχομαι[vsaa2s]. **v.11** ὁ[dnms] γάρ[cc] λυτρόω[vppmnms] αὐτός[rpamp] κύριος[nnmsc] κραταιός[annmsn] εἰμί[vipa3s] καί[cc] κρίνω[vifa3s] ὁ[dafs] κρίσις[nafsc] αὐτός[rpgmp] μετά[pg] σύ[rpg-s]. **v.12** δίδωμι[vdaa2s] εἰς[pa] παιδεία[nafsc] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] ὁ[danp] δέ[cc] οὖς[nanpc] σύ[rpg-s] ἑτοιμάζω[vdaa2s] λόγος[ndmpc] αἴσθησις[ngfsc]. **v.13** μή[x] ἀπέχω[vsaa3s] νήπιος[anamsn] παιδεύω[vnpa] ὅτι[cs] ἐάν[cs] πατάσσω[vsaa2s] αὐτός[rpams] ῥάβδος[ndfsc] οὐ[b] μή[x] ἀποθνῄσκω[vsaa3s]. **v.14** σύ[rpn-s] μέν[x] γάρ[cc] πατάσσω[vifa2s] αὐτός[rpams] ῥάβδος[ndfsc] ὁ[dafs] δέ[cc] ψυχή[nafsc] αὐτός[rpgms] ἐκ[pg] θάνατος[ngmsc] ῥύομαι[vifm2s]. **v.15** υἱός[nvmsc] ἐάν[cs] σοφός[annfsn] γίνομαι[vsam3s] σύ[rpg-s] ὁ[dnfs] καρδία[nnfsc] εὐφραίνω[vifa2s] καί[b] ὁ[dafs] ἐμός[asafsn] καρδία[nafsc]. **v.16** καί[cc] ἐνδιατρίβω[vifa3s] λόγος[ndmpc] ὁ[dnnp] σός[asnnpn] χεῖλος[nnnpc] πρός[pa] ὁ[danp] ἐμός[asanpn] χεῖλος[nanpc] ἐάν[cs] ὀρθός[annnpn] εἰμί[vspa3p]. **v.17** μή[x] ζηλόω[vdpa3s] ὁ[dnfs] καρδία[nnfsc] σύ[rpg-s] ἁμαρτωλός[anampn] ἀλλά[cc] ἐν[pd] φόβος[ndmsc] κύριος[ngmsc] εἰμί[vdpa2s] ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc]. **v.18** ἐάν[cs] γάρ[cc] τηρέω[vsaa2s] αὐτός[rpanp] εἰμί[vifm3s] σύ[rpd-s] ἔκγονος[annnpn] ὁ[dnfs] δέ[cc] ἐλπίς[nnfsc] σύ[rpg-s] οὐ[b] ἀφίστημι[vifm3s].

σῆς καρδίας. μὴ ἴσθι οἰνοπότης μηδὲ ἐκτείνου συμβολαῖς κρε- 20
ῶν τε ἀγορασμοῖς. πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει 21
καὶ ἐνδύσεται διερρηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης. ἄκουε 22
υἱέ πατρὸς τοῦ γεννήσαντός σε καὶ μὴ καταφρόνει ὅτι γεγήρακέν
σου ἡ μήτηρ. καλῶς ἐκτρέφει πατὴρ δίκαιος ἐπὶ δὲ υἱῷ σοφῷ 24
εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ. εὐφραινέσθω ὁ πατὴρ καὶ ἡ μή- 25
τηρ ἐπὶ σοί καὶ χαιρέτω ἡ τεκοῦσά σε. δός μοι υἱέ σὴν καρδίαν 26
οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τηρείτωσαν. πίθος γὰρ τετρη- 27
μένος ἐστὶν ἀλλότριος οἶκος καὶ φρέαρ στενὸν ἀλλότριον. οὗτος 28
γὰρ συντόμως ἀπολεῖται καὶ πᾶς παράνομος ἀναλωθήσεται. τίνι 29
οὐαί τίνι θόρυβος τίνι κρίσις τίνι ἀηδίαι καὶ λέσχαι τίνι συντρίμ-
ματα διὰ κενῆς τίνος πέλειοι οἱ ὀφθαλμοί. οὐ τῶν ἐγχρονιζόντων 30
ἐν οἴνοις οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται. μὴ μεθύσκεσθε 31
οἴνῳ ἀλλὰ ὁμιλεῖτε ἀνθρώποις δικαίοις καὶ ὁμιλεῖτε ἐν περιπά-
τοις ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς
σου ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου. τὸ δὲ ἔσχατον 32
ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται καὶ ὥσπερ ὑπὸ κεράστου
διαχεῖται αὐτῷ ὁ ἰός. οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν τὸ 33
στόμα σου τότε λαλήσει σκολιά. καὶ κατακείσῃ ὥσπερ ἐν καρ- 34
δίᾳ θαλάσσης καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι. ἐρεῖς 35

---

**v.19** ἀκούω[vdpa2s] υἱός[nvmsc] καί[cc] σοφός[annmsn] γίνομαι[vdpm2s] καί[cc] κατευθύνω[vdpa2s] ἔννοια[nafpc] σός[asgfsn] καρδία[ngfsc]. **v.20** μή[x] εἰμί[vdpa2s] οἰνοπότης[nnnsc] μηδέ[x] ἐκτείνω[vdpm2s] συμβολή[ndfpc] κρέας[ngnpc] τέ[cc] ἀγορασμός[ndmpc]. **v.21** πᾶς[ainmsn] γάρ[cc] μέθυσος[annmsn] καί[cc] πορνοκόπος[annmsn] πτωχεύω[vifa3s] καί[cc] ἐνδύω[vifm3s] διαρρήγνυμι[vpxpanp] καί[cc] ῥακώδης[nanpc] πᾶς[ainmsn] ὑπνώδης[annmsn]. **v.22** ἀκούω[vdpa2s] υἱός[nvmsc] πατήρ[ngmsc] ὁ[dgms] γεννάω[vpaagms] σύ[rpa-s] καί[cc] μή[x] καταφρονέω[vdpa2s] ὅτι[cs] γηράσκω[vixa3s] σύ[rpg-s] ὁ[dnfs] μήτηρ[nnfsc]. **v.24** καλῶς[b] ἐκτρέφω[vipa3s] πατήρ[nnmsc] δίκαιος[annmsn] ἐπί[pd] δέ[cc] υἱός[ndmsc] σοφός[andmsn] εὐφραίνω[vipm3s] ὁ[dnfs] ψυχή[nnfsc] αὐτός[rpgms]. **v.25** εὐφραίνω[vdpm3s] ὁ[dnms] πατήρ[nnmsc] καί[cc] ὁ[dnfs] μήτηρ[nnfsc] ἐπί[pd] σύ[rpd-s] καί[cc] χαίρω[vdpa3s] ὁ[dnfs] τίκτω[vpaanfs] σύ[rpa-s]. **v.26** δίδωμι[vdaa2s] ἐγώ[rpd-s] υἱός[nvmsc] σός[asafsn] καρδία[nafsc] ὁ[dnmp] δέ[cc] σύ[rpd-s] ὀφθαλμός[nnmpc] ἐμός[asafpn] ὁδός[nafpc] τηρέω[vdpa3p]. **v.27** πίθος[nnmsc] γάρ[cc] τετραίνω[vpxpnms] εἰμί[vipa3s] ἀλλότριος[annmsn] οἶκος[nnmsc] καί[cc] φρέαρ[nnnsc] στενός[annnsn] ἀλλότριος[annnsn]. **v.28** οὗτος[rdnms] γάρ[cc] συντόμως[b] ἀπόλλυμι[vifm3s] καί[cc] πᾶς[ainmsn] παράνομος[annmsn] ἀναλίσκω[vifp3s]. **v.29** τίς[rqdms] οὐαί[i] τίς[rqdms] θόρυβος[nnmsc] τίς[rqdms] κρίσις[nnfsc] τίς[rqdms] ἀηδία[nnfpc] καί[cc] λέσχη[nnfpc] τίς[rqdms] σύντριμμα[nnnpc] διά[pg] κενός[angfsn] τίς[rqgms] πέλειος[annmpn] ὁ[dnmp] ὀφθαλμός[nnmpc]. **v.30** οὐ[b] ὁ[dgmp] ἐγχρονίζω[vppagmp] ἐν[pd] οἶνος[ndmpc] οὐ[b] ὁ[dgmp] ἰχνεύω[vppagmp] ποῦ[b] πότος[nnmpc] γίνομαι[vipm3p]. **v.31** μή[x] μεθύσκω[vdpp2p] οἶνος[ndmsc] ἀλλά[cc] ὁμιλέω[vdpa2p] ἄνθρωπος[ndmpc] δίκαιος[andmpn] καί[cc] ὁμιλέω[vdpa2p] ἐν[pd] περίπατος[ndmpc] ἐάν[cs] γάρ[cc] εἰς[pa] ὁ[dafp] φιάλη[nafpc] καί[cc] ὁ[danp] ποτήριον[nanpc] δίδωμι[vsaa2s] ὁ[damp] ὀφθαλμός[nampc] σύ[rpg-s] ὕστερος[b] περιπατέω[vifa2s] γυμνός[annmsc] ὕπερος[ngmsc]. **v.32** ὁ[dans] δέ[cc] ἔσχατος[anansn] ὥσπερ[cs] ὑπό[pg] ὄφις[ngmsc] πλήσσω[vpxanms] ἐκτείνω[vipm3s] καί[cc] ὥσπερ[cs] ὑπό[pg] κεράστης[ngmsc] διαχέω[vipp3s] αὐτός[rpdms] ὁ[dnms] ἰός[nnmsc]. **v.33** ὁ[dnmp] ὀφθαλμός[nnmpc] σύ[rpg-s] ὅταν[cs] ὁράω[vsaa3p] ἀλλότριος[anafsn] ὁ[dnns] στόμα[nnnsc] σύ[rpg-s] τότε[b] λαλέω[vifa3s] σκολιός[ananpn]. **v.34** καί[cc] κατάκειμαι[vifp2s] ὥσπερ[cs] ἐν[pd] καρδία[ndfsc] θάλασσα[ngfsc] καί[cc] ὥσπερ[cs] κυβερνήτης[nnmsc] ἐν[pd] πολύς[andmsn] κλύδων[ndmsc].

δέ τύπτουσίν με καὶ οὐκ ἐπόνεσα καὶ ἐνέπαιξάν μοι ἐγὼ δὲ οὐκ
ᾔδειν πότε ὄρθρος ἔσται ἵνα ἐλθὼν ζητήσω μεθ᾽ ὧν συνελεύσομαι.
**24** υἱέ μὴ ζηλώσῃς κακοὺς ἄνδρας μηδὲ ἐπιθυμήσῃς εἶναι μετ᾽
2 αὐτῶν. ψεύδη γὰρ μελετᾷ ἡ καρδία αὐτῶν καὶ πόνους τὰ χείλη
3 αὐτῶν λαλεῖ. μετὰ σοφίας οἰκοδομεῖται οἶκος καὶ μετὰ συνέσεως
4 ἀνορθοῦται. μετὰ αἰσθήσεως ἐμπίμπλαται ταμίεια ἐκ παντὸς
5 πλούτου τιμίου καὶ καλοῦ. κρείσσων σοφὸς ἰσχυροῦ καὶ ἀνὴρ
6 φρόνησιν ἔχων γεωργίου μεγάλου. μετὰ κυβερνήσεως γίνεται
7 πόλεμος βοήθεια δὲ μετὰ καρδίας βουλευτικῆς. σοφία καὶ ἔν-
νοια ἀγαθὴ ἐν πύλαις σοφῶν σοφοὶ οὐκ ἐκκλίνουσιν ἐκ στόματος
8 κυρίου. ἀλλὰ λογίζονται ἐν συνεδρίοις ἀπαιδεύτοις συναντᾷ θά-
9 νατος. ἀποθνῄσκει δὲ ἄφρων ἐν ἁμαρτίαις ἀκαθαρσία δὲ ἀνδρὶ
10 λοιμῷ ἐμμολυνθήσεται. ἐν ἡμέρᾳ κακῇ καὶ ἐν ἡμέρᾳ θλίψεως
11 ἕως ἂν ἐκλίπῃ. ῥῦσαι ἀγομένους εἰς θάνατον καὶ ἐκπρίου κτει-
12 νομένους μὴ φείσῃ. ἐὰν δὲ εἴπῃς οὐκ οἶδα τοῦτον γίνωσκε ὅτι
κύριος καρδίας πάντων γινώσκει καὶ ὁ πλάσας πνοὴν πᾶσιν αὐτὸς
13 οἶδεν πάντα ὃς ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. φάγε
14 μέλι υἱέ ἀγαθὸν γὰρ κηρίον ἵνα γλυκανθῇ σου ὁ φάρυγξ. οὕτως
αἰσθήσῃ σοφίαν τῇ σῇ ψυχῇ ἐὰν γὰρ εὕρῃς ἔσται καλὴ ἡ τελευτή
15 σου καὶ ἐλπίς σε οὐκ ἐγκαταλείψει. μὴ προσαγάγῃς ἀσεβῆ νομῇ

---

**v.35** λέγω[vifa2s] δέ[cc] τύπτω[vipa3p] ἐγώ[rpa-s] καί[cc] οὐ[b] πονέω[viaa1s] καί[cc] ἐμπαίζω[viaa3p] ἐγώ[rpd-s] ἐγώ[rpn-s] δέ[cc] οὐ[b] οἶδα[viya1s] πότε[b] ὄρθρος[nnmsc] εἰμί[vifm3s] ἵνα[cs] ἔρχομαι[vpaanms] ζητέω[vsaa1s] μετά[pg] ὅς[rrgmp] συνέρχομαι[vifm1s]. **24. v.1** υἱός[nvmsc] μή[x] ζηλόω[vsaa2s] κακός[anampn] ἀνήρ[nampc] μηδέ[x] ἐπιθυμέω[vsaa2s] εἰμί[vnpa] μετά[pg] αὐτός[rpgmp]. **v.2** ψεῦδος[nanpc] γάρ[cc] μελετάω[vipa3s] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgmp] καί[cc] πόνος[nampc] ὁ[dnnp] χεῖλος[nnnpc] αὐτός[rpgmp] λαλέω[vipa3s]. **v.3** μετά[pg] σοφία[ngfsc] οἰκοδομέω[vipp3s] οἶκος[nnmsc] καί[cc] μετά[pg] σύνεσις[ngfsc] ἀνορθόω[vipp3s]. **v.4** μετά[pg] αἴσθησις[ngfsc] ἐμπίπλημι[vipp3s] ταμιεῖον[nnnpc] ἐκ[pg] πᾶς[aigmsn] πλοῦτος[ngmsc] τίμιος[angmsn] καί[cc] καλός[angmsn]. **v.5** ἀγαθός[annmsc] σοφός[annmsn] ἰσχυρός[angmsn] καί[cc] ἀνήρ[nnmsc] φρόνησις[nafsc] ἔχω[vppanms] γεώργιον[ngnsc] μέγας[angnsn]. **v.6** μετά[pg] κυβέρνησις[ngfsc] γίνομαι[vipm3s] πόλεμος[nnmsc] βοήθεια[nnfsc] δέ[cc] μετά[pg] καρδία[ngfsc] βουλευτικός[angfsn]. **v.7** σοφία[nnfsc] καί[cc] ἔννοια[nnfsc] ἀγαθός[annfsn] ἐν[pd] πύλη[ndfpc] σοφός[angmpn] σοφός[annmpn] οὐ[b] ἐκκλίνω[vipa3p] ἐκ[pg] στόμα[ngnsc] κύριος[ngmsc]. **v.8** ἀλλά[cc] λογίζομαι[vipm3p] ἐν[pd] συνέδριον[ndnpc] ἀπαίδευτος[andnpn] συναντάω[vipa3s] θάνατος[nnmsc]. **v.9** ἀποθνῄσκω[vipa3s] δέ[cc] ἄφρων[annmsn] ἐν[pd] ἁμαρτία[ndfpc] ἀκαθαρσία[nnfsc] δέ[cc] ἀνήρ[ndmsc] λοιμός[andmsn] ἐμμολύνομαι[vifp3s]. **v.10** ἐν[pd] ἡμέρα[ndfsc] κακός[andfsn] καί[cc] ἐν[pd] ἡμέρα[ndfsc] θλῖψις[ngfsc] ἕως[cs] ἄν[x] ἐκλείπω[vsaa3s]. **v.11** ῥύομαι[vdam2s] ἄγω[vpppamp] εἰς[pa] θάνατος[namsc] καί[cc] ἐκπρίω[vdpm2s] κτείνω[vpppamp] μή[x] φείδομαι[vsam2s]. **v.12** ἐάν[cs] δέ[cc] λέγω[vsaa2s] οὐ[b] οἶδα[vixa1s] οὗτος[rdams] γινώσκω[vdpa2s] ὅτι[cs] κύριος[nnmsc] καρδία[ngfsc] πᾶς[aigmpn] γινώσκω[vipa3s] καί[cc] ὁ[dnms] πλάσσω[vpaanms] πνοή[nafsc] πᾶς[aidmpn] αὐτός[rpnms] οἶδα[vixa3s] πᾶς[aianpn] ὅς[rrnms] ἀποδίδωμι[vipa3s] ἕκαστος[aidmsn] κατά[pa] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgms]. **v.13** ἐσθίω[vdaa2s] μέλι[nansc] υἱός[nvmsc] ἀγαθός[annnsn] γάρ[cc] κηρίον[nnnsc] ἵνα[cs] γλυκαίνω[vsap3s] σύ[rpg-s] ὁ[dnms] φάρυγξ[nnmsc]. **v.14** οὕτως[b] αἰσθάνομαι[vifm2s] σοφία[nafsc] ὁ[ddfs] σός[asdfsn] ψυχή[ndfsc] ἐάν[cs] γάρ[cc] εὑρίσκω[vsaa2s] εἰμί[vifm3s] καλός[annfsn] ὁ[dnfs] τελευτή[nnfsc] σύ[rpg-s] καί[cc] ἐλπίς[nnfsc] σύ[rpa-s] οὐ[b] ἐγκαταλείπω[vifa3s].

δικαίων μηδὲ ἀπατηθῇς χορτασίᾳ κοιλίας. ἑπτάκι γὰρ πεσεῖται 16
ὁ δίκαιος καὶ ἀναστήσεται οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς.
ἐὰν πέσῃ ὁ ἐχθρός σου μὴ ἐπιχαρῇς αὐτῷ ἐν δὲ τῷ ὑποσκελίσματι 17
αὐτοῦ μὴ ἐπαίρου. ὅτι ὄψεται κύριος καὶ οὐκ ἀρέσει αὐτῷ καὶ ἀ- 18
ποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ᾽ αὐτοῦ. μὴ χαῖρε ἐπὶ κακοποιοῖς 19
μηδὲ ζήλου ἁμαρτωλούς. οὐ γὰρ μὴ γένηται ἔκγονα πονηρῶν 20
λαμπτὴρ δὲ ἀσεβῶν σβεσθήσεται. φοβοῦ τὸν θεόν υἱέ καὶ βα- 21
σιλέα καὶ μηθετέρῳ αὐτῶν ἀπειθήσῃς. ἐξαίφνης γὰρ τείσονται 22
τοὺς ἀσεβεῖς τὰς δὲ τιμωρίας ἀμφοτέρων τίς γνώσεται [1] λόγον
φυλασσόμενος υἱὸς ἀπωλείας ἐκτὸς ἔσται δεχόμενος δὲ ἐδέξατο
αὐτόν [2] μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λεγέσθω καὶ οὐδὲν
ψεῦδος ἀπὸ γλώσσης αὐτοῦ οὐ μὴ ἐξέλθῃ [3] μάχαιρα γλῶσσα
βασιλέως καὶ οὐ σαρκίνη ὃς δ᾽ ἂν παραδοθῇ συντριβήσεται [4] ἐ-
ὰν γὰρ ὀξυνθῇ ὁ θυμὸς αὐτοῦ σὺν νεύροις ἀνθρώπους ἀναλίσκει
[5] καὶ ὀστᾶ ἀνθρώπων κατατρώγει καὶ συγκαίει ὥσπερ φλὸξ ὥστε
ἄβρωτα εἶναι νεοσσοῖς ἀετῶν. ταῦτα δὲ λέγω ὑμῖν τοῖς σοφοῖς ἐ- 23
πιγινώσκειν αἰδεῖσθαι πρόσωπον ἐν κρίσει οὐ καλόν. ὁ εἰπὼν 24
τὸν ἀσεβῆ δίκαιός ἐστιν ἐπικατάρατος λαοῖς ἔσται καὶ μισητὸς εἰς
ἔθνη. οἱ δὲ ἐλέγχοντες βελτίους φανοῦνται ἐπ᾽ αὐτοὺς δὲ ἥξει 25
εὐλογία ἀγαθή. χείλη δὲ φιλήσουσιν ἀποκρινόμενα λόγους ἀ- 26

---

**v.15** μή[x] προσάγω[vsaa2s] ἀσεβής[anamsn] νομή[ndfsc] δίκαιος[angmpn] μηδέ[x] ἀπατάω[vsap2s] χορτασία[ndfsc] κοιλία[ngfsc]. **v.16** ἑπτάκις[b] γάρ[cc] πίπτω[vifm3s] ὁ[dnms] δίκαιος[annmsn] καί[cc] ἀνίστημι[vifm3s] ὁ[dnmp] δέ[cc] ἀσεβής[annmpn] ἀσθενέω[vifa3p] ἐν[pd] κακός[andnpn]. **v.17** ἐάν[cs] πίπτω[vsaa3s] ὁ[dnms] ἐχθρός[annmsn] σύ[rpg-s] μή[x] ἐπιχαίρω[vsap2s] αὐτός[rpdms] ἐν[pd] δέ[cc] ὁ[ddns] ὑποσκέλισμα[ndnsc] αὐτός[rpgms] μή[x] ἐπαίρω[vdpm2s]. **v.18** ὅτι[cs] ὁράω[vifm3s] κύριος[nnmsc] καί[cc] οὐ[b] ἀρέσκω[vifa3s] αὐτός[rpdms] καί[cc] ἀποστρέφω[vifa3s] ὁ[dams] θυμός[namsc] αὐτός[rpgms] ἀπό[pg] αὐτός[rpgms]. **v.19** μή[x] χαίρω[vdpa2s] ἐπί[pd] κακοποιός[andmpn] μηδέ[x] ζηλόω[vdpa2s] ἁμαρτωλός[anampn]. **v.20** οὐ[b] γάρ[cc] μή[x] γίνομαι[vsam3s] ἔκγονος[annnpn] πονηρός[angmpn] λαμπτήρ[nnmsc] δέ[cc] ἀσεβής[angmpn] σβέννυμι[vifp3s]. **v.21** φοβέω[vdpm2s] ὁ[dams] θεός[namsc] υἱός[nvmsc] καί[cc] βασιλεύς[namsc] καί[cc] μηθέτερος[andmsn] αὐτός[rpgmp] ἀπειθέω[vsaa2s]. **v.22** ἐξαίφνης[b] γάρ[cc] τίνω[vifm3p] ὁ[damp] ἀσεβής[anampn] ὁ[dafp] δέ[cc] τιμωρία[nafpc] ἀμφότεροι[adgmpn] τίς[rqnms] γινώσκω[vifm3s] [1][1] λόγος[namsc] φυλάσσω[vppmnms] υἱός[nnmsc] ἀπώλεια[ngfsc] ἐκτός[pg] εἰμί[vifm3s] δέχομαι[vppmnms] δέ[cc] δέχομαι[viam3s] αὐτός[rpams] [2][2] μηδείς[ainnsn] ψεῦδος[nnnsc] ἀπό[pg] γλῶσσα[ngfsc] βασιλεύς[ndmsc] λέγω[vdpp3s] καί[cc] οὐδείς[ainnsn] ψεῦδος[nnnsc] ἀπό[pg] γλῶσσα[ngfsc] αὐτός[rpgms] οὐ[b] μή[x] ἐξέρχομαι[vsaa3s] [3][3] μάχαιρα[nnfsc] γλῶσσα[nnfsc] βασιλεύς[ngmsc] καί[cc] οὐ[b] σάρκινος[annfsn] ὅς[rrnms] δέ[cc] ἄν[x] παραδίδωμι[vsap3s] συντρίβω[vifp3s] [4][4] ἐάν[cs] γάρ[cc] ὀξύνω[vsap3s] ὁ[dnms] θυμός[nnmsc] αὐτός[rpgms] σύν[pd] νεῦρον[ndnpc] ἄνθρωπος[nampc] ἀναλίσκω[vipa3s] [5][5] καί[cc] ὀστέον[nanpc] ἄνθρωπος[ngmpc] κατατρώγω[vipa3s] καί[cc] συγκαίω[vipa3s] ὥσπερ[cs] φλόξ[nnfsc] ὥστε[cs] ἄβρωτος[ananpn] εἰμί[vnpa] νεοσσός[ndmpc] ἀετός[ngmpc]. **v.23** οὗτος[rdanp] δέ[cc] λέγω[vipa1s] σύ[rpd-p] ὁ[ddmp] σοφός[andmpn] ἐπιγινώσκω[vnpa] αἰδέομαι[vnpm] πρόσωπον[nansc] ἐν[pd] κρίσις[ndfsc] οὐ[b] καλός[annnsn]. **v.24** ὁ[dnms] λέγω[vpaanms] ὁ[dams] ἀσεβής[anamsn] δίκαιος[annmsn] εἰμί[vipa3s] ἐπικατάρατος[annmsn] λαός[ndmpc] εἰμί[vifm3s] καί[cc] μισητός[annmsn] εἰς[pa] ἔθνος[nanpc]. **v.25** ὁ[dnmp] δέ[cc] ἐλέγχω[vppanmp] ἀγαθός[annmpc] φαίνω[vifm3p] ἐπί[pa] αὐτός[rpamp] δέ[cc] ἥκω[vifa3s] εὐλογία[nnfsc] ἀγαθός[annfsn].

27 γαθούς. ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου καὶ παρασκευάζου
εἰς τὸν ἀγρὸν καὶ πορεύου κατόπισθέν μου καὶ ἀνοικοδομήσεις
28 τὸν οἶκόν σου. μὴ ἴσθι ψευδὴς μάρτυς ἐπὶ σὸν πολίτην μηδὲ
29 πλατύνου σοῖς χείλεσιν. μὴ εἴπῃς ὃν τρόπον ἐχρήσατό μοι χρή-
30 σομαι αὐτῷ τείσομαι δὲ αὐτὸν ἅ με ἠδίκησεν. ὥσπερ γεώργιον
31 ἀνὴρ ἄφρων καὶ ὥσπερ ἀμπελὼν ἄνθρωπος ἐνδεὴς φρενῶν. ἐ-
ὰν ἀφῇς αὐτόν χερσωθήσεται καὶ χορτομανήσει ὅλος καὶ γίνεται
ἐκλελειμμένος οἱ δὲ φραγμοὶ τῶν λίθων αὐτοῦ κατασκάπτονται.
32, 33 ὕστερον ἐγὼ μετενόησα ἐπέβλεψα τοῦ ἐκλέξασθαι παιδείαν. ὀλί-
γον νυστάζω ὀλίγον δὲ καθυπνῶ ὀλίγον δὲ ἐναγκαλίζομαι χερσὶν
34 στήθη. ἐὰν δὲ τοῦτο ποιῇς ἥξει προπορευομένη ἡ πενία σου καὶ
ἡ ἔνδειά σου ὥσπερ ἀγαθὸς δρομεύς.

**25** αὗται αἱ παιδεῖαι σαλωμῶντος αἱ ἀδιάκριτοι ἃς ἐξεγράψαντο
2 οἱ φίλοι Εζεκιου τοῦ βασιλέως τῆς Ιουδαίας. δόξα θεοῦ κρύπτει
3 λόγον δόξα δὲ βασιλέως τιμᾷ πράγματα. οὐρανὸς ὑψηλός γῆ
4 δὲ βαθεῖα καρδία δὲ βασιλέως ἀνεξέλεγκτος. τύπτε ἀδόκιμον
5 ἀργύριον καὶ καθαρισθήσεται καθαρὸν ἅπαν. κτεῖνε ἀσεβεῖς
ἐκ προσώπου βασιλέως καὶ κατορθώσει ἐν δικαιοσύνῃ ὁ θρόνος
6 αὐτοῦ. μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως μηδὲ ἐν τόποις δυ-
7 ναστῶν ὑφίστασο. κρεῖσσον γάρ σοι τὸ ῥηθῆναι ἀνάβαινε πρός
με ἢ ταπεινῶσαί σε ἐν προσώπῳ δυνάστου ἃ εἶδον οἱ ὀφθαλμοί

---

**v.26** χεῖλος[nanpc] δέ[cc] φιλέω[vifa3p] ἀποκρίνομαι[vppmanp] λόγος[nampc] ἀγαθός[anampn]. **v.27** ἑτοιμάζω[vdpa2s] εἰς[pa] ὁ[dafs] ἔξοδος[nafsc] ὁ[danp] ἔργον[nanpc] σύ[rpg-s] καί[cc] παρασκευάζω[vdpm2s] εἰς[pa] ὁ[dams] ἀγρός[namsc] καί[cc] πορεύομαι[vdpm2s] κατόπισθεν[pg] ἐγώ[rpg-s] καί[cc] ἀνοικοδομέω[vifa2s] ὁ[dams] οἶκος[namsc] σύ[rpg-s]. **v.28** μή[x] εἰμί[vdpa2s] ψευδής[annmsn] μάρτυς[nnmsc] ἐπί[pa] σός[asamsn] πολίτης[namsc] μηδέ[x] πλατύνω[vdpm2s] σός[asdnpn] χεῖλος[ndnpc]. **v.29** μή[x] λέγω[vsaa2s] ὅς[rrams] τρόπος[namsc] χράω[viam3s] ἐγώ[rpd-s] χράω[vifm1s] αὐτός[rpdms] τίνω[vifm1s] δέ[cc] αὐτός[rpams] ὅς[rranp] ἐγώ[rpa-s] ἀδικέω[viaa3s]. **v.30** ὥσπερ[cs] γεώργιον[nnnsc] ἀνήρ[nnmsc] ἄφρων[annmsn] καί[cc] ὥσπερ[cs] ἀμπελών[nnmsc] ἄνθρωπος[nnmsc] ἐνδεής[annmsn] φρήν[ngfpc]. **v.31** ἐάν[cs] ἀφίημι[vsaa2s] αὐτός[rpams] χερσόομαι[vifp3s] καί[cc] χορτομανέω[vifa3s] ὅλος[annmsn] καί[cc] γίνομαι[vipm3s] ἐκλείπω[vpxpnms] ὁ[dnmp] δέ[cc] φραγμός[nnmpc] ὁ[dgmp] λίθος[ngmpc] αὐτός[rpgms] κατασκάπτω[vipp3p]. **v.32** ὕστερος[b] ἐγώ[rpn-s] μετανοέω[viaa1s] ἐπιβλέπω[viaa1s] ὁ[dgns] ἐκλέγω[vnam] παιδεία[nafsc]. **v.33** ὀλίγος[anansn] νυστάζω[vipa1s] ὀλίγος[anansn] δέ[cc] καθυπνόω[vipa1s] ὀλίγος[anansn] δέ[cc] ἐναγκαλίζομαι[vipm1s] χείρ[ndfpc] στῆθος[nanpc]. **v.34** ἐάν[cs] δέ[cc] οὗτος[rdans] ποιέω[vspa2s] ἥκω[vifa3s] προπορεύομαι[vppmnfs] ὁ[dnfs] πενία[nnfsc] σύ[rpg-s] καί[cc] ὁ[dnfs] ἔνδεια[nnfsc] σύ[rpg-s] ὥσπερ[cs] ἀγαθός[annmsn] δρομεύς[nnmsc]. **25. v.1** οὗτος[rdnfp] ὁ[dnfp] παιδεία[nnfpc] Σαλωμών[ngmsp] ὁ[dnfp] ἀδιάκριτος[annfpn] ὅς[rrafp] ἐκγράφω[viam3p] ὁ[dnmp] φίλος[annmpn] Ἑζεκίας[ngmsp] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dgfs] Ἰουδαία[ngfsp]. **v.2** δόξα[nnfsc] θεός[ngmsc] κρύπτω[vipa3s] λόγος[namsc] δόξα[nnfsc] δέ[cc] βασιλεύς[ngmsc] τιμάω[vipa3s] πρᾶγμα[nanpc]. **v.3** οὐρανός[nnmsc] ὑψηλός[annmsn] γῆ[nnfsc] δέ[cc] βαθύς[annfsn] καρδία[nnfsc] δέ[cc] βασιλεύς[ngmsc] ἀνεξέλεγκτος[annfsn]. **v.4** τύπτω[vdpa2s] ἀδόκιμος[anansn] ἀργύριον[nansc] καί[cc] καθαρίζω[vifp3s] καθαρός[annnsn] ἅπας[annnsn]. **v.5** κτείνω[vdpa2s] ἀσεβής[anampn] ἐκ[pg] πρόσωπον[ngnsc] βασιλεύς[ngmsc] καί[cc] κατορθόω[vifa3s] ἐν[pd] δικαιοσύνη[ndfsc] ὁ[dnms] θρόνος[nnmsc] αὐτός[rpgms]. **v.6** μή[x] ἀλαζονεύομαι[vdpm2s] ἐνώπιον[pg] βασιλεύς[ngmsc] μηδέ[x] ἐν[pd] τόπος[ndmpc] δυνάστης[ngmpc] ὑφίστημι[vdpm2s].

σου λέγε. μὴ πρόσπιπτε εἰς μάχην ταχέως ἵνα μὴ μεταμεληθῇς 8
ἐπʹ ἐσχάτων ἡνίκα ἄν σε ὀνειδίσῃ ὁ σὸς φίλος. ἀναχώρει εἰς τὰ 9
ὀπίσω μὴ καταφρόνει. μή σε ὀνειδίσῃ μὲν ὁ φίλος ἡ δὲ μάχη 10
σου καὶ ἡ ἔχθρα οὐκ ἀπέσται ἀλλʹ ἔσται σοι ἴση θανάτῳ [1] χάρις
καὶ φιλία ἐλευθεροῖ ἃς τήρησον σεαυτῷ ἵνα μὴ ἐπονείδιστος γένῃ
ἀλλὰ φύλαξον τὰς ὁδούς σου εὐσυναλλάκτως. μῆλον χρυσοῦν 11
ἐν ὁρμίσκῳ σαρδίου οὕτως εἰπεῖν λόγον. εἰς ἐνώτιον χρυσοῦν 12
σάρδιον πολυτελὲς δέδεται λόγος σοφὸς εἰς εὐήκοον οὖς. ὥ- 13
σπερ ἔξοδος χιόνος ἐν ἀμήτῳ κατὰ καῦμα ὠφελεῖ οὕτως ἄγγελος
πιστὸς τοὺς ἀποστείλαντας αὐτόν ψυχὰς γὰρ τῶν αὐτῷ χρωμέ-
νων ὠφελεῖ. ὥσπερ ἄνεμοι καὶ νέφη καὶ ὑετοὶ ἐπιφανέστατοι 14
οὕτως οἱ καυχώμενοι ἐπὶ δόσει ψευδεῖ. ἐν μακροθυμίᾳ εὐο- 15
δία βασιλεῦσιν γλῶσσα δὲ μαλακὴ συντρίβει ὀστᾶ. μέλι εὑρὼν 16
φάγε τὸ ἱκανόν μήποτε πλησθεὶς ἐξεμέσῃς. σπάνιον εἴσαγε σὸν 17
πόδα πρὸς τὸν σεαυτοῦ φίλον μήποτε πλησθείς σου μισήσῃ σε.
ῥόπαλον καὶ μάχαιρα καὶ τόξευμα ἀκιδωτόν οὕτως καὶ ἀνὴρ ὁ 18
καταμαρτυρῶν τοῦ φίλου αὐτοῦ μαρτυρίαν ψευδῆ. ὀδοὺς κα- 19
κοῦ καὶ ποὺς παρανόμου ὀλεῖται ἐν ἡμέρᾳ κακῇ. ὥσπερ ὄξος 20
ἕλκει ἀσύμφορον οὕτως προσπεσὸν πάθος ἐν σώματι καρδίαν λυ-
πεῖ [1] ὥσπερ σὴς ἱματίῳ καὶ σκώληξ ξύλῳ οὕτως λύπη ἀνδρὸς

---

**v.7** ἀγαθός[annnsc] γάρ[cc] σύ[rpd-s] ὁ[dnns] λέγω[vnap] ἀναβαίνω[vdpa2s] πρός[pa] ἐγώ[rpa-s] ἤ[cc] ταπεινόω[vnaa] σύ[rpa-s] ἐν[pd] πρόσωπον[ndnsc] δυνάστης[ngmsc] ὅς[rranp] ὁράω[viaa3p] ὁ[dnmp] ὀφθαλμός[nnmpc] σύ[rpg-s] λέγω[vdpa2s]. **v.8** μή[x] προσπίπτω[vdpa2s] εἰς[pa] μάχη[nafsc] ταχέως[b] ἵνα[cs] μή[x] μεταμέλομαι[vsap2s] ἐπί[pg] ἔσχατος[angnpn] ἡνίκα[cs] ἄν[x] σύ[rpa-s] ὀνειδίζω[vsaa3s] ὁ[dnms] σός[asnmsn] φίλος[annmsn]. **v.9** ἀναχωρέω[vdpa2s] εἰς[pa] ὁ[danp] ὀπίσω[b] μή[x] καταφρονέω[vdpa2s]. **v.10** μή[x] σύ[rpa-s] ὀνειδίζω[vsaa3s] μέν[x] ὁ[dnms] φίλος[annmsn] ὁ[dnfs] δέ[cc] μάχη[nnfsc] σύ[rpg-s] καί[cc] ὁ[dnfs] ἔχθρα[nnfsc] οὐ[b] ἄπειμι[vifm3s] ἀλλά[cc] εἰμί[vifm3s] σύ[rpd-s] ἴσος[annfsn] θάνατος[ndmsc] [1][1] χάρις[nnfsc] καί[cc] φιλία[nnfsc] ἐλευθερόω[vipa3s] ὅς[rrafp] τηρέω[vdaa2s] σεαυτοῦ[rxdms] ἵνα[cs] μή[x] ἐπονείδιστος[annmsn] γίνομαι[vsam2s] ἀλλά[cc] φυλάσσω[vdaa2s] ὁ[dafp] ὁδός[nafpc] σύ[rpg-s] εὐσυναλλάκτως[b]. **v.11** μῆλον[nnnsc] χρυσοῦς[annnsn] ἐν[pd] ὁρμίσκος[ndmsc] σάρδιον[ngnsc] οὕτως[b] λέγω[vnaa] λόγος[namsc]. **v.12** εἰς[pa] ἐνώτιον[nansc] χρυσοῦς[anansn] σάρδιον[nnnsc] πολυτελής[annnsn] δέω[vixp3s] λόγος[nnmsc] σοφός[annmsn] εἰς[pa] εὐήκοος[anansn] οὖς[nansc]. **v.13** ὥσπερ[cs] ἔξοδος[nnfsc] χιών[ngfsc] ἐν[pd] ἄμητος[ndmsc] κατά[pa] καῦμα[nansc] ὠφελέω[vipa3s] οὕτως[b] ἄγγελος[nnmsc] πιστός[annmsn] ὁ[damp] ἀποστέλλω[vpaaamp] αὐτός[rpams] ψυχή[nafpc] γάρ[cc] ὁ[dgmp] αὐτός[rpdms] χράω[vppmgmp] ὠφελέω[vipa3s]. **v.14** ὥσπερ[cs] ἄνεμος[nnmpc] καί[cc] νέφος[nnnpc] καί[cc] ὑετός[nnmpc] ἐπιφανής[annmps] οὕτως[b] ὁ[dnmp] καυχάομαι[vppmnmp] ἐπί[pd] δόσις[ndfsc] ψευδής[andfsn]. **v.15** ἐν[pd] μακροθυμία[ndfsc] εὐοδία[nnfsc] βασιλεύς[ndmpc] γλῶσσα[nnfsc] δέ[cc] μαλακός[annfsn] συντρίβω[vipa3s] ὀστέον[nanpc]. **v.16** μέλι[nansc] εὑρίσκω[vpaanms] ἐσθίω[vdaa2s] ὁ[dans] ἱκανός[anansn] μήποτε[cs] πίμπλημι[vpapnms] ἐξεμέω[vspa2s]. **v.17** σπάνιος[anamsn] εἰσάγω[vdpa2s] σός[asamsn] πούς[namsc] πρός[pa] ὁ[dams] σεαυτοῦ[rxgms] φίλος[anamsn] μήποτε[cs] πίμπλημι[vpapnms] σύ[rpg-s] μισέω[vsaa3s] σύ[rpa-s]. **v.18** ῥόπαλον[nnnsc] καί[cc] μάχαιρα[nnfsc] καί[cc] τόξευμα[nnnsc] ἀκιδωτός[annnsn] οὕτως[b] καί[b] ἀνήρ[nnmsc] ὁ[dnms] καταμαρτυρέω[vppanms] ὁ[dgms] φίλος[angmsn] αὐτός[rpgms] μαρτυρία[nafsc] ψευδής[anafsn]. **v.19** ὀδούς[nnmsc] κακός[angmsn] καί[cc] πούς[nnmsc] παράνομος[angmsn] ὄλλυμι[vifm3s] ἐν[pd] ἡμέρα[ndfsc] κακός[andfsn].

21 βλάπτει καρδίαν. ἐὰν πεινᾷ ὁ ἐχθρός σου τρέφε αὐτόν ἐὰν διψᾷ
22 πότιζε αὐτόν. τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ
23 τὴν κεφαλὴν αὐτοῦ ὁ δὲ κύριος ἀνταποδώσει σοι ἀγαθά. ἄνεμος
βορέας ἐξεγείρει νέφη πρόσωπον δὲ ἀναιδὲς γλῶσσαν ἐρεθίζει.
24 κρεῖττον οἰκεῖν ἐπὶ γωνίας δώματος ἢ μετὰ γυναικὸς λοιδόρου
25 ἐν οἰκίᾳ κοινῇ. ὥσπερ ὕδωρ ψυχρὸν ψυχῇ διψώσῃ προσηνές
26 οὕτως ἀγγελία ἀγαθὴ ἐκ γῆς μακρόθεν. ὥσπερ εἴ τις πηγὴν
φράσσοι καὶ ὕδατος ἔξοδον λυμαίνοιτο οὕτως ἄκοσμον δίκαιον
27 πεπτωκέναι ἐνώπιον ἀσεβοῦς. ἐσθίειν μέλι πολὺ οὐ καλόν τιμᾶν
28 δὲ χρὴ λόγους ἐνδόξους. ὥσπερ πόλις τὰ τείχη καταβεβλημένη
καὶ ἀτείχιστος οὕτως ἀνὴρ ὃς οὐ μετὰ βουλῆς τι πράσσει.
**26** ὥσπερ δρόσος ἐν ἀμήτῳ καὶ ὥσπερ ὑετὸς ἐν θέρει οὕτως οὐκ
2 ἔστιν ἄφρονι τιμή. ὥσπερ ὄρνεα πέταται καὶ στρουθοί οὕτως ἀρὰ
3 ματαία οὐκ ἐπελεύσεται οὐδενί. ὥσπερ μάστιξ ἵππῳ καὶ κέντρον
4 ὄνῳ οὕτως ῥάβδος ἔθνει παρανόμῳ. μὴ ἀποκρίνου ἄφρονι πρὸς
5 τὴν ἐκείνου ἀφροσύνην ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ. ἀλλὰ ἀποκρί-
νου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ ἵνα μὴ φαίνηται σοφὸς
6 παρ᾽ ἑαυτῷ. ἐκ τῶν ἑαυτοῦ ποδῶν ὄνειδος πίεται ὁ ἀποστείλας
7 δι᾽ ἀγγέλου ἄφρονος λόγον. ἀφελοῦ πορείαν σκελῶν καὶ παροι-

---

**v.20** ὥσπερ[cs] ὄξος[nnnsc] ἕλκω[vipa3s] ἀσύμφορος[annnsn] οὕτως[b] προσπίπτω[vpaanns] πάθος[nnnsc] ἐν[pd] σῶμα[ndnsc] καρδία[nafsc] λυπέω[vipa3s] [1][1] ὥσπερ[cs] σής[nnmsc] ἱμάτιον[ndnsc] καί[cc] σκώληξ[nnmsc] ξύλον[ndnsc] οὕτως[b] λύπη[nnfsc] ἀνήρ[ngmsc] βλάπτω[vipa3s] καρδία[nafsc]. **v.21** ἐάν[cs] πεινάω[vspa3s] ὁ[dnms] ἐχθρός[annmsn] σύ[rpg-s] τρέφω[vdpa2s] αὐτός[rpams] ἐάν[cs] διψάω[vspa3s] ποτίζω[vdpa2s] αὐτός[rpams]. **v.22** οὗτος[rdans] γάρ[cc] ποιέω[vppanms] ἄνθραξ[nampc] πῦρ[ngnsc] σωρεύω[vifa2s] ἐπί[pa] ὁ[dafs] κεφαλή[nafsc] αὐτός[rpgms] ὁ[dnms] δέ[cc] κύριος[nnmsc] ἀνταποδίδωμι[vifa3s] σύ[rpd-s] ἀγαθός[ananpn]. **v.23** ἄνεμος[nnmsc] βορέας[nnmsc] ἐξεγείρω[vipa3s] νέφος[nanpc] πρόσωπον[nnnsc] δέ[cc] ἀναιδής[annnsn] γλῶσσα[nafsc] ἐρεθίζω[vipa3s]. **v.24** ἀγαθός[annnsc] οἰκέω[vnpa] ἐπί[pg] γωνία[ngfsc] δῶμα[ngnsc] ἤ[cc] μετά[pg] γυνή[ngfsc] λοίδορος[angfsn] ἐν[pd] οἰκία[ndfsc] κοινός[andfsn]. **v.25** ὥσπερ[cs] ὕδωρ[nnnsc] ψυχρός[annnsn] ψυχή[ndfsc] διψάω[vppadfs] προσηνής[annnsn] οὕτως[b] ἀγγελία[nnfsc] ἀγαθός[annfsn] ἐκ[pg] γῆ[ngfsc] μακρόθεν[b]. **v.26** ὥσπερ[cs] εἰ[cs] τι-σρινμς πηγή[nafsc] φράσσω[vopa3s] καί[cc] ὕδωρ[ngnsc] ἔξοδος[nafsc] λυμαίνω[vopm3s] οὕτως[b] ἄκοσμος[annnsn] δίκαιος[anamsn] πίπτω[vnxa] ἐνώπιον[pg] ἀσεβής[angmsn]. **v.27** ἐσθίω[vnpa] μέλι[nansc] πολύς[anansn] οὐ[b] καλός[annnsn] τιμάω[vnpa] δέ[cc] χρή[vipa3s] λόγος[nampc] ἔνδοξος[anampn]. **v.28** ὥσπερ[cs] πόλις[nnfsc] ὁ[danp] τεῖχος[nanpc] καταβάλλω[vpxpnfs] καί[cc] ἀτείχιστος[annfsn] οὕτως[b] ἀνήρ[nnmsc] ὅς[rrnms] οὐ[b] μετά[pg] βουλή[ngfsc] τι-σριανς πράσσω[vipa3s]. **26. v.1** ὥσπερ[cs] δρόσος[nnfsc] ἐν[pd] ἄμητος[ndmsc] καί[cc] ὥσπερ[cs] ὑετός[nnmsc] ἐν[pd] θέρος[ndnsc] οὕτως[b] οὐ[b] εἰμί[vipa3s] ἄφρων[andmsn] τιμή[nnfsc]. **v.2** ὥσπερ[cs] ὄρνεον[nnnpc] πέταμαι[vipm3s] καί[cc] στρουθός[nnmpc] οὕτως[b] ἀρά[nnfsc] μάταιος[annfsn] οὐ[b] ἐπέρχομαι[vifm3s] οὐδείς[ridms]. **v.3** ὥσπερ[cs] μάστιξ[nnfsc] ἵππος[ndmsc] καί[cc] κέντρον[nnnsc] ὄνος[ndmsc] οὕτως[b] ῥάβδος[nnfsc] ἔθνος[ndnsc] παράνομος[andnsn]. **v.4** μή[x] ἀποκρίνομαι[vdpm2s] ἄφρων[andmsn] πρός[pa] ὁ[dafs] ἐκεῖνος[rdgms] ἀφροσύνη[nafsc] ἵνα[cs] μή[x] ὅμοιος[annmsn] γίνομαι[vsam2s] αὐτός[rpdms]. **v.5** ἀλλά[cc] ἀποκρίνομαι[vdpm2s] ἄφρων[andmsn] κατά[pa] ὁ[dafs] ἀφροσύνη[nafsc] αὐτός[rpgms] ἵνα[cs] μή[x] φαίνω[vspm3s] σοφός[annmsn] παρά[pd] ἑαυτοῦ[rxdms]. **v.6** ἐκ[pg] ὁ[dgmp] ἑαυτοῦ[rxgms] πούς[ngmpc] ὄνειδος[nansc] πίνω[vifm3s] ὁ[dnms] ἀποστέλλω[vpaanms] διά[pg] ἄγγελος[ngmsc] ἄφρων[angmsn] λόγος[namsc].

μίαν ἐκ στόματος ἀφρόνων. ὃς ἀποδεσμεύει λίθον ἐν σφενδόνῃ 8
ὅμοιός ἐστιν τῷ διδόντι ἄφρονι δόξαν. ἄκανθαι φύονται ἐν χειρὶ 9
τοῦ μεθύσου δουλεία δὲ ἐν χειρὶ τῶν ἀφρόνων. πολλὰ χειμάζεται 10
πᾶσα σὰρξ ἀφρόνων συντρίβεται γὰρ ἡ ἔκστασις αὐτῶν. ὥσπερ 11
κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον καὶ μισητὸς γένηται οὕ-
τως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν
[1] ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν καὶ ἔστιν αἰσχύνη δόξα καὶ
χάρις. εἶδον ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι ἐλπίδα μέν- 12
τοι ἔσχεν μᾶλλον ἄφρων αὐτοῦ. λέγει ὀκνηρὸς ἀποστελλόμενος 13
εἰς ὁδόν λέων ἐν ταῖς ὁδοῖς. ὥσπερ θύρα στρέφεται ἐπὶ τοῦ στρό- 14
φιγγος οὕτως ὀκνηρὸς ἐπὶ τῆς κλίνης αὐτοῦ. κρύψας ὀκνηρὸς 15
τὴν χεῖρα ἐν τῷ κόλπῳ αὐτοῦ οὐ δυνήσεται ἐπενεγκεῖν ἐπὶ τὸ
στόμα. σοφώτερος ἑαυτῷ ὀκνηρὸς φαίνεται τοῦ ἐν πλησμονῇ 16
ἀποκομίζοντος ἀγγελίαν. ὥσπερ ὁ κρατῶν κέρκου κυνός οὕτως 17
ὁ προεστὼς ἀλλοτρίας κρίσεως. ὥσπερ οἱ ἰώμενοι προβάλλουσιν 18
λόγους εἰς ἀνθρώπους ὁ δὲ ἀπαντήσας τῷ λόγῳ πρῶτος ὑποσκε-
λισθήσεται. οὕτως πάντες οἱ ἐνεδρεύοντες τοὺς ἑαυτῶν φίλους 19
ὅταν δὲ φωραθῶσιν λέγουσιν ὅτι παίζων ἔπραξα. ἐν πολλοῖς 20
ξύλοις θάλλει πῦρ ὅπου δὲ οὐκ ἔστιν δίθυμος ἡσυχάζει μάχη.
ἐσχάρα ἄνθραξιν καὶ ξύλα πυρί ἀνὴρ δὲ λοίδορος εἰς ταραχὴν 21

---

**v.7** ἀφαιρέω[vdam2s] πορεία[nafsc] σκέλος[ngnpc] καί[cc] παροιμία[nafsc] ἐκ[pg] στόμα[ngnsc] ἄφρων[angmpn]. **v.8** ὅς[rrnms] ἀποδεσμεύω[vipa3s] λίθος[namsc] ἐν[pd] σφενδόνη[ndfsc] ὅμοιος[annmsn] εἰμί[vipa3s] ὁ[ddms] δίδωμι[vppadms] ἄφρων[andmsn] δόξα[nafsc]. **v.9** ἄκανθα[nnfpc] φύω[vipm3p] ἐν[pd] χείρ[ndfsc] ὁ[dgms] μέθυσος[angmsn] δουλεία[nnfsc] δέ[cc] ἐν[pd] χείρ[ndfsc] ὁ[dgmp] ἄφρων[angmpn]. **v.10** πολύς[ananpn] χειμάζω[vipp3s] πᾶς[ainfsn] σάρξ[nnfsc] ἄφρων[angmpn] συντρίβω[vipp3s] γάρ[cc] ὁ[dnfs] ἔκστασις[nnfsc] αὐτός[rpgmp]. **v.11** ὥσπερ[cs] κύων[nnmsc] ὅταν[cs] ἐπέρχομαι[vsaa3s] ἐπί[pa] ὁ[dams] ἑαυτοῦ[rxgms] ἔμετος[namsc] καί[cc] μισητός[annmsn] γίνομαι[vsam3s] οὕτως[b] ἄφρων[annmsn] ὁ[ddfs] ἑαυτοῦ[rxgms] κακία[ndfsc] ἀναστρέφω[vpaanms] ἐπί[pa] ὁ[dafs] ἑαυτοῦ[rxgms] ἁμαρτία[nafsc] [1][1] εἰμί[vipa3s] αἰσχύνη[nnfsc] ἐπάγω[vppanfs] ἁμαρτία[nafsc] καί[cc] εἰμί[vipa3s] αἰσχύνη[nnfsc] δόξα[nnfsc] καί[cc] χάρις[nnfsc]. **v.12** ὁράω[viaa1s] ἀνήρ[namsc] δοκέω[vpaaams] παρά[pd] ἑαυτοῦ[rxdms] σοφός[anamsn] εἰμί[vnpa] ἐλπίς[nafsc] μέντοι[x] ἔχω[viaa3s] μᾶλλον[b] ἄφρων[annmsn] αὐτός[rpgms]. **v.13** λέγω[vipa3s] ὀκνηρός[annmsn] ἀποστέλλω[vpppnms] εἰς[pa] ὁδός[nafsc] λέων[nnmsc] ἐν[pd] ὁ[ddfp] ὁδός[ndfpc]. **v.14** ὥσπερ[cs] θύρα[nnfsc] στρέφω[vipm3s] ἐπί[pg] ὁ[dgms] στρόφιγξ[ngmsc] οὕτως[b] ὀκνηρός[annmsn] ἐπί[pg] ὁ[dgfs] κλίνη[ngfsc] αὐτός[rpgms]. **v.15** κρύπτω[vpaanms] ὀκνηρός[annmsn] ὁ[dafs] χείρ[nafsc] ἐν[pd] ὁ[ddms] κόλπος[ndmsc] αὐτός[rpgms] οὐ[b] δύναμαι[vifm3s] ἐπιφέρω[vnaa] ἐπί[pa] ὁ[dans] στόμα[nansc]. **v.16** σοφός[annmsc] ἑαυτοῦ[rxdms] ὀκνηρός[annmsn] φαίνω[vipp3s] ὁ[dgms] ἐν[pd] πλησμονή[ndfsc] ἀποκομίζω[vppagms] ἀγγελία[nafsc]. **v.17** ὥσπερ[cs] ὁ[dnms] κρατέω[vppanms] κέρκος[ngfsc] κύων[ngmsc] οὕτως[b] ὁ[dnms] προΐστημι[vpxanms] ἀλλότριος[angfsn] κρίσις[ngfsc]. **v.18** ὥσπερ[cs] ὁ[dnmp] ἰάομαι[vppmnmp] προβάλλω[vipa3p] λόγος[nampc] εἰς[pa] ἄνθρωπος[nampc] ὁ[dnms] δέ[cc] ἀπαντάω[vpaanms] ὁ[ddms] λόγος[ndmsc] πρῶτος[aonmsn] ὑποσκελίζω[vifp3s]. **v.19** οὕτως[b] πᾶς[ainmpn] ὁ[dnmp] ἐνεδρεύω[vppanmp] ὁ[damp] ἑαυτοῦ[rxgmp] φίλος[anampn] ὅταν[cs] δέ[cc] φωράομαι[vsap3p] λέγω[vipa3p] ὅτι[cs] παίζω[vppanms] πράσσω[viaa1s]. **v.20** ἐν[pd] πολύς[andnpn] ξύλον[ndnpc] θάλλω[vipa3s] πῦρ[nnnsc] ὅπου[cs] δέ[cc] οὐ[b] εἰμί[vipa3s] δίθυμος[annmsn] ἡσυχάζω[vipa3s] μάχη[nnfsc].

22 μάχης. λόγοι κερκώπων μαλακοί οὗτοι δὲ τύπτουσιν εἰς ταμίεια
23 σπλάγχνων. ἀργύριον διδόμενον μετὰ δόλου ὥσπερ ὄστρακον
24 ἡγητέον χείλη λεῖα καρδίαν καλύπτει λυπηράν. χείλεσιν πάντα
ἐπινεύει ἀποκλαιόμενος ἐχθρός ἐν δὲ τῇ καρδίᾳ τεκταίνεται δό-
25 λους. ἐάν σου δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ μὴ πεισθῇς
26 ἑπτὰ γάρ εἰσιν πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ. ὁ κρύπτων ἔχθραν
συνίστησιν δόλον ἐκκαλύπτει δὲ τὰς ἑαυτοῦ ἁμαρτίας εὔγνωστος
27 ἐν συνεδρίοις. ὁ ὀρύσσων βόθρον τῷ πλησίον ἐμπεσεῖται εἰς αὐ-
28 τόν ὁ δὲ κυλίων λίθον ἐφ᾽ ἑαυτὸν κυλίει. γλῶσσα ψευδὴς μισεῖ
ἀλήθειαν στόμα δὲ ἄστεγον ποιεῖ ἀκαταστασίας.

**27** μὴ καυχῶ τὰ εἰς αὔριον οὐ γὰρ γινώσκεις τί τέξεται ἡ ἐπιοῦσα.
2 ἐγκωμιαζέτω σε ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα ἀλλότριος καὶ μὴ
3 τὰ σὰ χείλη. βαρὺ λίθος καὶ δυσβάστακτον ἄμμος ὀργὴ δὲ ἄ-
4 φρονος βαρυτέρα ἀμφοτέρων. ἀνελεήμων θυμὸς καὶ ὀξεῖα ὀργή
5 ἀλλ᾽ οὐδένα ὑφίσταται ζῆλος. κρείσσους ἔλεγχοι ἀποκεκαλυμ-
6 μένοι κρυπτομένης φιλίας. ἀξιοπιστότερά ἐστιν τραύματα φίλου
7 ἢ ἑκούσια φιλήματα ἐχθροῦ. ψυχὴ ἐν πλησμονῇ οὖσα κηρίοις
8 ἐμπαίζει ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκεῖα φαίνεται. ὥσπερ
ὅταν ὄρνεον καταπετασθῇ ἐκ τῆς ἰδίας νοσσιᾶς οὕτως ἄνθρωπος
9 δουλοῦται ὅταν ἀποξενωθῇ ἐκ τῶν ἰδίων τόπων. μύροις καὶ οἴ-

---

**v.21** ἐσχάρα[nnfsc] ἄνθραξ[ndmpc] καί[cc] ξύλον[nnnpc] πῦρ[ndnsc] ἀνήρ[nnmsc] δέ[cc] λοίδορος[annmsn] εἰς[pa] ταραχή[nafsc] μάχη[ngfsc]. **v.22** λόγος[nnmpc] κέρκωψ[ngmpc] μαλακός[annmpn] οὗτος[rdnmp] δέ[cc] τύπτω[vipa3p] εἰς[pa] ταμιεῖον[nanpc] σπλάγχνον[ngnpc]. **v.23** ἀργύριον[nnnsc] δίδωμι[vpppnns] μετά[pg] δόλος[ngmsc] ὥσπερ[cs] ὄστρακον[nnnsc] ἡγητέον[b] χεῖλος[nnnpc] λεῖος[annnpn] καρδία[nafsc] καλύπτω[vipa3s] λυπηρός[anafsn]. **v.24** χεῖλος[ndnpc] πᾶς[aianpn] ἐπινεύω[vipa3s] ἀποκλαίω[vppmnms] ἐχθρός[annmsn] ἐν[pd] δέ[cc] ὁ[ddfs] καρδία[ndfsc] τεκταίνω[vipm3s] δόλος[nampc]. **v.25** ἐάν[cs] σύ[rpg-s] δέομαι[vspm3s] ὁ[dnms] ἐχθρός[annmsn] μέγας[andfsn] ὁ[ddfs] φωνή[ndfsc] μή[x] πείθω[vsap2s] ἑπτά[ac—n] γάρ[cc] εἰμί[vipa3p] πονηρία[nnfpc] ἐν[pd] ὁ[ddfs] ψυχή[ndfsc] αὐτός[rpgms]. **v.26** ὁ[dnms] κρύπτω[vppanms] ἔχθρα[nafsc] συνίστημι[vipa3s] δόλος[namsc] ἐκκαλύπτω[vipa3s] δέ[cc] ὁ[dafp] ἑαυτοῦ[rxgms] ἁμαρτία[nafpc] εὔγνωστος[annmsn] ἐν[pd] συνέδριον[ndnpc]. **v.27** ὁ[dnms] ὀρύσσω[vppanms] βόθρος[namsc] ὁ[ddms] πλησίον[b] ἐμπίπτω[vifm3s] εἰς[pa] αὐτός[rpams] ὁ[dnms] δέ[cc] κυλίω[vppanms] λίθος[namsc] ἐπί[pa] ἑαυτοῦ[rxams] κυλίω[vipa3s]. **v.28** γλῶσσα[nnfsc] ψευδής[annfsn] μισέω[vipa3s] ἀλήθεια[nafsc] στόμα[nnnsc] δέ[cc] ἄστεγος[annnsn] ποιέω[vipa3s] ἀκαταστασία[nafpc]. **27. v.1** μή[x] καυχάομαι[vdpm2s] ὁ[danp] εἰς[pp] αὔριον[b] οὐ[b] γάρ[cc] γινώσκω[vipa2s] τίς[rqans] τίκτω[vifm3s] ὁ[dnfs] ἔπειμι-2[vppanfs]. **v.2** ἐγκωμιάζω[vdpa3s] σύ[rpa-s] ὁ[dnms] πέλας[b] καί[cc] μή[x] ὁ[dnns] σός[asnnsn] στόμα[nnnsc] ἀλλότριος[annmsn] καί[cc] μή[x] ὁ[dnnp] σός[asnnpn] χεῖλος[nnnpc]. **v.3** βαρύς[annnsn] λίθος[nnmsc] καί[cc] δυσβάστακτος[annnsn] ἄμμος[nnfsc] ὀργή[nnfsc] δέ[cc] ἄφρων[angmsn] βαρύς[ananpc] ἀμφότεροι[adgmpn]. **v.4** ἀνελεήμων[annmsn] θυμός[nnmsc] καί[cc] ὀξύς[annfsn] ὀργή[nnfsc] ἀλλά[cc] οὐδείς[riams] ὑφίστημι[vipm3s] ζῆλος[nnmsc]. **v.5** ἀγαθός[annmpc] ἔλεγχος[nnmpc] ἀποκαλύπτω[vpxpnmp] κρύπτω[vppmgfs] φιλία[ngfsc]. **v.6** ἀξιόπιστος[annnpc] εἰμί[vipa3s] τραῦμα[nnnpc] φίλος[angmsn] ἤ[cc] ἑκούσιος[annnpn] φίλημα[nnnpc] ἐχθρός[angmsn]. **v.7** ψυχή[nnfsc] ἐν[pd] πλησμονή[ndfsc] εἰμί[vppanfs] κηρίον[ndnpc] ἐμπαίζω[vipa3s] ψυχή[ndfsc] δέ[cc] ἐνδεής[andfsn] καί[b] ὁ[dnnp] πικρός[annnpn] γλυκύς[annfsn] φαίνω[vipp3s]. **v.8** ὥσπερ[cs] ὅταν[cs] ὄρνεον[nnnsc] καταπετάννυμι[vsap3s] ἐκ[pg] ὁ[dgfs] ἴδιος[angfsn] νοσσία[ngfsc] οὕτως[b] ἄνθρωπος[nnmsc] δουλόω[vipp3s] ὅταν[cs] ἀποξενόω[vsap3s] ἐκ[pg] ὁ[dgmp] ἴδιος[angmpn] τόπος[ngmpc].

νοις καὶ θυμιάμασιν τέρπεται καρδία καταρρήγνυται δὲ ὑπὸ συμ-
πτωμάτων ψυχή. φίλον σὸν ἢ φίλον πατρῷον μὴ ἐγκαταλίπῃς εἰς 10
δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰσέλθῃς ἀτυχῶν κρείσσων φίλος
ἐγγὺς ἢ ἀδελφὸς μακρὰν οἰκῶν. σοφὸς γίνου υἱέ ἵνα εὐφραίνη- 11
ταί μου ἡ καρδία καὶ ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους.
πανοῦργος κακῶν ἐπερχομένων ἀπεκρύβη ἄφρονες δὲ ἐπελθόν- 12
τες ζημίαν τείσουσιν. ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ παρῆλθεν γάρ 13
ὑβριστὴς ὅστις τὰ ἀλλότρια λυμαίνεται. ὃς ἂν εὐλογῇ φίλον τὸ 14
πρωὶ μεγάλῃ τῇ φωνῇ καταρωμένου οὐδὲν διαφέρειν δόξει. στα- 15
γόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ ἐκ τοῦ οἴκου
αὐτοῦ ὡσαύτως καὶ γυνὴ λοίδορος ἐκ τοῦ ἰδίου οἴκου. βορέας 16
σκληρὸς ἄνεμος ὀνόματι δὲ ἐπιδέξιος καλεῖται. σίδηρος σίδηρον 17
ὀξύνει ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑταίρου. ὃς φυτεύει συκῆν 18
φάγεται τοὺς καρποὺς αὐτῆς ὃς δὲ φυλάσσει τὸν ἑαυτοῦ κύριον
τιμηθήσεται. ὥσπερ οὐχ ὅμοια πρόσωπα προσώποις οὕτως οὐδὲ 19
αἱ καρδίαι τῶν ἀνθρώπων. ᾄδης καὶ ἀπώλεια οὐκ ἐμπίμπλανται 20
ὡσαύτως καὶ οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων ἄπληστοι [1] βδέλυγμα
κυρίῳ στηρίζων ὀφθαλμόν καὶ οἱ ἀπαίδευτοι ἀκρατεῖς γλώσσῃ.
δοκίμιον ἀργύρῳ καὶ χρυσῷ πύρωσις ἀνὴρ δὲ δοκιμάζεται διὰ 21
στόματος ἐγκωμιαζόντων αὐτόν [1] καρδία ἀνόμου ἐκζητεῖ κακά

---

ἀφήλπισεν. διανεύων ὀφθαλμῷ τεκταίνει κακά καὶ οὐδεὶς αὐ- 22
τὰ ἀποστήσει ἀπ' αὐτοῦ. ἀπέναντι τῶν ὀφθαλμῶν σου γλυκανεῖ 23
τὸ στόμα αὐτοῦ καὶ ἐπὶ τῶν λόγων σου ἐκθαυμάσει ὕστερον δὲ
διαστρέψει τὸ στόμα αὐτοῦ καὶ ἐν τοῖς λόγοις σου δώσει σκάν-
δαλον. πολλὰ ἐμίσησα καὶ οὐχ ὡμοίωσα αὐτῷ καὶ ὁ κύριος 24
μισήσει αὐτόν. ὁ βάλλων λίθον εἰς ὕψος ἐπὶ κεφαλὴν αὐτοῦ 25
βάλλει καὶ πληγὴ δολία διελεῖ τραύματα. ὁ ὀρύσσων βόθρον εἰς 26
αὐτὸν ἐμπεσεῖται καὶ ὁ ἱστῶν παγίδα ἐν αὐτῇ ἁλώσεται. ὁ ποιῶν 27
πονηρά εἰς αὐτὸν κυλισθήσεται καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει
αὐτῷ. ἐμπαιγμὸς καὶ ὀνειδισμὸς ὑπερηφάνῳ καὶ ἡ ἐκδίκησις 28
ὡς λέων ἐνεδρεύσει αὐτόν. παγίδι ἁλώσονται οἱ εὐφραινόμενοι 29
πτώσει εὐσεβῶν καὶ ὀδύνη καταναλώσει αὐτοὺς πρὸ τοῦ θανάτου
αὐτῶν. μῆνις καὶ ὀργή καὶ ταῦτά ἐστιν βδελύγματα καὶ ἀνὴρ 30
ἁμαρτωλὸς ἐγκρατὴς ἔσται αὐτῶν.

ὁ ἐκδικῶν παρὰ κυρίου εὑρήσει ἐκδίκησιν καὶ τὰς ἁμαρτίας **28**
αὐτοῦ διατηρῶν διατηρήσει. ἄφες ἀδίκημα τῷ πλησίον σου καὶ 2
τότε δεηθέντος σου αἱ ἁμαρτίαι σου λυθήσονται. ἄνθρωπος ἀν- 3
θρώπῳ συντηρεῖ ὀργήν καὶ παρὰ κυρίου ζητεῖ ἴασιν. ἐπ' ἄνθρω- 4
πον ὅμοιον αὐτῷ οὐκ ἔχει ἔλεος καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεῖ-
ται. αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν τίς ἐξιλάσεται τὰς ἁμαρτίας 5

---

**v.21** ὅτι[cs] τραῦμα[nansc] εἰμί[vipa3s] καταδέω[vnaa] καί[cc] λοιδορία[ngfsc] εἰμί[vipa3s] διαλλαγή[nnfsc] ὁ[dnms] δέ[cc] ἀποκαλύπτω[vpaanms] μυστήριον[nanpc] ἀπελπίζω[viaa3s]. **v.22** διανεύω[vppanms] ὀφθαλμός[ndmsc] τεκταίνω[vipa3s] κακός[ananpn] καί[cc] οὐδείς[rinms] αὐτός[rpanp] ἀφίστημι[vifa3s] ἀπό[pg] αὐτός[rpgms]. **v.23** ἀπέναντι[pg] ὁ[dgmp] ὀφθαλμός[ngmpc] σύ[rpg-s] γλυκαίνω[vifa3s] ὁ[dnns] στόμα[nnnsc] αὐτός[rpgms] καί[cc] ἐπί[pg] ὁ[dgmp] λόγος[ngmpc] σύ[rpg-s] ἐκθαυμάζω[vifa3s] ὕστερος[b] δέ[cc] διαστρέφω[vifa3s] ὁ[dans] στόμα[nansc] αὐτός[rpgms] καί[cc] ἐν[pd] ὁ[ddmp] λόγος[ndmpc] σύ[rpg-s] δίδωμι[vifa3s] σκάνδαλον[nansc]. **v.24** πολύς[ananpn] μισέω[viaa1s] καί[cc] οὐ[b] ὁμοιόω[viaa1s] αὐτός[rpdms] καί[cc] ὁ[dnms] κύριος[nnmsc] μισέω[vifa3s] αὐτός[rpams]. **v.25** ὁ[dnms] βάλλω[vppanms] λίθος[namsc] εἰς[pa] ὕψος[nansc] ἐπί[pa] κεφαλή[nafsc] αὐτός[rpgms] βάλλω[vipa3s] καί[cc] πληγή[nnfsc] δόλιος[annfsn] διαιρέω[vifa3s] τραῦμα[nanpc]. **v.26** ὁ[dnms] ὀρύσσω[vppanms] βόθρος[namsc] εἰς[pa] αὐτός[rpams] ἐμπίπτω[vifm3s] καί[cc] ὁ[dnms] ἵστημι[vppanms] παγίς[nafsc] ἐν[pd] αὐτός[rpdfs] ἁλίσκομαι[vifm3s]. **v.27** ὁ[dnms] ποιέω[vppanms] πονηρός[ananpn] εἰς[pa] αὐτός[rpams] κυλίω[vifp3s] καί[cc] οὐ[b] μή[x] ἐπιγινώσκω[vsaa3s] πόθεν[b] ἥκω[vipa3s] αὐτός[rpdms]. **v.28** ἐμπαιγμός[nnmsc] καί[cc] ὀνειδισμός[nnmsc] ὑπερήφανος[andmsn] καί[cc] ὁ[dnfs] ἐκδίκησις[nnfsc] ὡς[cs] λέων[nnmsc] ἐνεδρεύω[vifa3s] αὐτός[rpams]. **v.29** παγίς[ndfsc] ἁλίσκομαι[vifm3p] ὁ[dnmp] εὐφραίνω[vppmnmp] πτῶσις[ndfsc] εὐσεβής[angmpn] καί[cc] ὀδύνη[nnfsc] καταναλίσκω[vifa3s] αὐτός[rpamp] πρό[pg] ὁ[dgms] θάνατος[ngmsc] αὐτός[rpgmp]. **v.30** μῆνις[nnfsc] καί[cc] ὀργή[nnfsc] καί[cc] οὗτος[rdnnp] εἰμί[vipa3s] βδέλυγμα[nnnpc] καί[cc] ἀνήρ[nnmsc] ἁμαρτωλός[annmsn] ἐγκρατής[annmsn] εἰμί[vifm3s] αὐτός[rpgnp]. **28.** **v.1** ὁ[dnms] ἐκδικέω[vppanms] παρά[pg] κύριος[ngmsc] εὑρίσκω[vifa3s] ἐκδίκησις[nafsc] καί[cc] ὁ[dafp] ἁμαρτία[nafpc] αὐτός[rpgms] διατηρέω[vppanms] διατηρέω[vifa3s]. **v.2** ἀφίημι[vdaa2s] ἀδίκημα[nansc] ὁ[ddms] πλησίον[b] σύ[rpg-s] καί[cc] τότε[b] δέομαι[vpapgms] σύ[rpg-s] ὁ[dnfp] ἁμαρτία[nnfpc] σύ[rpg-s] λύω[vifp3p]. **v.3** ἄνθρωπος[nnmsc] ἄνθρωπος[ndmsc] συντηρέω[vipa3s] ὀργή[nafsc] καί[cc] παρά[pg] κύριος[ngmsc] ζητέω[vipa3s] ἴασις[nafsc]. **v.4** ἐπί[pa] ἄνθρωπος[namsc] ὅμοιος[anamsn] αὐτός[rpdms] οὐ[b] ἔχω[vipa3s] ἔλεος[nansc] καί[cc] περί[pg] ὁ[dgfp] ἁμαρτία[ngfpc] αὐτός[rpgms] δέομαι[vipm3s].

6 αὐτοῦ. μνήσθητι τὰ ἔσχατα καὶ παῦσαι ἐχθραίνων καταφθο-
7 ρὰν καὶ θάνατον καὶ ἔμμενε ἐντολαῖς. μνήσθητι ἐντολῶν καὶ μὴ
μηνίσῃς τῷ πλησίον καὶ διαθήκην ὑψίστου καὶ πάριδε ἄγνοιαν.
8 ἀπόσχου ἀπὸ μάχης καὶ ἐλαττώσεις ἁμαρτίας ἄνθρωπος γὰρ θυ-
9 μώδης ἐκκαύσει μάχην. καὶ ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους
10 καὶ ἀνὰ μέσον εἰρηνευόντων ἐμβαλεῖ διαβολήν. κατὰ τὴν ὕλην
τοῦ πυρὸς οὕτως ἐκκαυθήσεται καὶ κατὰ τὴν στερέωσιν τῆς μά-
χης ἐκκαυθήσεται κατὰ τὴν ἰσχὺν τοῦ ἀνθρώπου ὁ θυμὸς αὐτοῦ
11 ἔσται καὶ κατὰ τὸν πλοῦτον ἀνυψώσει ὀργὴν αὐτοῦ. ἔρις κατα-
σπευδομένη ἐκκαίει πῦρ καὶ μάχη κατασπεύδουσα ἐκχέει αἷμα.
12 ἐὰν φυσήσῃς εἰς σπινθῆρα ἐκκαήσεται καὶ ἐὰν πτύσῃς ἐπ᾽ αὐ-
τόν σβεσθήσεται καὶ ἀμφότερα ἐκ τοῦ στόματός σου ἐκπορεύεται.
13 ψίθυρον καὶ δίγλωσσον καταράσασθε πολλοὺς γὰρ εἰρηνεύοντας
14 ἀπώλεσεν. γλῶσσα τρίτη πολλοὺς ἐσάλευσεν καὶ διέστησεν αὐ-
τοὺς ἀπὸ ἔθνους εἰς ἔθνος καὶ πόλεις ὀχυρὰς καθεῖλεν καὶ οἰκίας
15 μεγιστάνων κατέστρεψεν. γλῶσσα τρίτη γυναῖκας ἀνδρείας ἐξέ-
16 βαλεν καὶ ἐστέρεσεν αὐτὰς τῶν πόνων αὐτῶν. ὁ προσέχων αὐτῇ
17 οὐ μὴ εὕρῃ ἀνάπαυσιν οὐδὲ κατασκηνώσει μεθ᾽ ἡσυχίας. πλη-
γὴ μάστιγος ποιεῖ μώλωπα πληγὴ δὲ γλώσσης συγκλάσει ὀστᾶ.
18 πολλοὶ ἔπεσαν ἐν στόματι μαχαίρας καὶ οὐχ ὡς οἱ πεπτωκότες
19 διὰ γλῶσσαν. μακάριος ὁ σκεπασθεὶς ἀπ᾽ αὐτῆς ὃς οὐ διῆλθεν

---

**v.5** αὐτός[rpnms] σάρξ[nnfsc] εἰμί[vppanms] διατηρέω[vipa3s] μῆνις[nafsc] τίς[rqnms] ἐξιλάσκομαι[vifm3s] ὁ[dafp] ἁμαρτία[nafpc] αὐτός[rpgms]. **v.6** μιμνῄσκομαι[vdap2s] ὁ[danp] ἔσχατος[ananpn] καί[cc] παύω[vdam2s] ἐχθραίνω[vppanms] καταφθορά[nafsc] καί[cc] θάνατος[namsc] καί[cc] ἐμμένω[vdpa2s] ἐντολή[ndfpc]. **v.7** μιμνῄσκομαι[vdap2s] ἐντολή[ngfpc] καί[cc] μή[x] μηνίω[vsaa2s] ὁ[ddms] πλησίον[b] καί[cc] διαθήκη[nafsc] ὕψιστος[angmsn] καί[cc] παροράω[vdaa2s] ἄγνοια[nafsc]. **v.8** ἀπέχω[vdam2s] ἀπό[pg] μάχη[ngfsc] καί[cc] ἐλαττόω[vifa2s] ἁμαρτία[nafpc] ἄνθρωπος[nnmsc] γάρ[cc] θυμώδης[annmsn] ἐκκαίω[vifa3s] μάχη[nafsc]. **v.9** καί[cc] ἀνήρ[nnmsc] ἁμαρτωλός[annmsn] ταράσσω[vifa3s] φίλος[anampn] καί[cc] ἀνά[pa] μέσος[anansn] εἰρηνεύω[vppagmp] ἐμβάλλω[vifa3s] διαβολή[nafsc]. **v.10** κατά[pa] ὁ[dafs] ὕλη[nafsc] ὁ[dgns] πῦρ[ngnsc] οὕτως[b] ἐκκαίω[vifp3s] καί[cc] κατά[pa] ὁ[dafs] στερέωσις[nafsc] ὁ[dgfs] μάχη[ngfsc] ἐκκαίω[vifp3s] κατά[pa] ὁ[dafs] ἰσχύς[nafsc] ὁ[dgms] ἄνθρωπος[ngmsc] ὁ[dnms] θυμός[nnmsc] αὐτός[rpgms] εἰμί[vifm3s] καί[cc] κατά[pa] ὁ[dams] πλοῦτος[namsc] ἀνυψόω[vifa3s] ὀργή[nafsc] αὐτός[rpgms]. **v.11** ἔρις[nnfsc] κατασπεύδω[vppmnfs] ἐκκαίω[vipa3s] πῦρ[nansc] καί[cc] μάχη[nnfsc] κατασπεύδω[vppanfs] ἐκχέω[vipa3s] αἷμα[nansc]. **v.12** ἐάν[cs] φυσάω[vsaa2s] εἰς[pa] σπινθήρ[namsc] ἐκκαίω[vifp3s] καί[cc] ἐάν[cs] πτύω[vsaa2s] ἐπί[pa] αὐτός[rpams] σβέννυμι[vifp3s] καί[cc] ἀμφότεροι[adnnpn] ἐκ[pg] ὁ[dgns] στόμα[ngnsc] σύ[rpg-s] ἐκπορεύομαι[vipm3s]. **v.13** ψίθυρος[anamsn] καί[cc] δίγλωσσος[anamsn] καταράομαι[vdam2p] πολύς[anampn] γάρ[cc] εἰρηνεύω[vppaamp] ἀπόλλυμι[viaa3s]. **v.14** γλῶσσα[nnfsc] τρίτος[aonfsn] πολύς[anampn] σαλεύω[viaa3s] καί[cc] διΐστημι[viaa3s] αὐτός[rpamp] ἀπό[pg] ἔθνος[ngnsc] εἰς[pa] ἔθνος[nansc] καί[cc] πόλις[nafpc] ὀχυρός[anafpn] καθαιρέω[viaa3s] καί[cc] οἰκία[nafpc] μεγιστάν[ngmpc] καταστρέφω[viaa3s]. **v.15** γλῶσσα[nnfsc] τρίτος[aonfsn] γυνή[nafpc] ἀνδρεῖος[anafpn] ἐκβάλλω[viaa3s] καί[cc] στερέω[viaa3s] αὐτός[rpafp] ὁ[dgmp] πόνος[ngmpc] αὐτός[rpgfp]. **v.16** ὁ[dnms] προσέχω[vppanms] αὐτός[rpdfs] οὐ[b] μή[x] εὑρίσκω[vsaa3s] ἀνάπαυσις[nafsc] οὐδέ[cc] κατασκηνόω[vifa3s] μετά[pg] ἡσυχία[ngfsc]. **v.17** πληγή[nnfsc] μάστιξ[ngfsc] ποιέω[vipa3s] μώλωψ[namsc] πληγή[nnfsc] δέ[cc] γλῶσσα[ngfsc] συγκλάω[vifa3s] ὀστέον[nanpc]. **v.18** πολύς[annmpn] πίπτω[viaa3p] ἐν[pd] στόμα[ndnsc] μάχαιρα[ngfsc] καί[cc] οὐ[b] ὡς[cs] ὁ[dnmp] πίπτω[vpxanmp] διά[pa] γλῶσσα[nafsc].

ἐν τῷ θυμῷ αὐτῆς ὃς οὐχ εἵλκυσεν τὸν ζυγὸν αὐτῆς καὶ ἐν τοῖς
δεσμοῖς αὐτῆς οὐκ ἐδέθη. ὁ γὰρ ζυγὸς αὐτῆς ζυγὸς σιδηροῦς 20
καὶ οἱ δεσμοὶ αὐτῆς δεσμοὶ χάλκειοι. θάνατος πονηρὸς ὁ θάνα- 21
τος αὐτῆς καὶ λυσιτελὴς μᾶλλον ὁ ᾅδης αὐτῆς. οὐ μὴ κρατήσῃ 22
εὐσεβῶν καὶ ἐν τῇ φλογὶ αὐτῆς οὐ καήσονται. οἱ καταλείπον- 23
τες κύριον ἐμπεσοῦνται εἰς αὐτήν καὶ ἐν αὐτοῖς ἐκκαήσεται καὶ
οὐ μὴ σβεσθῇ ἐπαποσταλήσεται αὐτοῖς ὡς λέων καὶ ὡς πάρδαλις
λυμανεῖται αὐτούς. ἰδὲ περίφραξον τὸ κτῆμά σου ἀκάνθαις τὸ 24
ἀργύριόν σου καὶ τὸ χρυσίον κατάδησον. καὶ τοῖς λόγοις σου 25
ποίησον ζυγὸν καὶ σταθμὸν καὶ τῷ στόματί σου ποίησον θύραν
καὶ μοχλόν. πρόσεχε μήπως ὀλίσθῃς ἐν αὐτῇ μὴ πέσῃς κατέ- 26
ναντι ἐνεδρεύοντος.

ὁ ποιῶν ἔλεος δανιεῖ τῷ πλησίον καὶ ὁ ἐπισχύων τῇ χειρὶ αὐτοῦ **29**
τηρεῖ ἐντολάς. δάνεισον τῷ πλησίον ἐν καιρῷ χρείας αὐτοῦ καὶ 2
πάλιν ἀπόδος τῷ πλησίον εἰς τὸν καιρόν. στερέωσον λόγον καὶ 3
πιστώθητι μετ᾽ αὐτοῦ καὶ ἐν παντὶ καιρῷ εὑρήσεις τὴν χρείαν σου.
πολλοὶ ὡς εὕρεμα ἐνόμισαν δάνος καὶ παρέσχον κόπον τοῖς βοη- 4
θήσασιν αὐτοῖς. ἕως οὗ λάβῃ καταφιλήσει χεῖρας αὐτοῦ καὶ ἐπὶ 5
τῶν χρημάτων τοῦ πλησίον ταπεινώσει φωνήν καὶ ἐν καιρῷ ἀπο-
δόσεως παρελκύσει χρόνον καὶ ἀποδώσει λόγους ἀκηδίας καὶ τὸν
καιρὸν αἰτιάσεται. ἐὰν ἰσχύσῃ μόλις κομίσεται τὸ ἥμισυ καὶ λο- 6

---

**v.19** μακάριος[annmsn] ὁ[dnms] σκεπάζω[vpapnms] ἀπό[pg] αὐτός[rpgfs] ὅς[rrnms] οὐ[b] διέρχομαι[viaa3s] ἐν[pd] ὁ[ddms] θυμός[ndmsc] αὐτός[rpgfs] ὅς[rrnms] οὐ[b] ἕλκω[viaa3s] ὁ[dams] ζυγός[namsc] αὐτός[rpgfs] καί[cc] ἐν[pd] ὁ[ddmp] δεσμός[ndmpc] αὐτός[rpgfs] οὐ[b] δέω[viap3s]. **v.20** ὁ[dnms] γάρ[cc] ζυγός[nnmsc] αὐτός[rpgfs] ζυγός[nnmsc] σιδηροῦς[annmsn] καί[cc] ὁ[dnmp] δεσμός[nnmpc] αὐτός[rpgfs] δεσμός[nnmpc] χάλκειος[annmpn]. **v.21** θάνατος[nnmsc] πονηρός[annmsn] ὁ[dnms] θάνατος[nnmsc] αὐτός[rpgfs] καί[cc] λυσιτελής[annmsn] μᾶλλον[b] ὁ[dnms] ᾅδης[nnmsc] αὐτός[rpgfs]. **v.22** οὐ[b] μή[x] κρατέω[vsaa3s] εὐσεβής[angmpn] καί[cc] ἐν[pd] ὁ[ddfs] φλόξ[ndfsc] αὐτός[rpgfs] οὐ[b] καίω[vifp3p]. **v.23** ὁ[dnmp] καταλείπω[vppanmp] κύριος[namsc] ἐμπίπτω[vifm3p] εἰς[pa] αὐτός[rpafs] καί[cc] ἐν[pd] αὐτός[rpdmp] ἐκκαίω[vifp3s] καί[cc] οὐ[b] μή[x] σβέννυμι[vsap3s] ἐπαποστέλλω[vifp3s] αὐτός[rpdmp] ὡς[cs] λέων[nnmsc] καί[cc] ὡς[cs] πάρδαλις[nnfsc] λυμαίνω[vifm3s] αὐτός[rpamp]. **v.24** ὁράω[vdaa2s] περιφράσσω[vdaa2s] ὁ[dans] κτῆμα[nansc] σύ[rpg-s] ἄκανθα[ndfpc] ὁ[dans] ἀργύριον[nansc] σύ[rpg-s] καί[cc] ὁ[dans] χρυσίον[nansc] καταδέω[vdaa2s]. **v.25** καί[cc] ὁ[ddmp] λόγος[ndmpc] σύ[rpg-s] ποιέω[vdaa2s] ζυγός[namsc] καί[cc] σταθμός[namsc] καί[cc] ὁ[ddns] στόμα[ndnsc] σύ[rpg-s] ποιέω[vdaa2s] θύρα[nafsc] καί[cc] μοχλός[namsc]. **v.26** προσέχω[vdpa2s] μήπως[cs] ὀλισθάνω[vsaa2s] ἐν[pd] αὐτός[rpdfs] μή[x] πίπτω[vsaa2s] κατέναντι[pg] ἐνεδρεύω[vppagms]. **29. v.1** ὁ[dnms] ποιέω[vppanms] ἔλεος[nansc] δανείζω[vifa3s] ὁ[ddms] πλησίον[b] καί[cc] ὁ[dnms] ἐπισχύω[vppanms] ὁ[ddfs] χείρ[ndfsc] αὐτός[rpgms] τηρέω[vipa3s] ἐντολή[nafpc]. **v.2** δανείζω[vdaa2s] ὁ[ddms] πλησίον[b] ἐν[pd] καιρός[ndmsc] χρεία[ngfsc] αὐτός[rpgms] καί[cc] πάλιν[b] ἀποδίδωμι[vdaa2s] ὁ[ddms] πλησίον[b] εἰς[pa] ὁ[dams] καιρός[namsc]. **v.3** στερεόω[vdaa2s] λόγος[namsc] καί[cc] πιστόω[vdap2s] μετά[pg] αὐτός[rpgms] καί[cc] ἐν[pd] πᾶς[aidmsn] καιρός[ndmsc] εὑρίσκω[vifa2s] ὁ[dafs] χρεία[nafsc] σύ[rpg-s]. **v.4** πολύς[annmpn] ὡς[cs] εὕρεμα[nansc] νομίζω[viaa3p] δάνος[nansc] καί[cc] παρέχω[viaa3p] κόπος[namsc] ὁ[ddmp] βοηθέω[vpaadmp] αὐτός[rpdmp]. **v.5** ἕως[pg] ὅς[rrgns] λαμβάνω[vsaa3s] καταφιλέω[vifa3s] χείρ[nafpc] αὐτός[rpgms] καί[cc] ἐπί[pg] ὁ[dgnp] χρῆμα[ngnpc] ὁ[dgms] πλησίον[b] ταπεινόω[vifa3s] φωνή[nafsc] καί[cc] ἐν[pd] καιρός[ndmsc] ἀπόδοσις[ngfsc] παρέλκω[vifa3s] χρόνος[namsc] καί[cc] ἀποδίδωμι[vifa3s] λόγος[nampc] ἀκηδία[ngfsc] καί[cc] ὁ[dams] καιρός[namsc] αἰτιάομαι[vifm3s].

γιεῖται αὐτὸ ὡς εὕρεμα εἰ δὲ μή ἀπεστέρησεν αὐτὸν τῶν χρημάτων
αὐτοῦ καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν κατάρας καὶ λοιδορίας
7 ἀποδώσει αὐτῷ καὶ ἀντὶ δόξης ἀποδώσει αὐτῷ ἀτιμίαν. πολλοὶ
οὐ χάριν πονηρίας ἀπέστρεψαν ἀποστερηθῆναι δωρεὰν εὐλαβή-
8 θησαν. πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον καὶ ἐπ' ἐλεημοσύνῃ
9 μὴ παρελκύσῃς αὐτόν. χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος καὶ
10 κατὰ τὴν ἔνδειαν αὐτοῦ μὴ ἀποστρέψῃς αὐτὸν κενόν. ἀπόλε-
σον ἀργύριον δι' ἀδελφὸν καὶ φίλον καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον
11 εἰς ἀπώλειαν. θὲς τὸν θησαυρόν σου κατ' ἐντολὰς ὑψίστου καὶ
12 λυσιτελήσει σοι μᾶλλον ἢ τὸ χρυσίον. σύγκλεισον ἐλεημοσύνην
ἐν τοῖς ταμιείοις σου καὶ αὕτη ἐξελεῖταί σε ἐκ πάσης κακώσεως.
13 ὑπὲρ ἀσπίδα κράτους καὶ ὑπὲρ δόρυ ὁλκῆς κατέναντι ἐχθροῦ πο-
14 λεμήσει ὑπὲρ σοῦ. ἀνὴρ ἀγαθὸς ἐγγυήσεται τὸν πλησίον καὶ ὁ
15 ἀπολωλεκὼς αἰσχύνην ἐγκαταλείψει αὐτόν. χάριτας ἐγγύου μὴ
16 ἐπιλάθῃ ἔδωκεν γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σοῦ. ἀγαθὰ ἐγγύου
ἀνατρέψει ἁμαρτωλός καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυ-
17 σάμενον. ἐγγύη πολλοὺς ἀπώλεσεν κατευθύνοντας καὶ ἐσάλευ-
18 σεν αὐτοὺς ὡς κῦμα θαλάσσης. ἄνδρας δυνατοὺς ἀπῴκισεν καὶ
19 ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις. ἁμαρτωλὸς ἐμπεσὼν εἰς ἐγ-
20 γύην καὶ διώκων ἐργολαβίας ἐμπεσεῖται εἰς κρίσεις. ἀντιλαβοῦ

---

**v.6** ἐάν[cs] ἰσχύω[vsaa3s] μόλις[b] κομίζω[vifm3s] ὁ[dans] ἥμισυς[anansn] καί[cc] λογίζομαι[vifm3s] αὐτός[rpans] ὡς[cs] εὕρεμα[nansc] εἰ[cs] δέ[cc] μή[x] ἀποστερέω[viaa3s] αὐτός[rpams] ὁ[dgnp] χρῆμα[ngnpc] αὐτός[rpgms] καί[cc] κτάομαι[viam3s] αὐτός[rpams] ἐχθρός[anamsn] δωρεάν[b] κατάρα[nafpc] καί[cc] λοιδορία[nafpc] ἀποδίδωμι[vifa3s] αὐτός[rpdms] καί[cc] ἀντί[pg] δόξα[ngfsc] ἀποδίδωμι[vifa3s] αὐτός[rpdms] ἀτιμία[nafsc]. **v.7** πολύς[annmpn] οὐ[b] χάριν[pg] πονηρία[ngfsc] ἀποστρέφω[viaa3p] ἀποστερέω[vnap] δωρεάν[b] εὐλαβέομαι[viap3p]. **v.8** πλήν[b] ἐπί[pd] ταπεινός[andmsn] μακροθυμέω[vdaa2s] καί[cc] ἐπί[pd] ἐλεημοσύνη[ndfsc] μή[x] παρέλκω[vsaa2s] αὐτός[rpams]. **v.9** χάριν[pg] ἐντολή[ngfsc] ἀντιλαμβάνομαι[vdam2s] πένης[ngmsc] καί[cc] κατά[pa] ὁ[dafs] ἔνδεια[nafsc] αὐτός[rpgms] μή[x] ἀποστρέφω[vsaa2s] αὐτός[rpams] κενός[anamsn]. **v.10** ἀπόλλυμι[vdaa2s] ἀργύριον[nansc] διά[pa] ἀδελφός[namsc] καί[cc] φίλος[anamsn] καί[cc] μή[x] ἰόομαι[vdap3s] ὑπό[pa] ὁ[dams] λίθος[namsc] εἰς[pa] ἀπώλεια[nafsc]. **v.11** τίθημι[vdaa2s] ὁ[dams] θησαυρός[namsc] σύ[rpg-s] κατά[pa] ἐντολή[nafpc] ὕψιστος[angmsn] καί[cc] λυσιτελέω[vifa3s] σύ[rpd-s] μᾶλλον[b] ἤ[cc] ὁ[dans] χρυσίον[nansc]. **v.12** συγκλείω[vdaa2s] ἐλεημοσύνη[nafsc] ἐν[pd] ὁ[ddnp] ταμιεῖον[ndnpc] σύ[rpg-s] καί[cc] οὗτος[rdnfs] ἐξαιρέω[vifm3s] σύ[rpa-s] ἐκ[pg] πᾶς[aigfsn] κάκωσις[ngfsc]. **v.13** ὑπέρ[pa] ἀσπίς[nafsc] κράτος[ngnsc] καί[cc] ὑπέρ[pa] δόρυ[nansc] ὁλκή[ngfsc] κατέναντι[pg] ἐχθρός[angmsn] πολεμέω[vifa3s] ὑπέρ[pg] σύ[rpg-s]. **v.14** ἀνήρ[nnmsc] ἀγαθός[annmsn] ἐγγυάω[vifm3s] ὁ[dams] πλησίον[b] καί[cc] ὁ[dnms] ἀπόλλυμι[vpxanms] αἰσχύνη[nafsc] ἐγκαταλείπω[vifa3s] αὐτός[rpams]. **v.15** χάρις[nafpc] ἔγγυος[angfsn] μή[x] ἐπιλανθάνομαι[vsam2s] δίδωμι[viaa3s] γάρ[cc] ὁ[dafs] ψυχή[nafsc] αὐτός[rpgms] ὑπέρ[pg] σύ[rpg-s]. **v.16** ἀγαθός[ananpn] ἔγγυος[angnsn] ἀνατρέπω[vifa3s] ἁμαρτωλός[annmsn] καί[cc] ἀχάριστος[annmsn] ἐν[pd] διάνοια[ndfsc] ἐγκαταλείπω[vifa3s] ῥύομαι[vpamams]. **v.17** ἐγγύη[nnfsc] πολύς[anampn] ἀπόλλυμι[viaa3s] κατευθύνω[vppaamp] καί[cc] σαλεύω[viaa3s] αὐτός[rpamp] ὡς[cs] κῦμα[nnnsc] θάλασσα[ngfsc]. **v.18** ἀνήρ[nampc] δυνατός[anampn] ἀποικίζω[viaa3s] καί[cc] πλανάω[viap3p] ἐν[pd] ἔθνος[ndnpc] ἀλλότριος[andnpn]. **v.19** ἁμαρτωλός[annmsn] ἐμπίπτω[vpaanms] εἰς[pa] ἐγγύη[nafsc] καί[cc] διώκω[vppanms] ἐργολαβία[nafpc] ἐμπίπτω[vifm3s] εἰς[pa] κρίσις[nafpc].

τοῦ πλησίον κατὰ δύναμίν σου καὶ πρόσεχε σεαυτῷ μὴ ἐμπέσῃς.
ἀρχὴ ζωῆς ὕδωρ καὶ ἄρτος καὶ ἱμάτιον καὶ οἶκος καλύπτων ἀσχη- 21
μοσύνην. κρείσσων βίος πτωχοῦ ὑπὸ σκέπην δοκῶν ἢ ἐδέσματα 22
λαμπρὰ ἐν ἀλλοτρίοις. ἐπὶ μικρῷ καὶ μεγάλῳ εὐδοκίαν ἔχε καὶ 23
ὀνειδισμὸν παροικίας οὐ μὴ ἀκούσῃς. ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς 24
οἰκίαν καὶ οὗ παροικήσεις οὐκ ἀνοίξεις στόμα. ξενιεῖς καὶ πο- 25
τιεῖς εἰς ἀχάριστα καὶ πρὸς ἐπὶ τούτοις πικρὰ ἀκούσῃ. πάρελθε 26
πάροικε κόσμησον τράπεζαν καὶ εἴ τι ἐν τῇ χειρί σου ψώμισόν
με. ἔξελθε πάροικε ἀπὸ προσώπου δόξης ἐπεξένωταί μοι ὁ ἀ- 27
δελφός χρεία τῆς οἰκίας. βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν 28
ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ.

ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ ἐνδελεχήσει μάστιγας αὐτῷ ἵνα εὐ- **30**
φρανθῇ ἐπ᾽ ἐσχάτων αὐτοῦ. ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ ὀνήσεται 2
ἐπ᾽ αὐτῷ καὶ ἀνὰ μέσον γνωρίμων ἐπ᾽ αὐτῷ καυχήσεται. ὁ διδά- 3
σκων τὸν υἱὸν αὐτοῦ παραζηλώσει τὸν ἐχθρὸν καὶ ἔναντι φίλων ἐπ᾽
αὐτῷ ἀγαλλιάσεται. ἐτελεύτησεν αὐτοῦ ὁ πατήρ καὶ ὡς οὐκ ἀ- 4
πέθανεν ὅμοιον γὰρ αὐτῷ κατέλιπεν μετ᾽ αὐτόν. ἐν τῇ ζωῇ αὐτοῦ 5
εἶδεν καὶ εὐφράνθη καὶ ἐν τῇ τελευτῇ αὐτοῦ οὐκ ἐλυπήθη. ἐ- 6
ναντίον ἐχθρῶν κατέλιπεν ἔκδικον καὶ τοῖς φίλοις ἀνταποδιδόντα
χάριν. περιψύχων υἱὸν καταδεσμεύσει τραύματα αὐτοῦ καὶ ἐπὶ 7

---

**v.20** ἀντιλαμβάνομαι[vdam2s] ὁ[dgms] πλησίον[b] κατά[pa] δύναμις[nafsc] σύ[rpg-s] καί[cc] προσέχω[vdpa2s] σεαυτοῦ[rxdms] μή[x] ἐμπίπτω[vsaa2s]. **v.21** ἀρχή[nnfsc] ζωή[ngfsc] ὕδωρ[nnnsc] καί[cc] ἄρτος[nnmsc] καί[cc] ἱμάτιον[nnnsc] καί[cc] οἶκος[nnmsc] καλύπτω[vppanms] ἀσχημοσύνη[nafsc]. **v.22** ἀγαθός[annmsc] βίος[nnmsc] πτωχός[angmsn] ὑπό[pa] σκέπη[nafsc] δοκός[ngfpc] ἤ[cc] ἔδεσμα[nnnpc] λαμπρός[annnpn] ἐν[pd] ἀλλότριος[andmpn]. **v.23** ἐπί[pd] μικρός[andnsn] καί[cc] μέγας[andnsn] εὐδοκία[nafsc] ἔχω[vdpa2s] καί[cc] ὀνειδισμός[namsc] παροικία[ngfsc] οὐ[b] μή[x] ἀκούω[vsaa2s]. **v.24** ζωή[nnfsc] πονηρός[annfsn] ἐκ[pg] οἰκία[ngfsc] εἰς[pa] οἰκία[nafsc] καί[cc] ὅς[b] παροικέω[vifa2s] οὐ[b] ἀνοίγω[vifa2s] στόμα[nansc]. **v.25** ξενίζω[vifa2s] καί[cc] ποτίζω[vifa2s] εἰς[pa] ἀχάριστος[ananpn] καί[cc] πρός[pd] ἐπί[pd] οὗτος[rddnp] πικρός[ananpn] ἀκούω[vifm2s]. **v.26** παρέρχομαι[vdaa2s] πάροικος[anvmsn] κοσμέω[vdaa2s] τράπεζα[nafsc] καί[cc] εἰ[cs] τι-σριννς ἐν[pd] ὁ[ddfs] χείρ[ndfsc] σύ[rpg-s] ψωμίζω[vdaa2s] ἐγώ[rpa-s]. **v.27** ἐξέρχομαι[vdaa2s] πάροικος[anvmsn] ἀπό[pg] πρόσωπον[ngnsc] δόξα[ngfsc] ἐπιξενόομαι[vixm3s] ἐγώ[rpd-s] ὁ[dnms] ἀδελφός[nnmsc] χρεία[nnfsc] ὁ[dgfs] οἰκία[ngfsc]. **v.28** βαρύς[annnpn] οὗτος[rdnnp] ἄνθρωπος[ndmsc] ἔχω[vppadms] φρόνησις[nafsc] ἐπιτίμησις[nnfsc] οἰκία[ngfsc] καί[cc] ὀνειδισμός[nnmsc] δανειστής[ngmsc]. **30. v.1** ὁ[dnms] ἀγαπάω[vppanms] ὁ[dams] υἱός[namsc] αὐτός[rpgms] ἐνδελεχέω[vifa3s] μάστιξ[nafpc] αὐτός[rpdms] ἵνα[cs] εὐφραίνω[vsap3s] ἐπί[pg] ἔσχατος[angnpn] αὐτός[rpgms]. **v.2** ὁ[dnms] παιδεύω[vppanms] ὁ[dams] υἱός[namsc] αὐτός[rpgms] ὀνίνημι[vifm3s] ἐπί[pd] αὐτός[rpdms] καί[cc] ἀνά[pa] μέσος[anansn] γνώριμος[angmpn] ἐπί[pd] αὐτός[rpdms] καυχάομαι[vifm3s]. **v.3** ὁ[dnms] διδάσκω[vppanms] ὁ[dams] υἱός[namsc] αὐτός[rpgms] παραζηλόω[vifa3s] ὁ[dams] ἐχθρός[anamsn] καί[cc] ἔναντι[pg] φίλος[angmpn] ἐπί[pd] αὐτός[rpdms] ἀγαλλιάω[vifm3s]. **v.4** τελευτάω[viaa3s] αὐτός[rpgms] ὁ[dnms] πατήρ[nnmsc] καί[cc] ὡς[cs] οὐ[b] ἀποθνῄσκω[viaa3s] ὅμοιος[anamsn] γάρ[cc] αὐτός[rpdms] καταλείπω[viaa3s] μετά[pa] αὐτός[rpams]. **v.5** ἐν[pd] ὁ[ddfs] ζωή[ndfsc] αὐτός[rpgms] ὁράω[viaa3s] καί[cc] εὐφραίνω[viap3s] καί[cc] ἐν[pd] ὁ[ddfs] τελευτή[ndfsc] αὐτός[rpgms] οὐ[b] λυπέω[viap3s]. **v.6** ἐναντίον[pg] ἐχθρός[angmpn] καταλείπω[viaa3s] ἔκδικος[anamsn] καί[cc] ὁ[ddmp] φίλος[andmpn] ἀνταποδίδωμι[vppaams] χάρις[nafsc].

8 πάσῃ βοῇ ταραχθήσεται σπλάγχνα αὐτοῦ. ἵππος ἀδάμαστος ἐκ-
9 βαίνει σκληρός καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής. τιθήνησον
10 τέκνον καὶ ἐκθαμβήσει σε σύμπαιξον αὐτῷ καὶ λυπήσει σε. μὴ
συγγελάσῃς αὐτῷ ἵνα μὴ συνοδυνηθῇς καὶ ἐπ᾽ ἐσχάτων γομφιά-
11, 12 σεις τοὺς ὀδόντας σου. μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεότητι. θλά-
σον τὰς πλευρὰς αὐτοῦ ὡς ἔστιν νήπιος μήποτε σκληρυνθεὶς ἀ-
13 πειθήσῃ σοι. παίδευσον τὸν υἱόν σου καὶ ἔργασαι ἐν αὐτῷ ἵνα μὴ
14 ἐν τῇ ἀσχημοσύνῃ αὐτοῦ προσκόψῃς. κρείσσων πτωχὸς ὑγιὴς
καὶ ἰσχύων τῇ ἕξει ἢ πλούσιος μεμαστιγωμένος εἰς σῶμα αὐτοῦ.
15 ὑγίεια καὶ εὐεξία βελτίων παντὸς χρυσίου καὶ σῶμα εὔρωστον
16 ἢ ὄλβος ἀμέτρητος. οὐκ ἔστιν πλοῦτος βελτίων ὑγιείας σώμα-
17 τος καὶ οὐκ ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας. κρείσσων
θάνατος ὑπὲρ ζωὴν πικρὰν καὶ ἀνάπαυσις αἰῶνος ἢ ἀρρώστημα
18 ἔμμονον. ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ θέματα
19 βρωμάτων παρακείμενα ἐπὶ τάφῳ. τί συμφέρει κάρπωσις εἰδώ-
λῳ οὔτε γὰρ ἔδεται οὔτε μὴ ὀσφρανθῇ οὕτως ὁ ἐκδιωκόμενος ὑ-
20 πὸ κυρίου. βλέπων ἐν ὀφθαλμοῖς καὶ στενάζων ὥσπερ εὐνοῦχος
21 περιλαμβάνων παρθένον καὶ στενάζων. μὴ δῷς εἰς λύπην τὴν
22 ψυχήν σου καὶ μὴ θλίψῃς σεαυτὸν ἐν βουλῇ σου. εὐφροσύνη
καρδίας ζωὴ ἀνθρώπου καὶ ἀγαλλίαμα ἀνδρὸς μακροημέρευσις.
23 ἀπάτα τὴν ψυχήν σου καὶ παρακάλει τὴν καρδίαν σου καὶ λύπην

---

**v.7** περιψύχω[vppanms] υἱός[namsc] καταδεσμεύω[vifa3s] τραῦμα[nanpc] αὐτός[rpgms] καί[cc] ἐπί[pd] πᾶς[aidfsn] βοή[ndfsc] ταράσσω[vifp3s] σπλάγχνον[nnnpc] αὐτός[rpgms]. **v.8** ἵππος[nnmsc] ἀδάμαστος[annmsn] ἐκβαίνω[vipa3s] σκληρός[annmsn] καί[cc] υἱός[nnmsc] ἀνίημι[vpxpnms] ἐκβαίνω[vipa3s] προαλής[annmsn]. **v.9** τιθηνέω[vdaa2s] τέκνον[nansc] καί[cc] ἐκθαμβέω[vifa3s] σύ[rpa-s] συμπαίζω[vdaa2s] αὐτός[rpdms] καί[cc] λυπέω[vifa3s] σύ[rpa-s]. **v.10** μή[x] συγγελάω[vsaa2s] αὐτός[rpdms] ἵνα[cs] μή[x] συνοδυνάομαι[vsap2s] καί[cc] ἐπί[pg] ἔσχατος[angnpn] γομφιάζω[vifa2s] ὁ[damp] ὀδούς[nampc] σύ[rpg-s]. **v.11** μή[x] δίδωμι[vsaa2s] αὐτός[rpdms] ἐξουσία[nafsc] ἐν[pd] νεότης[ndfsc]. **v.12** θλάω[vdaa2s] ὁ[dafp] πλευρά[nafpc] αὐτός[rpgms] ὡς[cs] εἰμί[vipa3s] νήπιος[annmsn] μήποτε[cs] σκληρύνω[vpapnms] ἀπειθέω[vsaa3s] σύ[rpd-s]. **v.13** παιδεύω[vdaa2s] ὁ[dams] υἱός[namsc] σύ[rpg-s] καί[cc] ἐργάζομαι[vdam2s] ἐν[pd] αὐτός[rpdms] ἵνα[cs] μή[x] ἐν[pd] ὁ[ddfs] ἀσχημοσύνη[ndfsc] αὐτός[rpgms] προσκόπτω[vsaa2s]. **v.14** ἀγαθός[annmsc] πτωχός[annmsn] ὑγιής[annmsn] καί[cc] ἰσχύω[vppanms] ὁ[ddfs] ἕξις[ndfsc] ἤ[cc] πλούσιος[annmsn] μαστιγόω[vpxpnms] εἰς[pa] σῶμα[nansc] αὐτός[rpgms]. **v.15** ὑγίεια[nnfsc] καί[cc] εὐεξία[nnfsc] ἀγαθός[annfsc] πᾶς[aignsn] χρυσίον[ngnsc] καί[cc] σῶμα[nnnsc] εὔρωστος[annnsn] ἤ[cc] ὄλβος[nnmsc] ἀμέτρητος[annmsn]. **v.16** οὐ[b] εἰμί[vipa3s] πλοῦτος[nnmsc] ἀγαθός[annmsc] ὑγίεια[ngfsc] σῶμα[ngnsc] καί[cc] οὐ[b] εἰμί[vipa3s] εὐφροσύνη[nnfsc] ὑπέρ[pa] χαρά[nafsc] καρδία[ngfsc]. **v.17** ἀγαθός[annmsc] θάνατος[nnmsc] ὑπέρ[pa] ζωή[nafsc] πικρός[anafsn] καί[cc] ἀνάπαυσις[nnfsc] αἰών[ngmsc] ἤ[cc] ἀρρώστημα[nnnsc] ἔμμονος[annnsn]. **v.18** ἀγαθός[annnpn] ἐκχέω[vpxpnnp] ἐπί[pd] στόμα[ndnsc] κλείω[vpxpdns] θέμα[nnnpc] βρῶμα[ngnpc] παράκειμαι[vpppnnp] ἐπί[pd] τάφος[ndmsc]. **v.19** τίς[rqans] συμφέρω[vipa3s] κάρπωσις[nnfsc] εἴδωλον[ndnsc] οὔτε[cc] γάρ[cc] ἐσθίω[vifm3s] οὔτε[cc] μή[x] ὀσφραίνομαι[vsap3s] οὕτως[b] ὁ[dnms] ἐκδιώκω[vpppnms] ὑπό[pg] κύριος[ngmsc]. **v.20** βλέπω[vppanms] ἐν[pd] ὀφθαλμός[ndmpc] καί[cc] στενάζω[vppanms] ὥσπερ[cs] εὐνοῦχος[nnmsc] περιλαμβάνω[vppanms] παρθένος[nafsc] καί[cc] στενάζω[vppanms]. **v.21** μή[x] δίδωμι[vsaa2s] εἰς[pa] λύπη[nafsc] ὁ[dafs] ψυχή[nafsc] σύ[rpg-s] καί[cc] μή[x] θλίβω[vsaa2s] σεαυτοῦ[rxams] ἐν[pd] βουλή[ndfsc] σύ[rpg-s]. **v.22** εὐφροσύνη[nnfsc] καρδία[ngfsc] ζωή[nnfsc] ἄνθρωπος[ngmsc] καί[cc] ἀγαλλίαμα[nnnsc] ἀνήρ[ngmsc] μακροημέρευσις[nnfsc].

μακρὰν ἀπόστησον ἀπὸ σοῦ πολλοὺς γὰρ ἀπώλεσεν ἡ λύπη καὶ
οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ. ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας 24
καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα. λαμπρὰ καρδία καὶ ἀγαθὴ 25
ἐπὶ ἐδέσμασιν τῶν βρωμάτων αὐτῆς ἐπιμελήσεται.

ἀγρυπνία πλούτου ἐκτήκει σάρκας καὶ ἡ μέριμνα αὐτοῦ ἀφι- **31**
στᾷ ὕπνον. μέριμνα ἀγρυπνίας ἀποστήσει νυσταγμόν καὶ ἀρ- 2
ρώστημα βαρὺ ἐκνήψει ὕπνον. ἐκοπίασεν πλούσιος ἐν συναγω- 3
γῇ χρημάτων καὶ ἐν τῇ ἀναπαύσει ἐμπίμπλαται τῶν τρυφημάτων
αὐτοῦ. ἐκοπίασεν πτωχὸς ἐν ἐλαττώσει βίου καὶ ἐν τῇ ἀναπαύ- 4
σει ἐπιδεὴς γίνεται. ὁ ἀγαπῶν χρυσίον οὐ δικαιωθήσεται καὶ ὁ 5
διώκων διάφορα ἐν αὐτοῖς πλανηθήσεται. πολλοὶ ἐδόθησαν εἰς 6
πτῶμα χάριν χρυσίου καὶ ἐγενήθη ἡ ἀπώλεια αὐτῶν κατὰ πρό-
σωπον αὐτῶν. ξύλον προσκόμματός ἐστιν τοῖς ἐνθουσιάζουσιν 7
αὐτῷ καὶ πᾶς ἄφρων ἁλώσεται ἐν αὐτῷ. μακάριος πλούσιος ὃς 8
εὑρέθη ἄμωμος καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη. τίς ἐστιν 9
καὶ μακαριοῦμεν αὐτόν ἐποίησεν γὰρ θαυμάσια ἐν λαῷ αὐτοῦ.
τίς ἐδοκιμάσθη ἐν αὐτῷ καὶ ἐτελειώθη καὶ ἔσται αὐτῷ εἰς καύ- 10
χησιν τίς ἐδύνατο παραβῆναι καὶ οὐ παρέβη καὶ ποιῆσαι κακὰ
καὶ οὐκ ἐποίησεν. στερεωθήσεται τὰ ἀγαθὰ αὐτοῦ καὶ τὰς ἐλεη- 11
μοσύνας αὐτοῦ ἐκδιηγήσεται ἐκκλησία. ἐπὶ τραπέζης μεγάλης 12
ἐκάθισας μὴ ἀνοίξῃς ἐπ᾽ αὐτῆς φάρυγγά σου καὶ μὴ εἴπῃς πολλά

---

**v.23** ἀπατάω[vdpa2s] ὁ[dafs] ψυχή[nafsc] σύ[rpg-s] καί[cc] παρακαλέω[vdpa2s] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] καί[cc] λύπη[nafsc] μακράν[b] ἀφίστημι[vdaa2s] ἀπό[pg] σύ[rpg-s] πολύς[anampn] γάρ[cc] ἀπόλλυμι[viaa3s] ὁ[dnfs] λύπη[nnfsc] καί[cc] οὐ[b] εἰμί[vipa3s] ὠφέλεια[nnfsc] ἐν[pd] αὐτός[rpdfs]. **v.24** ζῆλος[nnmsc] καί[cc] θυμός[nnmsc] ἐλαττόω[vipa3p] ἡμέρα[nafpc] καί[cc] πρό[pg] καιρός[ngmsc] γῆρας[nansc] ἄγω[vipa3s] μέριμνα[nnfsc]. **v.25** λαμπρός[annfsn] καρδία[nnfsc] καί[cc] ἀγαθός[annfsn] ἐπί[pd] ἔδεσμα[ndnpc] ὁ[dgnp] βρῶμα[ngnpc] αὐτός[rpgfs] ἐπιμελέομαι[vifm3s]. **31. v.1** ἀγρυπνία[nnfsc] πλοῦτος[ngmsc] ἐκτήκω[vipa3s] σάρξ[nafpc] καί[cc] ὁ[dnfs] μέριμνα[nnfsc] αὐτός[rpgms] ἀφίστημι[vipa3s] ὕπνος[namsc]. **v.2** μέριμνα[nnfsc] ἀγρυπνία[ngfsc] ἀφίστημι[vifa3s] νυσταγμός[namsc] καί[cc] ἀρρώστημα[nnnsc] βαρύς[annnsn] ἐκνήφω[vifa3s] ὕπνος[namsc]. **v.3** κοπιάω[viaa3s] πλούσιος[annmsn] ἐν[pd] συναγωγή[ndfsc] χρῆμα[ngnpc] καί[cc] ἐν[pd] ὁ[ddfs] ἀνάπαυσις[ndfsc] ἐμπίπλημι[vipm3s] ὁ[dgnp] τρύφημα[ngnpc] αὐτός[rpgms]. **v.4** κοπιάω[viaa3s] πτωχός[annmsn] ἐν[pd] ἐλάττωσις[ndfsc] βίος[ngmsc] καί[cc] ἐν[pd] ὁ[ddfs] ἀνάπαυσις[ndfsc] ἐπιδεής[annmsn] γίνομαι[vipm3s]. **v.5** ὁ[dnms] ἀγαπάω[vppanms] χρυσίον[nansc] οὐ[b] δικαιόω[vifp3s] καί[cc] ὁ[dnms] διώκω[vppanms] διάφορος[ananpn] ἐν[pd] αὐτός[rpdnp] πλανάω[vifp3s]. **v.6** πολύς[annmpn] δίδωμι[viap3p] εἰς[pa] πτῶμα[nansc] χάριν[pg] χρυσίον[ngnsc] καί[cc] γίνομαι[viap3s] ὁ[dnfs] ἀπώλεια[nnfsc] αὐτός[rpgmp] κατά[pa] πρόσωπον[nansc] αὐτός[rpgmp]. **v.7** ξύλον[nnnsc] πρόσκομμα[ngnsc] εἰμί[vipa3s] ὁ[ddmp] ἐνθουσιάζω[vppadmp] αὐτός[rpdns] καί[cc] πᾶς[ainmsn] ἄφρων[annmsn] ἁλίσκομαι[vifm3s] ἐν[pd] αὐτός[rpdns]. **v.8** μακάριος[annmsn] πλούσιος[annmsn] ὅς[rrnms] εὑρίσκω[viap3s] ἄμωμος[annmsn] καί[cc] ὅς[rrnms] ὀπίσω[pg] χρυσίον[ngnsc] οὐ[b] πορεύομαι[viap3s]. **v.9** τίς[rqnms] εἰμί[vipa3s] καί[cc] μακαρίζω[vifa1p] αὐτός[rpams] ποιέω[viaa3s] γάρ[cc] θαυμάσιος[ananpn] ἐν[pd] λαός[ndmsc] αὐτός[rpgms]. **v.10** τίς[rqnms] δοκιμάζω[viap3s] ἐν[pd] αὐτός[rpdns] καί[cc] τελειόω[viap3s] καί[cc] εἰμί[vifm3s] αὐτός[rpdms] εἰς[pa] καύχησις[nafsc] τίς[rqnms] δύναμαι[viim3s] παραβαίνω[vnaa] καί[cc] οὐ[b] παραβαίνω[viaa3s] καί[cc] ποιέω[vnaa] κακός[ananpn] καί[cc] οὐ[b] ποιέω[viaa3s]. **v.11** στερεόω[vifp3s] ὁ[dnnp] ἀγαθός[annnpn] αὐτός[rpgms] καί[cc] ὁ[dafp] ἐλεημοσύνη[nafpc] αὐτός[rpgms] ἐκδιηγέομαι[vifm3s] ἐκκλησία[nnfsc].

13 γε τὰ ἐπ᾽ αὐτῆς. μνήσθητι ὅτι κακὸν ὀφθαλμὸς πονηρός πονη-
ρότερον ὀφθαλμοῦ τί ἔκτισται διὰ τοῦτο ἀπὸ παντὸς προσώπου
14 δακρύει. οὗ ἐὰν ἐπιβλέψῃ μὴ ἐκτείνῃς χεῖρα καὶ μὴ συνθλίβου
15 αὐτῷ ἐν τρυβλίῳ. νόει τὰ τοῦ πλησίον ἐκ σεαυτοῦ καὶ ἐπὶ παντὶ
16 πράγματι διανοοῦ. φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σοι καὶ
17 μὴ διαμασῶ μὴ μισηθῇς. παῦσαι πρῶτος χάριν παιδείας καὶ
18 μὴ ἀπληστεύου μήποτε προσκόψῃς. καὶ εἰ ἀνὰ μέσον πλειόνων
19 ἐκάθισας πρότερος αὐτῶν μὴ ἐκτείνῃς τὴν χεῖρά σου. ὡς ἱκα-
νὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ
20 οὐκ ἀσθμαίνει. ὕπνος ὑγιείας ἐπὶ ἐντέρῳ μετρίῳ ἀνέστη πρωί
καὶ ἡ ψυχὴ αὐτοῦ μετ᾽ αὐτοῦ πόνος ἀγρυπνίας καὶ χολέρας καὶ
21 στρόφος μετὰ ἀνδρὸς ἀπλήστου. καὶ εἰ ἐβιάσθης ἐν ἐδέσμασιν
22 ἀνάστα ἔμεσον πόρρω καὶ ἀναπαύσῃ. ἄκουσόν μου τέκνον καὶ
μὴ ἐξουδενήσῃς με καὶ ἐπ᾽ ἐσχάτων εὑρήσεις τοὺς λόγους μου ἐν
πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχής καὶ πᾶν ἀρρώστημα οὐ μή
23 σοι ἀπαντήσῃ. λαμπρὸν ἐπ᾽ ἄρτοις εὐλογήσει χείλη καὶ ἡ μαρ-
24 τυρία τῆς καλλονῆς αὐτοῦ πιστή. πονηρῷ ἐπ᾽ ἄρτῳ διαγογγύσει
25 πόλις καὶ ἡ μαρτυρία τῆς πονηρίας αὐτοῦ ἀκριβής. ἐν οἴνῳ
26 μὴ ἀνδρίζου πολλοὺς γὰρ ἀπώλεσεν ὁ οἶνος. κάμινος δοκιμά-
ζει στόμωμα ἐν βαφῇ οὕτως οἶνος καρδίας ἐν μάχῃ ὑπερηφάνων.

---

**v.12** ἐπί[pg] τράπεζα[ngfsc] μέγας[angfsn] καθίζω[viaa2s] μή[x] ἀνοίγω[vsaa2s] ἐπί[pg] αὐτός[rpgfs] φάρυγξ[nafsc] σύ[rpg-s] καί[cc] μή[x] λέγω[vsaa2s] πολύς[annnpn] γέ[x] ὁ[dnnp] ἐπί[pg] αὐτός[rpgfs]. **v.13** μιμνῄσκομαι[vdap2s] ὅτι[cs] κακός[annnsn] ὀφθαλμός[nnmsc] πονηρός[annmsn] πονηρός[annnsc] ὀφθαλμός[ngmsc] τίς[rqnns] κτίζω[vixp3s] διά[pa] οὗτος[rdans] ἀπό[pg] πᾶς[aignsn] πρόσωπον[ngnsc] δακρύω[vipa3s]. **v.14** ὅς[rrgns] ἐάν[cs] ἐπιβλέπω[vsam2s] μή[x] ἐκτείνω[vsaa2s] χείρ[nafsc] καί[cc] μή[x] συνθλίβω[vdpm2s] αὐτός[rpdms] ἐν[pd] τρύβλιον[ndnsc]. **v.15** νοέω[vdpa2s] ὁ[danp] ὁ[dgms] πλησίον[b] ἐκ[pg] σεαυτοῦ[rxgms] καί[cc] ἐπί[pd] πᾶς[aidnsn] πρᾶγμα[ndnsc] διανοέομαι[vdpm2s]. **v.16** ἐσθίω[vdaa2s] ὡς[cs] ἄνθρωπος[nnmsc] ὁ[danp] παράκειμαι[vpppanp] σύ[rpd-s] καί[cc] μή[x] διαμασάομαι[vdpm2s] μή[x] μισέω[vsap2s]. **v.17** παύω[vdam2s] πρῶτος[aonmsn] χάριν[pg] παιδεία[ngfsc] καί[cc] μή[x] ἀπληστεύομαι[vdpm2s] μήποτε[cs] προσκόπτω[vsaa2s]. **v.18** καί[cc] εἰ[cs] ἀνά[pa] μέσος[anansn] πολύς[angmpc] καθίζω[viaa2s] πρότερος[annmsn] αὐτός[rpgmp] μή[x] ἐκτείνω[vsaa2s] ὁ[dafs] χείρ[nafsc] σύ[rpg-s]. **v.19** ὡς[cs] ἱκανός[annnsn] ἄνθρωπος[ndmsc] παιδεύω[vpxpdms] ὁ[dnns] ὀλίγος[annnsn] καί[cc] ἐπί[pg] ὁ[dgfs] κοίτη[ngfsc] αὐτός[rpgms] οὐ[b] ἀσθμαίνω[vipa3s]. **v.20** ὕπνος[nnmsc] ὑγίεια[ngfsc] ἐπί[pd] ἔντερον[ndnsc] μέτριος[andnsn] ἀνίστημι[viaa3s] πρωΐ[b] καί[cc] ὁ[dnfs] ψυχή[nnfsc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms] πόνος[nnmsc] ἀγρυπνία[ngfsc] καί[cc] χολέρα[ngfsc] καί[cc] στρόφος[nnmsc] μετά[pg] ἀνήρ[ngmsc] ἄπληστος[angmsn]. **v.21** καί[cc] εἰ[cs] βιάζομαι[viap2s] ἐν[pd] ἔδεσμα[ndnpc] ἀνίστημι[vdaa2s] ἐμέω[vdaa2s] πόρρω[b] καί[cc] ἀναπαύω[vifm2s]. **v.22** ἀκούω[vdaa2s] ἐγώ[rpg-s] τέκνον[nvnsc] καί[cc] μή[x] ἐξουδενέω[vsaa2s] ἐγώ[rpa-s] καί[cc] ἐπί[pg] ἔσχατος[angnpn] εὑρίσκω[vifa2s] ὁ[damp] λόγος[nampc] ἐγώ[rpg-s] ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] ἔργον[ndnpc] σύ[rpg-s] γίνομαι[vdpm2s] ἐντρεχής[annmsn] καί[cc] πᾶς[ainnsn] ἀρρώστημα[nnnsc] οὐ[b] μή[x] σύ[rpd-s] ἀπαντάω[vsaa3s]. **v.23** λαμπρός[anamsn] ἐπί[pd] ἄρτος[ndmpc] εὐλογέω[vifa3s] χεῖλος[nnnpc] καί[cc] ὁ[dnfs] μαρτυρία[nnfsc] ὁ[dgfs] καλλονή[ngfsc] αὐτός[rpgms] πιστός[annfsn]. **v.24** πονηρός[andmsn] ἐπί[pd] ἄρτος[ndmsc] διαγογγύζω[vifa3s] πόλις[nnfsc] καί[cc] ὁ[dnfs] μαρτυρία[nnfsc] ὁ[dgfs] πονηρία[ngfsc] αὐτός[rpgms] ἀκριβής[annfsn]. **v.25** ἐν[pd] οἶνος[ndmsc] μή[x] ἀνδρίζομαι[vdpm2s] πολύς[anampn] γάρ[cc] ἀπόλλυμι[viaa3s] ὁ[dnms] οἶνος[nnmsc]. **v.26** κάμινος[nnfsc] δοκιμάζω[vipa3s] στόμωμα[nansc] ἐν[pd] βαφή[ndfsc] οὕτως[b] οἶνος[nnmsc] καρδία[nafpc] ἐν[pd] μάχη[ndfsc] ὑπερήφανος[angmpn].

ἔφισον ζωῆς οἶνος ἀνθρώποις ἐὰν πίνῃς αὐτὸν ἐν μέτρῳ αὐτοῦ 27
τίς ζωὴ ἐλασσουμένῳ οἴνῳ καὶ αὐτὸς ἔκτισται εἰς εὐφροσύνην
ἀνθρώποις. ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς οἶνος 28
πινόμενος ἐν καιρῷ αὐτάρκης. πικρία ψυχῆς οἶνος πινόμενος 29
πολὺς ἐν ἐρεθισμῷ καὶ ἀντιπτώματι. πληθύνει μέθη θυμὸν ἄ- 30
φρονος εἰς πρόσκομμα ἐλαττῶν ἰσχὺν καὶ προσποιῶν τραύματα.
ἐν συμποσίῳ οἴνου μὴ ἐλέγξῃς τὸν πλησίον καὶ μὴ ἐξουθενήσῃς 31
αὐτὸν ἐν εὐφροσύνῃ αὐτοῦ λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ καὶ
μὴ αὐτὸν θλίψῃς ἐν ἀπαιτήσει.

ἡγούμενόν σε κατέστησαν μὴ ἐπαίρου γίνου ἐν αὐτοῖς ὡς εἷς ἐξ **32**
αὐτῶν φρόντισον αὐτῶν καὶ οὕτω κάθισον. καὶ πᾶσαν τὴν χρείαν 2
σου ποιήσας ἀνάπεσε ἵνα εὐφρανθῇς δι᾽ αὐτοὺς καὶ εὐκοσμίας
χάριν λάβῃς στέφανον. λάλησον πρεσβύτερε πρέπει γάρ σοι ἐν 3
ἀκριβεῖ ἐπιστήμῃ καὶ μὴ ἐμποδίσῃς μουσικά. ὅπου ἀκρόαμα 4
μὴ ἐκχέῃς λαλιὰν καὶ ἀκαίρως μὴ σοφίζου. σφραγὶς ἄνθρακος 5
ἐπὶ κόσμῳ χρυσῷ σύγκριμα μουσικῶν ἐν συμποσίῳ οἴνου. ἐν 6
κατασκευάσματι χρυσῷ σφραγὶς σμαράγδου μέλος μουσικῶν ἐφ᾽
ἡδεῖ οἴνῳ. λάλησον νεανίσκε εἰ χρεία σου μόλις δὶς ἐὰν ἐπερω- 7
τηθῇς. κεφαλαίωσον λόγον ἐν ὀλίγοις πολλά γίνου ὡς γινώσκων 8
καὶ ἅμα σιωπῶν. ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου καὶ ἑτέρου λέ- 9
γοντος μὴ πολλὰ ἀδολέσχει. πρὸ βροντῆς κατασπεύδει ἀστραπή 10

---

**v.27** ἔφισος[annnsn] ζωή[ngfsc] οἶνος[nnmsc] ἄνθρωπος[ndmpc] ἐάν[cs] πίνω[vspa2s] αὐτός[rpams] ἐν[pd] μέτρον[ndnsc] αὐτός[rpgms] τίς[aqnfsn] ζωή[nnfsc] ἐλαττόω[vppmdms] οἶνος[ndmsc] καί[cc] αὐτός[rpnms] κτίζω[vixp3s] εἰς[pa] εὐφροσύνη[nafsc] ἄνθρωπος[ndmpc]. **v.28** ἀγαλλίαμα[nnnsc] καρδία[ngfsc] καί[cc] εὐφροσύνη[nnfsc] ψυχή[ngfsc] οἶνος[nnmsc] πίνω[vpppnms] ἐν[pd] καιρός[ndmsc] αὐτάρκης[annmsn]. **v.29** πικρία[nnfsc] ψυχή[ngfsc] οἶνος[nnmsc] πίνω[vpppnms] πολύς[annmsn] ἐν[pd] ἐρεθισμός[ndmsc] καί[cc] ἀντίπτωμα[ndnsc]. **v.30** πληθύνω[vipa3s] μέθη[nnfsc] θυμός[namsc] ἄφρων[angmsn] εἰς[pa] πρόσκομμα[nansc] ἐλαττόω[vppanms] ἰσχύς[nafsc] καί[cc] προσποιέω[vppanms] τραῦμα[nanpc]. **v.31** ἐν[pd] συμπόσιον[ndnsc] οἶνος[ngmsc] μή[x] ἐλέγχω[vsaa2s] ὁ[dams] πλησίον[b] καί[cc] μή[x] ἐξουδενέω[vsaa2s] αὐτός[rpams] ἐν[pd] εὐφροσύνη[ndfsc] αὐτός[rpgms] λόγος[namsc] ὀνειδισμός[ngmsc] μή[x] λέγω[vsaa2s] αὐτός[rpdms] καί[cc] μή[x] αὐτός[rpams] θλίβω[vsaa2s] ἐν[pd] ἀπαίτησις[ndfsc]. **32. v.1** ἡγέομαι[vppmams] σύ[rpa-s] καθίστημι[viaa3p] μή[x] ἐπαίρω[vdpm2s] γίνομαι[vdpm2s] ἐν[pd] αὐτός[rpdmp] ὡς[cs] εἷς[ac—n] ἐκ[pg] αὐτός[rpgmp] φροντίζω[vdaa2s] αὐτός[rpgmp] καί[cc] οὕτως[b] καθίζω[vdaa2s]. **v.2** καί[cc] πᾶς[aiafsn] ὁ[dafs] χρεία[nafsc] σύ[rpg-s] ποιέω[vpaanms] ἀναπίπτω[vdaa2s] ἵνα[cs] εὐφραίνω[vsap2s] διά[pa] αὐτός[rpamp] καί[cc] εὐκοσμία[ngfsc] χάριν[pg] λαμβάνω[vsaa2s] στέφανος[namsc]. **v.3** λαλέω[vdaa2s] πρεσβύτερος[anvmsc] πρέπω[vipa3s] γάρ[cc] σύ[rpd-s] ἐν[pd] ἀκριβής[andfsn] ἐπιστήμη[ndfsc] καί[cc] μή[x] ἐμποδίζω[vsaa2s] μουσικός[ananpn]. **v.4** ὅπου[cs] ἀκρόαμα[nnnsc] μή[x] ἐκχέω[vspa2s] λαλιά[nafsc] καί[cc] ἀκαίρως[b] μή[x] σοφίζω[vdpm2s]. **v.5** σφραγίς[nnfsc] ἄνθραξ[ngmsc] ἐπί[pd] κόσμος[ndmsc] χρυσοῦς[andmsn] σύγκριμα[nnnsc] μουσικός[angnpn] ἐν[pd] συμπόσιον[ndnsc] οἶνος[ngmsc]. **v.6** ἐν[pd] κατασκεύασμα[ndnsc] χρυσοῦς[andnsn] σφραγίς[nnfsc] σμάραγδος[ngmsc] μέλος[nnnsc] μουσικός[angnpn] ἐπί[pd] ἡδύς[andmsn] οἶνος[ndmsc]. **v.7** λαλέω[vdaa2s] νεανίσκος[nvmsc] εἰ[cs] χρεία[nnfsc] σύ[rpg-s] μόλις[b] δίς[b] ἐάν[cs] ἐπερωτάω[vsap2s]. **v.8** κεφαλαιόω[vdaa2s] λόγος[namsc] ἐν[pd] ὀλίγος[andmpn] πολύς[ananpn] γίνομαι[vdpm2s] ὡς[cs] γινώσκω[vppanms] καί[cc] ἅμα[b] σιωπάω[vppanms]. **v.9** ἐν[pd] μέσος[andnsn] μεγιστάν[ngmpc] μή[x] ἐξισάζομαι[vdpm2s] καί[cc] ἕτερος[aigmsn] λέγω[vppagms] μή[x] πολύς[ananpn] ἀδολεσχέω[vdpa2s].

11 καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις. ἐν ὥρᾳ ἐξεγείρου καὶ
12 μὴ οὐράγει ἀπότρεχε εἰς οἶκον καὶ μὴ ῥᾳθύμει. ἐκεῖ παῖζε καὶ
13 ποίει τὰ ἐνθυμήματά σου καὶ μὴ ἁμάρτῃς λόγῳ ὑπερηφάνῳ. καὶ
ἐπὶ τούτοις εὐλόγησον τὸν ποιήσαντά σε καὶ μεθύσκοντά σε ἀπὸ
14 τῶν ἀγαθῶν αὐτοῦ. ὁ φοβούμενος κύριον ἐκδέξεται παιδείαν
15 καὶ οἱ ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν. ὁ ζητῶν νόμον ἐμπλη-
σθήσεται αὐτοῦ καὶ ὁ ὑποκρινόμενος σκανδαλισθήσεται ἐν αὐτῷ.
16 οἱ φοβούμενοι κύριον εὑρήσουσιν κρίμα καὶ δικαιώματα ὡς φῶς
17 ἐξάψουσιν. ἄνθρωπος ἁμαρτωλὸς ἐκκλινεῖ ἐλεγμὸν καὶ κατὰ τὸ
18 θέλημα αὐτοῦ εὑρήσει σύγκριμα. ἀνὴρ βουλῆς οὐ μὴ παρίδῃ
19 διανόημα ἀλλότριος καὶ ὑπερήφανος οὐ καταπτήξει φόβον. ἄ-
νευ βουλῆς μηθὲν ποιήσῃς καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμελοῦ.
20 ἐν ὁδῷ ἀντιπτώματος μὴ πορεύου καὶ μὴ προσκόψῃς ἐν λιθώ-
21, 22 δεσιν. μὴ πιστεύσῃς ἐν ὁδῷ ἀπροσκόπῳ. καὶ ἀπὸ τῶν τέκνων
23 σου φύλαξαι. ἐν παντὶ ἔργῳ πίστευε τῇ ψυχῇ σου καὶ γὰρ τοῦτό
24 ἐστιν τήρησις ἐντολῶν. ὁ πιστεύων νόμῳ προσέχει ἐντολαῖς καὶ
ὁ πεποιθὼς κυρίῳ οὐκ ἐλαττωθήσεται.

**33** τῷ φοβουμένῳ κύριον οὐκ ἀπαντήσει κακόν ἀλλ᾽ ἐν πειρασμῷ
2 καὶ πάλιν ἐξελεῖται. ἀνὴρ σοφὸς οὐ μισήσει νόμον ὁ δὲ ὑπο-
3 κρινόμενος ἐν αὐτῷ ὡς ἐν καταιγίδι πλοῖον. ἄνθρωπος συνετὸς

---

**v.10** πρό[pg] βροντή[ngfsc] κατασπεύδω[vipa3s] ἀστραπή[nnfsc] καί[cc] πρό[pg] αἰσχυντηρός[angmsn] προέρχομαι[vifm3s] χάρις[nnfsc]. **v.11** ἐν[pd] ὥρα[ndfsc] ἐξεγείρω[vdpm2s] καί[cc] μή[x] οὐραγέω[vdpa2s] ἀποτρέχω[vdpa2s] εἰς[pa] οἶκος[namsc] καί[cc] μή[x] ῥᾳθυμέω[vdpa2s]. **v.12** ἐκεῖ[b] παίζω[vdpa2s] καί[cc] ποιέω[vdpa2s] ὁ[danp] ἐνθύμημα[nanpc] σύ[rpg-s] καί[cc] μή[x] ἁμαρτάνω[vsaa2s] λόγος[ndmsc] ὑπερήφανος[andmsn]. **v.13** καί[cc] ἐπί[pd] οὗτος[rddnp] εὐλογέω[vdaa2s] ὁ[dams] ποιέω[vpaaams] σύ[rpa-s] καί[cc] μεθύσκω[vppaams] σύ[rpa-s] ἀπό[pg] ὁ[dgnp] ἀγαθός[angnpn] αὐτός[rpgms]. **v.14** ὁ[dnms] φοβέω[vppmnms] κύριος[namsc] ἐκδέχομαι[vifm3s] παιδεία[nafsc] καί[cc] ὁ[dnmp] ὀρθρίζω[vppanmp] εὑρίσκω[vifa3p] εὐδοκία[nafsc]. **v.15** ὁ[dnms] ζητέω[vppanms] νόμος[namsc] ἐμπίπλημι[vifp3s] αὐτός[rpgms] καί[cc] ὁ[dnms] ὑποκρίνομαι[vppmnms] σκανδαλίζω[vifp3s] ἐν[pd] αὐτός[rpdms]. **v.16** ὁ[dnmp] φοβέω[vppmnmp] κύριος[namsc] εὑρίσκω[vifa3p] κρίμα[nansc] καί[cc] δικαίωμα[nanpc] ὡς[cs] φῶς[nnnsc] ἐξάπτω[vifa3p]. **v.17** ἄνθρωπος[nnmsc] ἁμαρτωλός[annmsn] ἐκκλίνω[vifa3s] ἐλεγμός[namsc] καί[cc] κατά[pa] ὁ[dans] θέλημα[nansc] αὐτός[rpgms] εὑρίσκω[vifa3s] σύγκριμα[nansc]. **v.18** ἀνήρ[nnmsc] βουλή[ngfsc] οὐ[b] μή[x] παροράω[vsaa3s] διανόημα[nansc] ἀλλότριος[annmsn] καί[cc] ὑπερήφανος[annmsn] οὐ[b] καταπτήσσω[vifa3s] φόβος[namsc]. **v.19** ἄνευ[pg] βουλή[ngfsc] μηθείς[rians] ποιέω[vsaa2s] καί[cc] ἐν[pd] ὁ[ddns] ποιέω[vnaa] σύ[rpa-s] μή[x] μεταμέλομαι[vdpm2s]. **v.20** ἐν[pd] ὁδός[ndfsc] ἀντίπτωμα[ngnsc] μή[x] πορεύομαι[vdpm2s] καί[cc] μή[x] προσκόπτω[vsaa2s] ἐν[pd] λιθώδης[andnpn]. **v.21** μή[x] πιστεύω[vsaa2s] ἐν[pd] ὁδός[ndfsc] ἀπρόσκοπος[andfsn]. **v.22** καί[cc] ἀπό[pg] ὁ[dgnp] τέκνον[ngnpc] σύ[rpg-s] φυλάσσω[vdam2s]. **v.23** ἐν[pd] πᾶς[aidnsn] ἔργον[ndnsc] πιστεύω[vdpa2s] ὁ[ddfs] ψυχή[ndfsc] σύ[rpg-s] καί[cc] γάρ[cc] οὗτος[rdnns] εἰμί[vipa3s] τήρησις[nnfsc] ἐντολή[ngfpc]. **v.24** ὁ[dnms] πιστεύω[vppanms] νόμος[ndmsc] προσέχω[vipa3s] ἐντολή[ndfpc] καί[cc] ὁ[dnms] πείθω[vpxanms] κύριος[ndmsc] οὐ[b] ἐλαττόω[vifp3s]. **33. v.1** ὁ[ddms] φοβέω[vppmdms] κύριος[namsc] οὐ[b] ἀπαντάω[vifa3s] κακός[annnsn] ἀλλά[cc] ἐν[pd] πειρασμός[ndmsc] καί[cc] πάλιν[b] ἐξαιρέω[vifm3s]. **v.2** ἀνήρ[nnmsc] σοφός[annmsn] οὐ[b] μισέω[vifa3s] νόμος[namsc] ὁ[dnms] δέ[cc] ὑποκρίνομαι[vppmnms] ἐν[pd] αὐτός[rpdms] ὡς[cs] ἐν[pd] καταιγίς[ndfsc] πλοῖον[nnnsc].

ἐμπιστεύσει νόμῳ καὶ ὁ νόμος αὐτῷ πιστὸς ὡς ἐρώτημα δήλων.
ἑτοίμασον λόγον καὶ οὕτως ἀκουσθήσῃ σύνδησον παιδείαν καὶ 4
ἀποκρίθητι. τροχὸς ἁμάξης σπλάγχνα μωροῦ καὶ ὡς ἄξων στρε- 5
φόμενος ὁ διαλογισμὸς αὐτοῦ. ἵππος εἰς ὀχείαν ὡς φίλος μωκός 6
ὑποκάτω παντὸς ἐπικαθημένου χρεμετίζει. διὰ τί ἡμέρα ἡμέρας 7
ὑπερέχει καὶ πᾶν φῶς ἡμέρας ἐνιαυτοῦ ἀφ᾽ ἡλίου. ἐν γνώσει 8
κυρίου διεχωρίσθησαν καὶ ἠλλοίωσεν καιροὺς καὶ ἑορτάς. ἀπ᾽ 9
αὐτῶν ἀνύψωσεν καὶ ἡγίασεν καὶ ἐξ αὐτῶν ἔθηκεν εἰς ἀριθμὸν
ἡμερῶν. καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφους καὶ ἐκ γῆς ἐκτίσθη 10
Αδαμ. ἐν πλήθει ἐπιστήμης κύριος διεχώρισεν αὐτοὺς καὶ ἠλ- 11
λοίωσεν τὰς ὁδοὺς αὐτῶν. ἐξ αὐτῶν εὐλόγησεν καὶ ἀνύψωσεν καὶ 12
ἐξ αὐτῶν ἡγίασεν καὶ πρὸς αὐτὸν ἤγγισεν ἀπ᾽ αὐτῶν κατηράσατο
καὶ ἐταπείνωσεν καὶ ἀνέστρεψεν αὐτοὺς ἀπὸ στάσεως αὐτῶν. ὡς 13
πηλὸς κεραμέως ἐν χειρὶ αὐτοῦ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κατὰ τὴν
εὐδοκίαν αὐτοῦ οὕτως ἄνθρωποι ἐν χειρὶ τοῦ ποιήσαντος αὐτοὺς
ἀποδοῦναι αὐτοῖς κατὰ τὴν κρίσιν αὐτοῦ. ἀπέναντι τοῦ κακοῦ τὸ 14
ἀγαθόν καὶ ἀπέναντι τοῦ θανάτου ἡ ζωή οὕτως ἀπέναντι εὐσεβοῦς
ἁμαρτωλός. καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τοῦ ὑψίστου 15
δύο δύο ἓν κατέναντι τοῦ ἑνός. κἀγὼ ἔσχατος ἠγρύπνησα ὡς 16
καλαμώμενος ὀπίσω τρυγητῶν. ἐν εὐλογίᾳ κυρίου ἔφθασα καὶ 17

---

**v.3** ἄνθρωπος[nnmsc] συνετός[annmsn] ἐμπιστεύω[vifa3s] νόμος[ndmsc] καί[cc] ὁ[dnms] νόμος[nnmsc] αὐτός[rpdms] πιστός[annmsn] ὡς[cs] ἐρώτημα[nnnsc] δῆλος[angnpn]. **v.4** ἑτοιμάζω[vdaa2s] λόγος[namsc] καί[cc] οὕτως[b] ἀκούω[vifp2s] συνδέω[vdaa2s] παιδεία[nafsc] καί[cc] ἀποκρίνομαι[vdap2s]. **v.5** τροχός[nnmsc] ἅμαξα[ngfsc] σπλάγχνον[nnnpc] μωρός[angmsn] καί[cc] ὡς[cs] ἄξων[nnmsc] στρέφω[vppmnms] ὁ[dnms] διαλογισμός[nnmsc] αὐτός[rpgms]. **v.6** ἵππος[nnmsc] εἰς[pa] ὀχεία[nafsc] ὡς[cs] φίλος[annmsn] μωκός[nnmsc] ὑποκάτω[pg] πᾶς[aigmsn] ἐπικάθημαι[vppmgms] χρεμετίζω[vipa3s]. **v.7** διά[pa] τίς[rqans] ἡμέρα[nnfsc] ἡμέρα[ngfsc] ὑπερέχω[vipa3s] καί[cc] πᾶς[ainnsn] φῶς[nnnsc] ἡμέρα[ngfsc] ἐνιαυτός[ngmsc] ἀπό[pg] ἥλιος[ngmsc]. **v.8** ἐν[pd] γνῶσις[ndfsc] κύριος[ngmsc] διαχωρίζω[viap3p] καί[cc] ἀλλοιόω[viaa3s] καιρός[nampc] καί[cc] ἑορτή[nafpc]. **v.9** ἀπό[pg] αὐτός[rpgmp] ἀνυψόω[viaa3s] καί[cc] ἁγιάζω[viaa3s] καί[cc] ἐκ[pg] αὐτός[rpgmp] τίθημι[viaa3s] εἰς[pa] ἀριθμός[namsc] ἡμέρα[ngfpc]. **v.10** καί[cc] ἄνθρωπος[nnmpc] πᾶς[ainmpn] ἀπό[pg] ἔδαφος[ngnsc] καί[cc] ἐκ[pg] γῆ[ngfsc] κτίζω[viap3s] Ἀδάμ[nnmsp]. **v.11** ἐν[pd] πλῆθος[ndnsc] ἐπιστήμη[ngfsc] κύριος[nnmsc] διαχωρίζω[viaa3s] αὐτός[rpamp] καί[cc] ἀλλοιόω[viaa3s] ὁ[dafp] ὁδός[nafpc] αὐτός[rpgmp]. **v.12** ἐκ[pg] αὐτός[rpgmp] εὐλογέω[viaa3s] καί[cc] ἀνυψόω[viaa3s] καί[cc] ἐκ[pg] αὐτός[rpgmp] ἁγιάζω[viaa3s] καί[cc] πρός[pa] αὐτός[rpams] ἐγγίζω[viaa3s] ἀπό[pg] αὐτός[rpgmp] καταράομαι[viam3s] καί[cc] ταπεινόω[viaa3s] καί[cc] ἀναστρέφω[viaa3s] αὐτός[rpamp] ἀπό[pg] στάσις[ngfsc] αὐτός[rpgmp]. **v.13** ὡς[cs] πηλός[nnmsc] κεραμεύς[ngmsc] ἐν[pd] χείρ[ndfsc] αὐτός[rpgms] πᾶς[ainfpn] ὁ[dnfp] ὁδός[nnfpc] αὐτός[rpgms] κατά[pa] ὁ[dafs] εὐδοκία[nafsc] αὐτός[rpgms] οὕτως[b] ἄνθρωπος[nnmpc] ἐν[pd] χείρ[ndfsc] ὁ[dgms] ποιέω[vpaagms] αὐτός[rpamp] ἀποδίδωμι[vnaa] αὐτός[rpdmp] κατά[pa] ὁ[dafs] κρίσις[nafsc] αὐτός[rpgms]. **v.14** ἀπέναντι[pg] ὁ[dgns] κακός[angnsn] ὁ[dnns] ἀγαθός[annnsn] καί[cc] ἀπέναντι[pg] ὁ[dgms] θάνατος[ngmsc] ὁ[dnfs] ζωή[nnfsc] οὕτως[b] ἀπέναντι[pg] εὐσεβής[angmsn] ἁμαρτωλός[annmsn]. **v.15** καί[cc] οὕτως[b] ἐμβλέπω[vdaa2s] εἰς[pa] πᾶς[aianpn] ὁ[danp] ἔργον[nanpc] ὁ[dgms] ὕψιστος[angmsn] δύο[ac—n] δύο[ac—n] εἷς[acnnsn] κατέναντι[pg] ὁ[dgns] εἷς[acgnsn]. **v.16** καί&ἐγώ[cc&rpn-s] ἔσχατος[annmsn] ἀγρυπνέω[viaa1s] ὡς[cs] καλαμάομαι[vppmnms] ὀπίσω[pg] τρύγητος[ngmpc].

18 ὡς τρυγῶν ἐπλήρωσα ληνόν. κατανοήσατε ὅτι οὐκ ἐμοὶ μόνῳ
19 ἐκοπίασα ἀλλὰ πᾶσιν τοῖς ζητοῦσιν παιδείαν. ἀκούσατέ μου
20 μεγιστᾶνες λαοῦ καὶ οἱ ἡγούμενοι ἐκκλησίας ἐνωτίσασθε. υἱῷ
καὶ γυναικί ἀδελφῷ καὶ φίλῳ μὴ δῷς ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σου
καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματά σου ἵνα μὴ μεταμεληθεὶς δέῃ περὶ
21 αὐτῶν. ἕως ἔτι ζῇς καὶ πνοὴ ἐν σοί μὴ ἀλλάξῃς σεαυτὸν ἐν πάσῃ
22 σαρκί. κρεῖσσον γάρ ἐστιν τὰ τέκνα δεηθῆναί σου ἢ σὲ ἐμβλέπειν
23 εἰς χεῖρας υἱῶν σου. ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ὑπεράγων μὴ
24 δῷς μῶμον ἐν τῇ δόξῃ σου. ἐν ἡμέρᾳ συντελείας ἡμερῶν ζωῆς
25 σου καὶ ἐν καιρῷ τελευτῆς διάδος κληρονομίαν. χορτάσματα
καὶ ῥάβδος καὶ φορτία ὄνῳ ἄρτος καὶ παιδεία καὶ ἔργον οἰκέτῃ.
26 ἔργασαι ἐν παιδί καὶ εὑρήσεις ἀνάπαυσιν ἄνες χεῖρας αὐτῷ καὶ
27 ζητήσει ἐλευθερίαν. ζυγὸς καὶ ἱμὰς τράχηλον κάμψουσιν καὶ
28 οἰκέτῃ κακούργῳ στρέβλαι καὶ βάσανοι. ἔμβαλε αὐτὸν εἰς ἐρ-
29 γασίαν ἵνα μὴ ἀργῇ πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία. εἰς
ἔργα κατάστησον καθὼς πρέπει αὐτῷ κἂν μὴ πειθαρχῇ βάρυνον
30 τὰς πέδας αὐτοῦ. καὶ μὴ περισσεύσῃς ἐπὶ πάσῃ σαρκὶ καὶ ἄνευ
31 κρίσεως μὴ ποιήσῃς μηδέν. εἰ ἔστιν σοι οἰκέτης ἔστω ὡς σύ ὅτι
32 ἐν αἵματι ἐκτήσω αὐτόν. εἰ ἔστιν σοι οἰκέτης ἄγε αὐτὸν ὡς ἀδελ-
33 φόν ὅτι ὡς ἡ ψυχή σου ἐπιδεήσεις αὐτῷ. ἐὰν κακώσῃς αὐτὸν

---

**v.17** ἐν[pd] εὐλογία[ndfsc] κύριος[ngmsc] φθάνω[viaa1s] καί[cc] ὡς[cs] τρυγάω[vppanms] πληρόω[viaa1s] ληνός[nafsc]. **v.18** κατανοέω[vdaa2p] ὅτι[cs] οὐ[b] ἐγώ[rpd-s] μόνος[andmsn] κοπιάω[viaa1s] ἀλλά[cc] πᾶς[aidmpn] ὁ[ddmp] ζητέω[vppadmp] παιδεία[nafsc]. **v.19** ἀκούω[vdaa2p] ἐγώ[rpg-s] μεγιστάν[nvmpc] λαός[ngmsc] καί[cc] ὁ[dnmp] ἡγέομαι[vppmnmp] ἐκκλησία[ngfsc] ἐνωτίζομαι[vdam2p]. **v.20** υἱός[ndmsc] καί[cc] γυνή[ndfsc] ἀδελφός[ndmsc] καί[cc] φίλος[andmsn] μή[x] δίδωμι[vsaa2s] ἐξουσία[nafsc] ἐπί[pa] σύ[rpa-s] ἐν[pd] ζωή[ndfsc] σύ[rpg-s] καί[cc] μή[x] δίδωμι[vsaa2s] ἕτερος[aidmsn] ὁ[danp] χρῆμα[nanpc] σύ[rpg-s] ἵνα[cs] μή[x] μεταμέλομαι[vpapnms] δέομαι[vspm2s] περί[pg] αὐτός[rpgnp]. **v.21** ἕως[cs] ἔτι[b] ζάω[vipa2s] καί[cc] πνοή[nnfsc] ἐν[pd] σύ[rpd-s] μή[x] ἀλλάσσω[vsaa2s] σεαυτοῦ[rxams] ἐν[pd] πᾶς[aidfsn] σάρξ[ndfsc]. **v.22** ἀγαθός[annnsc] γάρ[cc] εἰμί[vipa3s] ὁ[danp] τέκνον[nanpc] δέομαι[vnap] σύ[rpg-s] ἤ[cc] σύ[rpa-s] ἐμβλέπω[vnpa] εἰς[pa] χείρ[nafpc] υἱός[ngmpc] σύ[rpg-s]. **v.23** ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] ἔργον[ndnpc] σύ[rpg-s] γίνομαι[vdpm2s] ὑπεράγω[vppanms] μή[x] δίδωμι[vsaa2s] μῶμος[namsc] ἐν[pd] ὁ[ddfs] δόξα[ndfsc] σύ[rpg-s]. **v.24** ἐν[pd] ἡμέρα[ndfsc] συντέλεια[ngfsc] ἡμέρα[ngfpc] ζωή[ngfsc] σύ[rpg-s] καί[cc] ἐν[pd] καιρός[ndmsc] τελευτή[ngfsc] διαδίδωμι[vdaa2s] κληρονομία[nafsc]. **v.25** χόρτασμα[nnnpc] καί[cc] ῥάβδος[nnfsc] καί[cc] φορτίον[nnnpc] ὄνος[ndmsc] ἄρτος[nnmsc] καί[cc] παιδεία[nnfsc] καί[cc] ἔργον[nnnsc] οἰκέτης[ndmsc]. **v.26** ἐργάζομαι[vdam2s] ἐν[pd] παῖς[ndmsc] καί[cc] εὑρίσκω[vifa2s] ἀνάπαυσις[nafsc] ἀνίημι[vdaa2s] χείρ[nafpc] αὐτός[rpdms] καί[cc] ζητέω[vifa3s] ἐλευθερία[nafsc]. **v.27** ζυγός[nnmsc] καί[cc] ἱμάς[nnmsc] τράχηλος[namsc] κάμπτω[vifa3p] καί[cc] οἰκέτης[ndmsc] κακοῦργος[andmsn] στρέβλη[nnfpc] καί[cc] βάσανος[nnfpc]. **v.28** ἐμβάλλω[vdaa2s] αὐτός[rpams] εἰς[pa] ἐργασία[nafsc] ἵνα[cs] μή[x] ἀργέω[vspa3s] πολύς[anafsn] γάρ[cc] κακία[nafsc] διδάσκω[viaa3s] ὁ[dnfs] ἀργία[nnfsc]. **v.29** εἰς[pa] ἔργον[nanpc] καθίστημι[vdaa2s] καθώς[cs] πρέπω[vipa3s] αὐτός[rpdms] καί&ἐάν[cc&cs] μή[x] πειθαρχέω[vspa3s] βαρύνω[vdaa2s] ὁ[dafp] πέδη[nafpc] αὐτός[rpgms]. **v.30** καί[cc] μή[x] περισσεύω[vsaa2s] ἐπί[pd] πᾶς[aidfsn] σάρξ[ndfsc] καί[cc] ἄνευ[pg] κρίσις[ngfsc] μή[x] ποιέω[vsaa2s] μηδείς[rians]. **v.31** εἰ[cs] εἰμί[vipa3s] σύ[rpd-s] οἰκέτης[nnmsc] εἰμί[vdpa3s] ὡς[cs] σύ[rpn-s] ὅτι[cs] ἐν[pd] αἷμα[ndnsc] κτάομαι[viam2s] αὐτός[rpams]. **v.32** εἰ[cs] εἰμί[vipa3s] σύ[rpd-s] οἰκέτης[nnmsc] ἄγω[vdpa2s] αὐτός[rpams] ὡς[cs] ἀδελφός[namsc] ὅτι[cs] ὡς[cs] ὁ[dnfs] ψυχή[nnfsc] σύ[rpg-s] ἐπιδέω-2[vifa2s] αὐτός[rpdms].

καὶ ἀπάρας ἀποδρᾷ ἐν ποίᾳ ὁδῷ ζητήσεις αὐτόν.
κεναὶ ἐλπίδες καὶ ψευδεῖς ἀσυνέτῳ ἀνδρί καὶ ἐνύπνια ἀνα- **34**
πτεροῦσιν ἄφρονας. ὡς δρασσόμενος σκιᾶς καὶ διώκων ἄνεμον 2
οὕτως ὁ ἐπέχων ἐνυπνίοις. τοῦτο κατὰ τούτου ὅρασις ἐνυπνίων 3
κατέναντι προσώπου ὁμοίωμα προσώπου. ἀπὸ ἀκαθάρτου τί 4
καθαρισθήσεται καὶ ἀπὸ ψευδοῦς τί ἀληθεύσει. μαντεῖαι καὶ 5
οἰωνισμοὶ καὶ ἐνύπνια μάταιά ἐστιν καὶ ὡς ὠδινούσης φαντάζεται
καρδία. ἐὰν μὴ παρὰ ὑψίστου ἀποσταλῇ ἐν ἐπισκοπῇ μὴ δῷς 6
εἰς αὐτὰ τὴν καρδίαν σου. πολλοὺς γὰρ ἐπλάνησεν τὰ ἐνύπνια 7
καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ᾽ αὐτοῖς. ἄνευ ψεύδους συντελεσθή- 8
σεται νόμος καὶ σοφία στόματι πιστῷ τελείωσις. ἀνὴρ πεπλανη- 9
μένος ἔγνω πολλά καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν. ὃς 10
οὐκ ἐπειράθη ὀλίγα οἶδεν ὁ δὲ πεπλανημένος πληθυνεῖ πανουρ-
γίαν. πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου καὶ πλείονα τῶν 11
λόγων μου σύνεσίς μου. πλεονάκις ἕως θανάτου ἐκινδύνευσα 12
καὶ διεσώθην τούτων χάριν. πνεῦμα φοβουμένων κύριον ζήσε- 13
ται ἡ γὰρ ἐλπὶς αὐτῶν ἐπὶ τὸν σῴζοντα αὐτούς. ὁ φοβούμενος 14
κύριον οὐδὲν εὐλαβηθήσεται καὶ οὐ μὴ δειλιάσῃ ὅτι αὐτὸς ἐλπὶς
αὐτοῦ. φοβουμένου τὸν κύριον μακαρία ἡ ψυχή τίνι ἐπέχει καὶ 15
τίς αὐτοῦ στήριγμα. οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς ἀγαπῶντας 16
αὐτόν ὑπερασπισμὸς δυναστείας καὶ στήριγμα ἰσχύος σκέπη ἀ-
πὸ καύσωνος καὶ σκέπη ἀπὸ μεσημβρίας φυλακὴ ἀπὸ προσκόμ-

---

**v.33** ἐάν[cs] κακόω[vsaa2s] αὐτός[rpams] καί[cc] ἀπαίρω[vpaanms] ἀποδιδράσκω[vsaa3s] ἐν[pd] ποῖος[aqdfsn] ὁδός[ndfsc] ζητέω[vifa2s] αὐτός[rpams]. **34. v.1** κενός[annfpn] ἐλπίς[nnfpc] καί[cc] ψευδής[annfpn] ἀσύνετος[andmsn] ἀνήρ[ndmsc] καί[cc] ἐνύπνιον[nnnpc] ἀναπτερόω[vipa3p] ἄφρων[anampn]. **v.2** ὡς[cs] δράσσομαι[vppmnms] σκιά[ngfsc] καί[cc] διώκω[vppanms] ἄνεμος[namsc] οὕτως[b] ὁ[dnms] ἐπέχω[vppanms] ἐνύπνιον[ndnpc]. **v.3** οὗτος[rdnns] κατά[pg] οὗτος[rdgns] ὅρασις[nnfsc] ἐνύπνιον[ngnpc] κατέναντι[pg] πρόσωπον[ngnsc] ὁμοίωμα[nnnsc] πρόσωπον[ngnsc]. **v.4** ἀπό[pg] ἀκάθαρτος[angnsn] τίς[rqnns] καθαρίζω[vifp3s] καί[cc] ἀπό[pg] ψευδής[angnsn] τίς[rqnns] ἀληθεύω[vifa3s]. **v.5** μαντεία[nnfpc] καί[cc] οἰωνισμός[nnmpc] καί[cc] ἐνύπνιον[nnnpc] μάταιος[annnpn] εἰμί[vipa3s] καί[cc] ὡς[cs] ὠδίνω[vppagfs] φαντάζω[vipp3s] καρδία[nnfsc]. **v.6** ἐάν[cs] μή[x] παρά[pg] ὕψιστος[angmsn] ἀποστέλλω[vsap3s] ἐν[pd] ἐπισκοπή[ndfsc] μή[x] δίδωμι[vsaa2s] εἰς[pa] αὐτός[rpanp] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s]. **v.7** πολύς[anampn] γάρ[cc] πλανάω[viaa3s] ὁ[dnnp] ἐνύπνιον[nnnpc] καί[cc] ἐκπίπτω[viaa3p] ἐλπίζω[vppanmp] ἐπί[pd] αὐτός[rpdnp]. **v.8** ἄνευ[pg] ψεῦδος[ngnsc] συντελέω[vifp3s] νόμος[nnmsc] καί[cc] σοφία[nnfsc] στόμα[ndnsc] πιστός[andnsn] τελείωσις[nnfsc]. **v.9** ἀνήρ[nnmsc] πλανάω[vpxpnms] γινώσκω[viaa3s] πολύς[ananpn] καί[cc] ὁ[dnms] πολύπειρος[annmsn] ἐκδιηγέομαι[vifm3s] σύνεσις[nafsc]. **v.10** ὅς[rrnms] οὐ[b] πειράω[viap3s] ὀλίγος[ananpn] οἶδα[vixa3s] ὁ[dnms] δέ[cc] πλανάω[vpxpnms] πληθύνω[vifa3s] πανουργία[nafsc]. **v.11** πολύς[ananpn] ὁράω[vixa1s] ἐν[pd] ὁ[ddfs] ἀποπλάνησις[ndfsc] ἐγώ[rpg-s] καί[cc] πολύς[ananpc] ὁ[dgmp] λόγος[ngmpc] ἐγώ[rpg-s] σύνεσις[nnfsc] ἐγώ[rpg-s]. **v.12** πλεονάκις[b] ἕως[pg] θάνατος[ngmsc] κινδυνεύω[viaa1s] καί[cc] διασῴζω[viap1s] οὗτος[rdgnp] χάριν[pg]. **v.13** πνεῦμα[nnnsc] φοβέω[vppmgmp] κύριος[namsc] ζάω[vifm3s] ὁ[dnfs] γάρ[cc] ἐλπίς[nnfsc] αὐτός[rpgmp] ἐπί[pa] ὁ[dams] σῴζω[vppaams] αὐτός[rpamp]. **v.14** ὁ[dnms] φοβέω[vppmnms] κύριος[namsc] οὐδείς[rians] εὐλαβέομαι[vifp3s] καί[cc] οὐ[b] μή[x] δειλιάω[vsaa3s] ὅτι[cs] αὐτός[rpnms] ἐλπίς[nnfsc] αὐτός[rpgms]. **v.15** φοβέω[vppmgms] ὁ[dams] κύριος[namsc] μακάριος[annfsn] ὁ[dnfs] ψυχή[nnfsc] τίς[rqdms] ἐπέχω[vipa3s] καί[cc] τίς[rqnms] αὐτός[rpgms] στήριγμα[nnnsc].

17 ματος καὶ βοήθεια ἀπὸ πτώσεως. ἀνυψῶν ψυχὴν καὶ φωτίζων
18 ὀφθαλμούς ἴασιν διδούς ζωὴν καὶ εὐλογίαν. θυσιάζων ἐξ ἀ-
δίκου προσφορὰ μεμωμημένη καὶ οὐκ εἰς εὐδοκίαν δωρήματα
19 ἀνόμων. οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν οὐδὲ
20 ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας. θύων υἱὸν ἔναντι τοῦ
21 πατρὸς αὐτοῦ ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων. ἄρτος
ἐπιδεομένων ζωὴ πτωχῶν ὁ ἀποστερῶν αὐτὴν ἄνθρωπος αἱμάτων.
22 φονεύων τὸν πλησίον ὁ ἀφαιρούμενος ἐμβίωσιν καὶ ἐκχέων αἷμα
23 ὁ ἀποστερῶν μισθὸν μισθίου. εἷς οἰκοδομῶν καὶ εἷς καθαιρῶν
24 τί ὠφέλησαν πλεῖον ἢ κόπους. εἷς εὐχόμενος καὶ εἷς καταρώ-
25 μενος τίνος φωνῆς εἰσακούσεται ὁ δεσπότης. βαπτιζόμενος ἀπὸ
νεκροῦ καὶ πάλιν ἁπτόμενος αὐτοῦ τί ὠφέλησεν ἐν τῷ λουτρῷ
26 αὐτοῦ. οὕτως ἄνθρωπος νηστεύων ἐπὶ τῶν ἁμαρτιῶν αὐτοῦ καὶ
πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν τῆς προσευχῆς αὐτοῦ τίς
εἰσακούσεται καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν.

**35** ὁ συντηρῶν νόμον πλεονάζει προσφοράς θυσιάζων σωτηρίου
2 ὁ προσέχων ἐντολαῖς. ἀνταποδιδοὺς χάριν προσφέρων σεμί-
3 δαλιν καὶ ὁ ποιῶν ἐλεημοσύνην θυσιάζων αἰνέσεως. εὐδοκία
κυρίου ἀποστῆναι ἀπὸ πονηρίας καὶ ἐξιλασμὸς ἀποστῆναι ἀπὸ
4 ἀδικίας. μὴ ὀφθῇς ἐν προσώπῳ κυρίου κενός πάντα γὰρ ταῦτα

---

καλόν σου τὸ κρίμα ἐστὶν ἀνθρώπῳ ἐπιδεομένῳ καὶ ἐλασσουμένῳ
ἰσχύι ἐσχατογήρῳ καὶ περισπωμένῳ περὶ πάντων καὶ ἀπειθοῦντι
3 καὶ ἀπολωλεκότι ὑπομονήν. μὴ εὐλαβοῦ κρίμα θανάτου μνή-
4 σθητι προτέρων σου καὶ ἐσχάτων. τοῦτο τὸ κρίμα παρὰ κυρίου
πάσῃ σαρκί καὶ τί ἀπαναίνῃ ἐν εὐδοκίᾳ ὑψίστου εἴτε δέκα εἴτε
5 ἑκατὸν εἴτε χίλια ἔτη οὐκ ἔστιν ἐν ᾅδου ἐλεγμὸς ζωῆς. τέκνα βδε-
λυρὰ γίνεται τέκνα ἁμαρτωλῶν καὶ συναναστρεφόμενα παροικί-
6 αις ἀσεβῶν. τέκνων ἁμαρτωλῶν ἀπολεῖται κληρονομία καὶ μετὰ
7 τοῦ σπέρματος αὐτῶν ἐνδελεχιεῖ ὄνειδος. πατρὶ ἀσεβεῖ μέμψεται
8 τέκνα ὅτι δι' αὐτὸν ὀνειδισθήσονται. οὐαὶ ὑμῖν ἄνδρες ἀσεβεῖς
9 οἵτινες ἐγκατελίπετε νόμον θεοῦ ὑψίστου. καὶ ἐὰν γεννηθῆτε εἰς
κατάραν γεννηθήσεσθε καὶ ἐὰν ἀποθάνητε εἰς κατάραν μερισθή-
10 σεσθε. πάντα ὅσα ἐκ γῆς εἰς γῆν ἀπελεύσεται οὕτως ἀσεβεῖς ἀ-
11 πὸ κατάρας εἰς ἀπώλειαν. πένθος ἀνθρώπων ἐν σώμασιν αὐτῶν
12 ὄνομα δὲ ἁμαρτωλῶν οὐκ ἀγαθὸν ἐξαλειφθήσεται. φρόντισον
περὶ ὀνόματος αὐτὸ γάρ σοι διαμενεῖ ἢ χίλιοι μεγάλοι θησαυροὶ
13 χρυσίου. ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν καὶ ἀγαθὸν ὄνομα εἰς
14 αἰῶνα διαμενεῖ. παιδείαν ἐν εἰρήνῃ συντηρήσατε τέκνα σοφία
δὲ κεκρυμμένη καὶ θησαυρὸς ἀφανής τίς ὠφέλεια ἐν ἀμφοτέροις.

---

**41.** **v.1** ὦ[i] θάνατος[nvmsc] ὡς[cs] πικρός[annnsn] σύ[rpg-s] ὁ[dnns] μνημόσυνον[nnnsc] εἰμί[vipa3s] ἄνθρωπος[ndmsc] εἰρηνεύω[vppadms] ἐν[pd] ὁ[ddnp] ὑπάρχω[vppadnp] αὐτός[rpgms] ἀνήρ[ndmsc] ἀπερίσπαστος[andmsn] καί[cc] εὐοδόω[vpppdms] ἐν[pd] πᾶς[aidnpn] καί[cc] ἔτι[b] ἰσχύω[vppadms] ἐπιδέχομαι[vnam] τροφή[nafsc]. **v.2** ὦ[i] θάνατος[nvmsc] καλός[annnsn] σύ[rpg-s] ὁ[dnns] κρίμα[nnnsc] εἰμί[vipa3s] ἄνθρωπος[ndmsc] ἐπιδέομαι[vppmdms] καί[cc] ἐλαττόω[vppmdms] ἰσχύς[ndfsc] ἐσχατογήρως[andmsn] καί[cc] περισπάω[vpppdms] περί[pg] πᾶς[aignpn] καί[cc] ἀπειθέω[vppadms] καί[cc] ἀπόλλυμι[vpxadms] ὑπομονή[nafsc]. **v.3** μή[x] εὐλαβέομαι[vdpm2s] κρίμα[nansc] θάνατος[ngmsc] μιμνῄσκομαι[vdap2s] πρότερος[angmpn] σύ[rpg-s] καί[cc] ἔσχατος[angmpn]. **v.4** οὗτος[rdnns] ὁ[dnns] κρίμα[nnnsc] παρά[pg] κύριος[ngmsc] πᾶς[aidfsn] σάρξ[ndfsc] καί[cc] τίς[rqnns] ἀπαναίνομαι[vspm2s] ἐν[pd] εὐδοκία[ndfsc] ὕψιστος[angmsn] εἴτε[cc] δέκα[ac—n] εἴτε[cc] ἑκατόν[ac—n] εἴτε[cc] χίλιοι[acnnpn] ἔτος[nnnpc] οὐ[b] εἰμί[vipa3s] ἐν[pd] ᾅδης[ngmsc] ἐλεγμός[nnmsc] ζωή[ngfsc]. **v.5** τέκνον[nnnpc] βδελυρός[annnpn] γίνομαι[vipm3s] τέκνον[nnnpc] ἁμαρτωλός[angmpn] καί[cc] συναναστρέφω[vppmnnp] παροικία[ndfpc] ἀσεβής[angmpn]. **v.6** τέκνον[ngnpc] ἁμαρτωλός[angmpn] ἀπόλλυμι[vifm3s] κληρονομία[nnfsc] καί[cc] μετά[pg] ὁ[dgns] σπέρμα[ngnsc] αὐτός[rpgmp] ἐνδελεχίζω[vifa3s] ὄνειδος[nansc]. **v.7** πατήρ[ndmsc] ἀσεβής[andmsn] μέμφομαι[vifm3s] τέκνον[nnnpc] ὅτι[cs] διά[pa] αὐτός[rpams] ὀνειδίζω[vifp3p]. **v.8** οὐαί[i] σύ[rpd-p] ἀνήρ[nnmpc] ἀσεβής[annmpn] ὅστις[rrnmp] ἐγκαταλείπω[viaa2p] νόμος[namsc] θεός[ngmsc] ὕψιστος[angmsn]. **v.9** καί[cc] ἐάν[cs] γεννάω[vsap2p] εἰς[pa] κατάρα[nafsc] γεννάω[vifp2p] καί[cc] ἐάν[cs] ἀποθνῄσκω[vsaa2p] εἰς[pa] κατάρα[nafsc] μερίζω[vifp2p]. **v.10** πᾶς[ainnpn] ὅσος[rrnnpn] ἐκ[pg] γῆ[ngfsc] εἰς[pa] γῆ[nafsc] ἀπέρχομαι[vifm3s] οὕτως[b] ἀσεβής[annmpn] ἀπό[pg] κατάρα[ngfsc] εἰς[pa] ἀπώλεια[nafsc]. **v.11** πένθος[nnnsc] ἄνθρωπος[ngmpc] ἐν[pd] σῶμα[ndnpc] αὐτός[rpgmp] ὄνομα[nnnsc] δέ[cc] ἁμαρτωλός[angmpn] οὐ[b] ἀγαθός[annnsn] ἐξαλείφω[vifp3s]. **v.12** φροντίζω[vdaa2s] περί[pg] ὄνομα[ngnsc] αὐτός[rpnns] γάρ[cc] σύ[rpd-s] διαμένω[vifa3s] ἤ[cc] χίλιοι[acnmpn] μέγας[annmpn] θησαυρός[nnmpc] χρυσίον[ngnsc]. **v.13** ἀγαθός[angfsn] ζωή[ngfsc] ἀριθμός[nnmsc] ἡμέρα[ngfpc] καί[cc] ἀγαθός[annnsn] ὄνομα[nnnsc] εἰς[pa] αἰών[namsc] διαμένω[vifa3s]. **v.14** παιδεία[nafsc] ἐν[pd] εἰρήνη[ndfsc] συντηρέω[vdaa2p] τέκνον[nvnpc] σοφία[nnfsc] δέ[cc] κρύπτω[vpxmnfs] καί[cc] θησαυρός[nnmsc] ἀφανής[annmsn] τίς[aqnfsn] ὠφέλεια[nnfsc] ἐν[pd] ἀμφότεροι[addnpn].

κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ ἢ ἄνθρωπος 15
ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ. τοιγαροῦν ἐντράπητε ἐπὶ τῷ ῥή- 16
ματί μου οὐ γάρ ἐστιν πᾶσαν αἰσχύνην διαφυλάξαι καλόν καὶ
οὐ πάντα πᾶσιν ἐν πίστει εὐδοκιμεῖται. αἰσχύνεσθε ἀπὸ πατρὸς 17
καὶ μητρὸς περὶ πορνείας καὶ ἀπὸ ἡγουμένου καὶ δυνάστου περὶ
ψεύδους. ἀπὸ κριτοῦ καὶ ἄρχοντος περὶ πλημμελείας καὶ ἀπὸ 18
συναγωγῆς καὶ λαοῦ περὶ ἀνομίας. ἀπὸ κοινωνοῦ καὶ φίλου 19
περὶ ἀδικίας καὶ ἀπὸ τόπου οὗ παροικεῖς περὶ κλοπῆς. ἀπὸ 20
ἀληθείας θεοῦ καὶ διαθήκης καὶ ἀπὸ πήξεως ἀγκῶνος ἐπ᾽ ἄρτοις.
ἀπὸ σκορακισμοῦ λήμψεως καὶ δόσεως καὶ ἀπὸ ἀσπαζομένων 21
περὶ σιωπῆς. ἀπὸ ὁράσεως γυναικὸς ἑταίρας καὶ ἀπὸ ἀποστρο- 22
φῆς προσώπου συγγενοῦς. ἀπὸ ἀφαιρέσεως μερίδος καὶ δόσεως 23
καὶ ἀπὸ κατανοήσεως γυναικὸς ὑπάνδρου. ἀπὸ περιεργίας παι- 24
δίσκης αὐτοῦ καὶ μὴ ἐπιστῇς ἐπὶ τὴν κοίτην αὐτῆς. ἀπὸ φίλων 25
περὶ λόγων ὀνειδισμοῦ καὶ μετὰ τὸ δοῦναι μὴ ὀνείδιζε. ἀπὸ δευ- 26
τερώσεως καὶ λόγου ἀκοῆς καὶ ἀπὸ καλύψεως λόγων κρυφίων.
καὶ ἔσῃ αἰσχυντηρὸς ἀληθινῶς καὶ εὑρίσκων χάριν ἔναντι παντὸς 27
ἀνθρώπου.

μὴ περὶ τούτων αἰσχυνθῇς καὶ μὴ λάβῃς πρόσωπον τοῦ ἁμαρ- **42**
τάνειν. περὶ νόμου ὑψίστου καὶ διαθήκης καὶ περὶ κρίματος 2
δικαιῶσαι τὸν ἀσεβῆ. περὶ λόγου κοινωνοῦ καὶ ὁδοιπόρων καὶ 3

---

**v.15** ἀγαθός[annmsc] ἄνθρωπος[nnmsc] ἀποκρύπτω[vppanms] ὁ[dafs] μωρία[nafsc] αὐτός[rpgms] ἤ[cc] ἄνθρωπος[nnmsc] ἀποκρύπτω[vppanms] ὁ[dafs] σοφία[nafsc] αὐτός[rpgms]. **v.16** τοιγαροῦν[x] ἐντρέπω[vdaa2p] ἐπί[pd] ὁ[ddns] ῥῆμα[ndnsc] ἐγώ[rpg-s] οὐ[b] γάρ[cc] εἰμί[vipa3s] πᾶς[aiafsn] αἰσχύνη[nafsc] διαφυλάσσω[vnaa] καλός[annnsn] καί[cc] οὐ[b] πᾶς[ainnpn] πᾶς[aidmpn] ἐν[pd] πίστις[ndfsc] εὐδοκιμέω[vipp3s]. **v.17** αἰσχύνω[vdpm2p] ἀπό[pg] πατήρ[ngmsc] καί[cc] μήτηρ[ngfsc] περί[pg] πορνεία[ngfsc] καί[cc] ἀπό[pg] ἡγέομαι[vppmgms] καί[cc] δυνάστης[ngmsc] περί[pg] ψεῦδος[ngnsc]. **v.18** ἀπό[pg] κριτής[ngmsc] καί[cc] ἄρχων[ngmsc] περί[pg] πλημμέλεια[ngfsc] καί[cc] ἀπό[pg] συναγωγή[ngfsc] καί[cc] λαός[ngmsc] περί[pg] ἀνομία[ngfsc]. **v.19** ἀπό[pg] κοινωνός[ngmsc] καί[cc] φίλος[angmsn] περί[pg] ἀδικία[ngfsc] καί[cc] ἀπό[pg] τόπος[ngmsc] ὅς[b] παροικέω[vipa2s] περί[pg] κλοπή[ngfsc]. **v.20** ἀπό[pg] ἀλήθεια[ngfsc] θεός[ngmsc] καί[cc] διαθήκη[ngfsc] καί[cc] ἀπό[pg] πῆξις[ngfsc] ἀγκών[ngmsc] ἐπί[pd] ἄρτος[ndmpc]. **v.21** ἀπό[pg] σκορακισμός[ngmsc] λῆμψις[ngfsc] καί[cc] δόσις[ngfsc] καί[cc] ἀπό[pg] ἀσπάζομαι[vppmgmp] περί[pg] σιωπή[ngfsc]. **v.22** ἀπό[pg] ὅρασις[ngfsc] γυνή[ngfsc] ἑταίρα[ngfsc] καί[cc] ἀπό[pg] ἀποστροφή[ngfsc] πρόσωπον[ngnsc] συγγενής[angnsn]. **v.23** ἀπό[pg] ἀφαίρεσις[ngfsc] μερίς[ngfsc] καί[cc] δόσις[ngfsc] καί[cc] ἀπό[pg] κατανόησις[ngfsc] γυνή[ngfsc] ὕπανδρος[angfsn]. **v.24** ἀπό[pg] περιεργία[ngfsc] παιδίσκη[ngfsc] αὐτός[rpgms] καί[cc] μή[x] ἐφίστημι[vsaa2s] ἐπί[pa] ὁ[dafs] κοίτη[nafsc] αὐτός[rpgfs]. **v.25** ἀπό[pg] φίλος[angmpn] περί[pg] λόγος[ngmpc] ὀνειδισμός[ngmsc] καί[cc] μετά[pa] ὁ[dans] δίδωμι[vnaa] μή[x] ὀνειδίζω[vdpa2s]. **v.26** ἀπό[pg] δευτέρωσις[ngfsc] καί[cc] λόγος[ngmsc] ἀκοή[ngfsc] καί[cc] ἀπό[pg] κάλυψις[ngfsc] λόγος[ngmpc] κρύφιος[angmpn]. **v.27** καί[cc] εἰμί[vifm2s] αἰσχυντηρός[annmsn] ἀληθινῶς[b] καί[cc] εὑρίσκω[vppanms] χάρις[nafsc] ἔναντι[pg] πᾶς[aigmsn] ἄνθρωπος[ngmsc]. **42.** **v.1** μή[x] περί[pg] οὗτος[rdgnp] αἰσχύνω[vsap2s] καί[cc] μή[x] λαμβάνω[vsaa2s] πρόσωπον[nansc] ὁ[dgns] ἁμαρτάνω[vnpa]. **v.2** περί[pg] νόμος[ngmsc] ὕψιστος[angmsn] καί[cc] διαθήκη[ngfsc] καί[cc] περί[pg] κρίμα[ngnsc] δικαιόω[vnaa] ὁ[dams] ἀσεβής[anamsn].

4 περὶ δόσεως κληρονομίας ἑταίρων. περὶ ἀκριβείας ζυγοῦ καὶ
5 σταθμίων καὶ περὶ κτήσεως πολλῶν καὶ ὀλίγων. περὶ διαφόρου
πράσεως ἐμπόρων καὶ περὶ παιδείας τέκνων πολλῆς καὶ οἰκέτῃ
6 πονηρῷ πλευρὰν αἱμάξαι. ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγίς
7 καὶ ὅπου χεῖρες πολλαί κλεῖσον. ὃ ἐὰν παραδιδῷς ἐν ἀριθμῷ καὶ
8 σταθμῷ καὶ δόσις καὶ λῆμψις πάντα ἐν γραφῇ. περὶ παιδείας
ἀνοήτου καὶ μωροῦ καὶ ἐσχατογήρως κρινομένου πρὸς νέους καὶ
ἔσῃ πεπαιδευμένος ἀληθινῶς καὶ δεδοκιμασμένος ἔναντι παν-
9 τὸς ζῶντος. θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία καὶ ἡ μέριμνα
αὐτῆς ἀφιστᾷ ὕπνον ἐν νεότητι αὐτῆς μήποτε παρακμάσῃ καὶ συ-
10 νῳκηκυῖα μήποτε μισηθῇ. ἐν παρθενίᾳ μήποτε βεβηλωθῇ καὶ ἐν
τοῖς πατρικοῖς αὐτῆς ἔγκυος γένηται μετὰ ἀνδρὸς οὖσα μήποτε
11 παραβῇ καὶ συνῳκηκυῖα μήποτε στειρωθῇ. ἐπὶ θυγατρὶ ἀδια-
τρέπτῳ στερέωσον φυλακήν μήποτε ποιήσῃ σε ἐπίχαρμα ἐχθροῖς
λαλιὰν ἐν πόλει καὶ ἔκκλητον λαοῦ καὶ καταισχύνῃ σε ἐν πλή-
12 θει πολλῶν. παντὶ ἀνθρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει καὶ ἐν μέσῳ
13 γυναικῶν μὴ συνέδρευε. ἀπὸ γὰρ ἱματίων ἐκπορεύεται σὴς καὶ
14 ἀπὸ γυναικὸς πονηρία γυναικός. κρείσσων πονηρία ἀνδρὸς ἢ
15 ἀγαθοποιὸς γυνή καὶ γυνὴ καταισχύνουσα εἰς ὀνειδισμόν. μνη-
σθήσομαι δὴ τὰ ἔργα κυρίου καὶ ἃ ἑόρακα ἐκδιηγήσομαι ἐν λό-
16 γοις κυρίου τὰ ἔργα αὐτοῦ. ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψεν

---

**v.3** περί[pg] λόγος[ngmsc] κοινωνός[ngmsc] καί[cc] ὁδοιπόρος[ngmpc] καί[cc] περί[pg] δόσις[ngfsc] κληρονομία[ngfsc] ἑταῖρος[ngmpc]. **v.4** περί[pg] ἀκρίβεια[ngfsc] ζυγός[ngmsc] καί[cc] στάθμιον[ngnpc] καί[cc] περί[pg] κτῆσις[ngfsc] πολύς[angnpn] καί[cc] ὀλίγος[angnpn]. **v.5** περί[pg] διάφορος[angfsn] πρᾶσις[ngfsc] ἔμπορος[ngmpc] καί[cc] περί[pg] παιδεία[ngfsc] τέκνον[ngnpc] πολύς[angfsn] καί[cc] οἰκέτης[ndmsc] πονηρός[andmsn] πλευρά[nafsc] αἱμάσσω[vnaa]. **v.6** ἐπί[pd] γυνή[ndfsc] πονηρός[andfsn] καλός[annnsn] σφραγίς[nnfsc] καί[cc] ὅπου[cs] χείρ[nnfpc] πολύς[annfpn] κλείω[vdaa2s]. **v.7** ὅς[rrans] ἐάν[x] παραδίδωμι[vspa2s] ἐν[pd] ἀριθμός[ndmsc] καί[cc] σταθμός[ndmsc] καί[cc] δόσις[nnfsc] καί[cc] λῆμψις[nnfsc] πᾶς[aianpn] ἐν[pd] γραφή[ndfsc]. **v.8** περί[pg] παιδεία[ngfsc] ἀνόητος[angfsn] καί[cc] μωρός[angmsn] καί[cc] ἐσχατόγηρως[angmsn] κρίνω[vpppgms] πρός[pa] νέος[anampn] καί[cc] εἰμί[vifm2s] παιδεύω[vpxpnms] ἀληθινῶς[b] καί[cc] δοκιμάζω[vpxpnms] ἔναντι[pg] πᾶς[aigmsn] ζάω[vppagms]. **v.9** θυγάτηρ[nnfsc] πατήρ[ndmsc] ἀπόκρυφος[annfsn] ἀγρυπνία[nnfsc] καί[cc] ὁ[dnfs] μέριμνα[nnfsc] αὐτός[rpgfs] ἀφίστημι[vipa3s] ὕπνος[namsc] ἐν[pd] νεότης[ndfsc] αὐτός[rpgfs] μήποτε[cs] παρακμάζω[vsaa3s] καί[cc] συνοικέω[vpxanfs] μήποτε[cs] μισέω[vsap3s]. **v.10** ἐν[pd] παρθενία[ndfsc] μήποτε[cs] βεβηλόω[vsap3s] καί[cc] ἐν[pd] ὁ[ddnp] πατρικός[andnpn] αὐτός[rpgfs] ἔγκυος[annfsn] γίνομαι[vsam3s] μετά[pg] ἀνήρ[ngmsc] εἰμί[vppanfs] μήποτε[cs] παραβαίνω[vsaa3s] καί[cc] συνοικέω[vpxanfs] μήποτε[cs] στειρόω[vsap3s]. **v.11** ἐπί[pd] θυγάτηρ[ndfsc] ἀδιάτρεπτος[andfsn] στερεόω[vdaa2s] φυλακή[nafsc] μήποτε[cs] ποιέω[vsaa3s] σύ[rpa-s] ἐπίχαρμα[nansc] ἐχθρός[andmpn] λαλιά[nafsc] ἐν[pd] πόλις[ndfsc] καί[cc] ἔκκλητος[anamsn] λαός[ngmsc] καί[cc] καταισχύνω[vspa3s] σύ[rpa-s] ἐν[pd] πλῆθος[ndnsc] πολύς[angmpn]. **v.12** πᾶς[aidmsn] ἄνθρωπος[ndmsc] μή[x] ἐμβλέπω[vdpa2s] ἐν[pd] κάλλος[ndnsc] καί[cc] ἐν[pd] μέσος[andnsn] γυνή[ngfpc] μή[x] συνεδρεύω[vdpa2s]. **v.13** ἀπό[pg] γάρ[cc] ἱμάτιον[ngnpc] ἐκπορεύομαι[vipm3s] σής[nnmsc] καί[cc] ἀπό[pg] γυνή[ngfsc] πονηρία[nnfsc] γυνή[ngfsc]. **v.14** ἀγαθός[annfsc] πονηρία[nnfsc] ἀνήρ[ngmsc] ἤ[cc] ἀγαθοποιός[annfsn] γυνή[nnfsc] καί[cc] γυνή[nnfsc] καταισχύνω[vppanfs] εἰς[pa] ὀνειδισμός[namsc]. **v.15** μιμνῄσκομαι[vifp1s] δή[x] ὁ[danp] ἔργον[nanpc] κύριος[ngmsc] καί[cc] ὅς[rranp] ὁράω[vixa1s] ἐκδιηγέομαι[vifm1s] ἐν[pd] λόγος[ndmpc] κύριος[ngmsc] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgms].

καὶ τῆς δόξης κυρίου πλῆρες τὸ ἔργον αὐτοῦ. οὐκ ἐξεποίησεν 17
τοῖς ἁγίοις κυρίου ἐκδιηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ ἃ
ἐστερέωσεν κύριος ὁ παντοκράτωρ στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ
πᾶν. ἄβυσσον καὶ καρδίαν ἐξίχνευσεν καὶ ἐν πανουργεύμασιν 18
αὐτῶν διενοήθη ἔγνω γὰρ ὁ ὕψιστος πᾶσαν εἴδησιν καὶ ἐνέβλεψεν
εἰς σημεῖον αἰῶνος. ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ τὰ ἐσό- 19
μενα καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων. οὐ παρῆλθεν αὐτὸν 20
πᾶν διανόημα οὐκ ἐκρύβη ἀπ᾽ αὐτοῦ οὐδὲ εἷς λόγος. τὰ μεγα- 21
λεῖα τῆς σοφίας αὐτοῦ ἐκόσμησεν ὥς ἔστιν πρὸ τοῦ αἰῶνος καὶ
εἰς τὸν αἰῶνα οὔτε προσετέθη οὔτε ἠλαττώθη καὶ οὐ προσεδεήθη
οὐδενὸς συμβούλου. ὡς πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητὰ καὶ 22
ὡς σπινθῆρός ἐστιν θεωρῆσαι. πάντα ταῦτα ζῇ καὶ μένει εἰς τὸν 23
αἰῶνα ἐν πάσαις χρείαις καὶ πάντα ὑπακούει. πάντα δισσά ἓν 24
κατέναντι τοῦ ἑνός καὶ οὐκ ἐποίησεν οὐδὲν ἐλλεῖπον. ἓν τοῦ ἑνὸς 25
ἐστερέωσεν τὰ ἀγαθά καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ.

γαυρίαμα ὕψους στερέωμα καθαριότητος εἶδος οὐρανοῦ ἐν ὁ- **43**
ράματι δόξης. ἥλιος ἐν ὀπτασίᾳ διαγγέλλων ἐν ἐξόδῳ σκεῦος 2
θαυμαστὸν ἔργον ὑψίστου. ἐν μεσημβρίᾳ αὐτοῦ ἀναξηραίνει 3
χώραν καὶ ἐναντίον καύματος αὐτοῦ τίς ὑποστήσεται. κάμι- 4
νον φυσῶν ἐν ἔργοις καύματος τριπλασίως ἥλιος ἐκκαίων ὄρη
ἀτμίδας πυρώδεις ἐκφυσῶν καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυροῖ ὀ-

---

**v.16** ἥλιος[nnmsc] φωτίζω[vppanms] κατά[pa] πᾶς[aiansn] ἐπιβλέπω[viaa3s] καί[cc] ὁ[dgfs] δόξα[ngfsc] κύριος[ngmsc] πλήρης[annnsn] ὁ[dnns] ἔργον[nnnsc] αὐτός[rpgms]. **v.17** οὐ[b] ἐκποιέω[viaa3s] ὁ[ddmp] ἅγιος[andmpn] κύριος[ngmsc] ἐκδιηγέομαι[vnam] πᾶς[aianpn] ὁ[danp] θαυμάσιος[ananpn] αὐτός[rpgms] ὅς[rranp] στερεόω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] παντοκράτωρ[nnmsc] στηρίζω[vnap] ἐν[pd] δόξα[ndfsc] αὐτός[rpgms] ὁ[dans] πᾶς[aiansn]. **v.18** ἄβυσσος[nafsc] καί[cc] καρδία[nafsc] ἐξιχνεύω[viaa3s] καί[cc] ἐν[pd] πανούργευμα[ndnpc] αὐτός[rpgmp] διανοέομαι[viap3s] γινώσκω[viaa3s] γάρ[cc] ὁ[dnms] ὕψιστος[annmsn] πᾶς[aiafsn] εἴδησις[nafsc] καί[cc] ἐμβλέπω[viaa3s] εἰς[pa] σημεῖον[nansc] αἰών[ngmsc]. **v.19** ἀπαγγέλλω[vppanms] ὁ[danp] παρέρχομαι[vpxaanp] καί[cc] ὁ[danp] εἰμί[vpfmanp] καί[cc] ἀποκαλύπτω[vppanms] ἴχνος[nanpc] ἀπόκρυφος[angnpn]. **v.20** οὐ[b] παρέρχομαι[viaa3s] αὐτός[rpams] πᾶς[ainnsn] διανόημα[nnnsc] οὐ[b] κρύπτω[viap3s] ἀπό[pg] αὐτός[rpgms] οὐδέ[b] εἷς[acnmsn] λόγος[nnmsc]. **v.21** ὁ[danp] μεγαλεῖος[ananpn] ὁ[dgfs] σοφία[ngfsc] αὐτός[rpgms] κοσμέω[viaa3s] ὡς[cs] εἰμί[vipa3s] πρό[pg] ὁ[dgms] αἰών[ngmsc] καί[cc] εἰς[pa] ὁ[dams] αἰών[namsc] οὔτε[cc] προστίθημι[viap3s] οὔτε[cc] ἐλαττόω[viap3s] καί[cc] οὐ[b] προσδέομαι[viap3s] οὐδείς[rigms] σύμβουλος[ngmsc]. **v.22** ὡς[cs] πᾶς[ainnpn] ὁ[dnnp] ἔργον[nnnpc] αὐτός[rpgms] ἐπιθυμητός[annnpn] καί[cc] ὡς[cs] σπινθήρ[ngmsc] εἰμί[vipa3s] θεωρέω[vnaa]. **v.23** πᾶς[ainnpn] οὗτος[rdnnp] ζάω[vipa3s] καί[cc] μένω[vipa3s] εἰς[pa] ὁ[dams] αἰών[namsc] ἐν[pd] πᾶς[aidfpn] χρεία[ndfpc] καί[cc] πᾶς[ainnpn] ὑπακούω[vipa3s]. **v.24** πᾶς[ainnpn] δισσός[annnpn] εἷς[acnnsn] κατέναντι[pg] ὁ[dgms] εἷς[acgnsn] καί[cc] οὐ[b] ποιέω[viaa3s] οὐδείς[rians] ἐλλείπω[vppaans]. **v.25** εἷς[acnnsn] ὁ[dgns] εἷς[acgnsn] στερεόω[viaa3s] ὁ[danp] ἀγαθός[ananpn] καί[cc] τίς[rqnms] πίμπλημι[vifp3s] ὁράω[vppanms] δόξα[nafsc] αὐτός[rpgms]. **43. v.1** γαυρίαμα[nnnsc] ὕψος[ngnsc] στερέωμα[nnnsc] καθαριότης[ngfsc] εἶδος[nnnsc] οὐρανός[ngmsc] ἐν[pd] ὅραμα[ndnsc] δόξα[ngfsc]. **v.2** ἥλιος[nnmsc] ἐν[pd] ὀπτασία[ndfsc] διαγγέλλω[vppanms] ἐν[pd] ἔξοδος[ndfsc] σκεῦος[nnnsc] θαυμαστός[annnsn] ἔργον[nnnsc] ὕψιστος[angmsn]. **v.3** ἐν[pd] μεσημβρία[ndfsc] αὐτός[rpgms] ἀναξηραίνω[vipa3s] χώρα[nafsc] καί[cc] ἐναντίον[pg] καῦμα[ngnsc] αὐτός[rpgms] τίς[rqnms] ὑφίστημι[vifm3s].

5 φθαλμούς. μέγας κύριος ὁ ποιήσας αὐτόν καὶ ἐν λόγοις αὐτοῦ
6 κατέσπευσεν πορείαν. καὶ ἡ σελήνη ἐν πᾶσιν εἰς καιρὸν αὐτῆς
7 ἀνάδειξιν χρόνων καὶ σημεῖον αἰῶνος. ἀπὸ σελήνης σημεῖον ἑ-
8 ορτῆς φωστὴρ μειούμενος ἐπὶ συντελείας. μὴν κατὰ τὸ ὄνομα
αὐτῆς ἐστιν αὐξανόμενος θαυμαστῶς ἐν ἀλλοιώσει σκεῦος πα-
9 ρεμβολῶν ἐν ὕψει ἐν στερεώματι οὐρανοῦ ἐκλάμπων. κάλλος
10 οὐρανοῦ δόξα ἄστρων κόσμος φωτίζων ἐν ὑψίστοις κυρίου. ἐν
λόγοις ἁγίου στήσονται κατὰ κρίμα καὶ οὐ μὴ ἐκλυθῶσιν ἐν φυ-
11 λακαῖς αὐτῶν. ἰδὲ τόξον καὶ εὐλόγησον τὸν ποιήσαντα αὐτὸ
12 σφόδρα ὡραῖον ἐν τῷ αὐγάσματι αὐτοῦ. ἐγύρωσεν οὐρανὸν ἐν
13 κυκλώσει δόξης χεῖρες ὑψίστου ἐτάνυσαν αὐτό. προστάγματι
αὐτοῦ κατέσπευσεν χιόνα καὶ ταχύνει ἀστραπὰς κρίματος αὐ-
14 τοῦ. διὰ τοῦτο ἠνεῴχθησαν θησαυροί καὶ ἐξέπτησαν νεφέλαι ὡς
15 πετεινά. ἐν μεγαλείῳ αὐτοῦ ἴσχυσεν νεφέλας καὶ διεθρύβησαν
16 λίθοι χαλάζης. καὶ ἐν ὀπτασίᾳ αὐτοῦ σαλευθήσεται ὄρη ἐν θε-
17 λήματι αὐτοῦ πνεύσεται νότος. φωνὴ βροντῆς αὐτοῦ ὠνείδισεν
18 γῆν καὶ καταιγὶς βορέου καὶ συστροφὴ πνεύματος. ὡς πετεινὰ
καθιπτάμενα πάσσει χιόνα καὶ ὡς ἀκρὶς καταλύουσα ἡ κατάβα-
σις αὐτῆς κάλλος λευκότητος αὐτῆς ἐκθαυμάσει ὀφθαλμός καὶ
19 ἐπὶ τοῦ ὑετοῦ αὐτῆς ἐκστήσεται καρδία. καὶ πάχνην ὡς ἅλα ἐπὶ

---

**v.4** κάμινος[nafsc] φυσάω[vppanms] ἐν[pd] ἔργον[ndnpc] καῦμα[ngnsc] τριπλασίως[b] ἥλιος[nnmsc] ἐκκαίω[vppanms] ὄρος[nanpc] ἀτμίς[nafpc] πυρώδης[anafpn] ἐκφυσάω[vppanms] καί[cc] ἐκλάμπω[vppanms] ἀκτίς[nafpc] ἀμαυρόω[vipa3s] ὀφθαλμός[nampc]. **v.5** μέγας[annmsn] κύριος[nnmsc] ὁ[dnms] ποιέω[vpaanms] αὐτός[rpams] καί[cc] ἐν[pd] λόγος[ndmpc] αὐτός[rpgms] κατασπεύδω[viaa3s] πορεία[nafsc]. **v.6** καί[cc] ὁ[dnfs] σελήνη[nnfsc] ἐν[pd] πᾶς[aidnpn] εἰς[pa] καιρός[namsc] αὐτός[rpgfs] ἀνάδειξις[nafsc] χρόνος[ngmpc] καί[cc] σημεῖον[nansc] αἰών[ngmsc]. **v.7** ἀπό[pg] σελήνη[ngfsc] σημεῖον[nnnsc] ἑορτή[ngfsc] φωστήρ[nnmsc] μειόω[vpppnms] ἐπί[pg] συντέλεια[ngfsc]. **v.8** μήν[nnmsc] κατά[pa] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgfs] εἰμί[vipa3s] αὐξάνω[vpppnms] θαυμαστῶς[b] ἐν[pd] ἀλλοίωσις[ndfsc] σκεῦος[nnnsc] παρεμβολή[ngfpc] ἐν[pd] ὕψος[ndnsc] ἐν[pd] στερέωμα[ndnsc] οὐρανός[ngmsc] ἐκλάμπω[vppanms]. **v.9** κάλλος[nnnsc] οὐρανός[ngmsc] δόξα[nnfsc] ἄστρον[ngnpc] κόσμος[nnmsc] φωτίζω[vppanms] ἐν[pd] ὕψιστος[andnpn] κύριος[ngmsc]. **v.10** ἐν[pd] λόγος[ndmpc] ἅγιος[angmsn] ἵστημι[vifm3p] κατά[pa] κρίμα[nansc] καί[cc] οὐ[b] μή[x] ἐκλύω[vsap3p] ἐν[pd] φυλακή[ndfpc] αὐτός[rpgmp]. **v.11** ὁράω[vdaa2s] τόξον[nansc] καί[cc] εὐλογέω[vdaa2s] ὁ[dams] ποιέω[vpaaams] αὐτός[rpans] σφόδρα[b] ὡραῖος[annnsn] ἐν[pd] ὁ[ddns] αὔγασμα[ndnsc] αὐτός[rpgns]. **v.12** γυρόω[viaa3s] οὐρανός[namsc] ἐν[pd] κύκλωσις[ndfsc] δόξα[ngfsc] χείρ[nnfpc] ὕψιστος[angmsn] τανύω[viaa3p] αὐτός[rpans]. **v.13** πρόσταγμα[ndnsc] αὐτός[rpgms] κατασπεύδω[viaa3s] χιών[nafsc] καί[cc] ταχύνω[vipa3s] ἀστραπή[nafpc] κρίμα[ngnsc] αὐτός[rpgms]. **v.14** διά[pa] οὗτος[rdans] ἀνοίγω[viap3p] θησαυρός[nnmpc] καί[cc] ἐκπέτομαι[viam3p] νεφέλη[nnfpc] ὡς[cs] πετεινός[nnnpc]. **v.15** ἐν[pd] μεγαλεῖος[andnsn] αὐτός[rpgms] ἰσχύω[viaa3s] νεφέλη[nafpc] καί[cc] διαθρύπτω[viap3p] λίθος[nnmpc] χάλαζα[ngfsc]. **v.16** καί[cc] ἐν[pd] ὀπτασία[ndfsc] αὐτός[rpgms] σαλεύω[vifp3s] ὄρος[nnnpc] ἐν[pd] θέλημα[ndnsc] αὐτός[rpgms] πνέω[vifm3s] νότος[nnmsc]. **v.17** φωνή[nnfsc] βροντή[ngfsc] αὐτός[rpgms] ὀνειδίζω[viaa3s] γῆ[nafsc] καί[cc] καταιγίς[nnfsc] βορέας[ngmsc] καί[cc] συστροφή[nnfsc] πνεῦμα[ngnsc]. **v.18** ὡς[cs] πετεινός[nanpc] καθίπταμαι[vpxmanp] πάσσω[vipa3s] χιών[nafsc] καί[cc] ὡς[cs] ἀκρίς[nnfsc] καταλύω[vppanfs] ὁ[dnfs] κατάβασις[nnfsc] αὐτός[rpgfs] κάλλος[nansc] λευκότης[ngfsc] αὐτός[rpgfs] ἐκθαυμάζω[vifa3s] ὀφθαλμός[nnmsc] καί[cc] ἐπί[pg] ὁ[dgms] ὑετός[ngmsc] αὐτός[rpgfs] ἐξίστημι[vifm3s] καρδία[nnfsc].

γῆς χέει καὶ παγεῖσα γίνεται σκολόπων ἄκρα. ψυχρὸς ἄνεμος 20
βορέης πνεύσει καὶ παγήσεται κρύσταλλος ἐφ' ὕδατος ἐπὶ πᾶσαν
συναγωγὴν ὕδατος καταλύσει καὶ ὡς θώρακα ἐνδύσεται τὸ ὕδωρ.
καταφάγεται ὄρη καὶ ἔρημον ἐκκαύσει καὶ ἀποσβέσει χλόην ὡς 21
πῦρ. ἴασις πάντων κατὰ σπουδὴν ὁμίχλη δρόσος ἀπαντῶσα ἀπὸ 22
καύσωνος ἱλαρώσει. λογισμῷ αὐτοῦ ἐκόπασεν ἄβυσσον καὶ ἐ- 23
φύτευσεν ἐν αὐτῇ νήσους. οἱ πλέοντες τὴν θάλασσαν διηγοῦνται 24
τὸν κίνδυνον αὐτῆς καὶ ἀκοαῖς ὠτίων ἡμῶν θαυμάζομεν. καὶ 25
ἐκεῖ τὰ παράδοξα καὶ θαυμάσια ἔργα ποικιλία παντὸς ζῴου κτί-
σις κητῶν. δι' αὐτὸν εὐοδοῖ ἄγγελος αὐτοῦ καὶ ἐν λόγῳ αὐτοῦ 26
σύγκειται τὰ πάντα. πολλὰ ἐροῦμεν καὶ οὐ μὴ ἀφικώμεθα καὶ 27
συντέλεια λόγων τὸ πᾶν ἐστιν αὐτός. δοξάζοντες ποῦ ἰσχύσομεν 28
αὐτὸς γὰρ ὁ μέγας παρὰ πάντα τὰ ἔργα αὐτοῦ. φοβερὸς κύριος 29
καὶ σφόδρα μέγας καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ. δοξάζον- 30
τες κύριον ὑψώσατε καθ' ὅσον ἂν δύνησθε ὑπερέξει γὰρ καὶ ἔτι
καὶ ὑψοῦντες αὐτὸν πληθύνατε ἐν ἰσχύι μὴ κοπιᾶτε οὐ γὰρ μὴ
ἀφίκησθε. τίς ἑόρακεν αὐτὸν καὶ ἐκδιηγήσεται καὶ τίς μεγαλυ- 31
νεῖ αὐτὸν καθώς ἐστιν. πολλὰ ἀπόκρυφά ἐστιν μείζονα τούτων 32
ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ. πάντα γὰρ ἐποίησεν ὁ 33
κύριος καὶ τοῖς εὐσεβέσιν ἔδωκεν σοφίαν.

αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους καὶ τοὺς πατέρας ἡμῶν τῇ γε- **44**

---

**v.19** καί[cc] πάχνη[nafsc] ὡς[cs] ἅλς[namsc] ἐπί[pg] γῆ[ngfsc] χέω[vipa3s] καί[cc] πήγνυμι[vpapnfs] γίνομαι[vipm3s] σκόλοψ[ngmsc] ἄκρα[nnfsc]. **v.20** ψυχρός[annmsn] ἄνεμος[nnmsc] βορέας[nnmsc] πνέω[vifa3s] καί[cc] πήγνυμι[vifp3s] κρύσταλλος[nnmsc] ἐπί[pg] ὕδωρ[ngnsc] ἐπί[pa] πᾶς[aiafsn] συναγωγή[nafsc] ὕδωρ[ngnsc] κατάλυσις[ndfsc] καί[cc] ὡς[cs] θώραξ[namsc] ἐνδύω[vifm3s] ὁ[dnns] ὕδωρ[nnnsc]. **v.21** κατεσθίω[vifm3s] ὄρος[nanpc] καί[cc] ἔρημος[nafsc] ἐκκαίω[vifa3s] καί[cc] ἀποσβέννυμι[vifa3s] χλόη[nafsc] ὡς[cs] πῦρ[nnnsc]. **v.22** ἴασις[nnfsc] πᾶς[aignpn] κατά[pa] σπουδή[nafsc] ὁμίχλη[nnfsc] δρόσος[nnfsc] ἀπαντάω[vppanfs] ἀπό[pg] καύσων[ngmsc] ἱλαρόω[vifa3s]. **v.23** λογισμός[ndmsc] αὐτός[rpgms] κοπάζω[viaa3s] ἄβυσσος[nafsc] καί[cc] φυτεύω[viaa3s] ἐν[pd] αὐτός[rpdfs] νῆσος[nafpc]. **v.24** ὁ[dnmp] πλέω[vppanmp] ὁ[dafs] θάλασσα[nafsc] διηγέομαι[vipm3p] ὁ[dams] κίνδυνος[namsc] αὐτός[rpgfs] καί[cc] ἀκοή[ndfpc] ὠτίον[ngnpc] ἐγώ[rpg-p] θαυμάζω[vipa1p]. **v.25** καί[cc] ἐκεῖ[b] ὁ[dnnp] παράδοξος[annnpn] καί[cc] θαυμάσιος[annnpn] ἔργον[nnnpc] ποικιλία[nnfsc] πᾶς[aignsn] ζῷον[ngnsc] κτίσις[nnfsc] κῆτος[ngnpc]. **v.26** διά[pa] αὐτός[rpams] εὐοδόω[vipa3s] ἄγγελος[nnmsc] αὐτός[rpgms] καί[cc] ἐν[pd] λόγος[ndmsc] αὐτός[rpgms] σύγκειμαι[vipp3s] ὁ[dnnp] πᾶς[ainnpn]. **v.27** πολύς[ananpn] λέγω[vifa1p] καί[cc] οὐ[b] μή[x] ἀφικνέομαι[vsam1p] καί[cc] συντέλεια[nnfsc] λόγος[ngmpc] ὁ[dnns] πᾶς[ainnsn] εἰμί[vipa3s] αὐτός[rpnms]. **v.28** δοξάζω[vppanmp] ποῦ[b] ἰσχύω[vifm1p] αὐτός[rpnms] γάρ[cc] ὁ[dnms] μέγας[annmsn] παρά[pa] πᾶς[aianpn] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgms]. **v.29** φοβερός[annmsn] κύριος[nnmsc] καί[cc] σφόδρα[b] μέγας[annmsn] καί[cc] θαυμαστός[annfsn] ὁ[dnfs] δυναστεία[nnfsc] αὐτός[rpgms]. **v.30** δοξάζω[vppanmp] κύριος[namsc] ὑψόω[vdaa2p] κατά[pa] ὅσος[rransn] ἄν[x] δύναμαι[vspm2p] ὑπερέχω[vifa3s] γάρ[cc] καί[b] ἔτι[b] καί[cc] ὑψόω[vppanmp] αὐτός[rpams] πληθύνω[vdaa2p] ἐν[pd] ἰσχύς[ndfsc] μή[x] κοπιάω[vdpa2s] οὐ[b] γάρ[cc] μή[x] ἀφικνέομαι[vsam2p]. **v.31** τίς[rqnms] ὁράω[vixa3s] αὐτός[rpams] καί[cc] ἐκδιηγέομαι[vifm3s] καί[cc] τίς[rqnms] μεγαλύνω[vipa3s] αὐτός[rpams] καθώς[cs] εἰμί[vipa3s]. **v.32** πολύς[annnpn] ἀπόκρυφος[annnpn] εἰμί[vipa3s] μέγας[annnpc] οὗτος[rdgnp] ὀλίγος[ananpn] γάρ[cc] ὁράω[vixa1p] ὁ[dgnp] ἔργον[ngnpc] αὐτός[rpgms]. **v.33** πᾶς[aianpn] γάρ[cc] ποιέω[viaa3s] ὁ[dnms] κύριος[nnmsc] καί[cc] ὁ[ddmp] εὐσεβής[andmpn] δίδωμι[viaa3s] σοφία[nafsc].

2 νέσει. πολλὴν δόξαν ἔκτισεν ὁ κύριος τὴν μεγαλωσύνην αὐτοῦ
3 ἀπ᾽ αἰῶνος. κυριεύοντες ἐν ταῖς βασιλείαις αὐτῶν καὶ ἄνδρες
ὀνομαστοὶ ἐν δυνάμει βουλεύοντες ἐν συνέσει αὐτῶν ἀπηγγελκό-
4 τες ἐν προφητείαις. ἡγούμενοι λαοῦ ἐν διαβουλίοις καὶ συνέσει
5 γραμματείας λαοῦ σοφοὶ λόγοι ἐν παιδείᾳ αὐτῶν. ἐκζητοῦντες
6 μέλη μουσικῶν καὶ διηγούμενοι ἔπη ἐν γραφῇ. ἄνδρες πλούσιοι
7 κεχορηγημένοι ἰσχύι εἰρηνεύοντες ἐν κατοικίαις αὐτῶν. πάντες
οὗτοι ἐν γενεαῖς ἐδοξάσθησαν καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύ-
8 χημα. εἰσὶν αὐτῶν οἳ κατέλιπον ὄνομα τοῦ ἐκδιηγήσασθαι ἐ-
9 παίνους. καὶ εἰσὶν ὧν οὐκ ἔστιν μνημόσυνον καὶ ἀπώλοντο ὡς
οὐχ ὑπάρξαντες καὶ ἐγένοντο ὡς οὐ γεγονότες καὶ τὰ τέκνα αὐ-
10 τῶν μετ᾽ αὐτούς. ἀλλ᾽ ἢ οὗτοι ἄνδρες ἐλέους ὧν αἱ δικαιοσύναι
11 οὐκ ἐπελήσθησαν. μετὰ τοῦ σπέρματος αὐτῶν διαμενεῖ ἀγαθὴ
12 κληρονομία ἔκγονα αὐτῶν. ἐν ταῖς διαθήκαις ἔστη τὸ σπέρμα
13 αὐτῶν καὶ τὰ τέκνα αὐτῶν δι᾽ αὐτούς. ἕως αἰῶνος μενεῖ σπέρμα
14 αὐτῶν καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται. τὰ σώματα αὐ-
15 τῶν ἐν εἰρήνῃ ἐτάφη καὶ τὸ ὄνομα αὐτῶν ζῇ εἰς γενεάς. σοφίαν
αὐτῶν διηγήσονται λαοί καὶ τὸν ἔπαινον ἐξαγγέλλει ἐκκλησία.
16 Ενωχ εὐηρέστησεν κυρίῳ καὶ μετετέθη ὑπόδειγμα μετανοίας ταῖς
17 γενεαῖς. Νωε εὑρέθη τέλειος δίκαιος ἐν καιρῷ ὀργῆς ἐγένετο
ἀντάλλαγμα διὰ τοῦτον ἐγενήθη κατάλειμμα τῇ γῇ ὅτε ἐγένετο

---

**44.** **v.1** αἰνέω[vsaa1p] δή[x] ἀνήρ[nampc] ἔνδοξος[anampn] καί[cc] ὁ[damp] πατήρ[nampc] ἐγώ[rpg-p] ὁ[ddfs] γένεσις[ndfsc]. **v.2** πολύς[anafsn] δόξα[nafsc] κτίζω[viaa3s] ὁ[dnms] κύριος[nnmsc] ὁ[dafs] μεγαλωσύνη[nafsc] αὐτός[rpgms] ἀπό[pg] αἰών[ngmsc]. **v.3** κυριεύω[vppanmp] ἐν[pd] ὁ[ddfp] βασιλεία[ndfpc] αὐτός[rpgmp] καί[cc] ἀνήρ[nnmpc] ὀνομαστός[annmpn] ἐν[pd] δύναμις[ndfsc] βουλεύω[vppanmp] ἐν[pd] σύνεσις[ndfsc] αὐτός[rpgmp] ἀπαγγέλλω[vpxanmp] ἐν[pd] προφητεία[ndfpc]. **v.4** ἡγέομαι[vppmnmp] λαός[ngmsc] ἐν[pd] διαβούλιον[ndmpc] καί[cc] σύνεσις[ndfsc] γραμματεία[nafpc] λαός[ngmsc] σοφός[annmpn] λόγος[nnmpc] ἐν[pd] παιδεία[ndfsc] αὐτός[rpgmp]. **v.5** ἐκζητέω[vppanmp] μέλος[nanpc] μουσικός[angnpn] καί[cc] διηγέομαι[vppmnmp] ἔπος[nanpc] ἐν[pd] γραφή[ndfsc]. **v.6** ἀνήρ[nnmpc] πλούσιος[annmpn] χορηγέω[vpxpnmp] ἰσχύς[ndfsc] εἰρηνεύω[vppanmp] ἐν[pd] κατοικία[ndfpc] αὐτός[rpgmp]. **v.7** πᾶς[ainmpn] οὗτος[rdnmp] ἐν[pd] γενεά[ndfpc] δοξάζω[viap3p] καί[cc] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] αὐτός[rpgmp] καύχημα[nnnsc]. **v.8** εἰμί[vipa3p] αὐτός[rpgmp] ὅς[rrnmp] καταλείπω[viaa3p] ὄνομα[nansc] ὁ[dgns] ἐκδιηγέομαι[vnam] ἔπαινος[nampc]. **v.9** καί[cc] εἰμί[vipa3p] ὅς[rrgmp] οὐ[b] εἰμί[vipa3s] μνημόσυνον[nnnsc] καί[cc] ἀπόλλυμι[viam3p] ὡς[cs] οὐ[b] ὑπάρχω[vpaanmp] καί[cc] γίνομαι[viam3p] ὡς[cs] οὐ[b] γίνομαι[vpxanmp] καί[cc] ὁ[dnnp] τέκνον[nnnpc] αὐτός[rpgmp] μετά[pa] αὐτός[rpamp]. **v.10** ἀλλά[cc] ἤ[cc] οὗτος[rdnmp] ἀνήρ[nnmpc] ἔλεος[ngnsc] ὅς[rrgmp] ὁ[dnfp] δικαιοσύνη[nnfpc] οὐ[b] ἐπιλανθα-νομαιιαπ3π. **v.11** μετά[pg] ὁ[dgns] σπέρμα[ngnsc] αὐτός[rpgmp] διαμένω[vifa3s] ἀγαθός[annfsn] κληρονομία[nnfsc] ἔκγονος[ananpn] αὐτός[rpgmp]. **v.12** ἐν[pd] ὁ[ddfp] διαθήκη[ndfpc] ἵστημι[viaa3s] ὁ[dnns] σπέρμα[nnnsc] αὐτός[rpgmp] καί[cc] ὁ[dnnp] τέκνον[nnnpc] αὐτός[rpgmp] διά[pa] αὐτός[rpamp]. **v.13** ἕως[pg] αἰών[ngmsc] μένω[vifa3s] σπέρμα[nnnsc] αὐτός[rpgmp] καί[cc] ὁ[dnfs] δόξα[nnfsc] αὐτός[rpgmp] οὐ[b] ἐξαλείφω[vifp3s]. **v.14** ὁ[dnnp] σῶμα[nnnpc] αὐτός[rpgmp] ἐν[pd] εἰρήνη[ndfsc] θάπτω[viap3s] καί[cc] ὁ[dnns] ὄνομα[nnnsc] αὐτός[rpgmp] ζάω[vipa3s] εἰς[pa] γενεά[nafpc]. **v.15** σοφία[nafsc] αὐτός[rpgmp] διηγέομαι[vifm3p] λαός[nnmpc] καί[cc] ὁ[dams] ἔπαινος[namsc] ἐξαγγέλλω[vipa3s] ἐκκλησία[nnfsc]. **v.16** Ενωχ[nnmsp] εὐαρεστέω[viaa3s] κύριος[ndmsc] καί[cc] μετατίθημι[viap3s] ὑπόδειγμα[nnnsc] μετάνοια[ngfsc] ὁ[ddfp] γενεά[ndfpc].

κατακλυσμός. διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐτόν ἵνα μὴ 18
ἐξαλειφθῇ κατακλυσμῷ πᾶσα σάρξ. Αβρααμ μέγας πατὴρ πλή- 19
θους ἐθνῶν καὶ οὐχ εὑρέθη ὅμοιος ἐν τῇ δόξῃ. ὃς συνετήρησεν 20
νόμον ὑψίστου καὶ ἐγένετο ἐν διαθήκῃ μετ' αὐτοῦ ἐν σαρκὶ αὐτοῦ
ἔστησεν διαθήκην καὶ ἐν πειρασμῷ εὑρέθη πιστός. διὰ τοῦτο ἐν 21
ὅρκῳ ἔστησεν αὐτῷ ἐνευλογηθῆναι ἔθνη ἐν σπέρματι αὐτοῦ πλη-
θῦναι αὐτὸν ὡς χοῦν τῆς γῆς καὶ ὡς ἄστρα ἀνυψῶσαι τὸ σπέρμα
αὐτοῦ καὶ κατακληρονομῆσαι αὐτοὺς ἀπὸ θαλάσσης ἕως θαλάσ-
σης καὶ ἀπὸ ποταμοῦ ἕως ἄκρου τῆς γῆς. καὶ ἐν τῷ Ισαακ 22
ἔστησεν οὕτως δι' Αβρααμ τὸν πατέρα αὐτοῦ. εὐλογίαν πάντων 23
ἀνθρώπων καὶ διαθήκην κατέπαυσεν ἐπὶ κεφαλὴν Ιακωβ ἐπέγνω
αὐτὸν ἐν εὐλογίαις αὐτοῦ καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ καὶ
διέστειλεν μερίδας αὐτοῦ ἐν φυλαῖς ἐμέρισεν δέκα δύο.

καὶ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους εὑρίσκοντα χάριν ἐν ὀ- **45**
φθαλμοῖς πάσης σαρκὸς ἠγαπημένον ὑπὸ θεοῦ καὶ ἀνθρώπων
Μωυσῆν οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις. ὡμοίωσεν αὐτὸν δό- 2
ξῃ ἁγίων καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις ἐχθρῶν. ἐν λόγοις 3
αὐτοῦ σημεῖα κατέπαυσεν ἐδόξασεν αὐτὸν κατὰ πρόσωπον βα-
σιλέων ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ καὶ ἔδειξεν αὐτῷ τῆς
δόξης αὐτοῦ. ἐν πίστει καὶ πραΰτητι αὐτὸν ἡγίασεν ἐξελέξατο 4

---

**v.17** Νῶε[nnmsp] εὑρίσκω[viap3s] τέλειος[annmsn] δίκαιος[annmsn] ἐν[pd] καιρός[ndmsc] ὀργή[ngfsc] γίνομαι[viam3s] ἀντάλλαγμα[nnnsc] διά[pa] οὗτος[rdams] γίνομαι[viap3s] κατάλειμμα[nnnsc] ὁ[ddfs] γῆ[ndfsc] ὅτε[cs] γίνομαι[viam3s] κατακλυσμός[nnmsc]. **v.18** διαθήκη[nnfpc] αἰών[ngmsc] τίθημι[viap3p] πρός[pa] αὐτός[rpams] ἵνα[cs] μή[x] ἐξαλείφω[vsap3s] κατακλυσμός[ndmsc] πᾶς[ainfsn] σάρξ[nnfsc]. **v.19** Ἀβραάμ[nnmsp] μέγας[annmsn] πατήρ[nnmsc] πλῆθος[ngnsc] ἔθνος[ngnpc] καί[cc] οὐ[b] εὑρίσκω[viap3s] ὅμοιος[annmsn] ἐν[pd] ὁ[ddfs] δόξα[ndfsc]. **v.20** ὅς[rrnms] συντηρέω[viaa3s] νόμος[namsc] ὕψιστος[angmsn] καί[cc] γίνομαι[viam3s] ἐν[pd] διαθήκη[ndfsc] μετά[pg] αὐτός[rpgms] ἐν[pd] σάρξ[ndfsc] αὐτός[rpgms] ἵστημι[viaa3s] διαθήκη[nafsc] καί[cc] ἐν[pd] πειρασμός[ndmsc] εὑρίσκω[viap3s] πιστός[annmsn]. **v.21** διά[pa] οὗτος[rdans] ἐν[pd] ὅρκος[ndmsc] ἵστημι[viaa3s] αὐτός[rpdms] ἐνευλογέω[vnap] ἔθνος[nanpc] ἐν[pd] σπέρμα[ndnsc] αὐτός[rpgms] πληθύνω[vnaa] αὐτός[rpams] ὡς[cs] χοῦς[namsc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ὡς[cs] ἄστρον[nanpc] ἀνυψόω[vnaa] ὁ[dans] σπέρμα[nansc] αὐτός[rpgms] καί[cc] κατακληρονομέω[vnaa] αὐτός[rpamp] ἀπό[pg] θάλασσα[ngfsc] ἕως[pg] θάλασσα[ngfsc] καί[cc] ἀπό[pg] ποταμός[ngmsc] ἕως[pg] ἄκρος[angnsn] ὁ[dgfs] γῆ[ngfsc]. **v.22** καί[cc] ἐν[pd] ὁ[ddms] Ἰσαάκ[ndmsp] ἵστημι[viaa3s] οὕτως[b] διά[pa] Ἀβραάμ[namsp] ὁ[dams] πατήρ[namsc] αὐτός[rpgms]. **v.23** εὐλογία[nafsc] πᾶς[aigmpn] ἄνθρωπος[ngmpc] καί[cc] διαθήκη[nafsc] καταπαύω[viaa3s] ἐπί[pa] κεφαλή[nafsc] Ἰακώβ[ngmsp] ἐπιγινώσκω[viaa3s] αὐτός[rpams] ἐν[pd] εὐλογία[ndfpc] αὐτός[rpgms] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdms] ἐν[pd] κληρονομία[ndfsc] καί[cc] διαστέλλω[viaa3s] μερίς[nafpc] αὐτός[rpgms] ἐν[pd] φυλή[ndfpc] μερίζω[viaa3s] δέκα[ac—n] δύο[ac—n]. **45.** **v.1** καί[cc] ἐξάγω[viaa3s] ἐκ[pg] αὐτός[rpgms] ἀνήρ[namsc] ἔλεος[ngnsc] εὑρίσκω[vppaams] χάρις[nafsc] ἐν[pd] ὀφθαλμός[ndmpc] πᾶς[aigfsn] σάρξ[ngfsc] ἀγαπάω[vpxpams] ὑπό[pg] θεός[ngmsc] καί[cc] ἄνθρωπος[ngmpc] Μωϋσῆς[namsp] ὅς[rrgms] ὁ[dnns] μνημόσυνον[nnnsc] ἐν[pd] εὐλογία[ndfpc]. **v.2** ὁμοιόω[viaa3s] αὐτός[rpams] δόξα[ndfsc] ἅγιος[angmpn] καί[cc] μεγαλύνω[viaa3s] αὐτός[rpams] ἐν[pd] φόβος[ndmpc] ἐχθρός[angmpn]. **v.3** ἐν[pd] λόγος[ndmpc] αὐτός[rpgms] σημεῖον[nanpc] καταπαύω[viaa3s] δοξάζω[viaa3s] αὐτός[rpams] κατά[pa] πρόσωπον[nansc] βασιλεύς[ngmpc] ἐντέλλομαι[viam3s] αὐτός[rpdms] πρός[pa] λαός[namsc] αὐτός[rpgms] καί[cc] δείκνυμι[viaa3s] αὐτός[rpdms] ὁ[dgfs] δόξα[ngfsc] αὐτός[rpgms].

5 αὐτὸν ἐκ πάσης σαρκός. ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ καὶ
εἰσήγαγεν αὐτὸν εἰς τὸν γνόφον καὶ ἔδωκεν αὐτῷ κατὰ πρόσω-
πον ἐντολάς νόμον ζωῆς καὶ ἐπιστήμης διδάξαι τὸν Ιακωβ δια-
6 θήκην καὶ κρίματα αὐτοῦ τὸν Ισραηλ. Ααρων ὕψωσεν ἅγιον
7 ὅμοιον αὐτῷ ἀδελφὸν αὐτοῦ ἐκ φυλῆς Λευι. ἔστησεν αὐτὸν δια-
θήκην αἰῶνος καὶ ἔδωκεν αὐτῷ ἱερατείαν λαοῦ ἐμακάρισεν αὐτὸν
8 ἐν εὐκοσμίᾳ καὶ περιέζωσεν αὐτὸν περιστολὴν δόξης. ἐνέδυσεν
αὐτὸν συντέλειαν καυχήματος καὶ ἐστερέωσεν αὐτὸν σκεύεσιν ἰ-
9 σχύος περισκελῆ καὶ ποδήρη καὶ ἐπωμίδα. καὶ ἐκύκλωσεν αὐ-
τὸν ῥοΐσκοις χρυσοῖς κώδωσιν πλείστοις κυκλόθεν ἠχῆσαι φωνὴν
ἐν βήμασιν αὐτοῦ ἀκουστὸν ποιῆσαι ἦχον ἐν ναῷ εἰς μνημόσυνον
10 υἱοῖς λαοῦ αὐτοῦ. στολῇ ἁγίᾳ χρυσῷ καὶ ὑακίνθῳ καὶ πορφύ-
ρᾳ ἔργῳ ποικιλτοῦ λογείῳ κρίσεως δήλοις ἀληθείας κεκλωσμένῃ
11 κόκκῳ ἔργῳ τεχνίτου. λίθοις πολυτελέσιν γλύμματος σφραγῖ-
δος ἐν δέσει χρυσίου ἔργῳ λιθουργοῦ εἰς μνημόσυνον ἐν γραφῇ
12 κεκολαμμένῃ κατ᾽ ἀριθμὸν φυλῶν Ισραηλ. στέφανον χρυσοῦν
ἐπάνω κιδάρεως ἐκτύπωμα σφραγῖδος ἁγιάσματος καύχημα τι-
13 μῆς ἔργον ἰσχύος ἐπιθυμήματα ὀφθαλμῶν κοσμούμενα. ὡραῖα
πρὸ αὐτοῦ οὐ γέγονεν τοιαῦτα ἕως αἰῶνος οὐκ ἐνεδύσατο ἀλ-
λογενὴς πλὴν τῶν υἱῶν αὐτοῦ μόνον καὶ τὰ ἔκγονα αὐτοῦ διὰ
14 παντός. θυσίαι αὐτοῦ ὁλοκαρπωθήσονται καθ᾽ ἡμέραν ἐνδελε-

---

**v.4** ἐν[pd] πίστις[ndfsc] καί[cc] πραΰτης[ndfsc] αὐτός[rpams] ἁγιάζω[viaa3s] ἐκλέγω[viam3s] αὐτός[rpams] ἐκ[pg] πᾶς[aigfsn] σάρξ[ngfsc]. **v.5** ἀκουτίζω[viaa3s] αὐτός[rpams] ὁ[dgfs] φωνή[ngfsc] αὐτός[rpgms] καί[cc] εἰσάγω[viaa3s] αὐτός[rpams] εἰς[pa] ὁ[dams] γνόφος[namsc] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdms] κατά[pa] πρόσωπον[nansc] ἐντολή[nafpc] νόμος[namsc] ζωή[ngfsc] καί[cc] ἐπιστήμη[ngfsc] διδάσκω[vnaa] ὁ[dams] Ἰακώβ[namsp] διαθήκη[nafsc] καί[cc] κρίμα[nanpc] αὐτός[rpgms] ὁ[dams] Ἰσραήλ[namsp]. **v.6** Ἀαρών[namsp] ὑψόω[viaa3s] ἅγιος[anamsn] ὅμοιος[anamsn] αὐτός[rpdms] ἀδελφός[namsc] αὐτός[rpgms] ἐκ[pg] φυλή[ngfsc] Λευί[ngmsp]. **v.7** ἵστημι[viaa3s] αὐτός[rpams] διαθήκη[nafsc] αἰών[ngmsc] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdms] ἱερατεία[nafsc] λαός[ngmsc] μακαρίζω[viaa3s] αὐτός[rpams] ἐν[pd] εὐκοσμία[ndfsc] καί[cc] περιζώννυμι[viaa3s] αὐτός[rpams] περιστολή[nafsc] δόξα[ngfsc]. **v.8** ἐνδύω[viaa3s] αὐτός[rpams] συντέλεια[nafsc] καύχημα[ngnsc] καί[cc] στερεόω[viaa3s] αὐτός[rpams] σκεῦος[ndnpc] ἰσχύς[ngfsc] περισκελής[ananpn] καί[cc] ποδήρης[anamsn] καί[cc] ἐπωμίς[nafsc]. **v.9** καί[cc] κυκλόω[viaa3s] αὐτός[rpams] ῥοΐσκος[ndmpc] χρυσοῦς[andmpn] κώδων[ndmpc] πολύς[andmps] κυκλόθεν[b] ἠχέω[vnaa] φωνή[nafsc] ἐν[pd] βῆμα[ndnpc] αὐτός[rpgms] ἀκουστός[anamsn] ποιέω[vnaa] ἦχος[namsc] ἐν[pd] ναός[ndmsc] εἰς[pa] μνημόσυνον[nansc] υἱός[ndmpc] λαός[ngmsc] αὐτός[rpgms]. **v.10** στολή[ndfsc] ἅγιος[andfsn] χρυσοῦς[andfsn] καί[cc] ὑάκινθος[ndfsc] καί[cc] πορφύρα[ndfsc] ἔργον[ndnsc] ποικιλτής[ngmsc] λογεῖον[ndnsc] κρίσις[ngfsc] δῆλος[andnpn] ἀλήθεια[ngfsc] κλώθω[vpxpdfs] κόκκος[ndmsc] ἔργον[ndnsc] τεχνίτης[ngmsc]. **v.11** λίθος[ndmpc] πολυτελής[andmpn] γλύμμα[ngnsc] σφραγίς[ngfsc] ἐν[pd] δέσις[ndfsc] χρυσίον[ngnsc] ἔργον[ndnsc] λιθούργος[ngmsc] εἰς[pa] μνημόσυνον[nansc] ἐν[pd] γραφή[ndfsc] κολάπτω[vpxpdfs] κατά[pa] ἀριθμός[namsc] φυλή[ngfpc] Ἰσραήλ[ngmsp]. **v.12** στέφανος[namsc] χρυσοῦς[anamsn] ἐπάνω[pg] κίδαρις[ngfsc] ἐκτύπωμα[nansc] σφραγίς[ngfsc] ἁγίασμα[ngnsc] καύχημα[nansc] τιμή[ngfsc] ἔργον[nansc] ἰσχύς[ngfsc] ἐπιθύμημα[nanpc] ὀφθαλμός[ngmpc] κοσμέω[vppapn]. **v.13** ὡραῖος[annnpn] πρό[pg] αὐτός[rpgms] οὐ[b] γίνομαι[vixa3s] τοιοῦτος[adnnpn] ἕως[pg] αἰών[ngmsc] οὐ[b] ἐνδύω[viam3s] ἀλλογενής[annmsn] πλήν[pg] ὁ[dgmp] υἱός[ngmpc] αὐτός[rpgms] μόνος[b] καί[cc] ὁ[dnnp] ἔκγονος[annnpn] αὐτός[rpgms] διά[pg] πᾶς[aignsn].

χῶς δίς. ἐπλήρωσεν Μωυσῆς τὰς χεῖρας καὶ ἔχρισεν αὐτὸν ἐν 15
ἐλαίῳ ἁγίῳ ἐγενήθη αὐτῷ εἰς διαθήκην αἰῶνος καὶ τῷ σπέρματι
αὐτοῦ ἐν ἡμέραις οὐρανοῦ λειτουργεῖν αὐτῷ ἅμα καὶ ἱερατεύειν
καὶ εὐλογεῖν τὸν λαὸν αὐτοῦ ἐν τῷ ὀνόματι. ἐξελέξατο αὐτὸν 16
ἀπὸ παντὸς ζῶντος προσαγαγεῖν κάρπωσιν κυρίῳ θυμίαμα καὶ
εὐωδίαν εἰς μνημόσυνον ἐξιλάσκεσθαι περὶ τοῦ λαοῦ σου. ἔ- 17
δωκεν αὐτῷ ἐν ἐντολαῖς αὐτοῦ ἐξουσίαν ἐν διαθήκαις κριμάτων
διδάξαι τὸν Ιακωβ τὰ μαρτύρια καὶ ἐν νόμῳ αὐτοῦ φωτίσαι Ισ-
ραηλ. ἐπισυνέστησαν αὐτῷ ἀλλότριοι καὶ ἐζήλωσαν αὐτὸν ἐν τῇ 18
ἐρήμῳ ἄνδρες οἱ περὶ Δαθαν καὶ Αβιρων καὶ ἡ συναγωγὴ Κορε
ἐν θυμῷ καὶ ὀργῇ. εἶδεν κύριος καὶ οὐκ εὐδόκησεν καὶ συνε- 19
τελέσθησαν ἐν θυμῷ ὀργῆς ἐποίησεν αὐτοῖς τέρατα καταναλῶσαι
ἐν πυρὶ φλογὸς αὐτοῦ. καὶ προσέθηκεν Ααρων δόξαν καὶ ἔδω- 20
κεν αὐτῷ κληρονομίαν ἀπαρχὰς πρωτογενημάτων ἐμέρισεν αὐτῷ
ἄρτον πρώτοις ἡτοίμασεν πλησμονήν. καὶ γὰρ θυσίας κυρίου 21
φάγονται ἃς ἔδωκεν αὐτῷ τε καὶ τῷ σπέρματι αὐτοῦ. πλὴν ἐν γῇ 22
λαοῦ οὐ κληρονομήσει καὶ μερὶς οὐκ ἔστιν αὐτῷ ἐν λαῷ αὐτὸς
γὰρ μερίς σου καὶ κληρονομία. καὶ Φινεες υἱὸς Ελεαζαρ τρίτος 23
εἰς δόξαν ἐν τῷ ζηλῶσαι αὐτὸν ἐν φόβῳ κυρίου καὶ στῆναι αὐτὸν
ἐν τροπῇ λαοῦ ἐν ἀγαθότητι προθυμίας ψυχῆς αὐτοῦ καὶ ἐξιλά-
σατο περὶ τοῦ Ισραηλ. διὰ τοῦτο ἐστάθη αὐτῷ διαθήκη εἰρήνης 24

---

**v.14** θυσία[nnfpc] αὐτός[rpgms] ὁλοκαρπόομαι[vifp3p] κατά[pa] ἡμέρα[nafsc] ἐνδελεχῶς[b] δίς[b]. **v.15** πληρόω[viaa3s] Μωϋσῆς[nnmsp] ὁ[dafp] χείρ[nafpc] καί[cc] χρίω[viaa3s] αὐτός[rpams] ἐν[pd] ἔλαιον[ndnsc] ἅγιος[andnsn] γίνομαι[viap3s] αὐτός[rpdms] εἰς[pa] διαθήκη[nafsc] αἰών[ngmsc] καί[cc] ὁ[ddns] σπέρμα[ndnsc] αὐτός[rpgms] ἐν[pd] ἡμέρα[ndfpc] οὐρανός[ngmsc] λειτουργέω[vnpa] αὐτός[rpdms] ἅμα[b] καί[cc] ἱερατεύω[vnpa] καί[cc] εὐλογέω[vnpa] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] ἐν[pd] ὁ[ddns] ὄνομα[ndnsc]. **v.16** ἐκλέγω[viam3s] αὐτός[rpams] ἀπό[pg] πᾶς[aigmsn] ζάω[vppagms] προσάγω[vnaa] κάρπωσις[ndfsc] κύριος[ndmsc] θυμίαμα[nansc] καί[cc] εὐωδία[nafsc] εἰς[pa] μνημόσυνον[nansc] ἐξιλάσκομαι[vnpm] περί[pg] ὁ[dgms] λαός[ngmsc] σύ[rpg-s]. **v.17** δίδωμι[viaa3s] αὐτός[rpdms] ἐν[pd] ἐντολή[ndfpc] αὐτός[rpgms] ἐξουσία[nafsc] ἐν[pd] διαθήκη[ndfpc] κρίμα[ngnpc] διδάσκω[vnaa] ὁ[dams] Ἰακώβ[namsp] ὁ[danp] μαρτύριον[nanpc] καί[cc] ἐν[pd] νόμος[ndmsc] αὐτός[rpgms] φωτίζω[vnaa] Ἰσραήλ[namsp]. **v.18** ἐπισυνίστημι[viaa3p] αὐτός[rpdms] ἀλλότριος[annmpn] καί[cc] ζηλόω[viaa3p] αὐτός[rpams] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc] ἀνήρ[nnmpc] ὁ[dnmp] περί[pg] Δαθαν[ngmsp] καί[cc] Αβιρων[ngmsp] καί[cc] ὁ[dnfs] συναγωγή[nnfsc] Κόρε[ngmsp] ἐν[pd] θυμός[ndmsc] καί[cc] ὀργή[ndfsc]. **v.19** ὁράω[viaa3s] κύριος[nnmsc] καί[cc] οὐ[b] εὐδοκέω[viaa3s] καί[cc] συντελέω[viap3p] ἐν[pd] θυμός[ndmsc] ὀργή[ngfsc] ποιέω[viaa3s] αὐτός[rpdmp] τέρας[nanpc] καταναλίσκω[vnaa] ἐν[pd] πῦρ[ndnsc] φλόξ[ngfsc] αὐτός[rpgms]. **v.20** καί[cc] προστίθημι[viaa3s] Ἀαρών[ndmsp] δόξα[nafsc] καί[cc] δίδωμι[viaa3s] αὐτός[rpdms] κληρονομία[nafsc] ἀπαρχή[nafpc] πρωτογένημα[ngnpc] μερίζω[viaa3s] αὐτός[rpdms] ἄρτος[namsc] πρῶτος[aodmpn] ἑτοιμάζω[viaa3s] πλησμονή[nafsc]. **v.21** καί[cc] γάρ[cc] θυσία[nafpc] κύριος[ngmsc] ἐσθίω[vifm3p] ὅς[rrafp] δίδωμι[viaa3s] αὐτός[rpdms] τέ[cc] καί[cc] ὁ[ddns] σπέρμα[ndnsc] αὐτός[rpgms]. **v.22** πλήν[b] ἐν[pd] γῆ[ndfsc] λαός[ngmsc] οὐ[b] κληρονομέω[vifa3s] καί[cc] μερίς[nnfsc] οὐ[b] εἰμί[vipa3s] αὐτός[rpdms] ἐν[pd] λαός[ndmsc] αὐτός[rpnms] γάρ[cc] μερίς[nnfsc] σύ[rpg-s] καί[cc] κληρονομία[nnfsc]. **v.23** καί[cc] Φινεες[nnmsp] υἱός[nnmsc] Ἐλεάζαρ[ngmsp] τρίτος[aonmsn] εἰς[pa] δόξα[nafsc] ἐν[pd] ὁ[ddns] ζηλόω[vnaa] αὐτός[rpams] ἐν[pd] φόβος[ndmsc] κύριος[ngmsc] καί[cc] ἵστημι[vnaa] αὐτός[rpams] ἐν[pd] τροπή[ndfsc] λαός[ngmsc] ἐν[pd] ἀγαθότης[ndfsc] προθυμία[ngfsc] ψυχή[ngfsc] αὐτός[rpgms] καί[cc] ἐξιλάσκομαι[viam3s] περί[pg] ὁ[dgms] Ἰσραήλ[ngmsp].

προστατεῖν ἁγίων καὶ λαοῦ αὐτοῦ ἵνα αὐτῷ ᾖ καὶ τῷ σπέρματι
25 αὐτοῦ ἱερωσύνης μεγαλεῖον εἰς τοὺς αἰῶνας. καὶ διαθήκη τῷ
Δαυιδ υἱῷ Ιεσσαι ἐκ φυλῆς Ιουδα κληρονομία βασιλέως υἱοῦ ἐξ
26 υἱοῦ μόνου κληρονομία Ααρων καὶ τῷ σπέρματι αὐτοῦ. δῴη ὑ-
μῖν σοφίαν ἐν καρδίᾳ ὑμῶν κρίνειν τὸν λαὸν αὐτοῦ ἐν δικαιοσύνῃ
ἵνα μὴ ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν καὶ τὴν δόξαν αὐτῶν εἰς γενεὰς
αὐτῶν.

**46** κραταιὸς ἐν πολέμῳ Ἰησοῦς Ναυη καὶ διάδοχος Μωυσῆ ἐν
προφητείαις ὃς ἐγένετο κατὰ τὸ ὄνομα αὐτοῦ μέγας ἐπὶ σωτηρίᾳ
ἐκλεκτῶν αὐτοῦ ἐκδικῆσαι ἐπεγειρομένους ἐχθρούς ὅπως κατα-
2 κληρονομήσῃ τὸν Ισραηλ. ὡς ἐδοξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐ-
3 τοῦ καὶ ἐν τῷ ἐκτεῖναι ῥομφαίαν ἐπὶ πόλεις. τίς πρότερος αὐτοῦ
4 οὕτως ἔστη τοὺς γὰρ πολέμους κυρίου αὐτὸς ἐπήγαγεν. οὐχὶ ἐν
χειρὶ αὐτοῦ ἐνεποδίσθη ὁ ἥλιος καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο.
5 ἐπεκαλέσατο τὸν ὕψιστον δυνάστην ἐν τῷ θλῖψαι αὐτὸν ἐχθροὺς
κυκλόθεν καὶ ἐπήκουσεν αὐτοῦ μέγας κύριος ἐν λίθοις χαλάζης
6 δυνάμεως κραταιᾶς. κατέρραξεν ἐπ᾽ ἔθνος πόλεμον καὶ ἐν κατα-
βάσει ἀπώλεσεν ἀνθεστηκότας ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτοῦ
7 ὅτι ἐναντίον κυρίου ὁ πόλεμος αὐτοῦ. καὶ γὰρ ἐπηκολούθησεν
ὀπίσω δυνάστου καὶ ἐν ἡμέραις Μωυσέως ἐποίησεν ἔλεος αὐτὸς
καὶ Χαλεβ υἱὸς Ιεφοννη ἀντιστῆναι ἔναντι ἐκκλησίας κωλῦσαι λα-

---

**v.24** διά[pa] οὗτος[rdans] ἵστημι[viap3s] αὐτός[rpdms] διαθήκη[nnfsc] εἰρήνη[ngfsc] προστατέω[vnpa] ἅγιος[angnpn] καί[cc] λαός[ngmsc] αὐτός[rpgms] ἵνα[cs] αὐτός[rpdms] εἰμί[vspa3s] καί[cc] ὁ[ddns] σπέρμα[ndnsc] αὐτός[rpgms] ἱερωσύνη[ngfsc] μεγαλεῖος[annnsn] εἰς[pa] ὁ[damp] αἰών[nampc]. **v.25** καί[cc] διαθήκη[nnfsc] ὁ[ddms] Δαυίδ[ndmsp] υἱός[ndmsc] Ιεσσαι[ngmsp] ἐκ[pg] φυλή[ngfsc] Ἰούδας[ngmsp] κληρονομία[nnfsc] βασιλεύς[ngmsc] υἱός[ngmsc] ἐκ[pg] υἱός[ngmsc] μόνος[angmsn] κληρονομία[nnfsc] Ἀαρών[ngmsp] καί[cc] ὁ[ddns] σπέρμα[ndnsc] αὐτός[rpgms]. **v.26** δίδωμι[voaa3s] σύ[rpd-p] σοφία[nafsc] ἐν[pd] καρδία[ndfsc] σύ[rpg-p] κρίνω[vnpa] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] ἐν[pd] δικαιοσύνη[ndfsc] ἵνα[cs] μή[x] ἀφανίζω[vsap3s] ὁ[dnnp] ἀγαθός[annnpn] αὐτός[rpgmp] καί[cc] ὁ[dafs] δόξα[nafsc] αὐτός[rpgmp] εἰς[pa] γενεά[nafpc] αὐτός[rpgmp]. **46. v.1** κραταιός[annmsn] ἐν[pd] πόλεμος[ndmsc] Ἰησοῦς[nnmsp] Ναυη[ngmsp] καί[cc] διάδοχος[nnmsc] Μωυσῆ[ngmsp] ἐν[pd] προφητεία[ndfpc] ὅς[rrnms] γίνομαι[viam3s] κατά[pa] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] μέγας[annmsn] ἐπί[pd] σωτηρία[ndfsc] ἐκλεκτός[angmpn] αὐτός[rpgms] ἐκδικέω[vnaa] ἐπεγείρω[vppmamp] ἐχθρός[anampn] ὅπως[cs] κατακληρονομέω[vsaa3s] ὁ[dams] Ἰσραήλ[namsp]. **v.2** ὡς[cs] δοξάζω[viap3s] ἐν[pd] ὁ[ddns] ἐπαίρω[vnaa] χείρ[nafpc] αὐτός[rpgms] καί[cc] ἐν[pd] ὁ[ddns] ἐκτείνω[vnaa] ῥομφαία[nafsc] ἐπί[pa] πόλις[nafpc]. **v.3** τίς[rqnms] πρότερος[annmsn] αὐτός[rpgms] οὕτως[b] ἵστημι[viaa3s] ὁ[damp] γάρ[cc] πόλεμος[nampc] κύριος[ngmsc] αὐτός[rpnms] ἐπάγω[viaa3s]. **v.4** οὐχί[b] ἐν[pd] χείρ[ndfsc] αὐτός[rpgms] ἐμποδίζω[viap3s] ὁ[dnms] ἥλιος[nnmsc] καί[cc] εἷς[acnfsn] ἡμέρα[nnfsc] γίνομαι[viap3s] πρός[pa] δύο[aca–n]. **v.5** ἐπικαλέω[viam3s] ὁ[dams] ὕψιστος[anamsn] δυνάστης[namsc] ἐν[pd] ὁ[ddns] θλίβω[vnaa] αὐτός[rpams] ἐχθρός[anampn] κυκλόθεν[b] καί[cc] ἐπακούω[viaa3s] αὐτός[rpgms] μέγας[annmsn] κύριος[nnmsc] ἐν[pd] λίθος[ndmpc] χάλαζα[ngfsc] δύναμις[ngfsc] κραταιός[angfsn]. **v.6** καταράσσω[viaa3s] ἐπί[pa] ἔθνος[nansc] πόλεμος[namsc] καί[cc] ἐν[pd] κατάβασις[ndfsc] ἀπόλλυμι[viaa3s] ἀνθίστημι[vpxaamp] ἵνα[cs] γινώσκω[vsaa3p] ἔθνος[nnnpc] πανοπλία[nafsc] αὐτός[rpgms] ὅτι[cs] ἐναντίον[pg] κύριος[ngmsc] ὁ[dnms] πόλεμος[nnmsc] αὐτός[rpgms].

ὸν ἀπὸ ἁμαρτίας καὶ κοπάσαι γογγυσμὸν πονηρίας. καὶ αὐτοὶ 8
δύο ὄντες διεσώθησαν ἀπὸ ἑξακοσίων χιλιάδων πεζῶν εἰσαγαγεῖν
αὐτοὺς εἰς κληρονομίαν εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ 9
ἔδωκεν ὁ κύριος τῷ Χαλεβ ἰσχύν καὶ ἕως γήρους διέμεινεν αὐτῷ
ἐπιβῆναι αὐτὸν ἐπὶ τὸ ὕψος τῆς γῆς καὶ τὸ σπέρμα αὐτοῦ κατέ-
σχεν κληρονομίαν. ὅπως ἴδωσιν πάντες οἱ υἱοὶ Ισραηλ ὅτι καλὸν 10
τὸ πορεύεσθαι ὀπίσω κυρίου. καὶ οἱ κριταί ἕκαστος τῷ αὐτοῦ 11
ὀνόματι ὅσων οὐκ ἐξεπόρνευσεν ἡ καρδία καὶ ὅσοι οὐκ ἀπεστρά-
φησαν ἀπὸ κυρίου εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις. τὰ 12
ὀστᾶ αὐτῶν ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν καὶ τὸ ὄνομα αὐτῶν
ἀντικαταλλασσόμενον ἐφ᾽ υἱοῖς δεδοξασμένων αὐτῶν. ἠγαπη- 13
μένος ὑπὸ κυρίου αὐτοῦ Σαμουηλ προφήτης κυρίου κατέστησεν
βασιλείαν καὶ ἔχρισεν ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτοῦ. ἐν νόμῳ κυ- 14
ρίου ἔκρινεν συναγωγήν καὶ ἐπεσκέψατο κύριος τὸν Ιακωβ. ἐν 15
πίστει αὐτοῦ ἠκριβάσθη προφήτης καὶ ἐγνώσθη ἐν ῥήμασιν αὐ-
τοῦ πιστὸς ὁράσεως. καὶ ἐπεκαλέσατο τὸν κύριον δυνάστην ἐν 16
τῷ θλῖψαι ἐχθροὺς αὐτοῦ κυκλόθεν ἐν προσφορᾷ ἀρνὸς γαλαθη-
νοῦ. καὶ ἐβρόντησεν ἀπ᾽ οὐρανοῦ ὁ κύριος καὶ ἐν ἤχῳ μεγάλῳ 17
ἀκουστὴν ἐποίησεν τὴν φωνὴν αὐτοῦ. καὶ ἐξέτριψεν ἡγουμέ- 18
νους Τυρίων καὶ πάντας ἄρχοντας Φυλιστιιμ. καὶ πρὸ καιροῦ 19

---

**v.7** καί[cc] γάρ[cc] ἐπακολουθέω[viaa3s] ὀπίσω[pg] δυνάστης[ngmsc] καί[cc] ἐν[pd] ἡμέρα[ndfpc] Μωϋσῆς[ngmsp] ποιέω[viaa3s] ἔλεος[nansc] αὐτός[rpnms] καί[cc] Χαλεβ[nnmsp] υἱός[nnmsc] Ιεφοννη[ngmsp] ἀνθίστημι[vnaa] ἔναντι[pg] ἐκκλησία[ngfsc] κωλύω[vnaa] λαός[namsc] ἀπό[pg] ἁμαρτία[ngfsc] καί[cc] κοπάζω[vnaa] γογγυσμός[namsc] πονηρία[ngfsc]. **v.8** καί[cc] αὐτός[rpnmp] δύο[ac—n] εἰμί[vppanmp] διασῴζω[viap3p] ἀπό[pg] ἑξακόσιοι[acgfpn] χιλιάς[ngfpc] πεζός[angmpn] εἰσάγω[vnaa] αὐτός[rpamp] εἰς[pa] κληρονομία[nafsc] εἰς[pa] γῆ[nafsc] ῥέω[vppaafs] γάλα[nansc] καί[cc] μέλι[nansc]. **v.9** καί[cc] δίδωμι[viaa3s] ὁ[dnms] κύριος[nnmsc] ὁ[ddms] Χαλεβ[ndmsp] ἰσχύς[nafsc] καί[cc] ἕως[pg] γῆρας[ngnsc] διαμένω[viaa3s] αὐτός[rpdms] ἐπιβαίνω[vnaa] αὐτός[rpams] ἐπί[pa] ὁ[dans] ὕψος[nansc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ὁ[dnns] σπέρμα[nnnsc] αὐτός[rpgms] κατέχω[viaa3s] κληρονομία[nafsc]. **v.10** ὅπως[cs] ὁράω[vsaa3p] πᾶς[ainmpn] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] ὅτι[cs] καλός[annnsn] ὁ[dnns] πορεύομαι[vnpm] ὀπίσω[pg] κύριος[ngmsc]. **v.11** καί[cc] ὁ[dnmp] κριτής[nnmpc] ἕκαστος[ainmsn] ὁ[ddms] αὐτός[rpgms] ὄνομα[ndnsc] ὅσος[rrgmpn] οὐ[b] ἐκπορνεύω[viaa3s] ὁ[dnfs] καρδία[nnfsc] καί[cc] ὅσος[rrnmpn] οὐ[b] ἀποστρέφω[viap3p] ἀπό[pg] κύριος[ngmsc] εἰμί[vopa3s] ὁ[dnns] μνημόσυνον[nnnsc] αὐτός[rpgmp] ἐν[pd] εὐλογία[ndfpc]. **v.12** ὁ[dnnp] ὀστέον[nnnpc] αὐτός[rpgmp] ἀναθάλλω[voaa3s] ἐκ[pg] ὁ[dgms] τόπος[ngmsc] αὐτός[rpgmp] καί[cc] ὁ[dnns] ὄνομα[nnnsc] αὐτός[rpgmp] ἀντικαταλλάσσομαι[vpppnns] ἐπί[pd] υἱός[ndmpc] δοξάζω[vpxpgmp] αὐτός[rpgmp]. **v.13** ἀγαπάω[vpxpnms] ὑπό[pg] κύριος[ngmsc] αὐτός[rpgms] Σαμουήλ[nnmsp] προφήτης[nnmsc] κύριος[ngmsc] καθίστημι[viaa3s] βασιλεία[nafsc] καί[cc] χρίω[viaa3s] ἄρχων[nampc] ἐπί[pa] ὁ[dams] λαός[namsc] αὐτός[rpgms]. **v.14** ἐν[pd] νόμος[ndmsc] κύριος[ngmsc] κρίνω[viaa3s] συναγωγή[nafsc] καί[cc] ἐπισκέπτομαι[viam3s] κύριος[nnmsc] ὁ[dams] Ἰακώβ[namsp]. **v.15** ἐν[pd] πίστις[ndfsc] αὐτός[rpgms] ἀκριβάζομαι[viap3s] προφήτης[nnmsc] καί[cc] γινώσκω[viap3s] ἐν[pd] ῥῆμα[ndnpc] αὐτός[rpgms] πιστός[annmsn] ὅρασις[ngfsc]. **v.16** καί[cc] ἐπικαλέω[viam3s] ὁ[dams] κύριος[namsc] δυνάστης[namsc] ἐν[pd] ὁ[ddns] θλίβω[vnaa] ἐχθρός[anampn] αὐτός[rpgms] κυκλόθεν[b] ἐν[pd] προσφορά[ndfsc] ἀρνός[ngmsc] γαλαθηνός[angmsn]. **v.17** καί[cc] βροντάω[viaa3s] ἀπό[pg] οὐρανός[ngmsc] ὁ[dnms] κύριος[nnmsc] καί[cc] ἐν[pd] ἦχος[ndmsc] μέγας[andmsn] ἀκουστός[anafsn] ποιέω[viaa3s] ὁ[dafs] φωνή[nafsc] αὐτός[rpgms]. **v.18** καί[cc] ἐκτρίβω[viaa3s] ἡγέομαι[vppmamp] Τύριος[ng-pp] καί[cc] πᾶς[aiampn] ἄρχων[nampc] Φυλιστιιμ[ngmpp].

κοιμήσεως αἰῶνος ἐπεμαρτύρατο ἔναντι κυρίου καὶ χριστοῦ αὐ-
τοῦ χρήματα καὶ ἕως ὑποδημάτων ἀπὸ πάσης σαρκὸς οὐκ εἴληφα
20 καὶ οὐκ ἐνεκάλεσεν αὐτῷ ἄνθρωπος. καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν
προεφήτευσεν καὶ ὑπέδειξεν βασιλεῖ τὴν τελευτὴν αὐτοῦ καὶ ἀνύ-
ψωσεν ἐκ γῆς τὴν φωνὴν αὐτοῦ ἐν προφητείᾳ ἐξαλεῖψαι ἀνομίαν
λαοῦ.
**47** καὶ μετὰ τοῦτον ἀνέστη Ναθαν προφητεύειν ἐν ἡμέραις Δαυιδ.
2 ὥσπερ στέαρ ἀφωρισμένον ἀπὸ σωτηρίου οὕτως Δαυιδ ἀπὸ τῶν
3 υἱῶν Ισραηλ. ἐν λέουσιν ἔπαιξεν ὡς ἐν ἐρίφοις καὶ ἐν ἄρκοις ὡς
4 ἐν ἄρνασι προβάτων. ἐν νεότητι αὐτοῦ οὐχὶ ἀπέκτεινεν γίγαντα
καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαοῦ ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφεν-
5 δόνης καὶ καταβαλεῖν γαυρίαμα τοῦ Γολιαθ. ἐπεκαλέσατο γὰρ
κύριον τὸν ὕψιστον καὶ ἔδωκεν ἐν τῇ δεξιᾷ αὐτοῦ κράτος ἐξᾶραι
6 ἄνθρωπον δυνατὸν ἐν πολέμῳ ἀνυψῶσαι κέρας λαοῦ αὐτοῦ. οὕ-
τως ἐν μυριάσιν ἐδόξασαν αὐτὸν καὶ ᾔνεσαν αὐτὸν ἐν εὐλογίαις
7 κυρίου ἐν τῷ φέρεσθαι αὐτῷ διάδημα δόξης. ἐξέτριψεν γὰρ ἐ-
χθροὺς κυκλόθεν καὶ ἐξουδένωσεν Φυλιστιιμ τοὺς ὑπεναντίους
8 ἕως σήμερον συνέτριψεν αὐτῶν κέρας. ἐν παντὶ ἔργῳ αὐτοῦ ἔ-
δωκεν ἐξομολόγησιν ἁγίῳ ὑψίστῳ ῥήματι δόξης ἐν πάσῃ καρδίᾳ
9 αὐτοῦ ὕμνησεν καὶ ἠγάπησεν τὸν ποιήσαντα αὐτόν. καὶ ἔστη-
σεν ψαλτῳδοὺς κατέναντι τοῦ θυσιαστηρίου καὶ ἐξ ἤχους αὐτῶν

---

**v.19** καί[cc] πρό[pg] καιρός[ngmsc] κοίμησις[ngfsc] αἰών[ngmsc] ἐπιμαρτύρομαι[viam3s] ἔναντι[pg] κύριος[ngmsc] καί[cc] χριστός[angmsn] αὐτός[rpgms] χρῆμα[nanpc] καί[cc] ἕως[pg] ὑπόδημα[ngnpc] ἀπό[pg] πᾶς[aigfsn] σάρξ[ngfsc] οὐ[b] λαμβάνω[vixa1s] καί[cc] οὐ[b] ἐγκαλέω[viaa3s] αὐτός[rpdms] ἄνθρωπος[nnmsc]. **v.20** καί[cc] μετά[pa] ὁ[dans] ὑπνόω[vnaa] αὐτός[rpams] προφητεύω[viaa3s] καί[cc] ὑποδείκνυμι[viaa3s] βασιλεύς[ndmsc] ὁ[dafs] τελευτή[nafsc] αὐτός[rpgms] καί[cc] ἀνυψόω[viaa3s] ἐκ[pg] γῆ[ngfsc] ὁ[dafs] φωνή[nafsc] αὐτός[rpgms] ἐν[pd] προφητεία[ndfsc] ἐξαλείφω[vnaa] ἀνομία[nafsc] λαός[ngmsc]. **47.** **v.1** καί[cc] μετά[pa] οὗτος[rdams] ἀνίστημι[viaa3s] Ναθάμ[nnmsp] προφητεύω[vnpa] ἐν[pd] ἡμέρα[ndfpc] Δαυίδ[ngmsp]. **v.2** ὥσπερ[cs] στέαρ[nnnsc] ἀφορίζω[vpxpnns] ἀπό[pg] σωτήριον[ngnsc] οὕτως[b] Δαυίδ[nnmsp] ἀπό[pg] ὁ[dgmp] υἱός[ngmpc] Ἰσραήλ[ngmsp]. **v.3** ἐν[pd] λέων[ndmpc] παίζω[viaa3s] ὡς[cs] ἐν[pd] ἔριφος[ndmpc] καί[cc] ἐν[pd] ἄρκος[ndmpc] ὡς[cs] ἐν[pd] ἀρνός[ndmpc] πρόβατον[ngnpc]. **v.4** ἐν[pd] νεότης[ndfsc] αὐτός[rpgms] οὐχί[b] ἀποκτείνω[viaa3s] γίγας[namsc] καί[cc] ἐξαίρω[viaa3s] ὀνειδισμός[namsc] ἐκ[pg] λαός[ngmsc] ἐν[pd] ὁ[ddns] ἐπαίρω[vnaa] χείρ[nafsc] ἐν[pd] λίθος[ndmsc] σφενδόνη[ngfsc] καί[cc] καταβάλλω[vnaa] γαυρίαμα[nansc] ὁ[dgms] Γολιαθ[ngmsp]. **v.5** ἐπικαλέω[viam3s] γάρ[cc] κύριος[namsc] ὁ[dams] ὕψιστος[anamsn] καί[cc] δίδωμι[viaa3s] ἐν[pd] ὁ[ddfs] δεξιός[andfsn] αὐτός[rpgms] κράτος[nansc] ἐξαίρω[vnaa] ἄνθρωπος[namsc] δυνατός[anamsn] ἐν[pd] πόλεμος[ndmsc] ἀνυψόω[vnaa] κέρας[nansc] λαός[ngmsc] αὐτός[rpgms]. **v.6** οὕτως[b] ἐν[pd] μυριάς[ndfpc] δοξάζω[viaa3p] αὐτός[rpams] καί[cc] αἰνέω[viaa3p] αὐτός[rpams] ἐν[pd] εὐλογία[ndfpc] κύριος[ngmsc] ἐν[pd] ὁ[ddns] φέρω[vnpp] αὐτός[rpdms] διάδημα[nansc] δόξα[ngfsc]. **v.7** ἐκτρίβω[viaa3s] γάρ[cc] ἐχθρός[anampn] κυκλόθεν[b] καί[cc] ἐξουδενόω[viaa3s] Φυλιστιιμ[nampp] ὁ[damp] ὑπεναντίος[anampn] ἕως[pp] σήμερον[b] συντρίβω[viaa3s] αὐτός[rpgmp] κέρας[nansc]. **v.8** ἐν[pd] πᾶς[aidnsn] ἔργον[ndnsc] αὐτός[rpgms] δίδωμι[viaa3s] ἐξομολόγησις[nafsc] ἅγιος[andmsn] ὕψιστος[andmsn] ῥῆμα[ndnsc] δόξα[ngfsc] ἐν[pd] πᾶς[aidfsn] καρδία[ndfsc] αὐτός[rpgms] ὑμνέω[viaa3s] καί[cc] ἀγαπάω[viaa3s] ὁ[dams] ποιέω[vpaaams] αὐτός[rpams].

γλυκαίνειν μέλη. ἔδωκεν ἐν ἑορταῖς εὐπρέπειαν καὶ ἐκόσμη- 10
σεν καιροὺς μέχρι συντελείας ἐν τῷ αἰνεῖν αὐτοὺς τὸ ἅγιον ὄνομα
αὐτοῦ καὶ ἀπὸ πρωίας ἠχεῖν τὸ ἁγίασμα. κύριος ἀφεῖλεν τὰς 11
ἁμαρτίας αὐτοῦ καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐτοῦ καὶ ἔ-
δωκεν αὐτῷ διαθήκην βασιλέων καὶ θρόνον δόξης ἐν τῷ Ισραηλ.
μετὰ τοῦτον ἀνέστη υἱὸς ἐπιστήμων καὶ δι᾽ αὐτὸν κατέλυσεν ἐν 12
πλατυσμῷ. Σαλωμων ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης ᾧ ὁ θεὸς 13
κατέπαυσεν κυκλόθεν ἵνα στήσῃ οἶκον ἐπ᾽ ὀνόματι αὐτοῦ καὶ ἑ-
τοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα. ὡς ἐσοφίσθης ἐν νεότητί σου καὶ 14
ἐνεπλήσθης ὡς ποταμὸς συνέσεως. γῆν ἐπεκάλυψεν ἡ ψυχή σου 15
καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων. εἰς νήσους πόρρω ἀ- 16
φίκετο τὸ ὄνομά σου καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου. ἐν ᾠδαῖς 17
καὶ παροιμίαις καὶ παραβολαῖς καὶ ἐν ἑρμηνείαις ἀπεθαύμασάν
σε χῶραι. ἐν ὀνόματι κυρίου τοῦ θεοῦ τοῦ ἐπικεκλημένου θε- 18
οῦ Ισραηλ συνήγαγες ὡς κασσίτερον τὸ χρυσίον καὶ ὡς μόλιβον
ἐπλήθυνας ἀργύριον. παρανέκλινας τὰς λαγόνας σου γυναιξὶν 19
καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί σου. ἔδωκας μῶμον ἐν τῇ δόξῃ 20
σου καὶ ἐβεβήλωσας τὸ σπέρμα σου ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέ-
κνα σου καὶ κατανυγῆναι ἐπὶ τῇ ἀφροσύνῃ σου. γενέσθαι δίχα 21
τυραννίδα καὶ ἐξ Εφραιμ ἄρξαι βασιλείαν ἀπειθῆ. ὁ δὲ κύριος 22
οὐ μὴ καταλίπῃ τὸ ἔλεος αὐτοῦ καὶ οὐ μὴ διαφθείρῃ ἀπὸ τῶν λό-

---

**14.** **v.1** ἀφανίζω[vifp3s] Σαμαρία[nnfsp] ὅτι[cs] ἀνθίστημι[viaa3s] πρός[pa] ὁ[dams] θεός[namsc] αὐτός[rpgfs] ἐν[pd] ῥομφαία[ndfsc] πίπτω[vifm3p] αὐτός[rpnmp] καί[cc] ὁ[dnnp] ὑποτίτθιος[nnnpc] αὐτός[rpgmp] ἐδαφίζω[vifp3p] καί[cc] ὁ[dnfp] ἐν[pd] γαστήρ[ndfsc] ἔχω[vppanfp] αὐτός[rpgmp] διαρρήγνυμι[vifp3p]. **v.2** ἐπιστρέφω[vdap2s] Ἰσραήλ[nvmsp] πρός[pa] κύριος[namsc] ὁ[dams] θεός[namsc] σύ[rpgms] διότι[cs] ἀσθενέω[viaa2s] ἐν[pd] ὁ[ddfp] ἀδικία[ndfpc] σύ[rpgms]. **v.3** λαμβάνω[vdaa2p] μετά[pg] ἑαυτοῦ[rxgmp] λόγος[nampc] καί[cc] ἐπιστρέφω[vdap2p] πρός[pa] κύριος[namsc] ὁ[dams] θεός[namsc] σύ[rpg-p] λέγω[vdaa2p] αὐτός[rpdms] ὅπως[cs] μή[x] λαμβάνω[vsaa2p] ἀδικία[nafsc] καί[cc] λαμβάνω[vsaa2p] ἀγαθός[ananpn] καί[cc] ἀνταποδίδωμι[vifa1p] καρπός[namsc] χεῖλος[ngnpc] ἐγώ[rpg-p]. **v.4** Ασσουρ[nnmsp] οὐ[b] μή[x] σῴζω[vsaa3s] ἐγώ[rpa-p] ἐπί[pa] ἵππος[namsc] οὐ[b] ἀναβαίνω[vifm1p] οὐκέτι[b] μή[x] λέγω[vsaa1p] θεός[nvmpc] ἐγώ[rpg-p] ὁ[ddnp] ἔργον[ndnpc] ὁ[dgfp] χείρ[ngfpc] ἐγώ[rpg-p] ὁ[dnms] ἐν[pd] σύ[rpdms] ἐλεέω[vifa3s] ὀρφανός[anamsn]. **v.5** ἰάομαι[vifm1s] ὁ[dafp] κατοικία[nafpc] αὐτός[rpgmp] ἀγαπάω[vifa1s] αὐτός[rpamp] ὁμολόγως[b] ὅτι[cs] ἀποστρέφω[viaa3s] ὁ[dnfs] ὀργή[nnfsc] ἐγώ[rpg-s] ἀπό[pg] αὐτός[rpgmp]. **v.6** εἰμί[vifm1s] ὡς[cs] δρόσος[nnfsc] ὁ[ddms] Ἰσραήλ[ndmsp] ἀνθέω[vifa3s] ὡς[cs] κρίνον[nnnsc] καί[cc] βάλλω[vifa3s] ὁ[dafp] ῥίζα[nafpc] αὐτός[rpgms] ὡς[cs] ὁ[dnms] Λίβανος[nnmsp]. **v.7** πορεύομαι[vifm3p] ὁ[dnmp] κλάδος[nnmpc] αὐτός[rpgms] καί[cc] εἰμί[vifm3s] ὡς[cs] ἐλαία[nnfsc] κατάκαρπος[annfsn] καί[cc] ὁ[dnfs] ὀσφρασία[nnfsc] αὐτός[rpgms] ὡς[cs] Λίβανος[ngmsp]. **v.8** ἐπιστρέφω[vifa3p] καί[cc] καθίζω[vifm3p] ὑπό[pa] ὁ[dafs] σκέπη[nafsc] αὐτός[rpgms] ζάω[vifm3p] καί[cc] μεθύσκω[vifp3p] σῖτος[ndmsc] καί[cc] ἐξανθέω[vifa3s] ὡς[cs] ἄμπελος[nnfsc] ὁ[dnns] μνημόσυνον[nnnsc] αὐτός[rpgms] ὡς[cs] οἶνος[nnmsc] Λίβανος[ngmsp]. **v.9** ὁ[ddms] Ἐφραίμ[ndmsp] τίς[rqnns] αὐτός[rpdms] ἔτι[b] καί[cc] εἴδωλον[ndnpc] ἐγώ[rpn-s] ταπεινόω[viaa1s] αὐτός[rpams] καί[cc] ἐγώ[rpn-s] κατισχύω[vifa1s] αὐτός[rpams] ἐγώ[rpn-s] ὡς[cs] ἄρκευθος[nnfsc] πυκάζω[vppanfs] ἐκ[pg] ἐγώ[rpg-s] ὁ[dnms] καρπός[nnmsc] σύ[rpgms] εὑρίσκω[vixp3s].

συνετὸς καὶ ἐπιγνώσεται αὐτά διότι εὐθεῖαι αἱ ὁδοὶ τοῦ κυρίου καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς.

**v.10** τίς$^{rqnms}$ σοφός$^{annmsn}$ καί$^{cc}$ συνίημι$^{vifa3s}$ οὗτος$^{rdanp}$ ἤ$^{cc}$ συνετός$^{annmsn}$ καί$^{cc}$ ἐπιγινώσκω$^{vifm3s}$ αὐτός$^{rpanp}$ διότι$^{cs}$ εὐθύς$^{annfpn}$ ὁ$^{dnfp}$ ὁδός$^{nnfpc}$ ὁ$^{dgms}$ κύριος$^{ngmsc}$ καί$^{cc}$ δίκαιος$^{annmpn}$ πορεύομαι$^{vifm3p}$ ἐν$^{pd}$ αὐτός$^{rpdfp}$ ὁ$^{dnmp}$ δέ$^{cc}$ ἀσεβής$^{annmpn}$ ἀσθενέω$^{vifa3p}$ ἐν$^{pd}$ αὐτός$^{rpdfp}$.

# ΑΜΩΣ

λόγοι Αμως οἳ ἐγένοντο ἐν νακκαριμ ἐκ Θεκουε οὓς εἶδεν ὑ- **1**
πὲρ Ιερουσαλημ ἐν ἡμέραις Οζιου βασιλέως Ιουδα καὶ ἐν ἡμέραις
Ιεροβοαμ τοῦ Ιωας βασιλέως Ισραηλ πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.
καὶ εἶπεν κύριος ἐκ Σιων ἐφθέγξατο καὶ ἐξ Ιερουσαλημ ἔδωκεν 2
φωνὴν αὐτοῦ καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων καὶ ἐξηράνθη
ἡ κορυφὴ τοῦ Καρμήλου. καὶ εἶπεν κύριος ἐπὶ ταῖς τρισὶν ἀ- 3
σεβείαις Δαμασκοῦ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι
αὐτόν ἀνθ᾽ ὧν ἔπριζον πρίοσιν σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν
ἐν Γαλααδ. καὶ ἐξαποστελῶ πῦρ εἰς τὸν οἶκον Αζαηλ καὶ καταφά- 4
γεται θεμέλια υἱοῦ Αδερ. καὶ συντρίψω μοχλοὺς Δαμασκοῦ καὶ 5
ἐξολεθρεύσω κατοικοῦντας ἐκ πεδίου Ων καὶ κατακόψω φυλὴν ἐξ
ἀνδρῶν Χαρραν καὶ αἰχμαλωτευθήσεται λαὸς Συρίας ἐπίκλητος
λέγει κύριος. τάδε λέγει κύριος ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης 6
καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς ἕνεκεν τοῦ
αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν τοῦ Σαλωμων τοῦ συγκλεῖ-
σαι εἰς τὴν Ιδουμαίαν. καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης 7
καὶ καταφάγεται θεμέλια αὐτῆς. καὶ ἐξολεθρεύσω κατοικοῦν- 8
τας ἐξ Ἀζώτου καὶ ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκαλῶνος καὶ ἐπάξω τὴν
χεῖρά μου ἐπὶ Ακκαρων καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλο-

---

**1.** **v.1** λόγος[nnmpc] Ἀμώς[ngmsp] ὅς[rrnmp] γίνομαι[viam3p] ἐν[pd] νακκαριμ[t] ἐκ[pg] Θεκουε[ng-sp] ὅς[rramp] ὁράω[viaa3s] ὑπέρ[pa] Ἰερουσαλήμ[nafsp] ἐν[pd] ἡμέρα[ndfpc] Ὀζίας[ngmsp] βασιλεύς[ngmsc] Ἰούδας[ngmsp] καί[cc] ἐν[pd] ἡμέρα[ndfpc] Ιεροβοαμ[ngmsp] ὁ[dgms] Ἰωάς[ngmsp] βασιλεύς[ngmsc] Ἰσραήλ[ngmsp] πρό[pg] δύο[ac—n] ἔτος[ngnpc] ὁ[dgms] σεισμός[ngmsc]. **v.2** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ἐκ[pg] Σιών[ngfsp] φθέγγομαι[viam3s] καί[cc] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp] δίδωμι[viaa3s] φωνή[nafsc] αὐτός[rpgms] καί[cc] πενθέω[viaa3p] ὁ[dnfp] νομή[nnfpc] ὁ[dgmp] ποιμήν[ngmpc] καί[cc] ξηραίνω[viap3s] ὁ[dnfs] κορυφή[nnfsc] ὁ[dgms] Καρμήλος[ngmsp]. **v.3** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ἐπί[pd] ὁ[ddfp] τρεῖς[acdfpn] ἀσέβεια[ndfpc] Δαμασκός[ngfsp] καί[cc] ἐπί[pd] ὁ[ddfp] τέσσαρες[acdfpn] οὐ[b] ἀποστρέφω[vifp1s] αὐτός[rpams] ἀντί[pg] ὅς[rrgnp] πρίζω[viia3p] πρίων[ndmpc] σιδηροῦς[andmpn] ὁ[dafp] ἐν[pd] γαστήρ[ndfsc] ἔχω[vppaafp] ὁ[dgmp] ἐν[pd] Γαλαάδ[ndmsp]. **v.4** καί[cc] ἐξαποστέλλω[vifa1s] πῦρ[nansc] εἰς[pa] ὁ[dams] οἶκος[namsc] Αζαηλ[ngmsp] καί[cc] κατεσθίω[vifm3s] θεμέλιον[nanpc] υἱός[ngmsc] Αδερ[ngmsp]. **v.5** καί[cc] συντρίβω[vifa1s] μοχλός[nampc] Δαμασκός[ngfsp] καί[cc] ἐξολεθρεύω[vifa1s] κατοικέω[vppaamp] ἐκ[pg] πεδίον[ngnsc] Ων[ng-sp] καί[cc] κατακόπτω[vifa1s] φυλή[nafsc] ἐκ[pg] ἀνήρ[ngmpc] Χαρραν[ng-sp] καί[cc] αἰχμαλωτεύω[vifp3s] λαός[nnmsc] Συρία[ngfsp] ἐπίκλητος[annmsn] λέγω[vipa3s] κύριος[nnmsc]. **v.6** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ἐπί[pd] ὁ[ddfp] τρεῖς[acdfpn] ἀσέβεια[ndfpc] Γάζα[ngfsp] καί[cc] ἐπί[pd] ὁ[ddfp] τέσσαρες[acdfpn] οὐ[b] ἀποστρέφω[vifp1s] αὐτός[rpamp] ἕνεκα[pg] ὁ[dgns] αἰχμαλωτεύω[vnaa] αὐτός[rpamp] αἰχμαλωσία[nafsc] ὁ[dgms] Σαλωμών[ngmsp] ὁ[dgns] συγκλείω[vnaa] εἰς[pa] ὁ[dafs] Ἰδουμαία[nafsp]. **v.7** καί[cc] ἐξαποστέλλω[vifa1s] πῦρ[nansc] ἐπί[pa] ὁ[danp] τεῖχος[nanpc] Γάζα[ngfsp] καί[cc] κατεσθίω[vifm3s] θεμέλιον[nanpc] αὐτός[rpgfs].

9 φύλων λέγει κύριος. τάδε λέγει κύριος ἐπὶ ταῖς τρισὶν ἀσεβείαις
Τύρου καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτήν ἀνθ᾽
ὧν συνέκλεισαν αἰχμαλωσίαν τοῦ Σαλωμων εἰς τὴν Ιδουμαίαν καὶ
10 οὐκ ἐμνήσθησαν διαθήκης ἀδελφῶν. καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ
11 τείχη Τύρου καὶ καταφάγεται θεμέλια αὐτῆς. τάδε λέγει κύριος
ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τῆς Ιδουμαίας καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ
ἀποστραφήσομαι αὐτούς ἕνεκα τοῦ διῶξαι αὐτοὺς ἐν ῥομφαίᾳ τὸν
ἀδελφὸν αὐτοῦ καὶ ἐλυμήνατο μήτραν ἐπὶ γῆς καὶ ἥρπασεν εἰς
μαρτύριον φρίκην αὐτοῦ καὶ τὸ ὅρμημα αὐτοῦ ἐφύλαξεν εἰς νεῖ-
12 κος. καὶ ἐξαποστελῶ πῦρ εἰς Θαιμαν καὶ καταφάγεται θεμέλια
13 τειχέων αὐτῆς. τάδε λέγει κύριος ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν
Αμμων καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν ἀνθ᾽
ὧν ἀνέσχιζον τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδιτῶν ὅπως ἐμπλα-
14 τύνωσιν τὰ ὅρια αὐτῶν. καὶ ἀνάψω πῦρ ἐπὶ τὰ τείχη Ραββα καὶ
καταφάγεται θεμέλια αὐτῆς μετὰ κραυγῆς ἐν ἡμέρᾳ πολέμου καὶ
15 σεισθήσεται ἐν ἡμέρᾳ συντελείας αὐτῆς. καὶ πορεύσονται οἱ βα-
σιλεῖς αὐτῆς ἐν αἰχμαλωσίᾳ οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν
ἐπὶ τὸ αὐτό λέγει κύριος.

**2** τάδε λέγει κύριος ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωαβ καὶ ἐπὶ ταῖς
τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν ἀνθ᾽ ὧν κατέκαυσαν τὰ ὀ-

---

**v.8** καί[cc] ἐξολεθρεύω[vifa1s] κατοικέω[vppaamp] ἐκ[pg] Ἄζωτος[ngfsp] καί[cc] ἐξαίρω[vifp3s] φυλή[nnfsc] ἐκ[pg] Ἀσκαλών[ngfsp] καί[cc] ἐπάγω[vifa1s] ὁ[dafs] χείρ[nafsc] ἐγώ[rpg-s] ἐπί[pa] Ακκαρων[nafsp] καί[cc] ἀπόλλυμι[vifm3p] ὁ[dnmp] κατάλοιπος[annmpn] ὁ[dgmp] ἀλλόφυλος[angmpn] λέγω[vipa3s] κύριος[nnmsc]. **v.9** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ἐπί[pd] ὁ[ddfp] τρεῖς[acdfpn] ἀσέβεια[ndfpc] Τύρος[ngfsp] καί[cc] ἐπί[pd] ὁ[ddfp] τέσσαρες[acdfpn] οὐ[b] ἀποστρέφω[vifp1s] αὐτός[rpafs] ἀντί[pg] ὅς[rrgnp] συγκλείω[viaa3p] αἰχμαλωσία[nafsc] ὁ[dgms] Σαλωμών[ngmsp] εἰς[pa] ὁ[dafs] Ἰδουμαία[nafsp] καί[cc] οὐ[b] μιμνῄσκομαι[viap3p] διαθήκη[ngfsc] ἀδελφός[ngmpc]. **v.10** καί[cc] ἐξαποστέλλω[vifa1s] πῦρ[nansc] ἐπί[pa] ὁ[danp] τεῖχος[nanpc] Τύρος[ngfsp] καί[cc] κατεσθίω[vifm3s] θεμέλιον[nanpc] αὐτός[rpgfs]. **v.11** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ἐπί[pd] ὁ[ddfp] τρεῖς[acdfpn] ἀσέβεια[ndfpc] ὁ[dgfs] Ἰδουμαία[ngfsp] καί[cc] ἐπί[pd] ὁ[ddfp] τέσσαρες[acdfpn] οὐ[b] ἀποστρέφω[vifp1s] αὐτός[rpamp] ἕνεκα[pg] ὁ[dgns] διώκω[vnaa] αὐτός[rpamp] ἐν[pd] ῥομφαία[ndfsc] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] καί[cc] λυμαίνω[viam3s] μήτρα[nafsc] ἐπί[pg] γῆ[ngfsc] καί[cc] ἁρπάζω[viaa3s] εἰς[pa] μαρτύριον[nansc] φρίκη[nafsc] αὐτός[rpgms] καί[cc] ὁ[dans] ὅρμημα[nansc] αὐτός[rpgms] φυλάσσω[viaa3s] εἰς[pa] νεῖκος[nansc]. **v.12** καί[cc] ἐξαποστέλλω[vifa1s] πῦρ[nansc] εἰς[pa] Θαιμαν[nafsp] καί[cc] κατεσθίω[vifm3s] θεμέλιον[nanpc] τεῖχος[ngnpc] αὐτός[rpgfs]. **v.13** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ἐπί[pd] ὁ[ddfp] τρεῖς[acdfpn] ἀσέβεια[ndfpc] υἱός[ngmpc] Αμμων[ngmsp] καί[cc] ἐπί[pd] ὁ[ddfp] τέσσαρες[acdfpn] οὐ[b] ἀποστρέφω[vifp1s] αὐτός[rpams] ἀντί[pg] ὅς[rrgnp] ἀνασχίζω[viia3p] ὁ[dafp] ἐν[pd] γαστήρ[ndfsc] ἔχω[vppaafp] ὁ[dgmp] Γαλααδῖτις[ngmpp] ὅπως[cs] ἐμπλατύνω[vspa3p] ὁ[danp] ὅριον[nanpc] αὐτός[rpgmp]. **v.14** καί[cc] ἀνάπτω[vifa1s] πῦρ[nansc] ἐπί[pa] ὁ[danp] τεῖχος[nanpc] Ραββα[ngfsp] καί[cc] κατεσθίω[vifm3s] θεμέλιον[nanpc] αὐτός[rpgfs] μετά[pg] κραυγή[ngfsc] ἐν[pd] ἡμέρα[ndfsc] πόλεμος[ngmsc] καί[cc] σείω[vifp3s] ἐν[pd] ἡμέρα[ndfsc] συντέλεια[ngfsc] αὐτός[rpgfs]. **v.15** καί[cc] πορεύομαι[vifm3p] ὁ[dnmp] βασιλεύς[nnmpc] αὐτός[rpgfs] ἐν[pd] αἰχμαλωσία[ndfsc] ὁ[dnmp] ἱερεύς[nnmpc] αὐτός[rpgmp] καί[cc] ὁ[dnmp] ἄρχων[nnmpc] αὐτός[rpgmp] ἐπί[pa] ὁ[dans] αὐτός[rpans] λέγω[vipa3s] κύριος[nnmsc].

στᾶ βασιλέως τῆς Ιδουμαίας εἰς κονίαν. καὶ ἐξαποστελῶ πῦρ ἐπὶ 2
Μωαβ καὶ καταφάγεται θεμέλια τῶν πόλεων αὐτῆς καὶ ἀποθανεῖ-
ται ἐν ἀδυναμίᾳ Μωαβ μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος.
καὶ ἐξολεθρεύσω κριτὴν ἐξ αὐτῆς καὶ πάντας τοὺς ἄρχοντας αὐ- 3
τῆς ἀποκτενῶ μετ᾽ αὐτοῦ λέγει κύριος. τάδε λέγει κύριος ἐπὶ 4
ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ιουδα καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀ-
ποστραφήσομαι αὐτόν ἕνεκα τοῦ ἀπώσασθαι αὐτοὺς τὸν νόμον
κυρίου καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυλάξαντο καὶ ἐπλάνη-
σεν αὐτοὺς τὰ μάταια αὐτῶν ἃ ἐποίησαν οἷς ἐξηκολούθησαν οἱ
πατέρες αὐτῶν ὀπίσω αὐτῶν. καὶ ἐξαποστελῶ πῦρ ἐπὶ Ιουδαν 5
καὶ καταφάγεται θεμέλια Ιερουσαλημ. τάδε λέγει κύριος ἐπὶ 6
ταῖς τρισὶν ἀσεβείαις Ισραηλ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστρα-
φήσομαι αὐτόν ἀνθ᾽ ὧν ἀπέδοντο ἀργυρίου δίκαιον καὶ πένητα
ἕνεκεν ὑποδημάτων. τὰ πατοῦντα ἐπὶ τὸν χοῦν τῆς γῆς καὶ ἐ- 7
κονδύλιζον εἰς κεφαλὰς πτωχῶν καὶ ὁδὸν ταπεινῶν ἐξέκλιναν καὶ
υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο πρὸς τὴν αὐτὴν παιδίσκην
ὅπως βεβηλώσωσιν τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν. καὶ τὰ ἱμάτια αὐ- 8
τῶν δεσμεύοντες σχοινίοις παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ
θυσιαστηρίου καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ οἴκῳ τοῦ θε-
οῦ αὐτῶν. ἐγὼ δὲ ἐξῆρα τὸν Αμορραῖον ἐκ προσώπου αὐτῶν οὗ 9
ἦν καθὼς ὕψος κέδρου τὸ ὕψος αὐτοῦ καὶ ἰσχυρὸς ἦν ὡς δρῦς καὶ

**2.** **v.1** ὅδε$^{rdanp}$ λέγω$^{vipa3s}$ κύριος$^{nnmsc}$ ἐπί$^{pd}$ ὁ$^{ddfp}$ τρεῖς$^{acdfpn}$ ἀσέβεια$^{ndfpc}$ Μωαβ$^{ngmsp}$ καί$^{cc}$ ἐπί$^{pd}$ ὁ$^{ddfp}$ τέσσαρες$^{acdfpn}$ οὐ$^{b}$ ἀποστρέφω$^{vifp1s}$ αὐτός$^{rpams}$ ἀντί$^{pg}$ ὅς$^{rrgnp}$ κατακαίω$^{viaa3p}$ ὁ$^{danp}$ ὀστέον$^{nanpc}$ βασιλεύς$^{ngmsc}$ ὁ$^{dgfs}$ Ἰδουμαία$^{ngfsp}$ εἰς$^{pa}$ κονία$^{nafsc}$. **v.2** καί$^{cc}$ ἐξαποστέλλω$^{vifa1s}$ πῦρ$^{nansc}$ ἐπί$^{pa}$ Μωαβ$^{nafsp}$ καί$^{cc}$ κατεσθίω$^{vifm3s}$ θεμέλιον$^{nanpc}$ ὁ$^{dgfp}$ πόλις$^{ngfpc}$ αὐτός$^{rpgfs}$ καί$^{cc}$ ἀποθνῄσκω$^{vifm3s}$ ἐν$^{pd}$ ἀδυναμία$^{ndfsc}$ Μωαβ$^{nnfsp}$ μετά$^{pg}$ κραυγή$^{ngfsc}$ καί$^{cc}$ μετά$^{pg}$ φωνή$^{ngfsc}$ σάλπιγξ$^{ngfsc}$. **v.3** καί$^{cc}$ ἐξολεθρεύω$^{vifa1s}$ κριτής$^{namsc}$ ἐκ$^{pg}$ αὐτός$^{rpgfs}$ καί$^{cc}$ πᾶς$^{aiampn}$ ὁ$^{damp}$ ἄρχων$^{nampc}$ αὐτός$^{rpgfs}$ ἀποκτείνω$^{vifa1s}$ μετά$^{pg}$ αὐτός$^{rpgms}$ λέγω$^{vipa3s}$ κύριος$^{nnmsc}$. **v.4** ὅδε$^{rdanp}$ λέγω$^{vipa3s}$ κύριος$^{nnmsc}$ ἐπί$^{pd}$ ὁ$^{ddfp}$ τρεῖς$^{acdfpn}$ ἀσέβεια$^{ndfpc}$ υἱός$^{ngmpc}$ Ἰούδας$^{ngmsp}$ καί$^{cc}$ ἐπί$^{pd}$ ὁ$^{ddfp}$ τέσσαρες$^{acdfpn}$ οὐ$^{b}$ ἀποστρέφω$^{vifp1s}$ αὐτός$^{rpams}$ ἕνεκα$^{pg}$ ὁ$^{dgns}$ ἀπωθέω$^{vnam}$ αὐτός$^{rpamp}$ ὁ$^{dams}$ νόμος$^{namsc}$ κύριος$^{ngmsc}$ καί$^{cc}$ ὁ$^{danp}$ πρόσταγμα$^{nanpc}$ αὐτός$^{rpgms}$ οὐ$^{b}$ φυλάσσω$^{viam3p}$ καί$^{cc}$ πλανάω$^{viaa3s}$ αὐτός$^{rpamp}$ ὁ$^{dnnp}$ μάταιος$^{annnpn}$ αὐτός$^{rpgmp}$ ὅς$^{rranp}$ ποιέω$^{viaa3p}$ ὅς$^{rrdnp}$ ἐξακολουθέω$^{viaa3p}$ ὁ$^{dnmp}$ πατήρ$^{nnmpc}$ αὐτός$^{rpgmp}$ ὀπίσω$^{pg}$ αὐτός$^{rpgnp}$. **v.5** καί$^{cc}$ ἐξαποστέλλω$^{vifa1s}$ πῦρ$^{nansc}$ ἐπί$^{pa}$ Ἰούδας$^{namsp}$ καί$^{cc}$ κατεσθίω$^{vifm3s}$ θεμέλιον$^{nanpc}$ Ἰερουσαλήμ$^{ngfsp}$. **v.6** ὅδε$^{rdanp}$ λέγω$^{vipa3s}$ κύριος$^{nnmsc}$ ἐπί$^{pd}$ ὁ$^{ddfp}$ τρεῖς$^{acdfpn}$ ἀσέβεια$^{ndfpc}$ Ἰσραήλ$^{ngmsp}$ καί$^{cc}$ ἐπί$^{pd}$ ὁ$^{ddfp}$ τέσσαρες$^{acdfpn}$ οὐ$^{b}$ ἀποστρέφω$^{vifp1s}$ αὐτός$^{rpams}$ ἀντί$^{pg}$ ὅς$^{rrgnp}$ ἀποδίδωμι$^{viam3p}$ ἀργύριον$^{ngnsc}$ δίκαιος$^{anamsn}$ καί$^{cc}$ πένης$^{namsc}$ ἕνεκα$^{pg}$ ὑπόδημα$^{ngnpc}$. **v.7** ὁ$^{dnnp}$ πατέω$^{vppannp}$ ἐπί$^{pa}$ ὁ$^{dams}$ χοῦς$^{namsc}$ ὁ$^{dgfs}$ γῆ$^{ngfsc}$ καί$^{cc}$ κονδυλίζω$^{viia3p}$ εἰς$^{pa}$ κεφαλή$^{nafpc}$ πτωχός$^{angmpn}$ καί$^{cc}$ ὁδός$^{nafsc}$ ταπεινός$^{angmpn}$ ἐκκλίνω$^{viaa3p}$ καί$^{cc}$ υἱός$^{nnmsc}$ καί$^{cc}$ πατήρ$^{nnmsc}$ αὐτός$^{rpgms}$ εἰσπορεύομαι$^{viim3p}$ πρός$^{pa}$ ὁ$^{dafs}$ αὐτός$^{atafsn}$ παιδίσκη$^{nafsc}$ ὅπως$^{cs}$ βεβηλόω$^{vsaa3p}$ ὁ$^{dans}$ ὄνομα$^{nansc}$ ὁ$^{dgms}$ θεός$^{ngmsc}$ αὐτός$^{rpgmp}$. **v.8** καί$^{cc}$ ὁ$^{danp}$ ἱμάτιον$^{nanpc}$ αὐτός$^{rpgmp}$ δεσμεύω$^{vppanmp}$ σχοινίον$^{ndnpc}$ παραπέτασμα$^{nanpc}$ ποιέω$^{viia3p}$ ἔχω$^{vppman’pb}$ ὁ$^{dgns}$ θυσιαστήριον$^{ngnsc}$ καί$^{cc}$ οἶνος$^{namsc}$ ἐκ$^{pg}$ συκοφαντία$^{ngfpc}$ πίνω$^{viia3p}$ ἐν$^{pd}$ ὁ$^{ddms}$ οἶκος$^{ndmsc}$ ὁ$^{dgms}$ θεός$^{ngmsc}$ αὐτός$^{rpgmp}$.

ἐξῆρα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν καὶ τὰς ῥίζας αὐτοῦ ὑποκάτω-
10 θεν. καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου καὶ περιήγαγον
ὑμᾶς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη τοῦ κατακληρονομῆσαι τὴν
11 γῆν τῶν Αμορραίων. καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας
καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν μὴ οὐκ ἔστιν ταῦτα υἱοὶ
12 Ισραηλ λέγει κύριος. καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον καὶ
13 τοῖς προφήταις ἐνετέλλεσθε λέγοντες οὐ μὴ προφητεύσητε. διὰ
τοῦτο ἰδοὺ ἐγὼ κυλίω ὑποκάτω ὑμῶν ὃν τρόπον κυλίεται ἡ ἅμαξα
14 ἡ γέμουσα καλάμης. καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως καὶ ὁ
κραταιὸς οὐ μὴ κρατήσῃ τῆς ἰσχύος αὐτοῦ καὶ ὁ μαχητὴς οὐ μὴ
15 σώσῃ τὴν ψυχὴν αὐτοῦ. καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ καὶ ὁ ὀξὺς
τοῖς ποσὶν αὐτοῦ οὐ μὴ διασωθῇ οὐδὲ ὁ ἱππεὺς οὐ μὴ σώσῃ τὴν
16 ψυχὴν αὐτοῦ. καὶ εὑρήσει τὴν καρδίαν αὐτοῦ ἐν δυναστείαις ὁ
γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει κύριος.
**3** ἀκούσατε τὸν λόγον τοῦτον ὃν ἐλάλησεν κύριος ἐφ᾽ ὑμᾶς οἶ-
κος Ισραηλ καὶ κατὰ πάσης φυλῆς ἧς ἀνήγαγον ἐκ γῆς Αἰγύπτου
2 λέγων. πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν φυλῶν τῆς γῆς διὰ τοῦτο
3 ἐκδικήσω ἐφ᾽ ὑμᾶς πάσας τὰς ἁμαρτίας ὑμῶν. εἰ πορεύσον-
4 ται δύο ἐπὶ τὸ αὐτὸ καθόλου ἐὰν μὴ γνωρίσωσιν ἑαυτούς. εἰ
ἐρεύξεται λέων ἐκ τοῦ δρυμοῦ αὐτοῦ θήραν οὐκ ἔχων εἰ δώσει
σκύμνος φωνὴν αὐτοῦ ἐκ τῆς μάνδρας αὐτοῦ καθόλου ἐὰν μὴ

---

**v.9** ἐγώ[rpn-s] δέ[cc] ἐξαίρω[viaa1s] ὁ[dams] Ἀμορραῖος[namsp] ἐκ[pg] πρόσωπον[ngnsc] αὐτός[rpgmp] ὅς[rrgms] εἰμί[viia3s] καθώς[cs] ὕψος[nnnsc] κέδρος[ngfsc] ὁ[dnns] ὕψος[nnnsc] αὐτός[rpgms] καί[cc] ἰσχυρός[annmsn] εἰμί[viia3s] ὡς[cs] δρῦς[nnfsc] καί[cc] ἐξαίρω[viaa1s] ὁ[dams] καρπός[namsc] αὐτός[rpgms] ἐπάνωθεν[b] καί[cc] ὁ[dafp] ῥίζα[nafpc] αὐτός[rpgms] ὑποκάτωθεν[b]. **v.10** καί[cc] ἐγώ[rpn-s] ἀνάγω[viaa1s] σύ[rpa-p] ἐκ[pg] γῆ[ngfsc] Αἴγυπτος[ngfsp] καί[cc] περιάγω[viaa1s] σύ[rpa-p] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc] τεσσαράκοντα[ac—n] ἔτος[nanpc] ὁ[dgns] κατακληρονομέω[vnaa] ὁ[dafs] γῆ[nafsc] ὁ[dgmp] Ἀμορραῖος[ngmpp]. **v.11** καί[cc] λαμβάνω[viaa1s] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] σύ[rpg-p] εἰς[pa] προφήτης[nampc] καί[cc] ἐκ[pg] ὁ[dgmp] νεανίσκος[ngmpc] σύ[rpg-p] εἰς[pa] ἁγιασμός[namsc] μή[x] οὐ[b] εἰμί[vipa3s] οὗτος[rdnnp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] λέγω[vipa3s] κύριος[nnmsc]. **v.12** καί[cc] ποτίζω[viia2p] ὁ[damp] ἁγιάζω[vpxpamp] οἶνος[namsc] καί[cc] ὁ[ddmp] προφήτης[ndmpc] ἐντέλλομαι[viim2p] λέγω[vppanmp] οὐ[b] μή[x] προφητεύω[vsaa2p]. **v.13** διά[pa] οὗτος[rdans] ἰδού[i] ἐγώ[rpn-s] κυλίω[vipa1s] ὑποκάτω[pg] σύ[rpg-p] ὅς[rrams] τρόπος[namsc] κυλίω[vipp3s] ὁ[dnfs] ἅμαξα[nnfsc] ὁ[dnfs] γέμω[vppanfs] καλάμη[ngfsc]. **v.14** καί[cc] ἀπόλλυμι[vifm3s] φυγή[nnfsc] ἐκ[pg] δρομεύς[ngmsc] καί[cc] ὁ[dnms] κραταιός[annmsn] οὐ[b] μή[x] κρατέω[vsaa3s] ὁ[dgfs] ἰσχύς[ngfsc] αὐτός[rpgms] καί[cc] ὁ[dnms] μαχητής[nnmsc] οὐ[b] μή[x] σῴζω[vsaa3s] ὁ[dafs] ψυχή[nafsc] αὐτός[rpgms]. **v.15** καί[cc] ὁ[dnms] τοξότης[nnmsc] οὐ[b] μή[x] ὑφίστημι[vsaa3s] καί[cc] ὁ[dnms] ὀξύς[annmsn] ὁ[ddmp] πούς[ndmpc] αὐτός[rpgms] οὐ[b] μή[x] διασῴζω[vsap3s] οὐδέ[cc] ὁ[dnms] ἱππεύς[nnmsc] οὐ[b] μή[x] σῴζω[vsaa3s] ὁ[dafs] ψυχή[nafsc] αὐτός[rpgms]. **v.16** καί[cc] εὑρίσκω[vifa3s] ὁ[dafs] καρδία[nafsc] αὐτός[rpgms] ἐν[pd] δυναστεία[ndfpc] ὁ[dnms] γυμνός[annmsn] διώκω[vifm3s] ἐν[pd] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfsc] λέγω[vipa3s] κύριος[nnmsc]. **3. v.1** ἀκούω[vdaa2p] ὁ[dams] λόγος[namsc] οὗτος[rdams] ὅς[rrams] λαλέω[viaa3s] κύριος[nnmsc] ἐπί[pa] σύ[rpa-p] οἶκος[nnmsc] Ἰσραήλ[ngmsp] καί[cc] κατά[pg] πᾶς[aigfsn] φυλή[ngfsc] ὅς[rrgfs] ἀνάγω[viaa1s] ἐκ[pg] γῆ[ngfsc] Αἴγυπτος[ngfsp] λέγω[vppanms]. **v.2** πλήν[b] σύ[rpa-p] γινώσκω[viaa1s] ἐκ[pg] πᾶς[aigfpn] φυλή[ngfpc] ὁ[dgfs] γῆ[ngfsc] διά[pa] οὗτος[rdans] ἐκδικέω[vifa1s] ἐπί[pa] σύ[rpa-p] πᾶς[aiafpn] ὁ[dafp] ἁμαρτία[nafpc] σύ[rpg-p]. **v.3** εἰ[cs] πορεύομαι[vifm3p] δύο[ac—n] ἐπί[pa] ὁ[dans] αὐτός[rpans] καθόλου[b] ἐάν[cs] μή[x] γνωρίζω[vsaa3p] ἑαυτοῦ[rxamp].

ἁρπάσῃ τι. εἰ πεσεῖται ὄρνεον ἐπὶ τὴν γῆν ἄνευ ἰξευτοῦ εἰ σχα- 5
σθήσεται παγὶς ἐπὶ τῆς γῆς ἄνευ τοῦ συλλαβεῖν τι. εἰ φωνήσει 6
σάλπιγξ ἐν πόλει καὶ λαὸς οὐ πτοηθήσεται εἰ ἔσται κακία ἐν πό-
λει ἣν κύριος οὐκ ἐποίησεν. διότι οὐ μὴ ποιήσῃ κύριος ὁ θεὸς 7
πρᾶγμα ἐὰν μὴ ἀποκαλύψῃ παιδείαν αὐτοῦ πρὸς τοὺς δούλους
αὐτοῦ τοὺς προφήτας. λέων ἐρεύξεται καὶ τίς οὐ φοβηθήσεται 8
κύριος ὁ θεὸς ἐλάλησεν καὶ τίς οὐ προφητεύσει. ἀπαγγείλατε 9
χώραις ἐν Ἀσσυρίοις καὶ ἐπὶ τὰς χώρας τῆς Αἰγύπτου καὶ εἴπατε
συνάχθητε ἐπὶ τὸ ὄρος Σαμαρείας καὶ ἴδετε θαυμαστὰ πολλὰ ἐν
μέσῳ αὐτῆς καὶ τὴν καταδυναστείαν τὴν ἐν αὐτῇ. καὶ οὐκ ἔγνω 10
ἃ ἔσται ἐναντίον αὐτῆς λέγει κύριος οἱ θησαυρίζοντες ἀδικίαν καὶ
ταλαιπωρίαν ἐν ταῖς χώραις αὐτῶν. διὰ τοῦτο τάδε λέγει κύριος 11
ὁ θεός Τύρος κυκλόθεν ἡ γῆ σου ἐρημωθήσεται καὶ κατάξει ἐκ
σοῦ ἰσχύν σου καὶ διαρπαγήσονται αἱ χῶραί σου. τάδε λέγει κύ- 12
ριος ὃν τρόπον ὅταν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ στόματος τοῦ λέοντος
δύο σκέλη ἢ λοβὸν ὠτίου οὕτως ἐκσπασθήσονται οἱ υἱοὶ Ισραηλ
οἱ κατοικοῦντες ἐν Σαμαρείᾳ κατέναντι φυλῆς καὶ ἐν Δαμασκῷ ἱ-
ερεῖς. ἀκούσατε καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ιακωβ λέγει κύριος 13
ὁ θεὸς ὁ παντοκράτωρ. διότι ἐν τῇ ἡμέρᾳ ὅταν ἐκδικῶ ἀσεβείας 14
τοῦ Ισραηλ ἐπ᾽ αὐτὸν καὶ ἐκδικήσω ἐπὶ τὰ θυσιαστήρια Βαιθηλ
καὶ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου καὶ πεσοῦνται

---

**v.4** εἰ[cs] ἐρεύγομαι[vifm3s] λέων[nnmsc] ἐκ[pg] ὁ[dgms] δρυμός[ngmsc] αὐτός[rpgms] θήρα[nafsc] οὐ[b] ἔχω[vppanms] εἰ[cs] δίδωμι[vifa3s] σκύμνος[nnmsc] φωνή[nafsc] αὐτός[rpgms] ἐκ[pg] ὁ[dgfs] μάνδρα[ngfsc] αὐτός[rpgms] καθόλου[b] ἐάν[cs] μή[x] ἁρπάζω[vsaa3s] τι-σριανς. **v.5** εἰ[cs] πίπτω[vifm3s] ὄρνεον[nnnsc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] ἄνευ[pg] ἰξευτής[ngmsc] εἰ[cs] σχάζω[vifp3s] παγίς[nnfsc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ἄνευ[pg] ὁ[dgns] συλλαμβάνω[vnaa] τι-σριανς. **v.6** εἰ[cs] φωνέω[vifa3s] σάλπιγξ[nnfsc] ἐν[pd] πόλις[ndfsc] καί[cc] λαός[nnmsc] οὐ[b] πτοέω[vifp3s] εἰ[cs] εἰμί[vifm3s] κακία[nnfsc] ἐν[pd] πόλις[ndfsc] ὅς[rrafs] κύριος[nnmsc] οὐ[b] ποιέω[viaa3s]. **v.7** διότι[cs] οὐ[b] μή[x] ποιέω[vsaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] πρᾶγμα[nansc] ἐάν[cs] μή[x] ἀποκαλύπτω[vsaa3s] παιδεία[nafsc] αὐτός[rpgms] πρός[pa] ὁ[damp] δοῦλος[nampc] αὐτός[rpgms] ὁ[damp] προφήτης[nampc]. **v.8** λέων[nnmsc] ἐρεύγομαι[vifm3s] καί[cc] τίς[rqnms] οὐ[b] φοβέω[vifp3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] λαλέω[viaa3s] καί[cc] τίς[rqnms] οὐ[b] προφητεύω[vifa3s]. **v.9** ἀπαγγέλλω[vdaa2p] χώρα[ndfpc] ἐν[pd] Ἀσσύριος[ndmpp] καί[cc] ἐπί[pa] ὁ[dafp] χώρα[nafpc] ὁ[dgfs] Αἴγυπτος[ngfsp] καί[cc] λέγω[vdaa2p] συνάγω[vdap2p] ἐπί[pa] ὁ[dans] ὄρος[nansc] Σαμάρεια[ngfsp] καί[cc] ὁράω[vdaa2p] θαυμαστός[ananpn] πολύς[ananpn] ἐν[pd] μέσος[andnsn] αὐτός[rpgfs] καί[cc] ὁ[dafs] καταδυναστεία[nafsc] ὁ[dafs] ἐν[pd] αὐτός[rpdfs]. **v.10** καί[cc] οὐ[b] γινώσκω[viaa3s] ὅς[rrnnp] εἰμί[vifm3s] ἐναντίον[pg] αὐτός[rpgfs] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnmp] θησαυρίζω[vppanmp] ἀδικία[nafsc] καί[cc] ταλαιπωρία[nafsc] ἐν[pd] ὁ[ddfp] χώρα[ndfpc] αὐτός[rpgmp]. **v.11** διά[pa] οὗτος[rdans] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] Τύρος[nnfsp] κυκλόθεν[b] ὁ[dnfs] γῆ[nnfsc] σύ[rpgfs] ἐρημόω[vifp3s] καί[cc] κατάγω[vifa3s] ἐκ[pg] σύ[rpgfs] ἰσχύς[nafsc] σύ[rpgfs] καί[cc] διαρπάζω[vifp3p] ὁ[dnfp] χώρα[nnfpc] σύ[rpgfs]. **v.12** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ὅς[rrams] τρόπος[namsc] ὅταν[cs] ἐκσπάω[vsaa3s] ὁ[dnms] ποιμήν[nnmsc] ἐκ[pg] στόμα[ngnsc] ὁ[dgms] λέων[ngmsc] δύο[ac—n] σκέλος[nanpc] ἤ[cc] λοβός[namsc] ὠτίον[ngnsc] οὕτως[b] ἐκσπάω[vifp3p] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] ὁ[dnmp] κατοικέω[vppanmp] ἐν[pd] Σαμάρεια[ndfsp] κατέναντι[b] φυλή[ngfsc] καί[cc] ἐν[pd] Δαμασκός[ndfsp] ἱερεύς[nnmpc]. **v.13** ἀκούω[vdaa2p] καί[cc] ἐπιμαρτύρομαι[vdam2p] ὁ[ddms] οἶκος[ndmsc] Ἰακώβ[ngmsp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] παντοκράτωρ[nnmsc].

15 ἐπὶ τὴν γῆν. συγχεῶ καὶ πατάξω τὸν οἶκον τὸν περίπτερον ἐ-
πὶ τὸν οἶκον τὸν θερινόν καὶ ἀπολοῦνται οἶκοι ἐλεφάντινοι καὶ
προστεθήσονται οἶκοι ἕτεροι πολλοί λέγει κύριος.
**4** ἀκούσατε τὸν λόγον τοῦτον δαμάλεις τῆς Βασανίτιδος αἱ ἐν τῷ
ὄρει τῆς Σαμαρείας αἱ καταδυναστεύουσαι πτωχοὺς καὶ καταπα-
τοῦσαι πένητας αἱ λέγουσαι τοῖς κυρίοις αὐτῶν ἐπίδοτε ἡμῖν ὅπως
2 πίωμεν. ὀμνύει κύριος κατὰ τῶν ἁγίων αὐτοῦ διότι ἰδοὺ ἡμέραι
ἔρχονται ἐφ᾽ ὑμᾶς καὶ λήμψονται ὑμᾶς ἐν ὅπλοις καὶ τοὺς μεθ᾽
ὑμῶν εἰς λέβητας ὑποκαιομένους ἐμβαλοῦσιν ἔμπυροι λοιμοί.
3 καὶ ἐξενεχθήσεσθε γυμναὶ κατέναντι ἀλλήλων καὶ ἀπορριφήσε-
4 σθε εἰς τὸ ὄρος τὸ Ρεμμαν λέγει κύριος ὁ θεός. εἰσήλθατε εἰς
Βαιθηλ καὶ ἠνομήσατε καὶ εἰς Γαλγαλα ἐπληθύνατε τοῦ ἀσεβῆ-
σαι καὶ ἠνέγκατε εἰς τὸ πρωὶ θυσίας ὑμῶν εἰς τὴν τριημερίαν τὰ
5 ἐπιδέκατα ὑμῶν. καὶ ἀνέγνωσαν ἔξω νόμον καὶ ἐπεκαλέσαντο
ὁμολογίας ἀπαγγείλατε ὅτι ταῦτα ἠγάπησαν οἱ υἱοὶ Ισραηλ λέ-
6 γει κύριος ὁ θεός. καὶ ἐγὼ δώσω ὑμῖν γομφιασμὸν ὀδόντων ἐν
πάσαις ταῖς πόλεσιν ὑμῶν καὶ ἔνδειαν ἄρτων ἐν πᾶσι τοῖς τόποις
7 ὑμῶν καὶ οὐκ ἐπεστρέψατε πρός με λέγει κύριος. καὶ ἐγὼ ἀνέ-
σχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν τοῦ τρυγήτου καὶ βρέξω
ἐπὶ πόλιν μίαν ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω μερὶς μία βραχή-

---

**v.14** διότι[cs] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ὅταν[cs] ἐκδικέω[vspa1s] ἀσέβεια[nafpc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐπί[pa] αὐτός[rpams] καί[cc] ἐκδικέω[vifa1s] ἐπί[pa] ὁ[danp] θυσιαστήριον[nanpc] Βαιθηλ[ngfsp] καί[cc] κατασκάπτω[vifp3s] ὁ[dnnp] κέρας[nnnpc] ὁ[dgns] θυσιαστήριον[ngnsc] καί[cc] πίπτω[vifm3p] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc]. **v.15** συγχέω[vifa1s] καί[cc] πατάσσω[vifa1s] ὁ[dams] οἶκος[namsc] ὁ[dams] περίπτερος[anamsn] ἐπί[pa] ὁ[dams] οἶκος[namsc] ὁ[dams] θερινός[anamsn] καί[cc] ἀπόλλυμι[vifm3p] οἶκος[nnmpc] ἐλεφάντινος[annmpn] καί[cc] προστίθημι[vifp3p] οἶκος[nnmpc] ἕτερος[ainmpn] πολύς[annmpn] λέγω[vipa3s] κύριος[nnmsc].
**4. v.1** ἀκούω[vdaa2p] ὁ[dams] λόγος[namsc] οὗτος[rdams] δάμαλις[nvfpc] ὁ[dgfs] Βασανίτις[ngfsp] ὁ[dnfp] ἐν[pd] ὁ[ddns] ὄρος[ndnsc] ὁ[dgfs] Σαμάρεια[ngfsp] ὁ[dnfp] καταδυναστεύω[vppanfp] πτωχός[anampn] καί[cc] καταπατέω[vppanfp] πένης[nampc] ὁ[dnfp] λέγω[vppanfp] ὁ[ddmp] κύριος[ndmpc] αὐτός[rpgfp] ἐπιδίδωμι[vdaa2p] ἐγώ[rpd-p] ὅπως[cs] πίνω[vsaa1p]. **v.2** ὄμνυμι[vipa3s] κύριος[nnmsc] κατά[pg] ὁ[dgnp] ἅγιος[angnpn] αὐτός[rpgms] διότι[cs] ἰδού[i] ἡμέρα[nnfpc] ἔρχομαι[vipm3p] ἐπί[pa] σύ[rpafp] καί[cc] λαμβάνω[vifm3p] σύ[rpafp] ἐν[pd] ὅπλον[ndnpc] καί[cc] ὁ[damp] μετά[pg] σύ[rpgfp] εἰς[pa] λέβης[nampc] ὑποκαίω[vppmamp] ἐμβάλλω[vifa3p] ἔμπυρος[annmpn] λοιμός[nnmpc]. **v.3** καί[cc] ἐκφέρω[vifp2p] γυμνός[annfpn] κατέναντι[pg] ἀλλήλων[regfp] καί[cc] ἀπορίπτω[vifp2p] εἰς[pa] ὁ[dans] ὄρος[nansc] ὁ[dans] Ρεμμαν[nansp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc]. **v.4** εἰσέρχομαι[viaa2p] εἰς[pa] Βαιθηλ[nafsp] καί[cc] ἀνομέω[viaa2p] καί[cc] εἰς[pa] Γάλγαλα[nafsp] πληθύνω[viaa2p] ὁ[dgns] ἀσεβέω[vnaa] καί[cc] φέρω[viaa2p] εἰς[pa] ὁ[dans] πρωΐ[b] θυσία[nafpc] σύ[rpgfp] εἰς[pa] ὁ[dafs] τριημερία[nafsc] ὁ[danp] ἐπιδέκατος[aoanpn] σύ[rpgfp]. **v.5** καί[cc] ἀναγινώσκω[viaa3p] ἔξω[b] νόμος[namsc] καί[cc] ἐπικαλέω[viam3p] ὁμολογία[nafpc] ἀπαγγέλλω[vdaa2p] ὅτι[cs] οὗτος[rdanp] ἀγαπάω[viaa3p] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc]. **v.6** καί[cc] ἐγώ[rpn-s] δίδωμι[vifa1s] σύ[rpd-p] γομφιασμός[namsc] ὀδούς[ngmpc] ἐν[pd] πᾶς[aidfpn] ὁ[ddfp] πόλις[ndfpc] σύ[rpg-p] καί[cc] ἔνδεια[nafsc] ἄρτος[ngmpc] ἐν[pd] πᾶς[aidmpn] ὁ[ddmp] τόπος[ndmpc] σύ[rpg-p] καί[cc] οὐ[b] ἐπιστρέφω[viaa2p] πρός[pa] ἐγώ[rpa-s] λέγω[vipa3s] κύριος[nnmsc].

σεται καὶ μερίς ἐφ᾽ ἣν οὐ βρέξω ἐπ᾽ αὐτήν ξηρανθήσεται. καὶ 8
συναθροισθήσονται δύο καὶ τρεῖς πόλεις εἰς πόλιν μίαν τοῦ πιεῖν
ὕδωρ καὶ οὐ μὴ ἐμπλησθῶσιν καὶ οὐκ ἐπεστρέψατε πρός με λέ-
γει κύριος. ἐπάταξα ὑμᾶς ἐν πυρώσει καὶ ἐν ἰκτέρῳ ἐπληθύνατε 9
κήπους ὑμῶν ἀμπελῶνας ὑμῶν καὶ συκῶνας ὑμῶν καὶ ἐλαιῶνας
ὑμῶν κατέφαγεν ἡ κάμπη καὶ οὐδ᾽ ὧς ἐπεστρέψατε πρός με λέ-
γει κύριος. ἐξαπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου καὶ 10
ἀπέκτεινα ἐν ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν μετὰ αἰχμαλωσίας
ἵππων σου καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ὑμῶν ἐν τῇ
ὀργῇ μου καὶ οὐδ᾽ ὧς ἐπεστρέψατε πρός με λέγει κύριος. κα- 11
τέστρεψα ὑμᾶς καθὼς κατέστρεψεν ὁ θεὸς Σοδομα καὶ Γομορρα
καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός καὶ οὐδ᾽ ὧς ἐπε-
στρέψατε πρός με λέγει κύριος. διὰ τοῦτο οὕτως ποιήσω σοι 12
Ισραηλ πλὴν ὅτι οὕτως ποιήσω σοι ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι
τὸν θεόν σου Ισραηλ. διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων 13
πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν χριστὸν αὐτοῦ ποιῶν
ὄρθρον καὶ ὁμίχλην καὶ ἐπιβαίνων ἐπὶ τὰ ὕψη τῆς γῆς κύριος ὁ
θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.
ἀκούσατε τὸν λόγον κυρίου τοῦτον ὃν ἐγὼ λαμβάνω ἐφ᾽ ὑμᾶς **5**
θρῆνον οἶκος Ισραηλ. ἔπεσεν οὐκέτι μὴ προσθῇ τοῦ ἀναστῆναι 2
παρθένος τοῦ Ισραηλ ἔσφαλεν ἐπὶ τῆς γῆς αὐτῆς οὐκ ἔστιν ὁ ἀ-

---

**v.7** καί[cc] ἐγώ[rpn-s] ἀνέχω[viaa1s] ἐκ[pg] σύ[rpg-p] ὁ[dams] ὑετός[namsc] πρό[pg] τρεῖς[acgmpn] μήν[ngmpc] ὁ[dgms] τρύγητος[ngmsc] καί[cc] βρέχω[vifa1s] ἐπί[pa] πόλις[nafsc] εἷς[acafsn] ἐπί[pa] δέ[cc] πόλις[nafsc] εἷς[acafsn] οὐ[b] βρέχω[vifa1s] μερίς[nnfsc] εἷς[acnfsn] βρέχω[vifp3s] καί[cc] μερίς[nnfsc] ἐπί[pa] ὅς[rrafs] οὐ[b] βρέχω[vifa1s] ἐπί[pa] αὐτός[rpafs] ξηραίνω[vifp3s]. **v.8** καί[cc] συναθροίζω[vifp3p] δύο[ac—n] καί[cc] τρεῖς[acnfpn] πόλις[nnfpc] εἰς[pa] πόλις[nafsc] εἷς[acafsn] ὁ[dgns] πίνω[vnaa] ὕδωρ[nansc] καί[cc] οὐ[b] μή[x] ἐμπίπλημι[vsap3p] καί[cc] οὐ[b] ἐπιστρέφω[viaa2p] πρός[pa] ἐγώ[rpa-s] λέγω[vipa3s] κύριος[nnmsc]. **v.9** πατάσσω[viaa1s] σύ[rpa-p] ἐν[pd] πύρωσις[ndfpc] καί[cc] ἐν[pd] ἴκτερος[ndmsc] πληθύνω[viaa2p] κῆπος[nampc] σύ[rpg-p] ἀμπελών[nampc] σύ[rpg-p] καί[cc] συκών[nampc] σύ[rpg-p] καί[cc] ἐλαιών[nampc] σύ[rpg-p] κατεσθίω[viaa3s] ὁ[dnfs] κάμπη[nnfsc] καί[cc] οὐδέ[b] ὧς[b] ἐπιστρέφω[viaa2p] πρός[pa] ἐγώ[rpa-s] λέγω[vipa3s] κύριος[nnmsc]. **v.10** ἐξαποστέλλω[viaa1s] εἰς[pa] σύ[rpa-p] θάνατος[namsc] ἐν[pd] ὁδός[ndfsc] Αἴγυπτος[ngfsp] καί[cc] ἀποκτείνω[viaa1s] ἐν[pd] ῥομφαία[ndfsc] ὁ[damp] νεανίσκος[nampc] σύ[rpg-p] μετά[pg] αἰχμαλωσία[ngfsc] ἵππος[ngmpc] σύ[rpg-s] καί[cc] ἀνάγω[viaa1s] ἐν[pd] πῦρ[ndnsc] ὁ[dafp] παρεμβολή[nafpc] σύ[rpg-p] ἐν[pd] ὁ[ddfs] ὀργή[ndfsc] ἐγώ[rpg-s] καί[cc] οὐδέ[b] ὧς[b] ἐπιστρέφω[viaa2p] πρός[pa] ἐγώ[rpa-s] λέγω[vipa3s] κύριος[nnmsc]. **v.11** καταστρέφω[viaa1s] σύ[rpa-p] καθώς[cs] καταστρέφω[viaa3s] ὁ[dnms] θεός[nnmsc] Σόδομα[nanpp] καί[cc] Γόμορρα[nafsp] καί[cc] γίνομαι[viam2p] ὡς[cs] δαλός[nnmsc] ἐκσπάω[vpxpnms] ἐκ[pg] πῦρ[ngnsc] καί[cc] οὐδέ[b] ὧς[b] ἐπιστρέφω[viaa2p] πρός[pa] ἐγώ[rpa-s] λέγω[vipa3s] κύριος[nnmsc]. **v.12** διά[pa] οὗτος[rdans] οὕτως[b] ποιέω[vifa1s] σύ[rpdms] Ἰσραήλ[nvmsp] πλήν[b] ὅτι[cs] οὕτως[b] ποιέω[vifa1s] σύ[rpd-s] ἑτοιμάζω[vdpm2s] ὁ[dgns] ἐπικαλέω[vnpm] ὁ[dams] θεός[namsc] σύ[rpgms] Ἰσραήλ[nvmsp]. **v.13** διότι[cs] ἰδού[i] ἐγώ[rpn-s] στερεόω[vppanms] βροντή[nafsc] καί[cc] κτίζω[vppanms] πνεῦμα[nansc] καί[cc] ἀπαγγέλλω[vppanms] εἰς[pa] ἄνθρωπος[nampc] ὁ[dams] χριστός[anamsn] αὐτός[rpgms] ποιέω[vppanms] ὄρθρος[namsc] καί[cc] ὁμίχλη[nafsc] καί[cc] ἐπιβαίνω[vppanms] ἐπί[pa] ὁ[danp] ὕψος[nanpc] ὁ[dgfs] γῆ[ngfsc] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] παντοκράτωρ[nnmsc] ὄνομα[nnnsc] αὐτός[rpdms]. **5. v.1** ἀκούω[vdaa2p] ὁ[dams] λόγος[namsc] κύριος[ngmsc] οὗτος[rdams] ὅς[rrams] ἐγώ[rpnms] λαμβάνω[vipa1s] ἐπί[pa] σύ[rpa-p] θρῆνος[namsc] οἶκος[nnmsc] Ἰσραήλ[ngmsp].

3 ναστήσων αὐτήν. διότι τάδε λέγει κύριος κύριος ἡ πόλις ἐξ ἧς
ἐξεπορεύοντο χίλιοι ὑπολειφθήσονται ἑκατόν καὶ ἐξ ἧς ἐξεπορεύ-
4 οντο ἑκατόν ὑπολειφθήσονται δέκα τῷ οἴκῳ Ισραηλ. διότι τάδε
λέγει κύριος πρὸς τὸν οἶκον Ισραηλ ἐκζητήσατέ με καὶ ζήσεσθε.
5 καὶ μὴ ἐκζητεῖτε Βαιθηλ καὶ εἰς Γαλγαλα μὴ εἰσπορεύεσθε καὶ
ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου μὴ διαβαίνετε ὅτι Γαλγαλα αἰχμαλωτευο-
μένη αἰχμαλωτευθήσεται καὶ Βαιθηλ ἔσται ὡς οὐχ ὑπάρχουσα.
6 ἐκζητήσατε τὸν κύριον καὶ ζήσατε ὅπως μὴ ἀναλάμψῃ ὡς πῦρ ὁ
οἶκος Ιωσηφ καὶ καταφάγεται αὐτόν καὶ οὐκ ἔσται ὁ σβέσων τῷ οἴ-
7 κῳ Ισραηλ. κύριος ὁ ποιῶν εἰς ὕψος κρίμα καὶ δικαιοσύνην εἰς
8 γῆν ἔθηκεν. ποιῶν πάντα καὶ μετασκευάζων καὶ ἐκτρέπων εἰς τὸ
πρωὶ σκιὰν θανάτου καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων ὁ προσκα-
λούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ προσώπου
9 τῆς γῆς κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ. ὁ διαιρῶν
10 συντριμμὸν ἐπ' ἰσχὺν καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων. ἐ-
11 μίσησαν ἐν πύλαις ἐλέγχοντα καὶ λόγον ὅσιον ἐβδελύξαντο. διὰ
τοῦτο ἀνθ' ὧν κατεκονδυλίζετε πτωχοὺς καὶ δῶρα ἐκλεκτὰ ἐδέ-
ξασθε παρ' αὐτῶν οἴκους ξυστοὺς ᾠκοδομήσατε καὶ οὐ μὴ κα-
τοικήσητε ἐν αὐτοῖς ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε καὶ οὐ
12 μὴ πίητε τὸν οἶνον ἐξ αὐτῶν. ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν
καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν καταπατοῦντες δίκαιον λαμβάνον-

---

**v.2** πίπτω[viaa3s] οὐκέτι[b] μή[x] προστίθημι[vsaa3s] ὁ[dgns] ἀνίστημι[vnaa] παρθένος[nnfsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] σφάλλω[viaa3s] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] αὐτός[rpgfs] οὐ[b] εἰμί[vipa3s] ὁ[dnms] ἀνίστημι[vpfanms] αὐτός[rpafs]. **v.3** διότι[cs] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] κύριος[nnmsc] ὁ[dnfs] πόλις[nnfsc] ἐκ[pg] ὅς[rrgfs] ἐκπορεύομαι[viim3p] χίλιοι[acnmpn] ὑπολείπω[vifp3p] ἑκατόν[ac—n] καί[cc] ἐκ[pg] ὅς[rrgfs] ἐκπορεύομαι[viim3p] ἑκατόν[ac—n] ὑπολείπω[vifp3p] δέκα[ac—n] ὁ[ddms] οἶκος[ndmsc] Ἰσραήλ[ngmsp]. **v.4** διότι[cs] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] πρός[pa] ὁ[dams] οἶκος[namsc] Ἰσραήλ[ngmsp] ἐκζητέω[vdaa2p] ἐγώ[rpa-s] καί[cc] ζάω[vifm2p]. **v.5** καί[cc] μή[x] ἐκζητέω[vipa2p] Βαιθηλ[nafsp] καί[cc] εἰς[pa] Γάλγαλα[nafsp] μή[x] εἰσπορεύομαι[vdpm2p] καί[cc] ἐπί[pa] ὁ[dans] φρέαρ[nansc] ὁ[dgms] ὅρκος[ngmsc] μή[x] διαβαίνω[vdpa2p] ὅτι[cs] Γάλγαλα[nnfsp] αἰχμαλωτεύω[vpppnfs] αἰχμαλωτεύω[vifp3s] καί[cc] Βαιθηλ[nnfsp] εἰμί[vifm3s] ὡς[cs] οὐ[b] ὑπάρχω[vppanfs]. **v.6** ἐκζητέω[vdaa2p] ὁ[dams] κύριος[namsc] καί[cc] ζάω[vdaa2p] ὅπως[cs] μή[x] ἀναλάμπω[vsaa3s] ὡς[cs] πῦρ[nnnsc] ὁ[dnms] οἶκος[nnmsc] Ἰωσήφ[ngmsp] καί[cc] κατεσθίω[vifm3s] αὐτός[rpams] καί[cc] οὐ[b] εἰμί[vifm3s] ὁ[dnms] σβέννυμι[vpfanms] ὁ[ddms] οἶκος[ndmsc] Ἰσραήλ[ngmsp]. **v.7** κύριος[nnmsc] ὁ[dnms] ποιέω[vppanms] εἰς[pa] ὕψος[nansc] κρίμα[nansc] καί[cc] δικαιοσύνη[nafsc] εἰς[pa] γῆ[nafsc] τίθημι[viaa3s]. **v.8** ποιέω[vppanms] πᾶς[aianpn] καί[cc] μετασκευάζω[vppanms] καί[cc] ἐκτρέπω[vppanms] εἰς[pa] ὁ[dans] πρωΐ[b] σκιά[nafsc] θάνατος[ngmsc] καί[cc] ἡμέρα[nafsc] εἰς[pa] νύξ[nafsc] συσκοτάζω[vppanms] ὁ[dnms] προσκαλέομαι[vppmnms] ὁ[dans] ὕδωρ[nansc] ὁ[dgfs] θάλασσα[ngfsc] καί[cc] ἐκχέω[vppanms] αὐτός[rpans] ἐπί[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] παντοκράτωρ[nnmsc] ὄνομα[nnnsc] αὐτός[rpdms]. **v.9** ὁ[dnms] διαιρέω[vppanms] συντριμμός[namsc] ἐπί[pa] ἰσχύς[nafsc] καί[cc] ταλαιπωρία[nafsc] ἐπί[pa] ὀχύρωμα[nansc] ἐπάγω[vppanms]. **v.10** μισέω[viaa3p] ἐν[pd] πύλη[ndfpc] ἐλέγχω[vppaams] καί[cc] λόγος[namsc] ὅσιος[anamsn] βδελύσσω[viam3p]. **v.11** διά[pa] οὗτος[rdans] ἀντί[pg] ὅς[rrgnp] κατακονδυλίζω[viia2p] πτωχός[anampn] καί[cc] δῶρον[nanpc] ἐκλεκτός[ananpn] δέχομαι[viam2p] παρά[pg] αὐτός[rpgmp] οἶκος[nampc] ξυστός[anampn] οἰκοδομέω[viaa2p] καί[cc] οὐ[b] μή[x] κατοικέω[vsaa2p] ἐν[pd] αὐτός[rpdmp] ἀμπελών[nampc] ἐπιθυμητός[anampn] φυτεύω[viaa2p] καί[cc] οὐ[b] μή[x] πίνω[vsaa2p] ὁ[dams] οἶνος[namsc] ἐκ[pg] αὐτός[rpgmp].

τες ἀλλάγματα καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες. διὰ τοῦτο 13
ὁ συνίων ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται ὅτι καιρὸς πονηρός ἐ-
στιν. ἐκζητήσατε τὸ καλὸν καὶ μὴ τὸ πονηρόν ὅπως ζήσητε καὶ 14
ἔσται οὕτως μεθ᾽ ὑμῶν κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὃν τρόπον
εἴπατε. μεμισήκαμεν τὰ πονηρὰ καὶ ἠγαπήκαμεν τὰ καλά καὶ 15
ἀποκαταστήσατε ἐν πύλαις κρίμα ὅπως ἐλεήσῃ κύριος ὁ θεὸς ὁ
παντοκράτωρ τοὺς περιλοίπους τοῦ Ιωσηφ. διὰ τοῦτο τάδε λέ- 16
γει κύριος ὁ θεὸς ὁ παντοκράτωρ ἐν πάσαις πλατείαις κοπετός
καὶ ἐν πάσαις ὁδοῖς ῥηθήσεται οὐαὶ οὐαί κληθήσεται γεωργὸς εἰς
πένθος καὶ κοπετὸν καὶ εἰς εἰδότας θρῆνον. καὶ ἐν πάσαις ὁδοῖς 17
κοπετός διότι διελεύσομαι διὰ μέσου σου εἶπεν κύριος. οὐαὶ οἱ 18
ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου ἵνα τί αὕτη ὑμῖν ἡ ἡμέρα τοῦ
κυρίου καὶ αὐτή ἐστιν σκότος καὶ οὐ φῶς. ὃν τρόπον ὅταν φύγῃ 19
ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος καὶ ἐμπέσῃ αὐτῷ ἡ ἄρκος
καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀπερείσηται τὰς χεῖρας
αὐτοῦ ἐπὶ τὸν τοῖχον καὶ δάκῃ αὐτὸν ὁ ὄφις. οὐχὶ σκότος ἡ ἡ- 20
μέρα τοῦ κυρίου καὶ οὐ φῶς καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῇ.
μεμίσηκα ἀπῶσμαι ἑορτὰς ὑμῶν καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς 21
πανηγύρεσιν ὑμῶν. διότι καὶ ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα 22
καὶ θυσίας ὑμῶν οὐ προσδέξομαι αὐτά καὶ σωτηρίου ἐπιφανείας

---

**v.12** ὅτι[cs] γινώσκω[viaa1s] πολύς[anafpn] ἀσέβεια[nafpc] σύ[rpg-p] καί[cc] ἰσχυρός[annfpn] ὁ[dnfp] ἁμαρτία[nnfpc] σύ[rpg-p] καταπατέω[vppanmp] δίκαιος[anamsn] λαμβάνω[vppanmp] ἄλλαγμα[nanpc] καί[cc] πένης[nampc] ἐν[pd] πύλη[ndfpc] ἐκκλίνω[vppanmp]. **v.13** διά[pa] οὗτος[rdans] ὁ[dnms] συνίημι[vppanms] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ἐκεῖνος[rddms] σιωπάω[vifm3s] ὅτι[cs] καιρός[nnmsc] πονηρός[annmsn] εἰμί[vipa3s]. **v.14** ἐκζητέω[vdaa2p] ὁ[dans] καλός[anansn] καί[cc] μή[x] ὁ[dans] πονηρός[anansn] ὅπως[cs] ζάω[vsaa2p] καί[cc] εἰμί[vifm3s] οὕτως[b] μετά[pg] σύ[rpg-p] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] παντοκράτωρ[nnmsc] ὅς[rrams] τρόπος[namsc] λέγω[viaa2p]. **v.15** μισέω[vixa1p] ὁ[danp] πονηρός[ananpn] καί[cc] ἀγαπάω[vixa1p] ὁ[danp] καλός[ananpn] καί[cc] ἀποκαθιστάνω[vdaa2p] ἐν[pd] πύλη[ndfpc] κρίμα[nansc] ὅπως[cs] ἐλεέω[vsaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] παντοκράτωρ[nnmsc] ὁ[damp] περίλοιπος[anampn] ὁ[dgms] Ἰωσήφ[ngmsp]. **v.16** διά[pa] οὗτος[rdans] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] παντοκράτωρ[nnmsc] ἐν[pd] πᾶς[aidfpn] πλατύς[andfpn] κοπετός[nnmsc] καί[cc] ἐν[pd] πᾶς[aidfpn] ὁδός[ndfpc] λέγω[vifp3s] οὐαί[i] οὐαί[i] καλέω[vifp3s] γεωργός[nnmsc] εἰς[pa] πένθος[nansc] καί[cc] κοπετός[namsc] καί[cc] εἰς[pa] οἶδα[vpxaamp] θρῆνος[namsc]. **v.17** καί[cc] ἐν[pd] πᾶς[aidfpn] ὁδός[ndfpc] κοπετός[nnmsc] διότι[cs] διέρχομαι[vifm1s] διά[pg] μέσος[angnsn] σύ[rpg-s] λέγω[viaa3s] κύριος[nnmsc]. **v.18** οὐαί[i] ὁ[dnmp] ἐπιθυμέω[vppanmp] ὁ[dafs] ἡμέρα[nafsc] κύριος[ngmsc] ἵνα[cs] τίς[rqnns] οὗτος[rdnfs] σύ[rpd-p] ὁ[dnfs] ἡμέρα[nnfsc] ὁ[dgms] κύριος[ngmsc] καί[cc] αὐτός[rpnfs] εἰμί[vipa3s] σκότος[nnnsc] καί[cc] οὐ[b] φῶς[nnnsc]. **v.19** ὅς[rrams] τρόπος[namsc] ὅταν[cs] φεύγω[vsaa3s] ἄνθρωπος[nnmsc] ἐκ[pg] πρόσωπον[ngnsc] ὁ[dgms] λέων[ngmsc] καί[cc] ἐμπίπτω[vsaa3s] αὐτός[rpdms] ὁ[dnfs] ἄρκος[nnfsc] καί[cc] εἰσπηδάω[vsaa3s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms] καί[cc] ἀπερείδω[vsam3s] ὁ[dafp] χείρ[nafpc] αὐτός[rpgms] ἐπί[pa] ὁ[dams] τοῖχος[namsc] καί[cc] δάκνω[vsaa3s] αὐτός[rpams] ὁ[dnms] ὄφις[nnmsc]. **v.20** οὐχί[b] σκότος[nnnsc] ὁ[dnfs] ἡμέρα[nnfsc] ὁ[dgms] κύριος[ngmsc] καί[cc] οὐ[b] φῶς[nnnsc] καί[cc] γνόφος[nnmsc] οὐ[b] ἔχω[vppanms] φέγγος[nansc] αὐτός[rpdfs]. **v.21** μισέω[vixa1s] ἀπωθέω[vixm1s] ἑορτή[nafpc] σύ[rpg-p] καί[cc] οὐ[b] μή[x] ὀσφραίνομαι[vsap1s] ἐν[pd] ὁ[ddfp] πανήγυρις[ndfpc] σύ[rpg-p].

23 ὑμῶν οὐκ ἐπιβλέψομαι. μετάστησον ἀπ᾽ ἐμοῦ ἦχον ᾠδῶν σου
24 καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι. καὶ κυλισθήσεται ὡς
25 ὕδωρ κρίμα καὶ δικαιοσύνη ὡς χειμάρρους ἄβατος. μὴ σφά-
για καὶ θυσίας προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη
26 οἶκος Ισραηλ. καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολοχ καὶ τὸ ἄ-
στρον τοῦ θεοῦ ὑμῶν Ραιφαν τοὺς τύπους αὐτῶν οὓς ἐποιήσατε
27 ἑαυτοῖς. καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ λέγει κύριος ὁ
θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.

**6** οὐαὶ τοῖς ἐξουθενοῦσιν Σιων καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος
Σαμαρείας ἀπετρύγησαν ἀρχὰς ἐθνῶν καὶ εἰσῆλθον αὐτοί οἶκος
2 τοῦ Ισραηλ. διάβητε πάντες καὶ ἴδετε καὶ διέλθατε ἐκεῖθεν εἰς
Εμαθ Ραββα καὶ κατάβητε ἐκεῖθεν εἰς Γεθ ἀλλοφύλων τὰς κρα-
τίστας ἐκ πασῶν τῶν βασιλειῶν τούτων εἰ πλέονα τὰ ὅρια αὐτῶν
3 ἐστιν τῶν ὑμετέρων ὁρίων. οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν οἱ
4 ἐγγίζοντες καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν. οἱ καθεύδοντες
ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς
αὐτῶν καὶ ἔσθοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ μέσου
5 βουκολίων γαλαθηνά. οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν
6 ὀργάνων ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα. οἱ πίνον-
τες τὸν διυλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι καὶ οὐκ

---

**v.22** διότι[cs] καί[b] ἐάν[cs] φέρω[vsaa2p] ἐγώ[rpd-s] ὁλοκαύτωμα[nanpc] καί[cc] θυσία[nafpc] σύ[rpg-p] οὐ[b] προσδέχομαι[vifm1s] αὐτός[rpanp] καί[cc] σωτήριον[ngnsc] ἐπιφάνεια[nafpc] σύ[rpg-p] οὐ[b] ἐπιβλέπω[vifm1s]. **v.23** μεθίστημι[vdaa2s] ἀπό[pg] ἐγώ[rpg-s] ἦχος[namsc] ᾠδή[ngfpc] σύ[rpg-s] καί[cc] ψαλμός[namsc] ὄργανον[ngnpc] σύ[rpg-s] οὐ[b] ἀκούω[vifm1s]. **v.24** καί[cc] κυλίω[vifp3s] ὡς[cs] ὕδωρ[nnnsc] κρίμα[nnnsc] καί[cc] δικαιοσύνη[nnfsc] ὡς[cs] χείμαρρος[nnmsc] ἄβατος[annmsn]. **v.25** μή[x] σφάγιον[nanpc] καί[cc] θυσία[nafpc] προσφέρω[viaa2p] ἐγώ[rpd-s] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc] τεσσαράκοντα[ac—n] ἔτος[nanpc] οἶκος[nnmsc] Ἰσραήλ[ngmsp]. **v.26** καί[cc] ἀναλαμβάνω[viaa2p] ὁ[dafs] σκηνή[nafsc] ὁ[dgms] Μολόχ[ngmsp] καί[cc] ὁ[dans] ἄστρον[nansc] ὁ[dgms] θεός[ngmsc] σύ[rpg-p] Ραιφαν[ngmsp] ὁ[damp] τύπος[nampc] αὐτός[rpgmp] ὅς[rramp] ποιέω[viaa2p] ἑαυτοῦ[rxdmp]. **v.27** καί[cc] μετοικίζω[vifa1s] σύ[rpa-p] ἐπέκεινα[pg] Δαμασκός[ngfsp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] παντοκράτωρ[nnmsc] ὄνομα[nnnsc] αὐτός[rpdms]. **6. v.1** οὐαί[i] ὁ[ddmp] ἐξουθενέω[vppadmp] Σιών[nafsp] καί[cc] ὁ[ddmp] πείθω[vpxadmp] ἐπί[pa] ὁ[dans] ὄρος[nansc] Σαμάρεια[ngfsp] ἀποτρυγάω[viaa3p] ἀρχή[nafpc] ἔθνος[ngnpc] καί[cc] εἰσέρχομαι[viaa3p] αὐτός[rpnmp] οἶκος[nnmsc] ὁ[dgms] Ἰσραήλ[ngmsp]. **v.2** διαβαίνω[vdaa2p] πᾶς[ainmpn] καί[cc] ὁράω[vdaa2p] καί[cc] διέρχομαι[vdaa2p] ἐκεῖθεν[b] εἰς[pa] Εμαθ[na-sp] Ραββα[na-sp] καί[cc] καταβαίνω[vdaa2p] ἐκεῖθεν[b] εἰς[pa] Γεθ[nafsp] ἀλλόφυλος[angmpn] ὁ[dafp] ἀγαθός[anafps] ἐκ[pg] πᾶς[aigfpn] ὁ[dgfp] βασιλεία[ngfpc] οὗτος[rdgfp] εἰ[cs] πολύς[annnpc] ὁ[dnnp] ὅριον[nnnpc] αὐτός[rpgmp] εἰμί[vipa3s] ὁ[dgnp] ὑμέτερος[asgnpn] ὅριον[ngnpc]. **v.3** ὁ[dnmp] ἔρχομαι[vppmnmp] εἰς[pa] ἡμέρα[nafsc] κακός[anafsn] ὁ[dnmp] ἐγγίζω[vppanmp] καί[cc] ἐφάπτω[vppmnmp] σάββατον[ngnpc] ψευδής[angnpn]. **v.4** ὁ[dnmp] καθεύδω[vppanmp] ἐπί[pg] κλίνη[ngfpc] ἐλεφάντινος[angfpn] καί[cc] κατασπαταλάω[vppanmp] ἐπί[pd] ὁ[ddfp] στρωμνή[ndfpc] αὐτός[rpgmp] καί[cc] ἔσθω[vppanmp] ἔριφος[nampc] ἐκ[pg] ποίμνιον[ngnpc] καί[cc] μοσχάριον[nanpc] ἐκ[pg] μέσος[angnsn] βουκόλιον[ngnpc] γαλαθηνός[ananpn]. **v.5** ὁ[dnmp] ἐπικροτέω[vppanmp] πρός[pa] ὁ[dafs] φωνή[nafsc] ὁ[dgnp] ὄργανον[ngnpc] ὡς[cs] ἵστημι[vpxaanp] λογίζομαι[viam3p] καί[cc] οὐ[b] ὡς[cs] φεύγω[vppaanp].

ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ Ιωσηφ. διὰ τοῦτο νῦν αἰχμά- 7
λωτοι ἔσονται ἀπ' ἀρχῆς δυναστῶν καὶ ἐξαρθήσεται χρεμετισμὸς
ἵππων ἐξ Εφραιμ. ὅτι ὤμοσεν κύριος καθ' ἑαυτοῦ διότι βδελύσ- 8
σομαι ἐγὼ πᾶσαν τὴν ὕβριν Ιακωβ καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα
καὶ ἐξαρῶ πόλιν σὺν πᾶσιν τοῖς κατοικοῦσιν αὐτήν. καὶ ἔσται 9
ἐὰν ὑπολειφθῶσιν δέκα ἄνδρες ἐν οἰκίᾳ μιᾷ καὶ ἀποθανοῦνται
καὶ ὑπολειφθήσονται οἱ κατάλοιποι. καὶ λήμψονται οἱ οἰκεῖοι 10
αὐτῶν καὶ παραβιῶνται τοῦ ἐξενέγκαι τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴ-
κου καὶ ἐρεῖ τοῖς προεστηκόσι τῆς οἰκίας εἰ ἔτι ὑπάρχει παρὰ
σοί καὶ ἐρεῖ οὐκέτι καὶ ἐρεῖ σίγα ἕνεκα τοῦ μὴ ὀνομάσαι τὸ ὄ-
νομα κυρίου. διότι ἰδοὺ κύριος ἐντέλλεται καὶ πατάξει τὸν οἶκον 11
τὸν μέγαν θλάσμασιν καὶ τὸν οἶκον τὸν μικρὸν ῥάγμασιν. εἰ 12
διώξονται ἐν πέτραις ἵπποι εἰ παρασιωπήσονται ἐν θηλείαις ὅτι
ὑμεῖς ἐξεστρέψατε εἰς θυμὸν κρίμα καὶ καρπὸν δικαιοσύνης εἰς
πικρίαν. οἱ εὐφραινόμενοι ἐπ' οὐδενὶ λόγῳ οἱ λέγοντες οὐκ ἐν τῇ 13
ἰσχύι ἡμῶν ἔσχομεν κέρατα. διότι ἰδοὺ ἐγὼ ἐπεγείρω ἐφ' ὑμᾶς 14
οἶκος τοῦ Ισραηλ ἔθνος καὶ ἐκθλίψουσιν ὑμᾶς τοῦ μὴ εἰσελθεῖν
εἰς Εμαθ καὶ ἕως τοῦ χειμάρρου τῶν δυσμῶν.

οὕτως ἔδειξέν μοι κύριος καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων ἐρχομένη **7**
ἑωθινή καὶ ἰδοὺ βροῦχος εἷς Γωγ ὁ βασιλεύς. καὶ ἔσται ἐὰν συν- 2
τελέσῃ τοῦ καταφαγεῖν τὸν χόρτον τῆς γῆς καὶ εἶπα κύριε κύριε

---

**v.6** ὁ[dnmp] πίνω[vppanmp] ὁ[dams] διϋλίζω[vpxpams] οἶνος[namsc] καί[cc] ὁ[danp] πρῶτος[aoanpn] μύρον[nanpc] χρίω[vppmnmp] καί[cc] οὐ[b] πάσχω[viia3p] οὐδείς[rians] ἐπί[pd] ὁ[ddfs] συντριβή[ndfsc] Ἰωσήφ[ngmsp]. **v.7** διά[pa] οὗτος[rdans] νῦν[b] αἰχμάλωτος[annmpn] εἰμί[vifm3p] ἀπό[pg] ἀρχή[ngfsc] δυνάστης[ngmpc] καί[cc] ἐξαίρω[vifp3s] χρεμετισμός[nnmsc] ἵππος[ngmpc] ἐκ[pg] Ἐφραίμ[ngmsp]. **v.8** ὅτι[cs] ὄμνυμι[viaa3s] κύριος[nnmsc] κατά[pg] ἑαυτοῦ[rxgms] διότι[cs] βδελύσσω[vipm1s] ἐγώ[rpn-s] πᾶς[aiafsn] ὁ[dafs] ὕβρις[nafsc] Ἰακώβ[ngmsp] καί[cc] ὁ[dafp] χώρα[nafpc] αὐτός[rpgms] μισέω[vixa1s] καί[cc] ἐξαίρω[vifa1s] πόλις[nafsc] σύν[pd] πᾶς[aidmpn] ὁ[ddmp] κατοικέω[vppadmp] αὐτός[rpafs]. **v.9** καί[cc] εἰμί[vifm3s] ἐάν[cs] ὑπολείπω[vsap3p] δέκα[ac—n] ἀνήρ[nnmpc] ἐν[pd] οἰκία[ndfsc] εἷς[acdfsn] καί[cc] ἀποθνῄσκω[vifm3p] καί[cc] ὑπολείπω[vifp3p] ὁ[dnmp] κατάλοιπος[annmpn]. **v.10** καί[cc] λαμβάνω[vifm3p] ὁ[dnmp] οἰκεῖος[annmpn] αὐτός[rpgmp] καί[cc] παραβιάζομαι[vifm3p] ὁ[dgns] ἐκφέρω[vnaa] ὁ[danp] ὀστέον[nanpc] αὐτός[rpgmp] ἐκ[pg] ὁ[dgms] οἶκος[ngmsc] καί[cc] λέγω[vifa3s] ὁ[ddmp] προΐστημι[vpxadmp] ὁ[dgfs] οἰκία[ngfsc] εἰ[cs] ἔτι[b] ὑπάρχω[vipa3s] παρά[pd] σύ[rpdms] καί[cc] λέγω[vifa3s] οὐκέτι[b] καί[cc] λέγω[vifa3s] σιγάω[vdpa2s] ἕνεκα[pg] ὁ[dgns] μή[x] ὀνομάζω[vnaa] ὁ[dans] ὄνομα[nansc] κύριος[ngmsc]. **v.11** διότι[cs] ἰδού[i] κύριος[nnmsc] ἐντέλλομαι[vipm3s] καί[cc] πατάσσω[vifa3s] ὁ[dams] οἶκος[namsc] ὁ[dams] μέγας[anamsn] θλάσμα[ndnpc] καί[cc] ὁ[dams] οἶκος[namsc] ὁ[dams] μικρός[anamsn] ῥάγμα[ndnpc]. **v.12** εἰ[cs] διώκω[vifm3p] ἐν[pd] πέτρα[ndfpc] ἵππος[nnmpc] εἰ[cs] παρασιωπάω[vifm3p] ἐν[pd] θῆλυς[andfpn] ὅτι[cs] σύ[rpn-p] ἐκστρέφω[viaa2p] εἰς[pa] θυμός[namsc] κρίμα[nansc] καί[cc] καρπός[namsc] δικαιοσύνη[ngfsc] εἰς[pa] πικρία[nafsc]. **v.13** ὁ[dnmp] εὐφραίνω[vppmnmp] ἐπί[pd] οὐδείς[ridms] λόγος[ndmsc] ὁ[dnmp] λέγω[vppanmp] οὐ[b] ἐν[pd] ὁ[ddfs] ἰσχύς[ndfsc] ἐγώ[rpg-p] ἔχω[viaa1p] κέρας[nanpc]. **v.14** διότι[cs] ἰδού[i] ἐγώ[rpn-s] ἐπεγείρω[vipa1s] ἐπί[pa] σύ[rpa-p] οἶκος[nnmsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἔθνος[nansc] καί[cc] ἐκθλίβω[vifa3p] σύ[rpa-p] ὁ[dgns] μή[x] εἰσέρχομαι[vnaa] εἰς[pa] Εμαθ[na-sp] καί[cc] ἕως[pg] ὁ[dgms] χείμαρρος[ngmsc] ὁ[dgfp] δυσμή[ngfpc]. **7. v.1** οὕτως[b] δείκνυμι[viaa3s] ἐγώ[rpdms] κύριος[nnmsc] καί[cc] ἰδού[i] ἐπιγονή[nnfsc] ἀκρίς[ngfpc] ἔρχομαι[vppmnfs] ἑωθινός[annfsn] καί[cc] ἰδού[i] βροῦχος[nnmsc] εἷς[acnmsn] Γώγ[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc].

3 ἵλεως γενοῦ τίς ἀναστήσει τὸν Ιακωβ ὅτι ὀλιγοστός ἐστιν. μετα-
4 νόησον κύριε ἐπὶ τούτῳ καὶ τοῦτο οὐκ ἔσται λέγει κύριος. οὕτως
ἔδειξέν μοι κύριος καὶ ἰδοὺ ἐκάλεσεν τὴν δίκην ἐν πυρὶ κύριος
καὶ κατέφαγε τὴν ἄβυσσον τὴν πολλὴν καὶ κατέφαγεν τὴν μερίδα.
5 καὶ εἶπα κύριε κύριε κόπασον δή τίς ἀναστήσει τὸν Ιακωβ ὅτι ὀ-
6 λιγοστός ἐστιν. μετανόησον κύριε ἐπὶ τούτῳ καὶ τοῦτο οὐ μὴ
7 γένηται λέγει κύριος. οὕτως ἔδειξέν μοι κύριος καὶ ἰδοὺ ἀνὴρ
ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας.
8 καὶ εἶπεν κύριος πρός με τί σὺ ὁρᾷς Αμως καὶ εἶπα ἀδάμαντα
καὶ εἶπεν κύριος πρός με ἰδοὺ ἐγὼ ἐντάσσω ἀδάμαντα ἐν μέσῳ
9 λαοῦ μου Ισραηλ οὐκέτι μὴ προσθῶ τοῦ παρελθεῖν αὐτόν. καὶ
ἀφανισθήσονται βωμοὶ τοῦ γέλωτος καὶ αἱ τελεταὶ τοῦ Ισραηλ ἐξε-
ρημωθήσονται καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον Ιεροβοαμ ἐν ῥομ-
10 φαίᾳ. καὶ ἐξαπέστειλεν Αμασιας ὁ ἱερεὺς Βαιθηλ πρὸς Ιεροβοαμ
βασιλέα Ισραηλ λέγων συστροφὰς ποιεῖται κατὰ σοῦ Αμως ἐν μέ-
σῳ οἴκου Ισραηλ οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν ἅπαντας τοὺς
11 λόγους αὐτοῦ. διότι τάδε λέγει Αμως ἐν ῥομφαίᾳ τελευτήσει Ιε-
ροβοαμ ὁ δὲ Ισραηλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ.
12 καὶ εἶπεν Αμασιας πρὸς Αμως ὁ ὁρῶν βάδιζε ἐκχώρησον εἰς γῆν
13 Ιουδα καὶ ἐκεῖ καταβίου καὶ ἐκεῖ προφητεύσεις. εἰς δὲ Βαιθηλ

---

**v.2** καί[cc] εἰμί[vifm3s] ἐάν[cs] συντελέω[vsaa3s] ὁ[dgns] κατεσθίω[vnaa] ὁ[dams] χόρτος[namsc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] λέγω[viaa1s] κύριος[nvmsc] κύριος[nvmsc] ἵλεως[annmsn] γίνομαι[vdam2s] τίς[rqnms] ἀνίστημι[vifa3s] ὁ[dams] Ἰακώβ[namsp] ὅτι[cs] ὀλιγοστός[annmsn] εἰμί[vipa3s]. **v.3** μετανοέω[vdaa2s] κύριος[nvmsc] ἐπί[pd] οὗτος[rddns] καί[cc] οὗτος[rdnns] οὐ[b] εἰμί[vifm3s] λέγω[vipa3s] κύριος[nnmsc]. **v.4** οὕτως[b] δείκνυμι[viaa3s] ἐγώ[rpdms] κύριος[nnmsc] καί[cc] ἰδού[i] καλέω[viaa3s] ὁ[dafs] δίκη[nafsc] ἐν[pd] πῦρ[ndnsc] κύριος[nnmsc] καί[cc] κατεσθίω[viaa3s] ὁ[dafs] ἄβυσσος[nafsc] ὁ[dafs] πολύς[anafsn] καί[cc] κατεσθίω[viaa3s] ὁ[dafs] μερίς[nafsc]. **v.5** καί[cc] λέγω[viaa1s] κύριος[nvmsc] κύριος[nvmsc] κοπάζω[vdaa2s] δή[x] τίς[rqnms] ἀνίστημι[vifa3s] ὁ[dams] Ἰακώβ[namsp] ὅτι[cs] ὀλιγοστός[annmsn] εἰμί[vipa3s]. **v.6** μετανοέω[vdaa2s] κύριος[nvmsc] ἐπί[pd] οὗτος[rddns] καί[cc] οὗτος[rdnns] οὐ[b] μή[x] γίνομαι[vsam3s] λέγω[vipa3s] κύριος[nnmsc]. **v.7** οὕτως[b] δείκνυμι[viaa3s] ἐγώ[rpdms] κύριος[nnmsc] καί[cc] ἰδού[i] ἀνήρ[nnmsc] ἵστημι[vpxanms] ἐπί[pg] τεῖχος[ngnsc] ἀδαμάντινος[angnsn] καί[cc] ἐν[pd] ὁ[ddfs] χείρ[ndfsc] αὐτός[rpgms] ἀδάμας[nnmsc]. **v.8** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] ἐγώ[rpams] τίς[rqans] σύ[rpnms] ὁράω[vipa2s] Ἀμώς[nvmsp] καί[cc] λέγω[viaa1s] ἀδάμας[namsc] καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] ἐγώ[rpams] ἰδού[i] ἐγώ[rpn-s] ἐντάσσω[vipa1s] ἀδάμας[namsc] ἐν[pd] μέσος[andnsn] λαός[ngmsc] ἐγώ[rpg-s] Ἰσραήλ[ngmsp] οὐκέτι[b] μή[x] προστίθημι[vsaa1s] ὁ[dgns] παρέρχομαι[vnaa] αὐτός[rpams]. **v.9** καί[cc] ἀφανίζω[vifp3p] βωμός[nnmpc] ὁ[dgms] γέλως[ngmsc] καί[cc] ὁ[dnfp] τελετή[nnfpc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐξερημόω[vifp3p] καί[cc] ἀνίστημι[vifm1s] ἐπί[pa] ὁ[dams] οἶκος[namsc] Ιεροβοαμ[ngmsp] ἐν[pd] ῥομφαία[ndfsc]. **v.10** καί[cc] ἐξαποστέλλω[viaa3s] Αμασιας[nnmsp] ὁ[dnms] ἱερεύς[nnmsc] Βαιθηλ[ngfsp] πρός[pa] Ιεροβοαμ[namsp] βασιλεύς[namsc] Ἰσραήλ[ngmsp] λέγω[vppanms] συστροφή[nafpc] ποιέω[vipm3s] κατά[pg] σύ[rpgms] Ἀμώς[nnmsp] ἐν[pd] μέσος[andnsn] οἶκος[ngmsc] Ἰσραήλ[ngmsp] οὐ[b] μή[x] δύναμαι[vspm3s] ὁ[dnfs] γῆ[nnfsc] ὑποφέρω[vnaa] ἅπας[anampn] ὁ[damp] λόγος[nampc] αὐτός[rpgms]. **v.11** διότι[cs] ὅδε[rdanp] λέγω[vipa3s] Ἀμώς[nnmsp] ἐν[pd] ῥομφαία[ndfsc] τελευτάω[vifa3s] Ιεροβοαμ[nnmsp] ὁ[dnms] δέ[cc] Ἰσραήλ[nnmsp] αἰχμάλωτος[annmsn] ἄγω[vifp3s] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] αὐτός[rpgms]. **v.12** καί[cc] λέγω[viaa3s] Αμασιας[nnmsp] πρός[pa] Ἀμώς[namsp] ὁ[dnms] ὁράω[vppanms] βαδίζω[vdpa2s] ἐκχωρέω[vdaa2s] εἰς[pa] γῆ[nafsc] Ἰούδας[ngmsp] καί[cc] ἐκεῖ[b] καταβιόω[vdpa2s] καί[cc] ἐκεῖ[b] προφητεύω[vifa2s].

οὐκέτι μὴ προσθῇς τοῦ προφητεῦσαι ὅτι ἁγίασμα βασιλέως ἐστὶν
καὶ οἶκος βασιλείας ἐστίν. καὶ ἀπεκρίθη Αμως καὶ εἶπεν πρὸς 14
Αμασιαν οὐκ ἤμην προφήτης ἐγὼ οὐδὲ υἱὸς προφήτου ἀλλ' ἢ αἰ-
πόλος ἤμην καὶ κνίζων συκάμινα. καὶ ἀνέλαβέν με κύριος ἐκ 15
τῶν προβάτων καὶ εἶπεν κύριος πρός με βάδιζε προφήτευσον ἐπὶ
τὸν λαόν μου Ισραηλ. καὶ νῦν ἄκουε λόγον κυρίου σὺ λέγεις 16
μὴ προφήτευε ἐπὶ τὸν Ισραηλ καὶ οὐ μὴ ὀχλαγωγήσῃς ἐπὶ τὸν
οἶκον Ιακωβ. διὰ τοῦτο τάδε λέγει κύριος ἡ γυνή σου ἐν τῇ πό- 17
λει πορνεύσει καὶ οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ
πεσοῦνται καὶ ἡ γῆ σου ἐν σχοινίῳ καταμετρηθήσεται καὶ σὺ ἐν
γῇ ἀκαθάρτῳ τελευτήσεις ὁ δὲ Ισραηλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ
τῆς γῆς αὐτοῦ.

οὕτως ἔδειξέν μοι κύριος καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ. καὶ εἶπεν τί **8**, 2
σὺ βλέπεις Αμως καὶ εἶπα ἄγγος ἰξευτοῦ καὶ εἶπεν κύριος πρός
με ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ισραηλ οὐκέτι μὴ προσθῶ τοῦ
παρελθεῖν αὐτόν. καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ ἐν ἐκείνῃ 3
τῇ ἡμέρᾳ λέγει κύριος πολὺς ὁ πεπτωκὼς ἐν παντὶ τόπῳ ἐπιρρίψω
σιωπήν. ἀκούσατε δὴ ταῦτα οἱ ἐκτρίβοντες εἰς τὸ πρωὶ πένητα 4
καὶ καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς. οἱ λέγοντες πότε 5
διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν καὶ τὰ σάββατα καὶ ἀνοίξο-
μεν θησαυροὺς τοῦ ποιῆσαι μικρὸν μέτρον καὶ τοῦ μεγαλῦναι

---

εἰρηνικοὺς λόγους ἐλάλησεν καταθύμιον ψυχῆς αὐτοῦ ἐστιν καὶ
4 ἐξελοῦμαι. τὰ ἀγαθὰ αὐτῶν ὡς σὴς ἐκτρώγων καὶ βαδίζων ἐπὶ
κανόνος ἐν ἡμέρᾳ σκοπιᾶς οὐαὶ οὐαί αἱ ἐκδικήσεις σου ἥκασιν
5 νῦν ἔσονται κλαυθμοὶ αὐτῶν. μὴ καταπιστεύετε ἐν φίλοις καὶ
μὴ ἐλπίζετε ἐπὶ ἡγουμένοις ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ
6 ἀναθέσθαι τι αὐτῇ. διότι υἱὸς ἀτιμάζει πατέρα θυγάτηρ ἐπανα-
στήσεται ἐπὶ τὴν μητέρα αὐτῆς νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς
7 ἐχθροὶ ἀνδρὸς πάντες οἱ ἄνδρες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ. ἐγὼ δὲ
ἐπὶ τὸν κύριον ἐπιβλέψομαι ὑπομενῶ ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου
8 εἰσακούσεταί μου ὁ θεός μου. μὴ ἐπίχαιρέ μοι ἡ ἐχθρά μου
ὅτι πέπτωκα καὶ ἀναστήσομαι διότι ἐὰν καθίσω ἐν τῷ σκότει κύ-
9 ριος φωτιεῖ μοι. ὀργὴν κυρίου ὑποίσω ὅτι ἥμαρτον αὐτῷ ἕως
τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου καὶ ποιήσει τὸ κρίμα μου
10 καὶ ἐξάξει με εἰς τὸ φῶς ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ. καὶ
ὄψεται ἡ ἐχθρά μου καὶ περιβαλεῖται αἰσχύνην ἡ λέγουσα πρός
με ποῦ κύριος ὁ θεός σου οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν νῦν
11 ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς. ἡμέρας ἀλοιφῆς
πλίνθου ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη καὶ ἀποτρίψεται νόμιμά

---

**v.2** ὅτι[cs] ἀπόλλυμι[vixa3s] εὐλαβής[annmsn] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] κατορθόω[vppanms] ἐν[pd] ἄνθρωπος[ndmpc] οὐ[b] ὑπάρχω[vipa3s] πᾶς[ainmpn] εἰς[pa] αἷμα[nanpc] δικάζω[vipm3p] ἕκαστος[ainmsn] ὁ[dams] πλησίον[b] αὐτός[rpgms] ἐκθλίβω[vipa3p] ἐκθλιβή[ndfsc]. **v.3** ἐπί[pa] ὁ[dans] κακός[anansn] ὁ[dafp] χείρ[nafpc] αὐτός[rpgmp] ἑτοιμάζω[vipa3p] ὁ[dnms] ἄρχων[nnmsc] αἰτέω[vipa3s] καί[cc] ὁ[dnms] κριτής[nnmsc] εἰρηνικός[anampn] λόγος[nampc] λαλέω[viaa3s] καταθύμιος[annnsn] ψυχή[ngfsc] αὐτός[rpgms] εἰμί[vipa3s] καί[cc] ἐξαιρέω[vifm1s]. **v.4** ὁ[danp] ἀγαθός[ananpn] αὐτός[rpgmp] ὡς[cs] σής[nnmsc] ἐκτρώγω[vppanms] καί[cc] βαδίζω[vppanms] ἐπί[pg] κανών[ngmsc] ἐν[pd] ἡμέρα[ndfsc] σκοπιά[ngfsc] οὐαί[i] οὐαί[i] ὁ[dnfp] ἐκδίκησις[nnfpc] σύ[rpg-s] ἥκω[vixa3p] νῦν[b] εἰμί[vifm3p] κλαυθμός[nnmpc] αὐτός[rpgmp]. **v.5** μή[x] καταπιστεύω[vipa2p] ἐν[pd] φίλος[andmpn] καί[cc] μή[x] ἐλπίζω[vipa2p] ἐπί[pg] ἡγέομαι[vppmdmp] ἀπό[pg] ὁ[dgfs] σύγκοιτος[angfsn] σύ[rpg-s] φυλάσσω[vdam2s] ὁ[dgns] ἀνατίθημι[vnam] τι-σριανς αὐτός[rpdfs]. **v.6** διότι[cs] υἱός[nnmsc] ἀτιμάζω[vipa3s] πατήρ[namsc] θυγάτηρ[nnfsc] ἐπανίστημι[vifm3s] ἐπί[pa] ὁ[dafs] μήτηρ[nafsc] αὐτός[rpgfs] νύμφη[nnfsc] ἐπί[pa] ὁ[dafs] πενθερά[nafsc] αὐτός[rpgfs] ἐχθρός[annmpn] ἀνήρ[ngmsc] πᾶς[ainmpn] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dnmp] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] αὐτός[rpgms]. **v.7** ἐγώ[rpn-s] δέ[cc] ἐπί[pa] ὁ[dams] κύριος[namsc] ἐπιβλέπω[vifm1s] ὑπομένω[vifa1s] ἐπί[pd] ὁ[ddms] θεός[ndmsc] ὁ[ddms] σωτήρ[ndmsc] ἐγώ[rpg-s] εἰσακούω[vifm3s] ἐγώ[rpg-s] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-s]. **v.8** μή[x] ἐπιχαίρω[vdpa2s] ἐγώ[rpd-s] ὁ[dnfs] ἔχθρα[nnfsc] ἐγώ[rpg-s] ὅτι[cs] πίπτω[vixa1s] καί[cc] ἀνίστημι[vifm1s] διότι[cs] ἐάν[cs] καθίζω[vifa1s] ἐν[pd] ὁ[ddns] σκότος[ndnsc] κύριος[nnmsc] φωτίζω[vifa3s] ἐγώ[rpd-s]. **v.9** ὀργή[nafsc] κύριος[ngmsc] ὑποφέρω[vifa1s] ὅτι[cs] ἁμαρτάνω[viaa1s] αὐτός[rpdms] ἕως[cs] ὁ[dgns] δικαιόω[vnaa] αὐτός[rpams] ὁ[dafs] δίκη[nafsc] ἐγώ[rpg-s] καί[cc] ποιέω[vifa3s] ὁ[dans] κρίμα[nansc] ἐγώ[rpg-s] καί[cc] ἐξάγω[vifa3s] ἐγώ[rpa-s] εἰς[pa] ὁ[dans] φῶς[nansc] ὁράω[vifm1s] ὁ[dafs] δικαιοσύνη[nafsc] αὐτός[rpgms]. **v.10** καί[cc] ὁράω[vifm3s] ὁ[dnfs] ἔχθρα[nnfsc] ἐγώ[rpg-s] καί[cc] περιβάλλω[vifm3s] αἰσχύνη[nafsc] ὁ[dnfs] λέγω[vppanfs] πρός[pa] ἐγώ[rpa-s] ποῦ[b] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-s] ἐφοράω[vifm3p] αὐτός[rpafs] νῦν[b] εἰμί[vifm3s] εἰς[pa] καταπάτημα[nansc] ὡς[cs] πηλός[nnmsc] ἐν[pd] ὁ[ddfp] ὁδός[ndfpc].

σου. ἡ ἡμέρα ἐκείνη καὶ αἱ πόλεις σου ἥξουσιν εἰς ὁμαλισμὸν 12
καὶ εἰς διαμερισμὸν Ἀσσυρίων καὶ αἱ πόλεις σου αἱ ὀχυραὶ εἰς
διαμερισμὸν ἀπὸ Τύρου ἕως τοῦ ποταμοῦ Συρίας ἡμέρα ὕδατος
καὶ θορύβου. καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν σὺν τοῖς κατοι- 13
κοῦσιν αὐτὴν ἐκ καρπῶν ἐπιτηδευμάτων αὐτῶν. ποίμαινε λαόν 14
σου ἐν ῥάβδῳ σου πρόβατα κληρονομίας σου κατασκηνοῦντας
καθ' ἑαυτοὺς δρυμὸν ἐν μέσῳ τοῦ Καρμήλου νεμήσονται τὴν Βα-
σανῖτιν καὶ τὴν Γαλααδῖτιν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος. καὶ 15
κατὰ τὰς ἡμέρας ἐξοδίας σου ἐξ Αἰγύπτου ὄψεσθε θαυμαστά. ὄ- 16
ψονται ἔθνη καὶ καταισχυνθήσονται ἐκ πάσης τῆς ἰσχύος αὐτῶν
ἐπιθήσουσιν χεῖρας ἐπὶ τὸ στόμα αὐτῶν τὰ ὦτα αὐτῶν ἀποκωφω-
θήσονται. λείξουσιν χοῦν ὡς ὄφεις σύροντες γῆν συγχυθήσονται 17
ἐν συγκλεισμῷ αὐτῶν ἐπὶ τῷ κυρίῳ θεῷ ἡμῶν ἐκστήσονται καὶ
φοβηθήσονται ἀπὸ σοῦ. τίς θεὸς ὥσπερ σύ ἐξαίρων ἀδικίας καὶ 18
ὑπερβαίνων ἀσεβείας τοῖς καταλοίποις τῆς κληρονομίας αὐτοῦ
καὶ οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ ὅτι θελητὴς ἐλέους
ἐστίν. αὐτὸς ἐπιστρέψει καὶ οἰκτιρήσει ἡμᾶς καταδύσει τὰς ἀδι- 19
κίας ἡμῶν καὶ ἀπορριφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης πάσας
τὰς ἁμαρτίας ἡμῶν. δώσεις ἀλήθειαν τῷ Ιακωβ ἔλεον τῷ Αβρααμ 20
καθότι ὤμοσας τοῖς πατράσιν ἡμῶν κατὰ τὰς ἡμέρας τὰς ἔμπρο-
σθεν.

---

**v.11** ἡμέρα[ngfsc] ἀλοιφή[ngfsc] πλίνθος[ngfsc] ἐξάλειψις[nnfsc] σύ[rpg-s] ὁ[dnfs] ἡμέρα[nnfsc] ἐκεῖνος[rdnfs] καί[cc] ἀποτρίβω[vifm3s] νόμιμος[ananpn] σύ[rpg-s]. **v.12** ὁ[dnfs] ἡμέρα[nnfsc] ἐκεῖνος[rdnfs] καί[cc] ὁ[dnfp] πόλις[nnfpc] σύ[rpg-s] ἥκω[vifa3p] εἰς[pa] ὁμαλισμός[namsc] καί[cc] εἰς[pa] διαμερισμός[namsc] Ἀσσύριος[ngmpp] καί[cc] ὁ[dnfp] πόλις[nnfpc] σύ[rpg-s] ὁ[dnfp] ὀχυρός[annfpn] εἰς[pa] διαμερισμός[namsc] ἀπό[pg] Τύρος[ngfsp] ἕως[pg] ὁ[dgms] ποταμός[ngmsc] Συρία[ngfsp] ἡμέρα[nnfsc] ὕδωρ[ngnsc] καί[cc] θόρυβος[ngmsc]. **v.13** καί[cc] εἰμί[vifm3s] ὁ[dnfs] γῆ[nnfsc] εἰς[pa] ἀφανισμός[namsc] σύν[pd] ὁ[ddmp] κατοικέω[vppadmp] αὐτός[rpafs] ἐκ[pg] καρπός[ngmpc] ἐπιτήδευμα[ngnpc] αὐτός[rpgmp]. **v.14** ποιμαίνω[vdpa2s] λαός[namsc] σύ[rpg-s] ἐν[pd] ῥάβδος[ndfsc] σύ[rpg-s] πρόβατον[nanpc] κληρονομία[ngfsc] σύ[rpg-s] κατασκηνόω[vppaamp] κατά[pa] ἑαυτοῦ[rxamp] δρυμός[namsc] ἐν[pd] μέσος[andnsn] ὁ[dgms] Καρμήλος[ngmsp] νέμω[vifm3p] ὁ[dafs] Βασανῖτις[nafsp] καί[cc] ὁ[dafs] Γαλααδῖτις[nafsp] καθώς[cs] ὁ[dnfp] ἡμέρα[nnfpc] ὁ[dgms] αἰών[ngmsc]. **v.15** καί[cc] κατά[pa] ὁ[dafp] ἡμέρα[nafpc] ἐξοδία[ngfsc] σύ[rpg-s] ἐκ[pg] Αἴγυπτος[ngfsp] ὁράω[vifm2p] θαυμαστός[ananpn]. **v.16** ὁράω[vifm3p] ἔθνος[nnnpc] καί[cc] καταισχύνω[vifp3p] ἐκ[pg] πᾶς[aigfsn] ὁ[dgfs] ἰσχύς[ngfsc] αὐτός[rpgmp] ἐπιτίθημι[vifa3p] χείρ[nafpc] ἐπί[pa] ὁ[dans] στόμα[nansc] αὐτός[rpgmp] ὁ[dnnp] οὖς[nnnpc] αὐτός[rpgmp] ἀποκωφόομαι[vifp3p]. **v.17** λείχω[vifa3p] χοῦς[namsc] ὡς[cs] ὄφις[nnmpc] σύρω[vppanmp] γῆ[nafsc] συγχέω[vifp3p] ἐν[pd] συγκλεισμός[ndmsc] αὐτός[rpgmp] ἐπί[pd] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] ἐγώ[rpg-p] ἐξίστημι[vifm3p] καί[cc] φοβέω[vifp3p] ἀπό[pg] σύ[rpg-s]. **v.18** τίς[aqnmsn] θεός[nnmsc] ὥσπερ[cs] σύ[rpn-s] ἐξαίρω[vppanms] ἀδικία[nafpc] καί[cc] ὑπερβαίνω[vppanms] ἀσέβεια[nafpc] ὁ[ddmp] κατάλοιπος[andmpn] ὁ[dgfs] κληρονομία[ngfsc] αὐτός[rpgms] καί[cc] οὐ[b] συνέχω[viaa3s] εἰς[pa] μαρτύριον[nansc] ὀργή[nafsc] αὐτός[rpgms] ὅτι[cs] θελητής[nnmsc] ἔλεος[ngnsc] εἰμί[vipa3s]. **v.19** αὐτός[rpnms] ἐπιστρέφω[vifa3s] καί[cc] οἰκτίρω[vifa3s] ἐγώ[rpa-p] καταδύω[vifa3s] ὁ[dafp] ἀδικία[nafpc] ἐγώ[rpg-p] καί[cc] ἀπορίπτω[vifp3p] εἰς[pa] ὁ[danp] βάθος[nanpc] ὁ[dgfs] θάλασσα[ngfsc] πᾶς[aiafpn] ὁ[dafp] ἁμαρτία[nafpc] ἐγώ[rpg-p]. **v.20** δίδωμι[vifa2s] ἀλήθεια[nafsc] ὁ[ddms] Ἰακώβ[ndmsp] ἔλεος[namsc] ὁ[ddms] Ἀβραάμ[ndmsp] καθότι[cs] ὄμνυμι[viaa2s] ὁ[ddmp] πατήρ[ndmpc] ἐγώ[rpg-p] κατά[pa] ὁ[dafp] ἡμέρα[nafpc] ὁ[dafp] ἔμπροσθεν[b].

# ΙΩΗΛ

**1**, 2 λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ιωηλ τὸν τοῦ Βαθουηλ. ἀ-
κούσατε δὴ ταῦτα οἱ πρεσβύτεροι καὶ ἐνωτίσασθε πάντες οἱ κα-
τοικοῦντες τὴν γῆν εἰ γέγονεν τοιαῦτα ἐν ταῖς ἡμέραις ὑμῶν ἢ ἐν
3 ταῖς ἡμέραις τῶν πατέρων ὑμῶν. ὑπὲρ αὐτῶν τοῖς τέκνοις ὑμῶν
διηγήσασθε καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν καὶ τὰ τέκνα
4 αὐτῶν εἰς γενεὰν ἑτέραν. τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ
ἀκρίς καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ὁ βροῦχος καὶ τὰ
5 κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη. ἐκνήψατε οἱ με-
θύοντες ἐξ οἴνου αὐτῶν καὶ κλαύσατε θρηνήσατε πάντες οἱ πίνον-
τες οἶνον εἰς μέθην ὅτι ἐξῆρται ἐκ στόματος ὑμῶν εὐφροσύνη καὶ
6 χαρά. ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀναρίθμητον
οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέοντος καὶ αἱ μύλαι αὐτοῦ σκύμνου.
7 ἔθετο τὴν ἄμπελόν μου εἰς ἀφανισμὸν καὶ τὰς συκᾶς μου εἰς
συγκλασμόν ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν καὶ ἔρριψεν ἐλεύκανεν
8 κλήματα αὐτῆς. θρήνησον πρός με ὑπὲρ νύμφην περιεζωσμέ-
9 νην σάκκον ἐπὶ τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν. ἐξῆρται θυσία
καὶ σπονδὴ ἐξ οἴκου κυρίου πενθεῖτε οἱ ἱερεῖς οἱ λειτουργοῦντες
10 θυσιαστηρίῳ. ὅτι τεταλαιπώρηκεν τὰ πεδία πενθείτω ἡ γῆ ὅτι

---

**1.** **v.1** λόγος[nnmsc] κύριος[ngmsc] ὅς[rrnms] γίνομαι[viap3s] πρός[pa] Ιωηλ[namsp] ὁ[dams] ὁ[dgms] Βαθουηλ[ngmsp]. **v.2** ἀκούω[vdaa2p] δή[x] οὗτος[rdanp] ὁ[dnmp] πρεσβύτερος[annmpc] καί[cc] ἐνωτίζομαι[vdam2p] πᾶς[ainmpn] ὁ[dnmp] κατοικέω[vppanmp] ὁ[dafs] γῆ[nafsc] εἰ[cs] γίνομαι[vixa3s] τοιοῦτος[adnnpn] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] σύ[rpg-p] ἤ[cc] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ὁ[dgmp] πατήρ[ngmpc] σύ[rpg-p]. **v.3** ὑπέρ[pg] αὐτός[rpgnp] ὁ[ddnp] τέκνον[ndnpc] σύ[rpg-p] διηγέομαι[vdam2p] καί[cc] ὁ[dnnp] τέκνον[nnnpc] σύ[rpg-p] ὁ[ddnp] τέκνον[ndnpc] αὐτός[rpgnp] καί[cc] ὁ[dnnp] τέκνον[nnnpc] αὐτός[rpgnp] εἰς[pa] γενεά[nafsc] ἕτερος[aiafsn]. **v.4** ὁ[danp] κατάλοιπος[ananpn] ὁ[dgfs] κάμπη[ngfsc] κατεσθίω[viaa3s] ὁ[dnfs] ἀκρίς[nnfsc] καί[cc] ὁ[danp] κατάλοιπος[ananpn] ὁ[dgfs] ἀκρίς[ngfsc] κατεσθίω[viaa3s] ὁ[dnms] βροῦχος[nnmsc] καί[cc] ὁ[danp] κατάλοιπος[ananpn] ὁ[dgms] βροῦχος[ngmsc] κατεσθίω[viaa3s] ὁ[dnfs] ἐρυσίβη[nnfsc]. **v.5** ἐκνήφω[vdaa2p] ὁ[dnmp] μεθύω[vppanmp] ἐκ[pg] οἶνος[ngmsc] αὐτός[rpgmp] καί[cc] κλαίω[vdaa2p] θρηνέω[vdaa2p] πᾶς[ainmpn] ὁ[dnmp] πίνω[vppanmp] οἶνος[namsc] εἰς[pa] μέθη[nafsc] ὅτι[cs] ἐξαίρω[vixp3s] ἐκ[pg] στόμα[ngnsc] σύ[rpg-p] εὐφροσύνη[nnfsc] καί[cc] χαρά[nnfsc]. **v.6** ὅτι[cs] ἔθνος[nnnsc] ἀναβαίνω[viaa3s] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] ἐγώ[rpg-s] ἰσχυρός[annnsn] καί[cc] ἀναρίθμητος[annnsn] ὁ[dnmp] ὀδούς[nnmpc] αὐτός[rpgns] ὀδούς[nnmpc] λέων[ngmsc] καί[cc] ὁ[dnfp] μύλη[nnfpc] αὐτός[rpgns] σκύμνος[ngmsc]. **v.7** τίθημι[viam3s] ὁ[dafs] ἄμπελος[nafsc] ἐγώ[rpg-s] εἰς[pa] ἀφανισμός[namsc] καί[cc] ὁ[dafp] συκῆ[nafpc] ἐγώ[rpg-s] εἰς[pa] συγκλασμός[namsc] ἐρευνάω[vppanms] ἐξερευνάω[viaa3s] αὐτός[rpafs] καί[cc] ῥίπτω[viaa3s] λευκαίνω[viaa3s] κλῆμα[nanpc] αὐτός[rpgfs]. **v.8** θρηνέω[vdaa2s] πρός[pa] ἐγώ[rpa-s] ὑπέρ[pa] νύμφη[nafsc] περιζώννυμι[vpxpafs] σάκκος[namsc] ἐπί[pa] ὁ[dams] ἀνήρ[namsc] αὐτός[rpgfs] ὁ[dams] παρθενικός[anamsn]. **v.9** ἐξαίρω[vixm3s] θυσία[nnfsc] καί[cc] σπονδή[nnfsc] ἐκ[pg] οἶκος[ngmsc] κύριος[ngmsc] πενθέω[vdpa2p] ὁ[dnmp] ἱερεύς[nnmpc] ὁ[dnmp] λειτουργέω[vppanmp] θυσιαστήριον[ndnsc].

τεταλαιπώρηκεν σῖτος ἐξηράνθη οἶνος ὠλιγώθη ἔλαιον. ἐξηράν- 11
θησαν οἱ γεωργοί θρηνεῖτε κτήματα ὑπὲρ πυροῦ καὶ κριθῆς ὅτι
ἀπόλωλεν τρυγητὸς ἐξ ἀγροῦ. ἡ ἄμπελος ἐξηράνθη καὶ αἱ συ- 12
καῖ ὠλιγώθησαν ῥόα καὶ φοῖνιξ καὶ μῆλον καὶ πάντα τὰ ξύλα τοῦ
ἀγροῦ ἐξηράνθησαν ὅτι ᾔσχυναν χαρὰν οἱ υἱοὶ τῶν ἀνθρώπων.
περιζώσασθε καὶ κόπτεσθε οἱ ἱερεῖς θρηνεῖτε οἱ λειτουργοῦντες 13
θυσιαστηρίῳ εἰσέλθατε ὑπνώσατε ἐν σάκκοις λειτουργοῦντες θεῷ
ὅτι ἀπέσχηκεν ἐξ οἴκου θεοῦ ὑμῶν θυσία καὶ σπονδή. ἁγιάσατε 14
νηστείαν κηρύξατε θεραπείαν συναγάγετε πρεσβυτέρους πάντας
κατοικοῦντας γῆν εἰς οἶκον θεοῦ ὑμῶν καὶ κεκράξατε πρὸς κύ-
ριον ἐκτενῶς. οἴμμοι οἴμμοι οἴμμοι εἰς ἡμέραν ὅτι ἐγγὺς ἡμέρα 15
κυρίου καὶ ὡς ταλαιπωρία ἐκ ταλαιπωρίας ἥξει. κατέναντι τῶν 16
ὀφθαλμῶν ὑμῶν βρώματα ἐξωλεθρεύθη ἐξ οἴκου θεοῦ ὑμῶν εὐ-
φροσύνη καὶ χαρά. ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐ- 17
τῶν ἠφανίσθησαν θησαυροί κατεσκάφησαν ληνοί ὅτι ἐξηράνθη
σῖτος. τί ἀποθήσομεν ἑαυτοῖς ἔκλαυσαν βουκόλια βοῶν ὅτι οὐχ 18
ὑπῆρχεν νομὴ αὐτοῖς καὶ τὰ ποίμνια τῶν προβάτων ἠφανίσθησαν.
πρὸς σέ κύριε βοήσομαι ὅτι πῦρ ἀνήλωσεν τὰ ὡραῖα τῆς ἐρήμου 19
καὶ φλὸξ ἀνῆψεν πάντα τὰ ξύλα τοῦ ἀγροῦ. καὶ τὰ κτήνη τοῦ 20
πεδίου ἀνέβλεψαν πρὸς σέ ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων καὶ
πῦρ κατέφαγεν τὰ ὡραῖα τῆς ἐρήμου.

---

**v.10** ὅτι[cs] ταλαιπωρέω[vixa3s] ὁ[dnnp] πεδίον[nnnpc] πενθέω[vdpa3s] ὁ[dnfs] γῆ[nnfsc] ὅτι[cs] ταλαιπωρέω[vixa3s] σῖτος[nnmsc] ξηραίνω[viap3s] οἶνος[nnmsc] ὀλιγόω[viap3s] ἔλαιον[nnnsc]. **v.11** ξηραίνω[viap3p] ὁ[dnmp] γεωργός[nnmpc] θρηνέω[vdpa2p] κτῆμα[nanpc] ὑπέρ[pg] πυρός[ngmsc] καί[cc] κριθή[ngfsc] ὅτι[cs] ἀπόλλυμι[vixa3s] τρύγητος[nnmsc] ἐκ[pg] ἀγρός[ngmsc]. **v.12** ὁ[dnfs] ἄμπελος[nnfsc] ξηραίνω[viap3s] καί[cc] ὁ[dnfp] συκῆ[nnfpc] ὀλιγόω[viap3p] ῥόα[nnfsc] καί[cc] φοῖνιξ[nnmsc] καί[cc] μῆλον[nnnsc] καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] ξύλον[nnnpc] ὁ[dgms] ἀγρός[ngmsc] ξηραίνω[viap3p] ὅτι[cs] αἰσχύνω[viaa3p] χαρά[nafsc] ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc]. **v.13** περιζώννυμι[vdam2p] καί[cc] κόπτω[vdpm2p] ὁ[dnmp] ἱερεύς[nnmpc] θρηνέω[vdpa2p] ὁ[dnmp] λειτουργέω[vppanmp] θυσιαστήριον[ndnsc] εἰσέρχομαι[vdaa2p] ὑπνόω[vdaa2p] ἐν[pd] σάκκος[ndmpc] λειτουργέω[vppanmp] θεός[ndmsc] ὅτι[cs] ἀπέχω[vixa3s] ἐκ[pg] οἶκος[ngmsc] θεός[ngmsc] σύ[rpg-p] θυσία[nnfsc] καί[cc] σπονδή[nnfsc]. **v.14** ἁγιάζω[vdaa2p] νηστεία[nafsc] κηρύσσω[vdaa2p] θεραπεία[nafsc] συνάγω[vdaa2p] πρεσβύτερος[anampc] πᾶς[aiampn] κατοικέω[vppaamp] γῆ[nafsc] εἰς[pa] οἶκος[namsc] θεός[ngmsc] σύ[rpg-p] καί[cc] κράζω[vdaa2p] πρός[pa] κύριος[namsc] ἐκτενῶς[b]. **v.15** οἴμμοι[i] οἴμμοι[i] οἴμμοι[i] εἰς[pa] ἡμέρα[nafsc] ὅτι[cs] ἐγγύς[b] ἡμέρα[nnfsc] κύριος[ngmsc] καί[cc] ὡς[cs] ταλαιπωρία[nnfsc] ἐκ[pg] ταλαιπωρία[ngfsc] ἥκω[vifa3s]. **v.16** κατέναντι[pg] ὁ[dgmp] ὀφθαλμός[ngmpc] σύ[rpg-p] βρῶμα[nnnpc] ἐξολεθρεύω[viap3s] ἐκ[pg] οἶκος[ngmsc] θεός[ngmsc] σύ[rpg-p] εὐφροσύνη[nnfsc] καί[cc] χαρά[nnfsc]. **v.17** σκιρτάω[viaa3p] δάμαλις[nnfpc] ἐπί[pd] ὁ[ddfp] φάτνη[ndfpc] αὐτός[rpgfp] ἀφανίζω[viap3p] θησαυρός[nnmpc] κατασκάπτω[viap3p] ληνός[nnfpc] ὅτι[cs] ξηραίνω[viap3s] σῖτος[nnmsc]. **v.18** τίς[rqans] ἀποτίθημι[vifa1p] ἑαυτοῦ[rxdmp] κλαίω[viaa3p] βουκόλιον[nnnpc] βοῦς[ngmpc] ὅτι[cs] οὐ[b] ὑπάρχω[viia3s] νομή[nnfsc] αὐτός[rpdmp] καί[cc] ὁ[dnnp] ποίμνιον[nnnpc] ὁ[dgnp] πρόβατον[ngnpc] ἀφανίζω[viap3p]. **v.19** πρός[pa] σύ[rpa-s] κύριος[nvmsc] βοάω[vifm1s] ὅτι[cs] πῦρ[nnnsc] ἀναλίσκω[viaa3s] ὁ[danp] ὡραῖος[ananpn] ὁ[dgfs] ἔρημος[ngfsc] καί[cc] φλόξ[nnfsc] ἀνάπτω[viaa3s] πᾶς[aianpn] ὁ[danp] ξύλον[nanpc] ὁ[dgms] ἀγρός[ngmsc]. **v.20** καί[cc] ὁ[dnnp] κτῆνος[nnnpc] ὁ[dgns] πεδίον[ngnsc] ἀναβλέπω[viaa3p] πρός[pa] σύ[rpa-s] ὅτι[cs] ξηραίνω[viap3p] ἄφεσις[nnfpc] ὕδωρ[ngnpc] καί[cc] πῦρ[nnnsc] κατεσθίω[viaa3s] ὁ[danp] ὡραῖος[ananpn] ὁ[dgfs] ἔρημος[ngfsc].

**2** σαλπίσατε σάλπιγγι ἐν Σιων κηρύξατε ἐν ὄρει ἁγίῳ μου καὶ
συγχυθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν γῆν διότι πάρεστιν ἡ-
2 μέρα κυρίου ὅτι ἐγγύς. ἡμέρα σκότους καὶ γνόφου ἡμέρα νε-
φέλης καὶ ὁμίχλης ὡς ὄρθρος χυθήσεται ἐπὶ τὰ ὄρη λαὸς πολὺς
καὶ ἰσχυρός ὅμοιος αὐτῷ οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος καὶ μετ᾽ αὐ-
3 τὸν οὐ προστεθήσεται ἕως ἐτῶν εἰς γενεὰς γενεῶν. τὰ ἔμπροσθεν
αὐτοῦ πῦρ ἀναλίσκον καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ ὡς
παράδεισος τρυφῆς ἡ γῆ πρὸ προσώπου αὐτοῦ καὶ τὰ ὄπισθεν
4 αὐτοῦ πεδίον ἀφανισμοῦ καὶ ἀνασῳζόμενος οὐκ ἔσται αὐτῷ. ὡς
ὅρασις ἵππων ἡ ὄψις αὐτῶν καὶ ὡς ἱππεῖς οὕτως καταδιώξον-
5 ται. ὡς φωνὴ ἁρμάτων ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται
καὶ ὡς φωνὴ φλογὸς πυρὸς κατεσθιούσης καλάμην καὶ ὡς λαὸς
6 πολὺς καὶ ἰσχυρὸς παρατασσόμενος εἰς πόλεμον. ἀπὸ προσώ-
που αὐτοῦ συντριβήσονται λαοί πᾶν πρόσωπον ὡς πρόσκαυμα
7 χύτρας. ὡς μαχηταὶ δραμοῦνται καὶ ὡς ἄνδρες πολεμισταὶ ἀνα-
βήσονται ἐπὶ τὰ τείχη καὶ ἕκαστος ἐν τῇ ὁδῷ αὐτοῦ πορεύσεται
8 καὶ οὐ μὴ ἐκκλίνωσιν τὰς τρίβους αὐτῶν. καὶ ἕκαστος ἀπὸ τοῦ
ἀδελφοῦ αὐτοῦ οὐκ ἀφέξεται καταβαρυνόμενοι ἐν τοῖς ὅπλοις αὐ-
τῶν πορεύσονται καὶ ἐν τοῖς βέλεσιν αὐτῶν πεσοῦνται καὶ οὐ μὴ
9 συντελεσθῶσιν. τῆς πόλεως ἐπιλήμψονται καὶ ἐπὶ τῶν τειχέων
δραμοῦνται καὶ ἐπὶ τὰς οἰκίας ἀναβήσονται καὶ διὰ θυρίδων εἰ-

---

**2. v.1** σαλπίζω[vdaa2p] σάλπιγξ[ndfsc] ἐν[pd] Σιών[ndfsp] κηρύσσω[vdaa2p] ἐν[pd] ὄρος[ndnsc] ἅγιος[andnsn] ἐγώ[rpg-s] καί[cc] συγχέω[vdap3p] πᾶς[ainmpn] ὁ[dnmp] κατοικέω[vppanmp] ὁ[dafs] γῆ[nafsc] διότι[cs] πάρειμι[vipa3s] ἡμέρα[nnfsc] κύριος[ngmsc] ὅτι[cs] ἐγγύς[b]. **v.2** ἡμέρα[nnfsc] σκότος[ngnsc] καί[cc] γνόφος[ngmsc] ἡμέρα[nnfsc] νεφέλη[ngfsc] καί[cc] ὁμίχλη[ngfsc] ὡς[cs] ὄρθρος[nnmsc] χέω[vifp3s] ἐπί[pa] ὁ[danp] ὄρος[nanpc] λαός[nnmsc] πολύς[annmsn] καί[cc] ἰσχυρός[annmsn] ὅμοιος[annmsn] αὐτός[rpdms] οὐ[b] γίνομαι[vixa3s] ἀπό[pg] ὁ[dgms] αἰών[ngmsc] καί[cc] μετά[pa] αὐτός[rpams] οὐ[b] προστίθημι[vifp3s] ἕως[pg] ἔτος[ngnpc] εἰς[pa] γενεά[nafpc] γενεά[ngfpc]. **v.3** ὁ[dnnp] ἔμπροσθεν[b] αὐτός[rpgms] πῦρ[nnnsc] ἀναλίσκω[vppanns] καί[cc] ὁ[dnnp] ὀπίσω[b] αὐτός[rpgms] ἀνάπτω[vpppnfs] φλόξ[nnfsc] ὡς[cs] παράδεισος[nnmsc] τρυφή[ngfsc] ὁ[dnfs] γῆ[nnfsc] πρό[pg] πρόσωπον[ngnsc] αὐτός[rpgms] καί[cc] ὁ[dnnp] ὄπισθεν[b] αὐτός[rpgms] πεδίον[nnnsc] ἀφανισμός[ngmsc] καί[cc] ἀνασῴζω[vppmnms] οὐ[b] εἰμί[vifm3s] αὐτός[rpdms]. **v.4** ὡς[cs] ὅρασις[nnfsc] ἵππος[ngmpc] ὁ[dnfs] ὄψις[nnfsc] αὐτός[rpgmp] καί[cc] ὡς[cs] ἱππεύς[nnmpc] οὕτως[b] καταδιώκω[vifm3p]. **v.5** ὡς[cs] φωνή[nnfsc] ἅρμα[ngnpc] ἐπί[pa] ὁ[dafp] κορυφή[nafpc] ὁ[dgnp] ὄρος[ngnpc] ἐξάλλομαι[vifm3p] καί[cc] ὡς[cs] φωνή[nnfsc] φλόξ[ngfsc] πῦρ[ngnsc] κατεσθίω[vppagfs] καλάμη[nafsc] καί[cc] ὡς[cs] λαός[nnmsc] πολύς[annmsn] καί[cc] ἰσχυρός[annmsn] παρατάσσω[vppmnms] εἰς[pa] πόλεμος[namsc]. **v.6** ἀπό[pg] πρόσωπον[ngnsc] αὐτός[rpgms] συντρίβω[vifp3p] λαός[nnmpc] πᾶς[ainnsn] πρόσωπον[nnnsc] ὡς[cs] πρόσκαυμα[nnnsc] χύτρα[ngfsc]. **v.7** ὡς[cs] μαχητής[nnmpc] τρέχω[vifm3p] καί[cc] ὡς[cs] ἀνήρ[nnmpc] πολεμιστής[nnmpc] ἀναβαίνω[vifm3p] ἐπί[pa] ὁ[danp] τεῖχος[nanpc] καί[cc] ἕκαστος[ainmsn] ἐν[pd] ὁ[ddfs] ὁδός[ndfsc] αὐτός[rpgms] πορεύομαι[vifm3s] καί[cc] οὐ[b] μή[x] ἐκκλίνω[vspa3p] ὁ[dafp] τρίβος[nafpc] αὐτός[rpgmp]. **v.8** καί[cc] ἕκαστος[ainmsn] ἀπό[pg] ὁ[dgms] ἀδελφός[ngmsc] αὐτός[rpgms] οὐ[b] ἀπέχω[vifm3s] καταβαρύνω[vpppnmp] ἐν[pd] ὁ[ddnp] ὅπλον[ndnpc] αὐτός[rpgmp] πορεύομαι[vifm3p] καί[cc] ἐν[pd] ὁ[ddnp] βέλος[ndnpc] αὐτός[rpgmp] πίπτω[vifm3p] καί[cc] οὐ[b] μή[x] συντελέω[vsap3p].

σελεύσονται ὡς κλέπται. πρὸ προσώπου αὐτῶν συγχυθήσεται 10
ἡ γῆ καὶ σεισθήσεται ὁ οὐρανός ὁ ἥλιος καὶ ἡ σελήνη συσκο-
τάσουσιν καὶ τὰ ἄστρα δύσουσιν τὸ φέγγος αὐτῶν. καὶ κύριος 11
δώσει φωνὴν αὐτοῦ πρὸ προσώπου δυνάμεως αὐτοῦ ὅτι πολλή
ἐστιν σφόδρα ἡ παρεμβολὴ αὐτοῦ ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ
διότι μεγάλη ἡ ἡμέρα τοῦ κυρίου μεγάλη καὶ ἐπιφανὴς σφόδρα
καὶ τίς ἔσται ἱκανὸς αὐτῇ. καὶ νῦν λέγει κύριος ὁ θεὸς ὑμῶν ἐ- 12
πιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐν νηστείᾳ καὶ
ἐν κλαυθμῷ καὶ ἐν κοπετῷ. καὶ διαρρήξατε τὰς καρδίας ὑμῶν 13
καὶ μὴ τὰ ἱμάτια ὑμῶν καὶ ἐπιστράφητε πρὸς κύριον τὸν θεὸν
ὑμῶν ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστίν μακρόθυμος καὶ πολυέ-
λεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. τίς οἶδεν εἰ ἐπιστρέψει καὶ 14
μετανοήσει καὶ ὑπολείψεται ὀπίσω αὐτοῦ εὐλογίαν θυσίαν καὶ
σπονδὴν κυρίῳ τῷ θεῷ ἡμῶν. σαλπίσατε σάλπιγγι ἐν Σιων ἁγιά- 15
σατε νηστείαν κηρύξατε θεραπείαν. συναγάγετε λαόν ἁγιάσατε 16
ἐκκλησίαν ἐκλέξασθε πρεσβυτέρους συναγάγετε νήπια θηλάζοντα
μαστούς ἐξελθάτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ καὶ νύμφη ἐκ
τοῦ παστοῦ αὐτῆς. ἀνὰ μέσον τῆς κρηπῖδος τοῦ θυσιαστηρίου 17
κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες κυρίῳ καὶ ἐροῦσιν φεῖσαι
κύριε τοῦ λαοῦ σου καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος
τοῦ κατάρξαι αὐτῶν ἔθνη ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσιν ποῦ

---

**v.9** ὁ[dgfs] πόλις[ngfsc] ἐπιλαμβάνω[vifm3p] καί[cc] ἐπί[pg] ὁ[dgnp] τεῖχος[ngnpc] τρέχω[vifm3p] καί[cc] ἐπί[pa] ὁ[dafp] οἰκία[nafpc] ἀναβαίνω[vifm3p] καί[cc] διά[pg] θυρίς[ngfpc] εἰσέρχομαι[vifm3p] ὡς[cs] κλέπτης[nnmpc]. **v.10** πρό[pg] πρόσωπον[ngnsc] αὐτός[rpgmp] συγχέω[vifp3s] ὁ[dnfs] γῆ[nnfsc] καί[cc] σείω[vifp3s] ὁ[dnms] οὐρανός[nnmsc] ὁ[dnms] ἥλιος[nnmsc] καί[cc] ὁ[dnfs] σελήνη[nnfsc] συσκοτάζω[vifa3p] καί[cc] ὁ[dnnp] ἄστρον[nnnpc] δύω[vifa3p] ὁ[dans] φέγγος[nansc] αὐτός[rpgmp]. **v.11** καί[cc] κύριος[nnmsc] δίδωμι[vifa3s] φωνή[nafsc] αὐτός[rpgms] πρό[pg] πρόσωπον[ngnsc] δύναμις[ngfsc] αὐτός[rpgms] ὅτι[cs] πολύς[annfsn] εἰμί[vipa3s] σφόδρα[b] ὁ[dnfs] παρεμβολή[nnfsc] αὐτός[rpgms] ὅτι[cs] ἰσχυρός[annnpn] ἔργον[nnnpc] λόγος[ngmpc] αὐτός[rpgms] διότι[cs] μέγας[annfsn] ὁ[dnfs] ἡμέρα[nnfsc] ὁ[dgms] κύριος[ngmsc] μέγας[annfsn] καί[cc] ἐπιφανής[annfsn] σφόδρα[b] καί[cc] τίς[rqnms] εἰμί[vifm3s] ἱκανός[annmsn] αὐτός[rpdfs]. **v.12** καί[cc] νῦν[b] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-p] ἐπιστρέφω[vdap2p] πρός[pa] ἐγώ[rpa-s] ἐκ[pg] ὅλος[angfsn] ὁ[dgfs] καρδία[ngfsc] σύ[rpg-p] καί[cc] ἐν[pd] νηστεία[ndfsc] καί[cc] ἐν[pd] κλαυθμός[ndmsc] καί[cc] ἐν[pd] κοπετός[ndmsc]. **v.13** καί[cc] διαρρήγνυμι[vdam2p] ὁ[dafp] καρδία[nafpc] σύ[rpg-p] καί[cc] μή[x] ὁ[danp] ἱμάτιον[nanpc] σύ[rpg-p] καί[cc] ἐπιστρέφω[vdap2p] πρός[pa] κύριος[namsc] ὁ[dams] θεός[namsc] σύ[rpg-p] ὅτι[cs] ἐλεήμων[annmsn] καί[cc] οἰκτίρμων[annmsn] εἰμί[vipa3s] μακρόθυμος[annmsn] καί[cc] πολυέλεος[annmsn] καί[cc] μετανοέω[vppanms] ἐπί[pd] ὁ[ddfp] κακία[ndfpc]. **v.14** τίς[rqnms] οἶδα[vixa3s] εἰ[x] ἐπιστρέφω[vifa3s] καί[cc] μετανοέω[vifa3s] καί[cc] ὑπολείπω[vifm3s] ὀπίσω[pg] αὐτός[rpgms] εὐλογία[nafsc] θυσία[nafsc] καί[cc] σπονδή[nafsc] κύριος[ndmsc] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p]. **v.15** σαλπίζω[vdaa2p] σάλπιγξ[ndfsc] ἐν[pd] Σιών[ndfsp] ἁγιάζω[vdaa2p] νηστεία[nafsc] κηρύσσω[vdaa2p] θεραπεία[nafsc]. **v.16** συνάγω[vdaa2p] λαός[namsc] ἁγιάζω[vdaa2p] ἐκκλησία[nafsc] ἐκλέγω[vdam2p] πρεσβύτερος[anampc] συνάγω[vdaa2p] νήπιος[ananpn] θηλάζω[vppaanp] μαστός[nampc] ἐξέρχομαι[vdaa3s] νυμφίος[nnmsc] ἐκ[pg] ὁ[dgms] κοιτών[ngmsc] αὐτός[rpgms] καί[cc] νύμφη[nnfsc] ἐκ[pg] ὁ[dgms] παστός[ngmsc] αὐτός[rpgfs].

18 ἐστιν ὁ θεὸς αὐτῶν. καὶ ἐζήλωσεν κύριος τὴν γῆν αὐτοῦ καὶ ἐ-
19 φείσατο τοῦ λαοῦ αὐτοῦ. καὶ ἀπεκρίθη κύριος καὶ εἶπεν τῷ λαῷ
αὐτοῦ ἰδοὺ ἐγὼ ἐξαποστέλλω ὑμῖν τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ
ἔλαιον καὶ ἐμπλησθήσεσθε αὐτῶν καὶ οὐ δώσω ὑμᾶς οὐκέτι εἰς
20 ὀνειδισμὸν ἐν τοῖς ἔθνεσι. καὶ τὸν ἀπὸ βορρᾶ ἐκδιώξω ἀφ᾽ ὑμῶν
καὶ ἐξώσω αὐτὸν εἰς γῆν ἄνυδρον καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ
εἰς τὴν θάλασσαν τὴν πρώτην καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασ-
σαν τὴν ἐσχάτην καὶ ἀναβήσεται ἡ σαπρία αὐτοῦ καὶ ἀναβήσεται
21 ὁ βρόμος αὐτοῦ ὅτι ἐμεγάλυνεν τὰ ἔργα αὐτοῦ. θάρσει γῆ χαῖρε
22 καὶ εὐφραίνου ὅτι ἐμεγάλυνεν κύριος τοῦ ποιῆσαι. θαρσεῖτε
κτήνη τοῦ πεδίου ὅτι βεβλάστηκεν πεδία τῆς ἐρήμου ὅτι ξύλον
ἤνεγκεν τὸν καρπὸν αὐτοῦ ἄμπελος καὶ συκῆ ἔδωκαν τὴν ἰσχὺν
23 αὐτῶν. καὶ τὰ τέκνα Σιων χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ τῷ κυ-
ρίῳ θεῷ ὑμῶν διότι ἔδωκεν ὑμῖν τὰ βρώματα εἰς δικαιοσύνην καὶ
24 βρέξει ὑμῖν ὑετὸν πρόιμον καὶ ὄψιμον καθὼς ἔμπροσθεν. καὶ
πλησθήσονται αἱ ἅλωνες σίτου καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ
25 οἴνου καὶ ἐλαίου. καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν ὧν κα-
τέφαγεν ἡ ἀκρὶς καὶ ὁ βροῦχος καὶ ἡ ἐρυσίβη καὶ ἡ κάμπη ἡ
26 δύναμίς μου ἡ μεγάλη ἣν ἐξαπέστειλα εἰς ὑμᾶς. καὶ φάγεσθε

---

**v.17** ἀνά[pa] μέσος[anansn] ὁ[dgfs] κρηπίς[ngfsc] ὁ[dgns] θυσιαστήριον[ngnsc] κλαίω[vifm3p] ὁ[dnmp] ἱερεύς[nnmpc] ὁ[dnmp] λειτουργέω[vppanmp] κύριος[ndmsc] καί[cc] λέγω[vifa3p] φείδομαι[vdam2s] κύριος[nvmsc] ὁ[dgms] λαός[ngmsc] σύ[rpg-s] καί[cc] μή[x] δίδωμι[vsaa2s] ὁ[dafs] κληρονομία[nafsc] σύ[rpg-s] εἰς[pa] ὄνειδος[nansc] ὁ[dgns] κατάρχω[vnaa] αὐτός[rpgmp] ἔθνος[nanpc] ὅπως[cs] μή[x] λέγω[vsaa3p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ποῦ[b] εἰμί[vipa3s] ὁ[dnms] θεός[nnmsc] αὐτός[rpgmp]. **v.18** καί[cc] ζηλόω[viaa3s] κύριος[nnmsc] ὁ[dafs] γῆ[nafsc] αὐτός[rpgms] καί[cc] φείδομαι[viam3s] ὁ[dgms] λαός[ngmsc] αὐτός[rpgms]. **v.19** καί[cc] ἀποκρίνομαι[viap3s] κύριος[nnmsc] καί[cc] λέγω[viaa3s] ὁ[ddms] λαός[ndmsc] αὐτός[rpgms] ἰδού[i] ἐγώ[rpn-s] ἐξαποστέλλω[vipa1s] σύ[rpd-p] ὁ[dams] σῖτος[namsc] καί[cc] ὁ[dams] οἶνος[namsc] καί[cc] ὁ[dans] ἔλαιον[nansc] καί[cc] ἐμπίπλημι[vifp2p] αὐτός[rpgmp] καί[cc] οὐ[b] δίδωμι[vifa1s] σύ[rpa-p] οὐκέτι[b] εἰς[pa] ὀνειδισμός[namsc] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc]. **v.20** καί[cc] ὁ[dams] ἀπό[pg] βορέας[ngmsc] ἐκδιώκω[vifa1s] ἀπό[pg] σύ[rpg-p] καί[cc] ἐξωθέω[vifa1s] αὐτός[rpams] εἰς[pa] γῆ[nafsc] ἄνυδρος[anafsn] καί[cc] ἀφανίζω[vifa1s] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgms] εἰς[pa] ὁ[dafs] θάλασσα[nafsc] ὁ[dafs] πρῶτος[aoafsn] καί[cc] ὁ[danp] ὀπίσω[pg] αὐτός[rpgms] εἰς[pa] ὁ[dafs] θάλασσα[nafsc] ὁ[dafs] ἔσχατος[anafsn] καί[cc] ἀναβαίνω[vifm3s] ὁ[dnfs] σαπρία[nnfsc] αὐτός[rpgms] καί[cc] ἀναβαίνω[vifm3s] ὁ[dnms] βρόμος[nnmsc] αὐτός[rpgms] ὅτι[cs] μεγαλύνω[viaa3s] ὁ[danp] ἔργον[nanpc] αὐτός[rpgms]. **v.21** θαρσέω[vdpa2s] γῆ[nvfsc] χαίρω[vdpa2s] καί[cc] εὐφραίνω[vdpm2s] ὅτι[cs] μεγαλύνω[viaa3s] κύριος[nnmsc] ὁ[dgns] ποιέω[vnaa]. **v.22** θαρσέω[vdpa2p] κτῆνος[nvnpc] ὁ[dgns] πεδίον[ngnsc] ὅτι[cs] βλαστάνω[vixa3s] πεδίον[nnnpc] ὁ[dgfs] ἔρημος[ngfsc] ὅτι[cs] ξύλον[nnnsc] φέρω[viaa3s] ὁ[dams] καρπός[namsc] αὐτός[rpgns] ἄμπελος[nnfsc] καί[cc] συκῆ[nnfsc] δίδωμι[viaa3p] ὁ[dafs] ἰσχύς[nafsc] αὐτός[rpgfp]. **v.23** καί[cc] ὁ[dnnp] τέκνον[nnnpc] Σιών[ngfsp] χαίρω[vdpa2p] καί[cc] εὐφραίνω[vdpm2p] ἐπί[pd] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] σύ[rpg-p] διότι[cs] δίδωμι[viaa3s] σύ[rpd-p] ὁ[danp] βρῶμα[nanpc] εἰς[pa] δικαιοσύνη[nafsc] καί[cc] βρέχω[vifa3s] σύ[rpd-p] ὑετός[namsc] πρόϊμος[anamsn] καί[cc] ὄψιμος[anamsn] καθώς[cs] ἔμπροσθεν[b]. **v.24** καί[cc] πίμπλημι[vifp3p] ὁ[dnfp] ἅλων[nnfpc] σῖτος[ngmsc] καί[cc] ὑπερεκχέω[vifp3p] ὁ[dnfp] ληνός[nnfpc] οἶνος[ngmsc] καί[cc] ἔλαιον[ngnsc]. **v.25** καί[cc] ἀνταποδίδωμι[vifa1s] σύ[rpd-p] ἀντί[pg] ὁ[dgnp] ἔτος[ngnpc] ὅς[rrgnp] κατεσθίω[viaa3s] ὁ[dnfs] ἀκρίς[nnfsc] καί[cc] ὁ[dnms] βροῦχος[nnmsc] καί[cc] ὁ[dnfs] ἐρυσίβη[nnfsc] καί[cc] ὁ[dnfs] κάμπη[nnfsc] ὁ[dnfs] δύναμις[nnfsc] ἐγώ[rpg-s] ὁ[dnfs] μέγας[annfsn] ὅς[rrafs] ἐξαποστέλλω[viaa1s] εἰς[pa] σύ[rpa-p].

ἐσθίοντες καὶ ἐμπλησθήσεσθε καὶ αἰνέσετε τὸ ὄνομα κυρίου τοῦ
θεοῦ ὑμῶν ἃ ἐποίησεν μεθ᾽ ὑμῶν εἰς θαυμάσια καὶ οὐ μὴ καται-
σχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα. καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ 27
τοῦ Ισραηλ ἐγώ εἰμι καὶ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν καὶ οὐκ ἔστιν
ἔτι πλὴν ἐμοῦ καὶ οὐ μὴ καταισχυνθῶσιν οὐκέτι πᾶς ὁ λαός μου
εἰς τὸν αἰῶνα.

καὶ ἔσται μετὰ ταῦτα καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ **3**
πᾶσαν σάρκα καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες
ὑμῶν καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται καὶ οἱ
νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. καὶ ἐπὶ τοὺς δούλους καὶ ἐπὶ 2
τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός
μου. καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς αἷμα καὶ 3
πῦρ καὶ ἀτμίδα καπνοῦ. ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος 4
καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἐλθεῖν ἡμέραν κυρίου τὴν μεγάλην
καὶ ἐπιφανῆ. καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυ- 5
ρίου σωθήσεται ὅτι ἐν τῷ ὄρει Σιων καὶ ἐν Ιερουσαλημ ἔσται ἀνα-
σῳζόμενος καθότι εἶπεν κύριος καὶ εὐαγγελιζόμενοι οὓς κύριος
προσκέκληται.

διότι ἰδοὺ ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ **4**
ὅταν ἐπιστρέψω τὴν αἰχμαλωσίαν Ιουδα καὶ Ιερουσαλημ. καὶ 2
συνάξω πάντα τὰ ἔθνη καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ιωσαφατ
καὶ διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ λαοῦ μου καὶ τῆς
κληρονομίας μου Ισραηλ οἳ διεσπάρησαν ἐν τοῖς ἔθνεσιν καὶ τὴν

---

**v.26** καί[cc] ἐσθίω[vifm2p] ἐσθίω[vppanmp] καί[cc] ἐμπίπλημι[vifp2p] καί[cc] αἰνέω[vifa2p] ὁ[dans] ὄνομα[nansc] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc] σύ[rpg-p] ὅς[rranp] ποιέω[viaa3s] μετά[pg] σύ[rpg-p] εἰς[pa] θαυμάσιος[ananpn] καί[cc] οὐ[b] μή[x] καταισχύνω[vsap3s] ὁ[dnms] λαός[nnmsc] ἐγώ[rpg-s] εἰς[pa] ὁ[dams] αἰών[namsc]. **v.27** καί[cc] ἐπιγινώσκω[vifm2p] ὅτι[cs] ἐν[pd] μέσος[andnsn] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐγώ[rpn-s] εἰμί[vipa1s] καί[cc] ἐγώ[rpn-s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-p] καί[cc] οὐ[b] εἰμί[vipa3s] ἔτι[b] πλήν[pg] ἐγώ[rpg-s] καί[cc] οὐ[b] μή[x] καταισχύνω[vsap3p] οὐκέτι[b] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] ἐγώ[rpg-s] εἰς[pa] ὁ[dams] αἰών[namsc]. **3. v.1** καί[cc] εἰμί[vifm3s] μετά[pa] οὗτος[rdanp] καί[cc] ἐκχέω[vifa1s] ἀπό[pg] ὁ[dgns] πνεῦμα[ngnsc] ἐγώ[rpg-s] ἐπί[pa] πᾶς[aiafsn] σάρξ[nafsc] καί[cc] προφητεύω[vifa3p] ὁ[dnmp] υἱός[nnmpc] σύ[rpg-p] καί[cc] ὁ[dnfp] θυγάτηρ[nnfpc] σύ[rpg-p] καί[cc] ὁ[dnmp] πρεσβύτερος[annmpc] σύ[rpg-p] ἐνύπνιον[nanpc] ἐνυπνιάζομαι[vifp3p] καί[cc] ὁ[dnmp] νεανίσκος[nnmpc] σύ[rpg-p] ὅρασις[nafpc] ὁράω[vifm3p]. **v.2** καί[cc] ἐπί[pa] ὁ[damp] δοῦλος[nampc] καί[cc] ἐπί[pa] ὁ[dafp] δούλη[nafpc] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ἐκεῖνος[rddfp] ἐκχέω[vifa1s] ἀπό[pg] ὁ[dgns] πνεῦμα[ngnsc] ἐγώ[rpg-s]. **v.3** καί[cc] δίδωμι[vifa1s] τέρας[nanpc] ἐν[pd] ὁ[ddms] οὐρανός[ndmsc] καί[cc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] αἷμα[nansc] καί[cc] πῦρ[nansc] καί[cc] ἀτμίς[nafsc] καπνός[ngmsc]. **v.4** ὁ[dnms] ἥλιος[nnmsc] μεταστρέφω[vifp3s] εἰς[pa] σκότος[nansc] καί[cc] ὁ[dnfs] σελήνη[nnfsc] εἰς[pa] αἷμα[nansc] πρίν[cs] ἔρχομαι[vnaa] ἡμέρα[nafsc] κύριος[ngmsc] ὁ[dafs] μέγας[anafsn] καί[cc] ἐπιφανής[anafsn]. **v.5** καί[cc] εἰμί[vifm3s] πᾶς[ainmsn] ὅς[rrnms] ἄν[x] ἐπικαλέω[vsam3s] ὁ[dans] ὄνομα[nansc] κύριος[ngmsc] σῴζω[vifp3s] ὅτι[cs] ἐν[pd] ὁ[ddns] ὄρος[ndnsc] Σιών[ngfsp] καί[cc] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] εἰμί[vifm3s] ἀνασῴζω[vpppnms] καθότι[cs] λέγω[viaa3s] κύριος[nnmsc] καί[cc] εὐαγγελίζω[vpppnmp] ὅς[rramp] κύριος[nnmsc] προσκαλέομαι[vixm3s]. **4. v.1** διότι[cs] ἰδού[i] ἐγώ[rpn-s] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ἐκεῖνος[rddfp] καί[cc] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ἐκεῖνος[rddms] ὅταν[cs] ἐπιστρέφω[vifa1s] ὁ[dafs] αἰχμαλωσία[nafsc] Ἰούδας[ngmsp] καί[cc] Ἰερουσαλήμ[ngfsp].

3 γῆν μου καταδιείλαντο. καὶ ἐπὶ τὸν λαόν μου ἔβαλον κλήρους
καὶ ἔδωκαν τὰ παιδάρια πόρναις καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ οἴ-
4 νου καὶ ἔπινον. καὶ τί καὶ ὑμεῖς ἐμοί Τύρος καὶ Σιδὼν καὶ πᾶσα
Γαλιλαία ἀλλοφύλων μὴ ἀνταπόδομα ὑμεῖς ἀνταποδίδοτέ μοι ἢ
μνησικακεῖτε ὑμεῖς ἐπ' ἐμοὶ ὀξέως καὶ ταχέως ἀνταποδώσω τὸ ἀν-
5 ταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν. ἀνθ' ὧν τὸ ἀργύριόν μου καὶ
τὸ χρυσίον μου ἐλάβετε καὶ τὰ ἐπίλεκτά μου καὶ τὰ καλὰ εἰσηνέγ-
6 κατε εἰς τοὺς ναοὺς ὑμῶν. καὶ τοὺς υἱοὺς Ιουδα καὶ τοὺς υἱοὺς
Ιερουσαλημ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλήνων ὅπως ἐξώσητε αὐ-
7 τοὺς ἐκ τῶν ὁρίων αὐτῶν. ἰδοὺ ἐγὼ ἐξεγείρω αὐτοὺς ἐκ τοῦ τόπου
οὗ ἀπέδοσθε αὐτοὺς ἐκεῖ καὶ ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν
8 εἰς κεφαλὰς ὑμῶν. καὶ ἀποδώσομαι τοὺς υἱοὺς ὑμῶν καὶ τὰς
θυγατέρας ὑμῶν εἰς χεῖρας υἱῶν Ιουδα καὶ ἀποδώσονται αὐτοὺς
εἰς αἰχμαλωσίαν εἰς ἔθνος μακρὰν ἀπέχον ὅτι κύριος ἐλάλησεν.
9 κηρύξατε ταῦτα ἐν τοῖς ἔθνεσιν ἁγιάσατε πόλεμον ἐξεγείρατε τοὺς
μαχητάς προσαγάγετε καὶ ἀναβαίνετε πάντες ἄνδρες πολεμισταί.
10 συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας καὶ τὰ δρέπανα ὑμῶν
11 εἰς σειρομάστας ὁ ἀδύνατος λεγέτω ὅτι ἰσχύω ἐγώ. συναθροί-
ζεσθε καὶ εἰσπορεύεσθε πάντα τὰ ἔθνη κυκλόθεν καὶ συνάχθητε
12 ἐκεῖ ὁ πραῢς ἔστω μαχητής. ἐξεγειρέσθωσαν καὶ ἀναβαινέτω-

---

**v.2** καί[cc] συνάγω[vifa1s] πᾶς[aianpn] ὁ[danp] ἔθνος[nanpc] καί[cc] κατάγω[vifa1s] αὐτός[rpanp] εἰς[pa] ὁ[dafs] κοιλάς[nafsc] Ἰωσαφάτ[ngmsp] καί[cc] διακρίνω[vifp1s] πρός[pa] αὐτός[rpamp] ἐκεῖ[b] ὑπέρ[pg] ὁ[dgms] λαός[ngmsc] ἐγώ[rpg-s] καί[cc] ὁ[dgfs] κληρονομία[ngfsc] ἐγώ[rpg-s] Ἰσραήλ[ngmsp] ὅς[rrnmp] διασπείρω[viap3p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] καί[cc] ὁ[dafs] γῆ[nafsc] ἐγώ[rpg-s] καταδιαιρέω[viam3p]. **v.3** καί[cc] ἐπί[pa] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] βάλλω[viaa3p] κλῆρος[nampc] καί[cc] δίδωμι[viaa3p] ὁ[danp] παιδάριον[nanpc] πόρνη[ndfpc] καί[cc] ὁ[danp] κοράσιον[nanpc] πωλέω[viia3p] ἀντί[pg] οἶνος[ngmsc] καί[cc] πίνω[viia3p]. **v.4** καί[cc] τίς[rqnns] καί[b] σύ[rpn-p] ἐγώ[rpd-s] Τύρος[nnfsp] καί[cc] Σιδών[nnfsp] καί[cc] πᾶς[ainfsn] Γαλιλαία[nnfsp] ἀλλόφυλος[angmpn] μή[x] ἀνταπόδομα[nansc] σύ[rpn-p] ἀνταποδίδωμι[vipa2p] ἐγώ[rpd-s] ἤ[cc] μνησικακέω[vipa2p] σύ[rpn-p] ἐπί[pd] ἐγώ[rpd-s] ὀξέως[b] καί[cc] ταχέως[b] ἀνταποδίδωμι[vifa1s] ὁ[dans] ἀνταπόδομα[nansc] σύ[rpg-p] εἰς[pa] κεφαλή[nafpc] σύ[rpg-p]. **v.5** ἀντί[pg] ὅς[rrgnp] ὁ[dans] ἀργύριον[nansc] ἐγώ[rpg-s] καί[cc] ὁ[dans] χρυσίον[nansc] ἐγώ[rpg-s] λαμβάνω[viaa2p] καί[cc] ὁ[danp] ἐπίλεκτος[ananpn] ἐγώ[rpg-s] καί[cc] ὁ[danp] καλός[ananpn] εἰσφέρω[viaa2p] εἰς[pa] ὁ[damp] ναός[nampc] σύ[rpg-p]. **v.6** καί[cc] ὁ[damp] υἱός[nampc] Ἰούδας[ngmsp] καί[cc] ὁ[damp] υἱός[nampc] Ἰερουσαλήμ[ngfsp] ἀποδίδωμι[viam2p] ὁ[ddmp] υἱός[ndmpc] ὁ[dgmp] Ἕλλην[ngmpp] ὅπως[cs] ἐξωθέω[vsaa2p] αὐτός[rpamp] ἐκ[pg] ὁ[dgnp] ὅριον[ngnpc] αὐτός[rpgmp]. **v.7** ἰδού[i] ἐγώ[rpn-s] ἐξεγείρω[vipa1s] αὐτός[rpamp] ἐκ[pg] ὁ[dgms] τόπος[ngmsc] ὅς[b] ἀποδίδωμι[viam2p] αὐτός[rpamp] ἐκεῖ[b] καί[cc] ἀνταποδίδωμι[vifa1s] ὁ[dans] ἀνταπόδομα[nansc] σύ[rpg-p] εἰς[pa] κεφαλή[nafpc] σύ[rpg-p]. **v.8** καί[cc] ἀποδίδωμι[vifm1s] ὁ[damp] υἱός[nampc] σύ[rpg-p] καί[cc] ὁ[dafp] θυγάτηρ[nafpc] σύ[rpg-p] εἰς[pa] χείρ[nafpc] υἱός[ngmpc] Ἰούδας[ngmsp] καί[cc] ἀποδίδωμι[vifm3p] αὐτός[rpamp] εἰς[pa] αἰχμαλωσία[nafsc] εἰς[pa] ἔθνος[nansc] μακράν[b] ἀπέχω[vppaans] ὅτι[cs] κύριος[nnmsc] λαλέω[viaa3s]. **v.9** κηρύσσω[vdaa2p] οὗτος[rdanp] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ἁγιάζω[vdaa2p] πόλεμος[namsc] ἐξεγείρω[vdaa2p] ὁ[damp] μαχητής[nampc] προσάγω[vdaa2p] καί[cc] ἀναβαίνω[vdpa2p] πᾶς[ainmpn] ἀνήρ[nnmpc] πολεμιστής[nnmpc]. **v.10** συγκόπτω[vdaa2p] ὁ[danp] ἄροτρον[nanpc] σύ[rpg-p] εἰς[pa] ῥομφαία[nafpc] καί[cc] ὁ[danp] δρέπανον[nanpc] σύ[rpg-p] εἰς[pa] σειρομάστης[nampc] ὁ[dnms] ἀδύνατος[annmsn] λέγω[vdpa3s] ὅτι[cs] ἰσχύω[vipa1s] ἐγώ[rpn-s]. **v.11** συναθροίζω[vdpm2p] καί[cc] εἰσπορεύομαι[vdpm2p] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] κυκλόθεν[b] καί[cc] συνάγω[vdap2p] ἐκεῖ[b] ὁ[dnms] πραΰς[annmsn] εἰμί[vdpa3s] μαχητής[nnmsc].

σαν πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ιωσαφατ διότι ἐκεῖ καθιῶ τοῦ
διακρῖναι πάντα τὰ ἔθνη κυκλόθεν. ἐξαποστείλατε δρέπανα ὅτι 13
παρέστηκεν τρύγητος εἰσπορεύεσθε πατεῖτε διότι πλήρης ἡ ληνός
ὑπερεκχεῖται τὰ ὑπολήνια ὅτι πεπλήθυνται τὰ κακὰ αὐτῶν. ἦχοι 14
ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης ὅτι ἐγγὺς ἡμέρα κυρίου ἐν τῇ
κοιλάδι τῆς δίκης. ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσιν καὶ οἱ 15
ἀστέρες δύσουσιν φέγγος αὐτῶν. ὁ δὲ κύριος ἐκ Σιων ἀνακε- 16
κράξεται καὶ ἐξ Ιερουσαλημ δώσει φωνὴν αὐτοῦ καὶ σεισθήσεται
ὁ οὐρανὸς καὶ ἡ γῆ ὁ δὲ κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ καὶ
ἐνισχύσει κύριος τοὺς υἱοὺς Ισραηλ. καὶ ἐπιγνώσεσθε διότι ἐγὼ 17
κύριος ὁ θεὸς ὑμῶν ὁ κατασκηνῶν ἐν Σιων ἐν ὄρει ἁγίῳ μου καὶ
ἔσται Ιερουσαλημ πόλις ἁγία καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι᾽
αὐτῆς οὐκέτι. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσταλάξει τὰ ὄρη 18
γλυκασμόν καὶ οἱ βουνοὶ ῥυήσονται γάλα καὶ πᾶσαι αἱ ἀφέσεις
Ιουδα ῥυήσονται ὕδατα καὶ πηγὴ ἐξ οἴκου κυρίου ἐξελεύσεται
καὶ ποτιεῖ τὸν χειμάρρουν τῶν σχοίνων. Αἴγυπτος εἰς ἀφανισμὸν 19
ἔσται καὶ ἡ Ιδουμαία εἰς πεδίον ἀφανισμοῦ ἔσται ἐξ ἀδικιῶν υἱ-
ῶν Ιουδα ἀνθ᾽ ὧν ἐξέχεαν αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν. ἡ δὲ 20
Ιουδαία εἰς τὸν αἰῶνα κατοικηθήσεται καὶ Ιερουσαλημ εἰς γενεὰς
γενεῶν. καὶ ἐκδικήσω τὸ αἷμα αὐτῶν καὶ οὐ μὴ ἀθῳώσω καὶ 21

---

**v.12** ἐξεγείρω[vdpp3p] καί[cc] ἀναβαίνω[vdpa3p] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] εἰς[pa] ὁ[dafs] κοιλάς[nafsc] Ἰωσαφάτ[ndmsp] διότι[cs] ἐκεῖ[b] καθίζω[vifa1s] ὁ[dgns] διακρίνω[vnaa] πᾶς[aianpn] ὁ[danp] ἔθνος[nanpc] κυκλόθεν[b]. **v.13** ἐξαποστέλλω[vdaa2p] δρέπανον[nanpc] ὅτι[cs] παρίστημι[vixa3s] τρύγητος[nnmsc] εἰσπορεύομαι[vdpm2p] πατέω[vdpa2p] διότι[cs] πλήρης[annfsn] ὁ[dnfs] ληνός[nnfsc] ὑπερεκχέω[vipm3s] ὁ[dnnp] ὑπολήνιον[nnnpc] ὅτι[cs] πληθύνω[vixp3p] ὁ[dnnp] κακός[annnpn] αὐτός[rpgmp]. **v.14** ἦχος[nnmpc] ἐξηχέω[viaa3p] ἐν[pd] ὁ[ddfs] κοιλάς[ndfsc] ὁ[dgfs] δίκη[ngfsc] ὅτι[cs] ἐγγύς[b] ἡμέρα[nnfsc] κύριος[ngmsc] ἐν[pd] ὁ[ddfs] κοιλάς[ndfsc] ὁ[dgfs] δίκη[ngfsc]. **v.15** ὁ[dnms] ἥλιος[nnmsc] καί[cc] ὁ[dnfs] σελήνη[nnfsc] συσκοτάζω[vifa3p] καί[cc] ὁ[dnmp] ἀστήρ[nnmpc] δύω[vifa3p] φέγγος[nansc] αὐτός[rpgmp]. **v.16** ὁ[dnms] δέ[cc] κύριος[nnmsc] ἐκ[pg] Σιών[ngfsp] ἀνακράζω[vizm3s] καί[cc] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp] δίδωμι[vifa3s] φωνή[nafsc] αὐτός[rpgms] καί[cc] σείω[vifp3s] ὁ[dnms] οὐρανός[nnmsc] καί[cc] ὁ[dnfs] γῆ[nnfsc] ὁ[dnms] δέ[cc] κύριος[nnmsc] φείδομαι[vifm3s] ὁ[dgms] λαός[ngmsc] αὐτός[rpgms] καί[cc] ἐνισχύω[vifa3s] κύριος[nnmsc] ὁ[damp] υἱός[nampc] Ἰσραήλ[ngmsp]. **v.17** καί[cc] ἐπιγινώσκω[vifm2p] διότι[cs] ἐγώ[rpn-s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-p] ὁ[dnms] κατασκηνόω[vppanms] ἐν[pd] Σιών[ndfsp] ἐν[pd] ὄρος[ndnsc] ἅγιος[andnsn] ἐγώ[rpg-s] καί[cc] εἰμί[vifm3s] Ἰερουσαλήμ[nnfsp] πόλις[nnfsc] ἅγιος[annfsn] καί[cc] ἀλλογενής[annmpn] οὐ[b] διέρχομαι[vifm3p] διά[pg] αὐτός[rpgfs] οὐκέτι[b]. **v.18** καί[cc] εἰμί[vifm3s] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] ἀποσταλάζω[vifa3s] ὁ[dnnp] ὄρος[nnnpc] γλυκασμός[namsc] καί[cc] ὁ[dnmp] βουνός[nnmpc] ῥέω[vifm3p] γάλα[nansc] καί[cc] πᾶς[ainfpn] ὁ[dnfp] ἄφεσις[nnfpc] Ἰούδας[ngmsp] ῥέω[vifm3p] ὕδωρ[nanpc] καί[cc] πηγή[nnfsc] ἐκ[pg] οἶκος[ngmsc] κύριος[ngmsc] ἐξέρχομαι[vifm3s] καί[cc] ποτίζω[vifa3s] ὁ[dams] χείμαρρος[namsc] ὁ[dgmp] σχοῖνος[ngmpc]. **v.19** Αἴγυπτος[nnfsp] εἰς[pa] ἀφανισμός[namsc] εἰμί[vifm3s] καί[cc] ὁ[dnfs] Ἰδουμαία[nnfsp] εἰς[pa] πεδίον[nansc] ἀφανισμός[ngmsc] εἰμί[vifm3s] ἐκ[pg] ἀδικία[ngfpc] υἱός[ngmpc] Ἰούδας[ngmsp] ἀντί[pg] ὅς[rrgnp] ἐκχέω[viaa3p] αἷμα[nansc] δίκαιος[anansn] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] αὐτός[rpgmp]. **v.20** ὁ[dnfs] δέ[cc] Ἰουδαία[nnfsp] εἰς[pa] ὁ[dams] αἰών[namsc] κατοικέω[vifp3s] καί[cc] Ἰερουσαλήμ[nnfsp] εἰς[pa] γενεά[nafpc] γενεά[ngfpc].

κύριος κατασκηνώσει ἐν Σιων.

**v.21** καί[cc] ἐκδικέω[vifa1s] ὁ[dans] αἷμα[nansc] αὐτός[rpgmp] καί[cc] οὐ[b] μή[x] ἀθῳόω[vifa1s] καί[cc] κύριος[nnmsc] κατασκηνόω[vifa3s] ἐν[pd] Σιών[ndfsp].

# ΟΒΔΙΟΥ

ὅρασις Αβδιου τάδε λέγει κύριος ὁ θεὸς τῇ Ιδουμαίᾳ ἀκοὴν 1
ἤκουσα παρὰ κυρίου καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν ἀ-
νάστητε καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον. ἰδοὺ ὀλιγοστὸν 2
δέδωκά σε ἐν τοῖς ἔθνεσιν ἠτιμωμένος σὺ εἶ σφόδρα. ὑπερη- 3
φανία τῆς καρδίας σου ἐπῆρέν σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς
τῶν πετρῶν ὑψῶν κατοικίαν αὐτοῦ λέγων ἐν καρδίᾳ αὐτοῦ τίς με
κατάξει ἐπὶ τὴν γῆν. ἐὰν μετεωρισθῇς ὡς ἀετὸς καὶ ἐὰν ἀνὰ μέ- 4
σον τῶν ἄστρων θῇς νοσσιάν σου ἐκεῖθεν κατάξω σε λέγει κύριος.
εἰ κλέπται εἰσῆλθον πρὸς σὲ ἢ λῃσταὶ νυκτός ποῦ ἂν ἀπερρίφης 5
οὐκ ἂν ἔκλεψαν τὰ ἱκανὰ ἑαυτοῖς καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς
σέ οὐκ ἂν ὑπελίποντο ἐπιφυλλίδα. πῶς ἐξηρευνήθη Ησαυ καὶ 6
κατελήμφθη αὐτοῦ τὰ κεκρυμμένα. ἕως τῶν ὁρίων σου ἐξαπέ- 7
στειλάν σε πάντες οἱ ἄνδρες τῆς διαθήκης σου ἀντέστησάν σοι
ἠδυνάσθησαν πρὸς σὲ ἄνδρες εἰρηνικοί σου ἔθηκαν ἔνεδρα ὑπο-
κάτω σου οὐκ ἔστιν σύνεσις αὐτοῖς. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει 8
κύριος ἀπολῶ σοφοὺς ἐκ τῆς Ιδουμαίας καὶ σύνεσιν ἐξ ὄρους
Ησαυ. καὶ πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ Θαιμαν ὅπως 9
ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ησαυ. διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέ- 10

**1.** **v.1** ὅρασις[nnfsc] Αβδιας[ngmsp] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddfs] Ἰδουμαία[ndfsp] ἀκοή[nafsc] ἀκούω[viaa1s] παρά[pg] κύριος[ngmsc] καί[cc] περιοχή[nafsc] εἰς[pa] ὁ[danp] ἔθνος[nanpc] ἐξαποστέλλω[viaa3s] ἀνίστημι[vdaa2p] καί[cc] ἐξανίστημι[vsaa1p] ἐπί[pa] αὐτός[rpafs] εἰς[pa] πόλεμος[namsc]. **v.2** ἰδού[i] ὀλιγοστός[anamsn] δίδωμι[vixa1s] σύ[rpams] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ἀτιμόω[vpxpnms] σύ[rpnms] εἰμί[vipa2s] σφόδρα[b]. **v.3** ὑπερηφανία[nnfsc] ὁ[dgfs] καρδία[ngfsc] σύ[rpgms] ἐπαίρω[viaa3s] σύ[rpams] κατασκηνόω[vppaams] ἐν[pd] ὁ[ddfp] ὀπή[ndfpc] ὁ[dgmp] πέτρος[ngmpc] ὑψόω[vppanms] κατοικία[nafsc] αὐτός[rpgms] λέγω[vppanms] ἐν[pd] καρδία[ndfsc] αὐτός[rpgms] τίς[rqnms] ἐγώ[rpams] κατάγω[vifa3s] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc]. **v.4** ἐάν[cs] μετεωρίζομαι[vsap2s] ὡς[cs] ἀετός[nnmsc] καί[cc] ἐάν[cs] ἀνά[pa] μέσος[anansn] ὁ[dgnp] ἄστρον[ngnpc] τίθημι[vsaa2s] νοσσία[nafsc] σύ[rpgms] ἐκεῖθεν[b] κατάγω[vifa1s] σύ[rpams] λέγω[vipa3s] κύριος[nnmsc]. **v.5** εἰ[cs] κλέπτης[nnmpc] εἰσέρχομαι[viaa3p] πρός[pa] σύ[rpams] ἤ[cc] λῃστής[nnmpc] νύξ[ngfsc] ποῦ[b] ἄν[x] ἀπορίπτω[viap2s] οὐ[b] ἄν[x] κλέπτω[viaa3p] ὁ[danp] ἱκανός[ananpn] ἑαυτοῦ[rxdmp] καί[cc] εἰ[cs] τρυγητής[nnmpc] εἰσέρχομαι[viaa3p] πρός[pa] σύ[rpams] οὐ[b] ἄν[x] ὑπολείπω[viam3p] ἐπιφυλλίς[nafsc]. **v.6** πῶς[b] ἐξερευνάω[viap3s] Ἠσαῦ[nnmsp] καί[cc] καταλαμβάνω[viap3s] αὐτός[rpgms] ὁ[dnnp] κρύπτω[vpxpnnp]. **v.7** ἕως[pg] ὁ[dgnp] ὅριον[ngnpc] σύ[rpgms] ἐξαποστέλλω[viaa3p] σύ[rpams] πᾶς[ainmpn] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgfs] διαθήκη[ngfsc] σύ[rpgms] ἀνθίστημι[viaa3p] σύ[rpdms] δύναμαι[viap3p] πρός[pa] σύ[rpams] ἀνήρ[nnmpc] εἰρηνικός[annmpn] σύ[rpgms] τίθημι[viaa3p] ἔνεδρον[nanpc] ὑποκάτω[pg] σύ[rpgms] οὐ[b] εἰμί[vipa3s] σύνεσις[nnfsc] αὐτός[rpdmp]. **v.8** ἐν[pd] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfsc] λέγω[vipa3s] κύριος[nnmsc] ἀπόλλυμι[vifa1s] σοφός[anampn] ἐκ[pg] ὁ[dgfs] Ἰδουμαία[ngfsp] καί[cc] σύνεσις[nafsc] ἐκ[pg] ὄρος[ngnsc] Ἠσαῦ[ngmsp]. **v.9** καί[cc] πτοέω[vifp3p] ὁ[dnmp] μαχητής[nnmpc] σύ[rpgms] ὁ[dnmp] ἐκ[pg] Θαιμαν[ngfsp] ὅπως[cs] ἐξαίρω[vsap3s] ἄνθρωπος[nnmsc] ἐκ[pg] ὄρος[ngnsc] Ἠσαῦ[ngmsp].

βειαν τὴν εἰς τὸν ἀδελφόν σου Ιακωβ καὶ καλύψει σε αἰσχύνη καὶ
11 ἐξαρθήσῃ εἰς τὸν αἰῶνα. ἀφ᾽ ἧς ἡμέρας ἀντέστης ἐξ ἐναντίας ἐν
ἡμέρᾳ αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ καὶ ἀλλότριοι
εἰσῆλθον εἰς πύλας αὐτοῦ καὶ ἐπὶ Ιερουσαλημ ἔβαλον κλήρους
12 καὶ σὺ ἦς ὡς εἷς ἐξ αὐτῶν. καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ
σου ἐν ἡμέρᾳ ἀλλοτρίων καὶ μὴ ἐπιχαρῇς ἐπὶ τοὺς υἱοὺς Ιουδα
ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν καὶ μὴ μεγαλορρημονήσῃς ἐν ἡμέρᾳ
13 θλίψεως. μηδὲ εἰσέλθῃς εἰς πύλας λαῶν ἐν ἡμέρᾳ πόνων αὐ-
τῶν μηδὲ ἐπίδῃς καὶ σὺ τὴν συναγωγὴν αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου
αὐτῶν μηδὲ συνεπιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν ἡμέρᾳ ἀπωλείας
14 αὐτῶν. μηδὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτῶν τοῦ ἐξολεθρεῦσαι
τοὺς ἀνασῳζομένους αὐτῶν μηδὲ συγκλείσῃς τοὺς φεύγοντας ἐξ
15 αὐτῶν ἐν ἡμέρᾳ θλίψεως. διότι ἐγγὺς ἡμέρα κυρίου ἐπὶ πάντα
τὰ ἔθνη ὃν τρόπον ἐποίησας οὕτως ἔσται σοι τὸ ἀνταπόδομά σου
16 ἀνταποδοθήσεται εἰς κεφαλήν σου. διότι ὃν τρόπον ἔπιες ἐπὶ
τὸ ὄρος τὸ ἅγιόν μου πίονται πάντα τὰ ἔθνη οἶνον πίονται καὶ
17 καταβήσονται καὶ ἔσονται καθὼς οὐχ ὑπάρχοντες. ἐν δὲ τῷ ὄρει
Σιων ἔσται ἡ σωτηρία καὶ ἔσται ἅγιον καὶ κατακληρονομήσουσιν
18 ὁ οἶκος Ιακωβ τοὺς κατακληρονομήσαντας αὐτούς. καὶ ἔσται ὁ
οἶκος Ιακωβ πῦρ ὁ δὲ οἶκος Ιωσηφ φλὸξ ὁ δὲ οἶκος Ησαυ εἰς κα-
λάμην καὶ ἐκκαυθήσονται εἰς αὐτοὺς καὶ καταφάγονται αὐτούς
καὶ οὐκ ἔσται πυροφόρος ἐν τῷ οἴκῳ Ησαυ διότι κύριος ἐλάλη-

---

**v.10** διά[pa] ὁ[dafs] σφαγή[nafsc] καί[cc] ὁ[dafs] ἀσέβεια[nafsc] ὁ[dafs] εἰς[pa] ὁ[dams] ἀδελφός[namsc] σύ[rpgms] Ἰακώβ[namsp] καί[cc] καλύπτω[vifa3s] σύ[rpams] αἰσχύνη[nnfsc] καί[cc] ἐξαίρω[vifp2s] εἰς[pa] ὁ[dams] αἰών[namsc]. **v.11** ἀπό[pg] ὅς[rrgfs] ἡμέρα[ngfsc] ἀνθίστημι[viaa2s] ἐκ[pg] ἐναντίος[angfsn] ἐν[pd] ἡμέρα[ndfsc] αἰχμαλωτεύω[vppagmp] ἀλλογενής[angmpn] δύναμις[nafsc] αὐτός[rpgms] καί[cc] ἀλλότριος[annmpn] εἰσέρχομαι[viaa3p] εἰς[pa] πύλη[nafpc] αὐτός[rpgms] καί[cc] ἐπί[pa] Ἰερουσαλήμ[nafsp] βάλλω[viaa3p] κλῆρος[nampc] καί[cc] σύ[rpnms] εἰμί[viia2s] ὡς[cs] εἷς[acnmsn] ἐκ[pg] αὐτός[rpgmp]. **v.12** καί[cc] μή[x] ἐφοράω[vsaa2s] ἡμέρα[nafsc] ἀδελφός[ngmsc] σύ[rpgms] ἐν[pd] ἡμέρα[ndfsc] ἀλλότριος[angmpn] καί[cc] μή[x] ἐπιχαίρω[vsap2s] ἐπί[pa] ὁ[damp] υἱός[nampc] Ἰούδας[ngmsp] ἐν[pd] ἡμέρα[ndfsc] ἀπώλεια[ngfsc] αὐτός[rpgmp] καί[cc] μή[x] μεγαλορρημονέω[vsaa2s] ἐν[pd] ἡμέρα[ndfsc] θλῖψις[ngfsc]. **v.13** μηδέ[x] εἰσέρχομαι[vsaa2s] εἰς[pa] πύλη[nafpc] λαός[ngmpc] ἐν[pd] ἡμέρα[ndfsc] πόνος[ngmpc] αὐτός[rpgmp] μηδέ[x] ἐφοράω[vsaa2s] καί[cc] σύ[rpnms] ὁ[dafs] συναγωγή[nafsc] αὐτός[rpgmp] ἐν[pd] ἡμέρα[ndfsc] ὄλεθρος[ngmsc] αὐτός[rpgmp] μηδέ[x] συνεπιτίθημι[vsaa3s] ἐπί[pa] ὁ[dafs] δύναμις[nafsc] αὐτός[rpgmp] ἐν[pd] ἡμέρα[ndfsc] ἀπώλεια[ngfsc] αὐτός[rpgmp]. **v.14** μηδέ[x] ἐφίστημι[vsaa2s] ἐπί[pa] ὁ[dafp] διεκβολή[nafpc] αὐτός[rpgmp] ὁ[dgns] ἐξολεθρεύω[vnaa] ὁ[damp] ἀνασῴζω[vppmamp] αὐτός[rpgmp] μηδέ[x] συγκλείω[vsaa2s] ὁ[damp] φεύγω[vppaamp] ἐκ[pg] αὐτός[rpgmp] ἐν[pd] ἡμέρα[ndfsc] θλῖψις[ngfsc]. **v.15** διότι[cs] ἐγγύς[b] ἡμέρα[nnfsc] κύριος[ngmsc] ἐπί[pa] πᾶς[aianpn] ὁ[danp] ἔθνος[nanpc] ὅς[rrams] τρόπος[namsc] ποιέω[viaa2s] οὕτως[b] εἰμί[vifm3s] σύ[rpdms] ὁ[dnns] ἀνταπόδομα[nnnsc] σύ[rpgms] ἀνταποδίδωμι[vifp3s] εἰς[pa] κεφαλή[nafsc] σύ[rpgms]. **v.16** διότι[cs] ὅς[rrams] τρόπος[namsc] πίνω[viaa2s] ἐπί[pa] ὁ[dans] ὄρος[nansc] ὁ[dans] ἅγιος[anansn] ἐγώ[rpg-s] πίνω[vifm3p] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] οἶνος[namsc] πίνω[vifm3p] καί[cc] καταβαίνω[vifm3p] καί[cc] εἰμί[vifm3p] καθώς[cs] οὐ[b] ὑπάρχω[vppanmp]. **v.17** ἐν[pd] δέ[cc] ὁ[ddns] ὄρος[ndnsc] Σιών[ngfsp] εἰμί[vifm3s] ὁ[dnfs] σωτηρία[nnfsc] καί[cc] εἰμί[vifm3s] ἅγιος[annnsn] καί[cc] κατακληρονομέω[vifa3p] ὁ[dnms] οἶκος[nnmsc] Ἰακώβ[ngmsp] ὁ[damp] κατακληρονομέω[vpaaamp] αὐτός[rpamp].

σεν. καὶ κατακληρονομήσουσιν οἱ ἐν Ναγεβ τὸ ὄρος τὸ Ησαυ 19
καὶ οἱ ἐν τῇ Σεφηλα τοὺς ἀλλοφύλους καὶ κατακληρονομήσουσιν
τὸ ὄρος Εφραιμ καὶ τὸ πεδίον Σαμαρείας καὶ Βενιαμιν καὶ τὴν
Γαλααδῖτιν. καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ αὕτη τοῖς υἱοῖς Ισραηλ 20
γῆ τῶν Χαναναίων ἕως Σαρεπτων καὶ ἡ μετοικεσία Ιερουσαλημ
ἕως Εφραθα καὶ κληρονομήσουσιν τὰς πόλεις τοῦ Ναγεβ. καὶ 21
ἀναβήσονται ἄνδρες σεσῳσμένοι ἐξ ὄρους Σιων τοῦ ἐκδικῆσαι τὸ
ὄρος Ησαυ καὶ ἔσται τῷ κυρίῳ ἡ βασιλεία.

---

**v.18** καί[cc] εἰμί[vifm3s] ὁ[dnms] οἶκος[nnmsc] Ἰακώβ[ngmsp] πῦρ[nnnsc] ὁ[dnms] δέ[cc] οἶκος[nnmsc] Ἰωσήφ[ngmsp] φλόξ[nnfsc] ὁ[dnms] δέ[cc] οἶκος[nnmsc] Ἠσαῦ[ngmsp] εἰς[pa] καλάμη[nafsc] καί[cc] ἐκκαίω[vifp3p] εἰς[pa] αὐτός[rpamp] καί[cc] κατεσθίω[vifm3p] αὐτός[rpamp] καί[cc] οὐ[b] εἰμί[vifm3s] πυροφόρος[annmsn] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] Ἠσαῦ[ngmsp] διότι[cs] κύριος[nnmsc] λαλέω[viaa3s]. **v.19** καί[cc] κατακληρονομέω[vifa3p] ὁ[dnmp] ἐν[pd] Ναγεβ[nd-sp] ὁ[dans] ὄρος[nansc] ὁ[dans] Ἠσαῦ[ngmsp] καί[cc] ὁ[dnmp] ἐν[pd] ὁ[ddfs] Σεφηλα[ndfsp] ὁ[damp] ἀλλόφυλος[anampn] καί[cc] κατακληρονομέω[vifa3p] ὁ[dans] ὄρος[nansc] Ἐφραίμ[ngmsp] καί[cc] ὁ[dans] πεδίον[nansc] Σαμάρεια[ngfsp] καί[cc] Βενιαμίν[namsp] καί[cc] ὁ[dafs] Γαλααδῖτις[nafsp]. **v.20** καί[cc] ὁ[dgfs] μετοικεσία[ngfsc] ὁ[dnfs] ἀρχή[nnfsc] οὗτος[rdnfs] ὁ[ddmp] υἱός[ndmpc] Ἰσραήλ[ngmsp] γῆ[nnfsc] ὁ[dgmp] Χαναναῖος[ngmpp] ἕως[pg] Σάρεπτα[ngfpp] καί[cc] ὁ[dnfs] μετοικεσία[nnfsc] Ἰερουσαλήμ[ngfsp] ἕως[pg] Εφραθα[ng-sp] καί[cc] κληρονομέω[vifa3p] ὁ[dafp] πόλις[nafpc] ὁ[dgms] Ναγεβ[ng-sp]. **v.21** καί[cc] ἀναβαίνω[vifm3p] ἀνήρ[nnmpc] σῴζω[vpxpnmp] ἐκ[pg] ὄρος[ngnsc] Σιών[ngfsp] ὁ[dgns] ἐκδικέω[vnaa] ὁ[dans] ὄρος[nansc] Ἠσαῦ[ngmsp] καί[cc] εἰμί[vifm3s] ὁ[ddms] κύριος[ndmsc] ὁ[dnfs] βασιλεία[nnfsc].

# ΙΩΝΑΣ

1 καὶ ἐγένετο λόγος κυρίου πρὸς Ιωναν τὸν τοῦ Αμαθι λέγων.
2 ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευη τὴν πόλιν τὴν μεγάλην καὶ
κήρυξον ἐν αὐτῇ ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός
3 με. καὶ ἀνέστη Ιωνας τοῦ φυγεῖν εἰς Θαρσις ἐκ προσώπου κυ-
ρίου καὶ κατέβη εἰς Ιοππην καὶ εὗρεν πλοῖον βαδίζον εἰς Θαρσις
καὶ ἔδωκεν τὸ ναῦλον αὐτοῦ καὶ ἐνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ᾽
4 αὐτῶν εἰς Θαρσις ἐκ προσώπου κυρίου. καὶ κύριος ἐξήγειρεν
πνεῦμα εἰς τὴν θάλασσαν καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θα-
5 λάσσῃ καὶ τὸ πλοῖον ἐκινδύνευεν συντριβῆναι. καὶ ἐφοβήθησαν
οἱ ναυτικοὶ καὶ ἀνεβόων ἕκαστος πρὸς τὸν θεὸν αὐτῶν καὶ ἐκβο-
λὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν
τοῦ κουφισθῆναι ἀπ᾽ αὐτῶν Ιωνας δὲ κατέβη εἰς τὴν κοίλην τοῦ
6 πλοίου καὶ ἐκάθευδεν καὶ ἔρρεγχεν. καὶ προσῆλθεν πρὸς αὐτὸν
ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ τί σὺ ῥέγχεις ἀνάστα καὶ ἐπικαλοῦ τὸν
7 θεόν σου ὅπως διασώσῃ ὁ θεὸς ἡμᾶς καὶ μὴ ἀπολώμεθα. καὶ
εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ δεῦτε βάλωμεν κλήρους
καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν καὶ ἔβαλον

**1. v.1** καί[cc] γίνομαι[viam3s] λόγος[nnmsc] κύριος[ngmsc] πρός[pa] Ιωνας[namsp] ὁ[dams] ὁ[dgms] Αμαθι[ngmsp] λέγω[vppanms]. **v.2** ἀνίστημι[vdaa2s] καί[cc] πορεύομαι[vdap2s] εἰς[pa] Νινευή[nafsp] ὁ[dafs] πόλις[nafsc] ὁ[dafs] μέγας[anafsn] καί[cc] κηρύσσω[vdaa2s] ἐν[pd] αὐτός[rpdfs] ὅτι[cs] ἀναβαίνω[viaa3s] ὁ[dnfs] κραυγή[nnfsc] ὁ[dgfs] κακία[ngfsc] αὐτός[rpgfs] πρός[pa] ἐγώ[rpa-s]. **v.3** καί[cc] ἀνίστημι[viaa3s] Ιωνας[nnmsp] ὁ[dgns] φεύγω[vnaa] εἰς[pa] Θαρσις[nafsp] ἐκ[pg] πρόσωπον[ngnsc] κύριος[ngmsc] καί[cc] καταβαίνω[viaa3s] εἰς[pa] Ἰόππη[nafsp] καί[cc] εὑρίσκω[viaa3s] πλοῖον[nansc] βαδίζω[vppaans] εἰς[pa] Θαρσις[nafsp] καί[cc] δίδωμι[viaa3s] ὁ[dans] ναῦλον[nansc] αὐτός[rpgms] καί[cc] ἐμβαίνω[viaa3s] εἰς[pa] αὐτός[rpans] ὁ[dgns] πλέω[vnaa] μετά[pg] αὐτός[rpgmp] εἰς[pa] Θαρσις[nafsp] ἐκ[pg] πρόσωπον[ngnsc] κύριος[ngmsc]. **v.4** καί[cc] κύριος[nnmsc] ἐξεγείρω[viaa3s] πνεῦμα[nansc] εἰς[pa] ὁ[dafs] θάλασσα[nafsc] καί[cc] γίνομαι[viam3s] κλύδων[nnmsc] μέγας[annmsn] ἐν[pd] ὁ[ddfs] θάλασσα[ndfsc] καί[cc] ὁ[dnns] πλοῖον[nnnsc] κινδυνεύω[viia3s] συντρίβω[vnap]. **v.5** καί[cc] φοβέω[viap3p] ὁ[dnmp] ναυτικός[annmpn] καί[cc] ἀναβοάω[viia3p] ἕκαστος[ainmsn] πρός[pa] ὁ[dams] θεός[namsc] αὐτός[rpgmp] καί[cc] ἐκβολή[nafsc] ποιέω[viam3p] ὁ[dgnp] σκεῦος[ngnpc] ὁ[dgnp] ἐν[pd] ὁ[ddns] πλοῖον[ndnsc] εἰς[pa] ὁ[dafs] θάλασσα[nafsc] ὁ[dgns] κουφίζω[vnap] ἀπό[pg] αὐτός[rpgnp] Ιωνας[nnmsp] δέ[cc] καταβαίνω[viaa3s] εἰς[pa] ὁ[dafs] κοῖλος[anafsn] ὁ[dgns] πλοῖον[ngnsc] καί[cc] καθεύδω[viia3s] καί[cc] ῥέγχω[viia3s]. **v.6** καί[cc] προσέρχομαι[viaa3s] πρός[pa] αὐτός[rpams] ὁ[dnms] πρωρεύς[nnmsc] καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] τίς[rqans] σύ[rpnms] ῥέγχω[vipa2s] ἀνίστημι[vdaa2s] καί[cc] ἐπικαλέω[vdpm2s] ὁ[dams] θεός[namsc] σύ[rpgms] ὅπως[cs] διασῴζω[vsaa3s] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpamp] καί[cc] μή[x] ἀπόλλυμι[vspm1p].

κλήρους καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ιωναν. καὶ εἶπον πρὸς αὐτόν 8
ἀπάγγειλον ἡμῖν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν τίς σου
ἡ ἐργασία ἐστίν καὶ πόθεν ἔρχῃ καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου
λαοῦ εἶ σύ. καὶ εἶπεν πρὸς αὐτούς δοῦλος κυρίου ἐγώ εἰμι καὶ 9
τὸν κύριον θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι ὃς ἐποίησεν τὴν θά-
λασσαν καὶ τὴν ξηράν. καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν 10
καὶ εἶπαν πρὸς αὐτόν τί τοῦτο ἐποίησας διότι ἔγνωσαν οἱ ἄνδρες
ὅτι ἐκ προσώπου κυρίου ἦν φεύγων ὅτι ἀπήγγειλεν αὐτοῖς. καὶ 11
εἶπαν πρὸς αὐτόν τί σοι ποιήσωμεν καὶ κοπάσει ἡ θάλασσα ἀφ'
ἡμῶν ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρεν μᾶλλον κλύδωνα.
καὶ εἶπεν Ιωνας πρὸς αὐτούς ἄρατέ με καὶ ἐμβάλετέ με εἰς τὴν 12
θάλασσαν καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν διότι ἔγνωκα ἐγὼ ὅτι
δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστιν. καὶ παρεβιάζοντο 13
οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν καὶ οὐκ ἠδύναντο ὅτι ἡ
θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς. καὶ ἀ- 14
νεβόησαν πρὸς κύριον καὶ εἶπαν μηδαμῶς κύριε μὴ ἀπολώμεθα
ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου καὶ μὴ δῷς ἐφ' ἡμᾶς
αἷμα δίκαιον ὅτι σύ κύριε ὃν τρόπον ἐβούλου πεποίηκας. καὶ 15
ἔλαβον τὸν Ιωναν καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν καὶ ἔστη

---

τοῦτο τὸ ὄνομα αὐτοῦ ὃ καλέσει αὐτὸν κύριος Ιωσεδεκ. διὰ 7
τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος καὶ οὐκ ἐροῦσιν ἔτι ζῇ
κύριος ὃς ἀνήγαγεν τὸν οἶκον Ισραηλ ἐκ γῆς Αἰγύπτου. ἀλλά 8
ζῇ κύριος ὃς συνήγαγεν ἅπαν τὸ σπέρμα Ισραηλ ἀπὸ γῆς βορρᾶ
καὶ ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξῶσεν αὐτοὺς ἐκεῖ καὶ ἀπεκατέ-
στησεν αὐτοὺς εἰς τὴν γῆν αὐτῶν. ἐν τοῖς προφήταις συνετρίβη 9
ἡ καρδία μου ἐν ἐμοὶ ἐσαλεύθη πάντα τὰ ὀστᾶ μου ἐγενήθην ὡς
ἀνὴρ συντετριμμένος καὶ ὡς ἄνθρωπος συνεχόμενος ἀπὸ οἴνου
ἀπὸ προσώπου κυρίου καὶ ἀπὸ προσώπου εὐπρεπείας δόξης αὐ-
τοῦ. ὅτι ἀπὸ προσώπου τούτων ἐπένθησεν ἡ γῆ ἐξηράνθησαν 10
αἱ νομαὶ τῆς ἐρήμου καὶ ἐγένετο ὁ δρόμος αὐτῶν πονηρὸς καὶ ἡ
ἰσχὺς αὐτῶν οὐχ οὕτως. ὅτι ἱερεὺς καὶ προφήτης ἐμολύνθησαν 11
καὶ ἐν τῷ οἴκῳ μου εἶδον πονηρίας αὐτῶν. διὰ τοῦτο γενέσθω 12
ἡ ὁδὸς αὐτῶν αὐτοῖς εἰς ὀλίσθημα ἐν γνόφῳ καὶ ὑποσκελισθή-
σονται καὶ πεσοῦνται ἐν αὐτῇ διότι ἐπάξω ἐπ' αὐτοὺς κακὰ ἐν
ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν φησὶν κύριος. καὶ ἐν τοῖς προφήταις 13
Σαμαρείας εἶδον ἀνομήματα ἐπροφήτευσαν διὰ τῆς Βααλ καὶ ἐ-
πλάνησαν τὸν λαόν μου Ισραηλ. καὶ ἐν τοῖς προφήταις Ιερουσα- 14
λημ ἑώρακα φρικτά μοιχωμένους καὶ πορευομένους ἐν ψεύδεσι
καὶ ἀντιλαμβανομένους χειρῶν πονηρῶν τοῦ μὴ ἀποστραφῆναι
ἕκαστον ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς ἐγενήθησάν μοι πάν-

---

**v.6** ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] αὐτός[rpgms] σῴζω[vifp3s] Ἰούδας[nnmsp] καί[cc] Ἰσραήλ[nnmsp] κατασκηνόω[vifa3s] πείθω[vpxanms] καί[cc] οὗτος[rdnns] ὁ[dnns] ὄνομα[nnnsc] αὐτός[rpgms] ὅς[rrans] καλέω[vifa3s] αὐτός[rpams] κύριος[nnmsc] Ιωσεδεκ[nnmsp]. **v.7** διά[pa] οὗτος[rdans] ἰδού[i] ἡμέρα[nnfpc] ἔρχομαι[vipm3p] λέγω[vipa3s] κύριος[nnmsc] καί[cc] οὐ[b] λέγω[vifa3p] ἔτι[b] ζάω[vipa3s] κύριος[nnmsc] ὅς[rrnms] ἀνάγω[viaa3s] ὁ[dams] οἶκος[namsc] Ἰσραήλ[ngmsp] ἐκ[pg] γῆ[ngfsc] Αἴγυπτος[ngfsp]. **v.8** ἀλλά[cc] ζάω[vipa3s] κύριος[nnmsc] ὅς[rrnms] συνάγω[viaa3s] ἅπας[anansn] ὁ[dans] σπέρμα[nansc] Ἰσραήλ[ngmsp] ἀπό[pg] γῆ[ngfsc] βορέας[ngmsc] καί[cc] ἀπό[pg] πᾶς[aigfpn] ὁ[dgfp] χώρα[ngfpc] ὅς[b] ἐξωθέω[viaa3s] αὐτός[rpamp] ἐκεῖ[b] καί[cc] ἀποκαθιστάνω[viaa3s] αὐτός[rpamp] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] αὐτός[rpgmp]. **v.9** ἐν[pd] ὁ[ddmp] προφήτης[ndmpc] συντρίβω[viap3s] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpgms] ἐν[pd] ἐγώ[rpdms] σαλεύω[viap3s] πᾶς[ainnpn] ὁ[dnnp] ὀστέον[nnnpc] ἐγώ[rpgms] γίνομαι[viap1s] ὡς[cs] ἀνήρ[nnmsc] συντρίβω[vpxpnms] καί[cc] ὡς[cs] ἄνθρωπος[nnmsc] συνέχω[vpppnms] ἀπό[pg] οἶνος[ngmsc] ἀπό[pg] πρόσωπον[ngnsc] κύριος[ngmsc] καί[cc] ἀπό[pg] πρόσωπον[ngnsc] εὐπρέπεια[ngfsc] δόξα[ngfsc] αὐτός[rpgms]. **v.10** ὅτι[cs] ἀπό[pg] πρόσωπον[ngnsc] οὗτος[rdgmp] πενθέω[viaa3s] ὁ[dnfs] γῆ[nnfsc] ξηραίνω[viap3p] ὁ[dnfp] νομή[nnfpc] ὁ[dgfs] ἔρημος[ngfsc] καί[cc] γίνομαι[viam3s] ὁ[dnms] δρόμος[nnmsc] αὐτός[rpgmp] πονηρός[annmsn] καί[cc] ὁ[dnfs] ἰσχύς[nnfsc] αὐτός[rpgmp] οὐ[b] οὕτως[b]. **v.11** ὅτι[cs] ἱερεύς[nnmsc] καί[cc] προφήτης[nnmsc] μολύνω[viap3p] καί[cc] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] ἐγώ[rpgms] ὁράω[viaa1s] πονηρία[nafpc] αὐτός[rpgmp]. **v.12** διά[pa] οὗτος[rdans] γίνομαι[vdam3s] ὁ[dnfs] ὁδός[nnfsc] αὐτός[rpgmp] αὐτός[rpdmp] εἰς[pa] ὀλίσθημα[nansc] ἐν[pd] γνόφος[ndmsc] καί[cc] ὑποσκελίζω[vifp3p] καί[cc] πίπτω[vifm3p] ἐν[pd] αὐτός[rpdfs] διότι[cs] ἐπάγω[vifa1s] ἐπί[pa] αὐτός[rpamp] κακός[ananpn] ἐν[pd] ἐνιαυτός[ndmsc] ἐπίσκεψις[ngfsc] αὐτός[rpgmp] φημί[vipa3s] κύριος[nnmsc]. **v.13** καί[cc] ἐν[pd] ὁ[ddmp] προφήτης[ndmpc] Σαμάρεια[ngfsp] ὁράω[viaa1s] ἀνόμημα[nanpc] προφητεύω[viaa3p] διά[pg] ὁ[dgfs] Βααλ[ngfsp] καί[cc] πλανάω[viaa3p] ὁ[dams] λαός[namsc] ἐγώ[rpgms] Ἰσραήλ[namsp].

15 τες ὡς Σοδομα καὶ οἱ κατοικοῦντες αὐτὴν ὥσπερ Γομορρα. διὰ
τοῦτο τάδε λέγει κύριος ἰδοὺ ἐγὼ ψωμιῶ αὐτοὺς ὀδύνην καὶ ποτιῶ
αὐτοὺς ὕδωρ πικρόν ὅτι ἀπὸ τῶν προφητῶν Ιερουσαλημ ἐξῆλθεν
16 μολυσμὸς πάσῃ τῇ γῇ. οὕτως λέγει κύριος παντοκράτωρ μὴ
ἀκούετε τοὺς λόγους τῶν προφητῶν ὅτι ματαιοῦσιν ἑαυτοῖς ὅρα-
σιν ἀπὸ καρδίας αὐτῶν λαλοῦσιν καὶ οὐκ ἀπὸ στόματος κυρίου.
17 λέγουσιν τοῖς ἀπωθουμένοις τὸν λόγον κυρίου εἰρήνη ἔσται ὑ-
μῖν καὶ πᾶσιν τοῖς πορευομένοις τοῖς θελήμασιν αὐτῶν παντὶ τῷ
πορευομένῳ πλάνῃ καρδίας αὐτοῦ εἶπαν οὐχ ἥξει ἐπὶ σὲ κακά.
18 ὅτι τίς ἔστη ἐν ὑποστήματι κυρίου καὶ εἶδεν τὸν λόγον αὐτοῦ
19 τίς ἐνωτίσατο καὶ ἤκουσεν. ἰδοὺ σεισμὸς παρὰ κυρίου καὶ ὀρ-
γὴ ἐκπορεύεται εἰς συσσεισμόν συστρεφομένη ἐπὶ τοὺς ἀσεβεῖς
20 ἥξει. καὶ οὐκέτι ἀποστρέψει ὁ θυμὸς κυρίου ἕως ἂν ποιήσῃ αὐ-
τὸ καὶ ἕως ἂν ἀναστήσῃ αὐτὸ ἀπὸ ἐγχειρήματος καρδίας αὐτοῦ
21 ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν νοήσουσιν αὐτά. οὐκ ἀπέστελλον τοὺς
προφήτας καὶ αὐτοὶ ἔτρεχον οὐκ ἐλάλησα πρὸς αὐτούς καὶ αὐτοὶ
22 ἐπροφήτευον. καὶ εἰ ἔστησαν ἐν τῇ ὑποστάσει μου καὶ εἰσή-
κουσαν τῶν λόγων μου καὶ τὸν λαόν μου ἂν ἀπέστρεφον αὐτοὺς
23 ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν. θεὸς ἐγγίζων ἐγώ εἰμι

---

**v.14** καί[cc] ἐν[pd] ὁ[ddmp] προφήτης[ndmpc] Ἰερουσαλήμ[ngfsp] ὁράω[vixa1s] φρικτός[ananpn] μοιχάομαι[vppmamp] καί[cc] πορεύομαι[vppmamp] ἐν[pd] ψεῦδος[ndnpc] καί[cc] ἀντιλαμβάνομαι[vppmamp] χείρ[ngfpc] πονηρός[angfpn] ὁ[dgns] μή[x] ἀποστρέφω[vnap] ἕκαστος[aiamsn] ἀπό[pg] ὁ[dgfs] ὁδός[ngfsc] αὐτός[rpgms] ὁ[dgfs] πονηρός[angfsn] γίνομαι[viap3p] ἐγώ[rpdms] πᾶς[ainmpn] ὡς[cs] Σόδομα[nnnpp] καί[cc] ὁ[dnmp] κατοικέω[vppanmp] αὐτός[rpafs] ὥσπερ[cs] Γόμορρα[nnfsp]. **v.15** διά[pa] οὗτος[rdans] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ἰδού[i] ἐγώ[rpnms] ψωμίζω[vifa1s] αὐτός[rpamp] ὀδύνη[nafsc] καί[cc] ποτίζω[vifa1s] αὐτός[rpamp] ὕδωρ[nansc] πικρός[anansn] ὅτι[cs] ἀπό[pg] ὁ[dgmp] προφήτης[ngmpc] Ἰερουσαλήμ[ngfsp] ἐξέρχομαι[viaa3s] μολυσμός[nnmsc] πᾶς[aidfsn] ὁ[ddfs] γῆ[ndfsc]. **v.16** οὕτως[b] λέγω[vipa3s] κύριος[nnmsc] παντοκράτωρ[nnmsc] μή[x] ἀκούω[vdpa2p] ὁ[damp] λόγος[nampc] ὁ[dgmp] προφήτης[ngmpc] ὅτι[cs] ματαιόω[vipa3p] ἑαυτοῦ[rxdmp] ὅρασις[nafsc] ἀπό[pg] καρδία[ngfsc] αὐτός[rpgmp] λαλέω[vipa3p] καί[cc] οὐ[b] ἀπό[pg] στόμα[ngnsc] κύριος[ngmsc]. **v.17** λέγω[vipa3p] ὁ[ddmp] ἀπωθέω[vppmdmp] ὁ[dams] λόγος[namsc] κύριος[ngmsc] εἰρήνη[nnfsc] εἰμί[vifm3s] σύ[rpdmp] καί[cc] πᾶς[aidmpn] ὁ[ddmp] πορεύομαι[vppmdmp] ὁ[ddnp] θέλημα[ndnpc] αὐτός[rpgmp] πᾶς[aidmsn] ὁ[ddms] πορεύομαι[vppmdms] πλάνη[ndfsc] καρδία[ngfsc] αὐτός[rpgms] λέγω[viaa3p] οὐ[b] ἥκω[vifa3s] ἐπί[pa] σύ[rpams] κακός[annnpn]. **v.18** ὅτι[cs] τίς[rqnms] ἵστημι[viaa3s] ἐν[pd] ὑπόστημα[ndnsc] κύριος[ngmsc] καί[cc] ὁράω[viaa3s] ὁ[dams] λόγος[namsc] αὐτός[rpgms] τίς[rqnms] ἐνωτίζομαι[viam3s] καί[cc] ἀκούω[viaa3s]. **v.19** ἰδού[i] σεισμός[nnmsc] παρά[pg] κύριος[ngmsc] καί[cc] ὀργή[nnfsc] ἐκπορεύομαι[vipm3s] εἰς[pa] συσσεισμός[namsc] συστρέφω[vpppnfs] ἐπί[pa] ὁ[damp] ἀσεβής[anampn] ἥκω[vifa3s]. **v.20** καί[cc] οὐκέτι[b] ἀποστρέφω[vifa3s] ὁ[dnms] θυμός[nnmsc] κύριος[ngmsc] ἕως[cs] ἄν[x] ποιέω[vsaa3s] αὐτός[rpans] καί[cc] ἕως[cs] ἄν[x] ἀνίστημι[vsaa3s] αὐτός[rpans] ἀπό[pg] ἐγχείρημα[ngnsc] καρδία[ngfsc] αὐτός[rpgms] ἐπί[pg] ἔσχατος[angnsn] ὁ[dgfp] ἡμέρα[ngfpc] νοέω[vifa3p] αὐτός[rpanp]. **v.21** οὐ[b] ἀποστέλλω[viia1s] ὁ[damp] προφήτης[nampc] καί[cc] αὐτός[rpnmp] τρέχω[viia3p] οὐ[b] λαλέω[viaa1s] πρός[pa] αὐτός[rpamp] καί[cc] αὐτός[rpnmp] προφητεύω[viia3p]. **v.22** καί[cc] εἰ[cs] ἵστημι[viaa3p] ἐν[pd] ὁ[ddfs] ὑπόστασις[ndfsc] ἐγώ[rpgms] καί[cc] εἰσακούω[viaa3p] ὁ[dgmp] λόγος[ngmpc] ἐγώ[rpgms] καί[cc] ὁ[dams] λαός[namsc] ἐγώ[rpgms] ἄν[x] ἀποστρέφω[viia3p] αὐτός[rpamp] ἀπό[pg] ὁ[dgnp] πονηρός[angnpn] ἐπιτήδευμα[ngnpc] αὐτός[rpgmp].

λέγει κύριος καὶ οὐχὶ θεὸς πόρρωθεν. εἰ κρυβήσεται ἄνθρωπος 24
ἐν κρυφαίοις καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν μὴ οὐχὶ τὸν οὐρανὸν
καὶ τὴν γῆν ἐγὼ πληρῶ λέγει κύριος. ἤκουσα ἃ λαλοῦσιν οἱ 25
προφῆται ἃ προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου ψευδῆ λέγοντες
ἠνυπνιασάμην ἐνύπνιον. ἕως πότε ἔσται ἐν καρδίᾳ τῶν προφη- 26
τῶν τῶν προφητευόντων ψευδῆ καὶ ἐν τῷ προφητεύειν αὐτοὺς τὰ
θελήματα καρδίας αὐτῶν. τῶν λογιζομένων τοῦ ἐπιλαθέσθαι τοῦ 27
νόμου μου ἐν τοῖς ἐνυπνίοις αὐτῶν ἃ διηγοῦντο ἕκαστος τῷ πλη-
σίον αὐτοῦ καθάπερ ἐπελάθοντο οἱ πατέρες αὐτῶν τοῦ ὀνόματός
μου ἐν τῇ Βααλ. ὁ προφήτης ἐν ᾧ τὸ ἐνύπνιόν ἐστιν διηγησάσθω 28
τὸ ἐνύπνιον αὐτοῦ καὶ ἐν ᾧ ὁ λόγος μου πρὸς αὐτόν διηγησάσθω
τὸν λόγον μου ἐπ' ἀληθείας τί τὸ ἄχυρον πρὸς τὸν σῖτον οὕτως
οἱ λόγοι μου λέγει κύριος. οὐχὶ οἱ λόγοι μου ὥσπερ πῦρ φλέ- 29
γον λέγει κύριος καὶ ὡς πέλυξ κόπτων πέτραν. διὰ τοῦτο ἰδοὺ 30
ἐγὼ πρὸς τοὺς προφήτας λέγει κύριος ὁ θεός τοὺς κλέπτοντας
τοὺς λόγους μου ἕκαστος παρὰ τοῦ πλησίον αὐτοῦ. ἰδοὺ ἐγὼ 31
πρὸς τοὺς προφήτας τοὺς ἐκβάλλοντας προφητείας γλώσσης καὶ
νυστάζοντας νυσταγμὸν ἑαυτῶν. ἰδοὺ ἐγὼ πρὸς τοὺς προφή- 32
τας τοὺς προφητεύοντας ἐνύπνια ψευδῆ καὶ διηγοῦντο αὐτὰ καὶ
ἐπλάνησαν τὸν λαόν μου ἐν τοῖς ψεύδεσιν αὐτῶν καὶ ἐν τοῖς πλά-
νοις αὐτῶν καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτοὺς καὶ οὐκ ἐνετειλάμην

---

**v.23** θεός[nnmsc] ἐγγίζω[vppanms] ἐγώ[rpnms] εἰμί[vipa1s] λέγω[vipa3s] κύριος[nnmsc] καί[cc] οὐχί[b] θεός[nnmsc] πόρρωθεν[b]. **v.24** εἰ[cs] κρύπτω[vifp3s] ἄνθρωπος[nnmsc] ἐν[pd] κρυφαῖος[andmpn] καί[cc] ἐγώ[rpnms] οὐ[b] ὁράω[vifm1s] αὐτός[rpams] μή[x] οὐχί[b] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dafs] γῆ[nafsc] ἐγώ[rpnms] πληρόω[vifa1s] λέγω[vipa3s] κύριος[nnmsc]. **v.25** ἀκούω[viaa1s] ὅς[rranp] λαλέω[vipa3p] ὁ[dnmp] προφήτης[nnmpc] ὅς[rranp] προφητεύω[vipa3p] ἐπί[pd] ὁ[ddns] ὄνομα[ndnsc] ἐγώ[rpgms] ψευδής[ananpn] λέγω[vppanmp] ἐνυπνιάζομαι[viam1s] ἐνύπνιον[nansc]. **v.26** ἕως[bpp] πότε[b] εἰμί[vifm3s] ἐν[pd] καρδία[ndfsc] ὁ[dgmp] προφήτης[ngmpc] ὁ[dgmp] προφητεύω[vppagmp] ψευδής[ananpn] καί[cc] ἐν[pd] ὁ[ddns] προφητεύω[vnpa] αὐτός[rpamp] ὁ[danp] θέλημα[nanpc] καρδία[ngfsc] αὐτός[rpgmp]. **v.27** ὁ[dgmp] λογίζομαι[vppmgmp] ὁ[dgns] ἐπιλανθάνομαι[vnam] ὁ[dgms] νόμος[ngmsc] ἐγώ[rpgms] ἐν[pd] ὁ[ddnp] ἐνύπνιον[ndnpc] αὐτός[rpgmp] ὅς[rranp] διηγέομαι[viim3p] ἕκαστος[ainmsn] ὁ[ddms] πλησίον[b] αὐτός[rpgms] καθάπερ[cs] ἐπιλανθάνομαι[viam3p] ὁ[dnmp] πατήρ[nnmpc] αὐτός[rpgmp] ὁ[dgns] ὄνομα[ngnsc] ἐγώ[rpgms] ἐν[pd] ὁ[ddfs] Βάαλ[ndfsp]. **v.28** ὁ[dnms] προφήτης[nnmsc] ἐν[pd] ὅς[rrdms] ὁ[dnns] ἐνύπνιον[nnnsc] εἰμί[vipa3s] διηγέομαι[vdam3s] ὁ[dans] ἐνύπνιον[nansc] αὐτός[rpgms] καί[cc] ἐν[pd] ὅς[rrdms] ὁ[dnms] λόγος[nnmsc] ἐγώ[rpgms] πρός[pa] αὐτός[rpams] διηγέομαι[vdam3s] ὁ[dams] λόγος[namsc] ἐγώ[rpgms] ἐπί[pg] ἀλήθεια[ngfsc] τίς[rqans] ὁ[dnns] ἄχυρον[nnnsc] πρός[pa] ὁ[dams] σῖτος[namsc] οὕτως[b] ὁ[dnmp] λόγος[nnmpc] ἐγώ[rpgms] λέγω[vipa3s] κύριος[nnmsc]. **v.29** οὐχί[b] ὁ[dnmp] λόγος[nnmpc] ἐγώ[rpgms] ὥσπερ[cs] πῦρ[nnnsc] φλέγω[vppanns] λέγω[vipa3s] κύριος[nnmsc] καί[cc] ὡς[cs] πέλυξ[nnmsc] κόπτω[vppanms] πέτρα[nafsc]. **v.30** διά[pa] οὗτος[rdans] ἰδού[i] ἐγώ[rpnms] πρός[pa] ὁ[damp] προφήτης[nampc] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[damp] κλέπτω[vppaamp] ὁ[damp] λόγος[nampc] ἐγώ[rpgms] ἕκαστος[ainmsn] παρά[pg] ὁ[dgms] πλησίον[b] αὐτός[rpgms]. **v.31** ἰδού[i] ἐγώ[rpnms] πρός[pa] ὁ[damp] προφήτης[nampc] ὁ[damp] ἐκβάλλω[vppaamp] προφητεία[nafpc] γλῶσσα[ngfsc] καί[cc] νυστάζω[vppaamp] νυσταγμός[namsc] ἑαυτοῦ[rxgmp].

33 αὐτοῖς καὶ ὠφέλειαν οὐκ ὠφελήσουσιν τὸν λαὸν τοῦτον. καὶ ἐ-
ὰν ἐρωτήσωσί σε ὁ λαὸς οὗτος ἢ ἱερεὺς ἢ προφήτης λέγων τί τὸ
λῆμμα κυρίου καὶ ἐρεῖς αὐτοῖς ὑμεῖς ἐστε τὸ λῆμμα καὶ ῥάξω
34 ὑμᾶς λέγει κύριος. καὶ ὁ προφήτης καὶ ὁ ἱερεὺς καὶ ὁ λαός οἳ
ἂν εἴπωσιν λῆμμα κυρίου καὶ ἐκδικήσω τὸν ἄνθρωπον ἐκεῖνον
35 καὶ τὸν οἶκον αὐτοῦ. ὅτι οὕτως ἐρεῖτε ἕκαστος πρὸς τὸν πλησίον
αὐτοῦ καὶ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ τί ἀπεκρίθη κύριος
36 καὶ τί ἐλάλησεν κύριος. καὶ λῆμμα κυρίου μὴ ὀνομάζετε ἔτι ὅτι
37 τὸ λῆμμα τῷ ἀνθρώπῳ ἔσται ὁ λόγος αὐτοῦ. καὶ διὰ τί ἐλάλησεν
38 κύριος ὁ θεὸς ἡμῶν. διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεός ἀνθ᾽ ὧν
εἴπατε τὸν λόγον τοῦτον λῆμμα κυρίου καὶ ἀπέστειλα πρὸς ὑμᾶς
39 λέγων οὐκ ἐρεῖτε λῆμμα κυρίου. διὰ τοῦτο ἰδοὺ ἐγὼ λαμβάνω
καὶ ῥάσσω ὑμᾶς καὶ τὴν πόλιν ἣν ἔδωκα ὑμῖν καὶ τοῖς πατρά-
40 σιν ὑμῶν. καὶ δώσω ἐφ᾽ ὑμᾶς ὀνειδισμὸν αἰώνιον καὶ ἀτιμίαν
αἰώνιον ἥτις οὐκ ἐπιλησθήσεται.

**24** ἔδειξέν μοι κύριος δύο καλάθους σύκων κειμένους κατὰ πρό-
σωπον ναοῦ κυρίου μετὰ τὸ ἀποικίσαι Ναβουχοδονοσορ βασιλέα
Βαβυλῶνος τὸν Ιεχονιαν υἱὸν Ιωακιμ βασιλέα Ιουδα καὶ τοὺς ἄρ-
χοντας καὶ τοὺς τεχνίτας καὶ τοὺς δεσμώτας καὶ τοὺς πλουσίους

---

**v.32** ἰδού[i] ἐγώ[rpnms] πρός[pa] ὁ[damp] προφήτης[nampc] ὁ[damp] προφητεύω[vppaamp] ἐνύπνιον[nanpc] ψευδής[ananpn] καί[cc] διηγέομαι[viim3p] αὐτός[rpanp] καί[cc] πλανάω[viaa3p] ὁ[dams] λαός[namsc] ἐγώ[rpgms] ἐν[pd] ὁ[ddnp] ψεῦδος[ndnpc] αὐτός[rpgmp] καί[cc] ἐν[pd] ὁ[ddmp] πλάνος[ndmpc] αὐτός[rpgmp] καί[cc] ἐγώ[rpn-s] οὐ[b] ἀποστέλλω[viaa1s] αὐτός[rpamp] καί[cc] οὐ[b] ἐντέλλομαι[viam1s] αὐτός[rpdmp] καί[cc] ὠφέλεια[nafsc] οὐ[b] ὠφελέω[vifa3p] ὁ[dams] λαός[namsc] οὗτος[rdams]. **v.33** καί[cc] ἐάν[cs] ἐρωτάω[vsaa3p] σύ[rpams] ὁ[dnms] λαός[nnmsc] οὗτος[rdnms] ἤ[cc] ἱερεύς[nnmsc] ἤ[cc] προφήτης[nnmsc] λέγω[vppanms] τίς[aqnnsn] ὁ[dnns] λῆμμα[nnnsc] κύριος[ngmsc] καί[cc] λέγω[vifa2s] αὐτός[rpdmp] σύ[rpnmp] εἰμί[vipa2p] ὁ[dnns] λῆμμα[nnnsc] καί[cc] ῥάσσω[vifa1s] σύ[rpamp] λέγω[vipa3s] κύριος[nnmsc]. **v.34** καί[cc] ὁ[dnms] προφήτης[nnmsc] καί[cc] ὁ[dnms] ἱερεύς[nnmsc] καί[cc] ὁ[dnms] λαός[nnmsc] ὅς[rrnmp] ἄν[x] λέγω[vsaa3p] λῆμμα[nnnsc] κύριος[ngmsc] καί[cc] ἐκδικέω[vifa1s] ὁ[dams] ἄνθρωπος[namsc] ἐκεῖνος[rdams] καί[cc] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms]. **v.35** ὅτι[cs] οὕτως[b] λέγω[vifa2p] ἕκαστος[ainmsn] πρός[pa] ὁ[dams] πλησίον[b] αὐτός[rpgms] καί[cc] ἕκαστος[ainmsn] πρός[pa] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] τίς[rqans] ἀποκρίνομαι[viap3s] κύριος[nnmsc] καί[cc] τίς[rqans] λαλέω[viaa3s] κύριος[nnmsc]. **v.36** καί[cc] λῆμμα[nnnsc] κύριος[ngmsc] μή[x] ὀνομάζω[vdpa2p] ἔτι[b] ὅτι[cs] ὁ[dnns] λῆμμα[nnnsc] ὁ[ddms] ἄνθρωπος[ndmsc] εἰμί[vifm3s] ὁ[dnms] λόγος[nnmsc] αὐτός[rpgms]. **v.37** καί[cc] διά[pa] τίς[rqans] λαλέω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-p]. **v.38** διά[pa] οὗτος[rdans] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἀντί[pg] ὅς[rrgnp] λέγω[viaa2p] ὁ[dams] λόγος[namsc] οὗτος[rdams] λῆμμα[nnnsc] κύριος[ngmsc] καί[cc] ἀποστέλλω[viaa1s] πρός[pa] σύ[rpamp] λέγω[vppanms] οὐ[b] λέγω[vifa2p] λῆμμα[nnnsc] κύριος[ngmsc]. **v.39** διά[pa] οὗτος[rdans] ἰδού[i] ἐγώ[rpnms] λαμβάνω[vipa1s] καί[cc] ῥάσσω[vipa1s] σύ[rpamp] καί[cc] ὁ[dafs] πόλις[nafsc] ὅς[rrafs] δίδωμι[viaa1s] σύ[rpdmp] καί[cc] ὁ[ddmp] πατήρ[ndmpc] σύ[rpgmp]. **v.40** καί[cc] δίδωμι[vifa1s] ἐπί[pa] σύ[rpamp] ὀνειδισμός[namsc] αἰώνιος[anamsn] καί[cc] ἀτιμία[nafsc] αἰώνιος[anafsn] ὅστις[rrnfs] οὐ[b] ἐπιλανθάνομαι[vifp3s].

ἐξ Ιερουσαλημ καὶ ἤγαγεν αὐτοὺς εἰς Βαβυλῶνα. ὁ κάλαθος ὁ 2
εἷς σύκων χρηστῶν σφόδρα ὡς τὰ σῦκα τὰ πρόιμα καὶ ὁ κάλαθος
ὁ ἕτερος σύκων πονηρῶν σφόδρα ἃ οὐ βρωθήσεται ἀπὸ πονη-
ρίας αὐτῶν. καὶ εἶπεν κύριος πρός με τί σὺ ὁρᾷς Ιερεμια καὶ 3
εἶπα σῦκα τὰ χρηστὰ χρηστὰ λίαν καὶ τὰ πονηρὰ πονηρὰ λίαν ἃ
οὐ βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν. καὶ ἐγένετο λόγος κυρίου 4
πρός με λέγων. τάδε λέγει κύριος ὁ θεὸς Ισραηλ ὡς τὰ σῦκα τὰ 5
χρηστὰ ταῦτα οὕτως ἐπιγνώσομαι τοὺς ἀποικισθέντας Ιουδα οὓς
ἐξαπέσταλκα ἐκ τοῦ τόπου τούτου εἰς γῆν Χαλδαίων εἰς ἀγαθά.
καὶ στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ᾽ αὐτοὺς εἰς ἀγαθὰ καὶ ἀποκα- 6
ταστήσω αὐτοὺς εἰς τὴν γῆν ταύτην εἰς ἀγαθὰ καὶ ἀνοικοδομήσω
αὐτοὺς καὶ οὐ μὴ καθελῶ καὶ καταφυτεύσω αὐτοὺς καὶ οὐ μὴ
ἐκτίλω. καὶ δώσω αὐτοῖς καρδίαν τοῦ εἰδέναι αὐτοὺς ἐμὲ ὅτι 7
ἐγώ εἰμι κύριος καὶ ἔσονταί μοι εἰς λαόν καὶ ἐγὼ ἔσομαι αὐτοῖς
εἰς θεόν ὅτι ἐπιστραφήσονται ἐπ᾽ ἐμὲ ἐξ ὅλης τῆς καρδίας αὐ-
τῶν. καὶ ὡς τὰ σῦκα τὰ πονηρά ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας 8
αὐτῶν τάδε λέγει κύριος οὕτως παραδώσω τὸν Σεδεκιαν βασιλέα
Ιουδα καὶ τοὺς μεγιστᾶνας αὐτοῦ καὶ τὸ κατάλοιπον Ιερουσαλημ
τοὺς ὑπολελειμμένους ἐν τῇ γῇ ταύτῃ καὶ τοὺς κατοικοῦντας ἐν

---

**24. v.1** δείκνυμι[viaa3s] ἐγώ[rpdms] κύριος[nnmsc] δύο[ac—n] κάλαθος[nampc] σῦκον[ngnpc] κεῖμαι[vpppamp] κατά[pa] πρόσωπον[nansc] ναός[ngmsc] κύριος[ngmsc] μετά[pa] ὁ[dans] ἀποικίζω[vnaa] Ναβουχοδονοσορ[namsp] βασιλεύς[namsc] Βαβυλών[ngfsp] ὁ[dams] Ιεχονιας[namsp] υἱός[namsc] Ἰωακίμ[ngmsp] βασιλεύς[namsc] Ἰούδας[ngmsp] καί[cc] ὁ[damp] ἄρχων[nampc] καί[cc] ὁ[damp] τεχνίτης[nampc] καί[cc] ὁ[damp] δεσμώτης[nampc] καί[cc] ὁ[damp] πλούσιος[anampn] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp] καί[cc] ἄγω[viaa3s] αὐτός[rpamp] εἰς[pa] Βαβυλών[nafsp]. **v.2** ὁ[dnms] κάλαθος[nnmsc] ὁ[dnms] εἷς[acnmsn] σῦκον[ngnpc] χρηστός[angnpn] σφόδρα[b] ὡς[cs] ὁ[dnnp] σῦκον[nnnpc] ὁ[dnnp] πρόϊμος[annnpn] καί[cc] ὁ[dnms] κάλαθος[nnmsc] ὁ[dnms] ἕτερος[ainmsn] σῦκον[ngnpc] πονηρός[angnpn] σφόδρα[b] ὅς[rrnnp] οὐ[b] βιβρώσκω[vifp3s] ἀπό[pg] πονηρία[ngfsc] αὐτός[rpgnp]. **v.3** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] ἐγώ[rpams] τίς[rqans] σύ[rpnms] ὁράω[vipa2s] Ἰερεμίας[nvmsp] καί[cc] λέγω[viaa1s] σῦκον[nanpc] ὁ[danp] χρηστός[ananpn] χρηστός[annnpn] λίαν[b] καί[cc] ὁ[danp] πονηρός[ananpn] πονηρός[ananpn] λίαν[b] ὅς[rrnnp] οὐ[b] βιβρώσκω[vifp3s] ἀπό[pg] πονηρία[ngfsc] αὐτός[rpgnp]. **v.4** καί[cc] γίνομαι[viam3s] λόγος[nnmsc] κύριος[ngmsc] πρός[pa] ἐγώ[rpams] λέγω[vppanms]. **v.5** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] Ἰσραήλ[ngmsp] ὡς[cs] ὁ[danp] σῦκον[nanpc] ὁ[danp] χρηστός[ananpn] οὗτος[rdanp] οὕτως[b] ἐπιγινώσκω[vifm1s] ὁ[damp] ἀποικίζω[vpapamp] Ἰούδας[ngmsp] ὅς[rramp] ἐξαποστέλλω[vixa1s] ἐκ[pg] ὁ[dgms] τόπος[ngmsc] οὗτος[rdgms] εἰς[pa] γῆ[nafsc] Χαλδαῖος[ngmpp] εἰς[pa] ἀγαθός[ananpn]. **v.6** καί[cc] στηρίζω[vifa1s] ὁ[damp] ὀφθαλμός[nampc] ἐγώ[rpgms] ἐπί[pa] αὐτός[rpamp] εἰς[pa] ἀγαθός[ananpn] καί[cc] ἀποκαθιστάνω[vifa1s] αὐτός[rpamp] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] οὗτος[rdafs] εἰς[pa] ἀγαθός[ananpn] καί[cc] ἀνοικοδομέω[vifa1s] αὐτός[rpamp] καί[cc] οὐ[b] μή[x] καθαιρέω[vsaa1s] καί[cc] καταφυτεύω[vifa1s] αὐτός[rpamp] καί[cc] οὐ[b] μή[x] ἐκτίλλω[visaa1s]. **v.7** καί[cc] δίδωμι[vifa1s] αὐτός[rpdmp] καρδία[nafsc] ὁ[dgns] οἶδα[vnxa] αὐτός[rpamp] ἐγώ[rpams] ὅτι[cs] ἐγώ[rpnms] εἰμί[vipa1s] κύριος[nnmsc] καί[cc] εἰμί[vifm3p] ἐγώ[rpdms] εἰς[pa] λαός[namsc] καί[cc] ἐγώ[rpnms] εἰμί[vifm1s] αὐτός[rpdmp] εἰς[pa] θεός[namsc] ὅτι[cs] ἐπιστρέφω[vifp3p] ἐπί[pa] ἐγώ[rpams] ἐκ[pg] ὅλος[angfsn] ὁ[dgfs] καρδία[ngfsc] αὐτός[rpgmp].

9 Αἰγύπτῳ. καὶ δώσω αὐτοὺς εἰς διασκορπισμὸν εἰς πάσας τὰς
βασιλείας τῆς γῆς καὶ ἔσονται εἰς ὀνειδισμὸν καὶ εἰς παραβολὴν
καὶ εἰς μῖσος καὶ εἰς κατάραν ἐν παντὶ τόπῳ οὗ ἐξῶσα αὐτοὺς
10 ἐκεῖ. καὶ ἀποστελῶ εἰς αὐτοὺς τὸν λιμὸν καὶ τὸν θάνατον καὶ
τὴν μάχαιραν ἕως ἂν ἐκλίπωσιν ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς.
**25** ὁ λόγος ὁ γενόμενος πρὸς Ιερεμιαν ἐπὶ πάντα τὸν λαὸν Ιουδα
2 ἐν τῷ ἔτει τῷ τετάρτῳ τοῦ Ιωακιμ υἱοῦ Ιωσια βασιλέως Ιουδα. ὃν
ἐλάλησεν πρὸς πάντα τὸν λαὸν Ιουδα καὶ πρὸς τοὺς κατοικοῦν-
3 τας Ιερουσαλημ λέγων. ἐν τρισκαιδεκάτῳ ἔτει Ιωσια υἱοῦ Αμως
βασιλέως Ιουδα καὶ ἕως τῆς ἡμέρας ταύτης εἴκοσι καὶ τρία ἔτη
4 καὶ ἐλάλησα πρὸς ὑμᾶς ὀρθρίζων καὶ λέγων. καὶ ἀπέστελλον
πρὸς ὑμᾶς τοὺς δούλους μου τοὺς προφήτας ὄρθρου ἀποστέλ-
λων καὶ οὐκ εἰσηκούσατε καὶ οὐ προσέσχετε τοῖς ὠσὶν ὑμῶν.
5 λέγων ἀποστράφητε ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς
καὶ ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων ὑμῶν καὶ κατοικήσετε ἐπὶ
τῆς γῆς ἧς ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν ἀπ᾽ αἰῶνος καὶ
6 ἕως αἰῶνος. μὴ πορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δουλεύ-
ειν αὐτοῖς καὶ τοῦ προσκυνεῖν αὐτοῖς ὅπως μὴ παροργίζητέ με
7 ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν τοῦ κακῶσαι ὑμᾶς. καὶ οὐκ

---

**v.8** καί[cc] ὡς[cs] ὁ[danp] σῦκον[nanpc] ὁ[danp] πονηρός[ananpn] ὅς[rrnnp] οὐ[b] βιβρώσκω[vifp3s] ἀπό[pg] πονηρία[ngfsc] αὐτός[rpgnp] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] οὕτως[b] παραδίδωμι[vifa1s] ὁ[dams] Σεδεκιας[namsp] βασιλεύς[namsc] Ἰούδας[ngmsp] καί[cc] ὁ[damp] μεγιστάν[nampc] αὐτός[rpgms] καί[cc] ὁ[dans] κατάλοιπος[anansn] Ἰερουσαλήμ[ngfsp] ὁ[damp] ὑπολείπω[vpxpamp] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] οὗτος[rddfs] καί[cc] ὁ[damp] κατοικέω[vppaamp] ἐν[pd] Αἴγυπτος[ndfsp]. **v.9** καί[cc] δίδωμι[vifa1s] αὐτός[rpamp] εἰς[pa] διασκορπισμός[namsc] εἰς[pa] πᾶς[aiafpn] ὁ[dafp] βασιλεία[nafpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] εἰμί[vifm3p] εἰς[pa] ὀνειδισμός[namsc] καί[cc] εἰς[pa] παραβολή[nafsc] καί[cc] εἰς[pa] μῖσος[nansc] καί[cc] εἰς[pa] κατάρα[nafsc] ἐν[pd] πᾶς[aidmsn] τόπος[ndmsc] ὅς[b] ἐξωθέω[viaa1s] αὐτός[rpamp] ἐκεῖ[b]. **v.10** καί[cc] ἀποστέλλω[vifa1s] εἰς[pa] αὐτός[rpamp] ὁ[dams] λιμός[namsc] καί[cc] ὁ[dams] θάνατος[namsc] καί[cc] ὁ[dafs] μάχαιρα[nafsc] ἕως[cs] ἄν[x] ἐκλείπω[vsaa3p] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅς[rrgfs] δίδωμι[viaa1s] αὐτός[rpdmp]. **25. v.1** ὁ[dnms] λόγος[nnmsc] ὁ[dnms] γίνομαι[vpamnms] πρός[pa] Ἰερεμίας[namsp] ἐπί[pa] πᾶς[aiamsn] ὁ[dams] λαός[namsc] Ἰούδας[ngmsp] ἐν[pd] ὁ[ddns] ἔτος[ndnsc] ὁ[ddns] τέταρτος[aodnsn] ὁ[dgms] Ἰωακίμ[ngmsp] υἱός[ngmsc] Ιωσια[ngmsp] βασιλεύς[ngmsc] Ἰούδας[ngmsp]. **v.2** ὅς[rrams] λαλέω[viaa3s] πρός[pa] πᾶς[aiamsn] ὁ[dams] λαός[namsc] Ἰούδας[ngmsp] καί[cc] πρός[pa] ὁ[damp] κατοικέω[vppaamp] Ἰερουσαλήμ[nafsp] λέγω[vppanms]. **v.3** ἐν[pd] τρισκαιδέκατος[aodnsn] ἔτος[ndnsc] Ιωσια[ngmsp] υἱός[ngmsc] Ἀμώς[ngmsp] βασιλεύς[ngmsc] Ἰούδας[ngmsp] καί[cc] ἕως[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdgfs] εἴκοσι[ac—n] καί[cc] τρεῖς[acanpn] ἔτος[nanpc] καί[cc] λαλέω[viaa1s] πρός[pa] σύ[rpa-p] ὀρθρίζω[vppanms] καί[cc] λέγω[vppanms]. **v.4** καί[cc] ἀποστέλλω[viia1s] πρός[pa] σύ[rpa-p] ὁ[damp] δοῦλος[nampc] ἐγώ[rpgms] ὁ[damp] προφήτης[nampc] ὄρθρος[ngmsc] ἀποστέλλω[vppanms] καί[cc] οὐ[b] εἰσακούω[viaa2p] καί[cc] οὐ[b] προσέχω[viaa2p] ὁ[ddnp] οὖς[ndnpc] σύ[rpg-p]. **v.5** λέγω[vppanms] ἀποστρέφω[vdap2p] ἕκαστος[ainmsn] ἀπό[pg] ὁ[dgfs] ὁδός[ngfsc] αὐτός[rpgms] ὁ[dgfs] πονηρός[angfsn] καί[cc] ἀπό[pg] ὁ[dgnp] πονηρός[angnpn] ἐπιτήδευμα[ngnpc] σύ[rpg-p] καί[cc] κατοικέω[vifa2p] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅς[rrgfs] δίδωμι[viaa1s] σύ[rpd-p] καί[cc] ὁ[ddmp] πατήρ[ndmpc] σύ[rpg-p] ἀπό[pg] αἰών[ngmsc] καί[cc] ἕως[pg] αἰών[ngmsc]. **v.6** μή[x] πορεύομαι[vdpm2p] ὀπίσω[pg] θεός[ngmpc] ἀλλότριος[angmpn] ὁ[dgns] δουλεύω[vnpa] αὐτός[rpdmp] καί[cc] ὁ[dgns] προσκυνέω[vnpa] αὐτός[rpdmp] ὅπως[cs] μή[x] παροργίζω[vspa2p] ἐγώ[rpams] ἐν[pd] ὁ[ddnp] ἔργον[ndnpc] ὁ[dgfp] χείρ[ngfpc] σύ[rpg-p] ὁ[dgns] κακόω[vnaa] σύ[rpa-p].

ἠκούσατέ μου. διὰ τοῦτο τάδε λέγει κύριος ἐπειδὴ οὐκ ἐπιστεύ- 8
σατε τοῖς λόγοις μου. ἰδοὺ ἐγὼ ἀποστέλλω καὶ λήμψομαι τὴν 9
πατριὰν ἀπὸ βορρᾶ καὶ ἄξω αὐτοὺς ἐπὶ τὴν γῆν ταύτην καὶ ἐπὶ
τοὺς κατοικοῦντας αὐτὴν καὶ ἐπὶ πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐ-
τῆς καὶ ἐξερημώσω αὐτοὺς καὶ δώσω αὐτοὺς εἰς ἀφανισμὸν καὶ
εἰς συριγμὸν καὶ εἰς ὀνειδισμὸν αἰώνιον. καὶ ἀπολῶ ἀπ᾽ αὐτῶν 10
φωνὴν χαρᾶς καὶ φωνὴν εὐφροσύνης φωνὴν νυμφίου καὶ φω-
νὴν νύμφης ὀσμὴν μύρου καὶ φῶς λύχνου. καὶ ἔσται πᾶσα ἡ 11
γῆ εἰς ἀφανισμόν καὶ δουλεύσουσιν ἐν τοῖς ἔθνεσιν ἑβδομήκοντα
ἔτη. καὶ ἐν τῷ πληρωθῆναι τὰ ἑβδομήκοντα ἔτη ἐκδικήσω τὸ 12
ἔθνος ἐκεῖνο φησὶν κύριος καὶ θήσομαι αὐτοὺς εἰς ἀφανισμὸν
αἰώνιον. καὶ ἐπάξω ἐπὶ τὴν γῆν ἐκείνην πάντας τοὺς λόγους 13
μου οὓς ἐλάλησα κατ᾽ αὐτῆς πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ
τούτῳ. ἃ ἐπροφήτευσεν Ιερεμιας ἐπὶ τὰ ἔθνη τὰ Αιλαμ. τάδε 14, 15
λέγει κύριος συντριβήτω τὸ τόξον Αιλαμ ἀρχὴ δυναστείας αὐτῶν.
καὶ ἐπάξω ἐπὶ Αιλαμ τέσσαρας ἀνέμους ἐκ τῶν τεσσάρων ἄκρων 16
τοῦ οὐρανοῦ καὶ διασπερῶ αὐτοὺς ἐν πᾶσιν τοῖς ἀνέμοις τούτοις
καὶ οὐκ ἔσται ἔθνος ὃ οὐχ ἥξει ἐκεῖ οἱ ἐξωσμένοι Αιλαμ. καὶ 17
πτοήσω αὐτοὺς ἐναντίον τῶν ἐχθρῶν αὐτῶν τῶν ζητούντων τὴν
ψυχὴν αὐτῶν καὶ ἐπάξω ἐπ᾽ αὐτοὺς κακὰ κατὰ τὴν ὀργὴν τοῦ
θυμοῦ μου καὶ ἐπαποστελῶ ὀπίσω αὐτῶν τὴν μάχαιράν μου ἕως

---

**v.7** καί[cc] οὐ[b] ἀκούω[viaa2p] ἐγώ[rpgms]. **v.8** διά[pa] οὗτος[rdans] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ἐπειδή[cs] οὐ[b] πιστεύω[viaa2p] ὁ[ddmp] λόγος[ndmpc] ἐγώ[rpgms]. **v.9** ἰδού[i] ἐγώ[rpnms] ἀποστέλλω[vipa1s] καί[cc] λαμβάνω[vifm1s] ὁ[dafs] πατριά[nafsc] ἀπό[pg] βορέας[ngmsc] καί[cc] ἄγω[vifa1s] αὐτός[rpamp] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] οὗτος[rdafs] καί[cc] ἐπί[pa] ὁ[damp] κατοικέω[vppaamp] αὐτός[rpafs] καί[cc] ἐπί[pa] πᾶς[aianpn] ὁ[danp] ἔθνος[nanpc] ὁ[danp] κύκλος[pg] αὐτός[rpgfs] καί[cc] ἐξερημόω[vifa1s] αὐτός[rpamp] καί[cc] δίδωμι[vifa1s] αὐτός[rpamp] εἰς[pa] ἀφανισμός[namsc] καί[cc] εἰς[pa] συριγμός[namsc] καί[cc] εἰς[pa] ὀνειδισμός[namsc] αἰώνιος[anamsn]. **v.10** καί[cc] ἀπόλλυμι[vifa1s] ἀπό[pg] αὐτός[rpgmp] φωνή[nafsc] χαρά[ngfsc] καί[cc] φωνή[nafsc] εὐφροσύνη[ngfsc] φωνή[nafsc] νυμφίος[ngmsc] καί[cc] φωνή[nafsc] νύμφη[ngfsc] ὀσμή[nafsc] μύρον[ngnsc] καί[cc] φῶς[nansc] λύχνος[ngmsc]. **v.11** καί[cc] εἰμί[vifm3s] πᾶς[ainfsn] ὁ[dnfs] γῆ[nnfsc] εἰς[pa] ἀφανισμός[namsc] καί[cc] δουλεύω[vifa3p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ἑβδομήκοντα[ac—n] ἔτος[nanpc]. **v.12** καί[cc] ἐν[pd] ὁ[ddns] πληρόω[vnap] ὁ[danp] ἑβδομήκοντα[ac—n] ἔτος[nanpc] ἐκδικέω[vifa1s] ὁ[dans] ἔθνος[nansc] ἐκεῖνος[rdans] φημί[vipa3s] κύριος[nnmsc] καί[cc] τίθημι[vifm1s] αὐτός[rpamp] εἰς[pa] ἀφανισμός[namsc] αἰώνιος[anamsn]. **v.13** καί[cc] ἐπάγω[vifa1s] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] ἐκεῖνος[rdafs] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] ἐγώ[rpgms] ὅς[rramp] λαλέω[viaa1s] κατά[pg] αὐτός[rpgfs] πᾶς[aianpn] ὁ[danp] γράφω[vpxpanp] ἐν[pd] ὁ[ddns] βιβλίον[ndnsc] οὗτος[rddns]. **v.14** ὅς[rranp] προφητεύω[viaa3s] Ἰερεμίας[nnmsp] ἐπί[pa] ὁ[danp] ἔθνος[nanpc] ὁ[danp] Αιλαμ[nanpp]. **v.15** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] συντρίβω[vdap3s] ὁ[dnns] τόξον[nnnsc] Αιλαμ[ng-sp] ἀρχή[nnfsc] δυναστεία[ngfsc] αὐτός[rpgmp]. **v.16** καί[cc] ἐπάγω[vifa1s] ἐπί[pa] Αιλαμ[na-sp] τέσσαρες[acampn] ἄνεμος[nampc] ἐκ[pg] ὁ[dgnp] τέσσαρες[acgnpn] ἄκρος[angnpn] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] διασπείρω[vifa1s] αὐτός[rpamp] ἐν[pd] πᾶς[aidmpn] ὁ[ddmp] ἄνεμος[ndmpc] οὗτος[rddmp] καί[cc] οὐ[b] εἰμί[vifm3s] ἔθνος[nnnsc] ὅς[rrnns] οὐ[b] ἥκω[vifa3s] ἐκεῖ[b] ὁ[dnmp] ἐξωθέω[vpxpnmp] Αιλαμ[ng-sp].

18 τοῦ ἐξαναλῶσαι αὐτούς. καὶ θήσω τὸν θρόνον μου ἐν Αιλαμ
19 καὶ ἐξαποστελῶ ἐκεῖθεν βασιλέα καὶ μεγιστᾶνας. καὶ ἔσται ἐπ᾽
ἐσχάτου τῶν ἡμερῶν ἀποστρέψω τὴν αἰχμαλωσίαν Αιλαμ λέγει
20 κύριος. ἐν ἀρχῇ βασιλεύοντος Σεδεκιου τοῦ βασιλέως ἐγένετο ὁ
2 λόγος οὗτος περὶ Αιλαμ. τῇ Αἰγύπτῳ ἐπὶ δύναμιν Φαραω Νεχαω
βασιλέως Αἰγύπτου ὃς ἦν ἐπὶ τῷ ποταμῷ Εὐφράτῃ ἐν Χαρχαμις
ὃν ἐπάταξε Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος ἐν τῷ ἔτει τῷ
3 τετάρτῳ Ιωακιμ βασιλέως Ιουδα. ἀναλάβετε ὅπλα καὶ ἀσπίδας
4 καὶ προσαγάγετε εἰς πόλεμον. ἐπισάξατε τοὺς ἵππους ἐπίβητε οἱ
ἱππεῖς καὶ κατάστητε ἐν ταῖς περικεφαλαίαις ὑμῶν προβάλετε τὰ
5 δόρατα καὶ ἐνδύσασθε τοὺς θώρακας ὑμῶν. τί ὅτι αὐτοὶ πτοοῦν-
ται καὶ ἀποχωροῦσιν ὀπίσω διότι οἱ ἰσχυροὶ αὐτῶν κοπήσονται
φυγῇ ἔφυγον καὶ οὐκ ἀνέστρεψαν περιεχόμενοι κυκλόθεν λέγει
6 κύριος. μὴ φευγέτω ὁ κοῦφος καὶ μὴ ἀνασῳζέσθω ὁ ἰσχυρός
7 ἐπὶ βορρᾶν τὰ παρὰ τὸν Εὐφράτην ἠσθένησαν πεπτώκασιν. τίς
οὗτος ὡς ποταμὸς ἀναβήσεται καὶ ὡς ποταμοὶ κυμαίνουσιν ὕδωρ.
8 ὕδατα Αἰγύπτου ὡσεὶ ποταμὸς ἀναβήσεται καὶ εἶπεν ἀναβήσομαι
9 καὶ κατακαλύψω γῆν καὶ ἀπολῶ κατοικοῦντας ἐν αὐτῇ. ἐπίβητε
ἐπὶ τοὺς ἵππους παρασκευάσατε τὰ ἅρματα ἐξέλθατε οἱ μαχηταὶ
Αἰθιόπων καὶ Λίβυες καθωπλισμένοι ὅπλοις καὶ Λυδοί ἀνάβητε

---

**v.17** καί[cc] πτοέω[vifa1s] αὐτός[rpamp] ἐναντίον[pg] ὁ[dgmp] ἐχθρός[angmpn] αὐτός[rpgmp] ὁ[dgmp] ζητέω[vppagmp] ὁ[dafs] ψυχή[nafsc] αὐτός[rpgmp] καί[cc] ἐπάγω[vifa1s] ἐπί[pa] αὐτός[rpamp] κακός[ananpn] κατά[pa] ὁ[dafs] ὀργή[nafsc] ὁ[dgms] θυμός[ngmsc] ἐγώ[rpgms] καί[cc] ἐπαποστέλλω[vifa1s] ὀπίσω[pg] αὐτός[rpgmp] ὁ[dafs] μάχαιρα[nafsc] ἐγώ[rpgms] ἕως[cs] ὁ[dgns] ἐξαναλίσκω[vnaa] αὐτός[rpamp]. **v.18** καί[cc] τίθημι[vifa1s] ὁ[dams] θρόνος[namsc] ἐγώ[rpgms] ἐν[pd] Αιλαμ[nd-sp] καί[cc] ἐξαποστέλλω[vifa1s] ἐκεῖθεν[b] βασιλεύς[namsc] καί[cc] μεγιστάν[nampc]. **v.19** καί[cc] εἰμί[vifm3s] ἐπί[pg] ἔσχατος[angnsn] ὁ[dgfp] ἡμέρα[ngfpc] ἀποστρέφω[vifa1s] ὁ[dafs] αἰχμαλωσία[nafsc] Αιλαμ[ng-sp] λέγω[vipa3s] κύριος[nnmsc]. **v.20** ἐν[pd] ἀρχή[ndfsc] βασιλεύω[vppagms] Σεδεκιας[ngmsp] ὁ[dgms] βασιλεύς[ngmsc] γίνομαι[viam3s] ὁ[dnms] λόγος[nnmsc] οὗτος[rdnms] περί[pg] Αιλαμ[ng-sp]. **v.2** ὁ[ddfs] Αἴγυπτος[ndfsp] ἐπί[pa] δύναμις[nafsc] Φαραώ[ngmsp] Νεχαω[ngmsp] βασιλεύς[ngmsc] Αἴγυπτος[ngfsp] ὅς[rrnms] εἰμί[viia3s] ἐπί[pd] ὁ[ddms] ποταμός[ndmsc] Εὐφράτης[ndmsp] ἐν[pd] Χαρχαμις[nd-sp] ὅς[rrams] πατάσσω[viaa3s] Ναβουχοδονοσορ[nnmsp] βασιλεύς[nnmsc] Βαβυλών[ngfsp] ἐν[pd] ὁ[ddns] ἔτος[ndnsc] ὁ[ddns] τέταρτος[aodnsn] Ἰωακίμ[ngmsp] βασιλεύς[ngmsc] Ἰούδας[ngmsp]. **v.3** ἀναλαμβάνω[vdaa2p] ὅπλον[nanpc] καί[cc] ἀσπίς[nafpc] καί[cc] προσάγω[vdaa2p] εἰς[pa] πόλεμος[namsc]. **v.4** ἐπισάσσω[vdaa2p] ὁ[damp] ἵππος[nampc] ἐπιβαίνω[vdap2p] ὁ[dnmp] ἱππεύς[nnmpc] καί[cc] καθίστημι[vdaa2p] ἐν[pd] ὁ[ddfp] περικεφαλαία[ndfpc] σύ[rpgmp] προβάλλω[vdaa2p] ὁ[danp] δόρυ[nanpc] καί[cc] ἐνδύω[vdam2p] ὁ[damp] θώραξ[nampc] σύ[rpgmp]. **v.5** τίς[rqnns] ὅτι[cs] αὐτός[rpnmp] πτοέω[vipp3p] καί[cc] ἀποχωρέω[vipa3p] ὀπίσω[b] διότι[cs] ὁ[dnmp] ἰσχυρός[annmpn] αὐτός[rpgmp] κόπτω[vifp3p] φυγή[ndfsc] φεύγω[viaa3p] καί[cc] οὐ[b] ἀναστρέφω[viaa3p] περιέχω[vpppnmp] κυκλόθεν[b] λέγω[vipa3s] κύριος[nnmsc]. **v.6** μή[x] φεύγω[vdpa3s] ὁ[dnms] κοῦφος[annmsn] καί[cc] μή[x] ἀνασῴζω[vdpm3s] ὁ[dnms] ἰσχυρός[annmsn] ἐπί[pa] βορέας[namsc] ὁ[danp] παρά[pa] ὁ[dams] Εὐφράτης[namsp] ἀσθενέω[viaa3p] πίπτω[vixa3p]. **v.7** τίς[rqnms] οὗτος[rdnms] ὡς[cs] ποταμός[nnmsc] ἀναβαίνω[vifm3s] καί[cc] ὡς[cs] ποταμός[nnmpc] κυμαίνω[vipa3p] ὕδωρ[nansc]. **v.8** ὕδωρ[nnnpc] Αἴγυπτος[ngfsp] ὡσεί[x] ποταμός[nnmsc] ἀναβαίνω[vifm3s] καί[cc] λέγω[viaa3s] ἀναβαίνω[vifm1s] καί[cc] κατακαλύπτω[vifa1s] γῆ[nafsc] καί[cc] ἀπόλλυμι[vifa1s] κατοικέω[vppaamp] ἐν[pd] αὐτός[rpdfs].

ἐντείνατε τόξον. καὶ ἡ ἡμέρα ἐκείνη κυρίῳ τῷ θεῷ ἡμῶν ἡμέρα 10
ἐκδικήσεως τοῦ ἐκδικῆσαι τοὺς ἐχθροὺς αὐτοῦ καὶ καταφάγε-
ται ἡ μάχαιρα κυρίου καὶ ἐμπλησθήσεται καὶ μεθυσθήσεται ἀπὸ
τοῦ αἵματος αὐτῶν ὅτι θυσία τῷ κυρίῳ σαβαωθ ἀπὸ γῆς βορρᾶ ἐπὶ
ποταμῷ Εὐφράτῃ. ἀνάβηθι Γαλααδ καὶ λαβὲ ῥητίνην τῇ παρθέ- 11
νῳ θυγατρὶ Αἰγύπτου εἰς κενὸν ἐπλήθυνας ἰάματά σου ὠφέλεια
οὐκ ἔστιν σοί. ἤκουσαν ἔθνη φωνήν σου καὶ τῆς κραυγῆς σου 12
ἐπλήσθη ἡ γῆ ὅτι μαχητὴς πρὸς μαχητὴν ἠσθένησεν ἐπὶ τὸ αὐ-
τὸ ἔπεσαν ἀμφότεροι. ἃ ἐλάλησεν κύριος ἐν χειρὶ Ιερεμιου τοῦ 13
ἐλθεῖν Ναβουχοδονοσορ τὸν βασιλέα Βαβυλῶνος τοῦ κόψαι τὴν
γῆν Αἰγύπτου. ἀναγγείλατε εἰς Μάγδωλον καὶ παραγγείλατε εἰς 14
Μέμφιν εἴπατε ἐπίστηθι καὶ ἑτοίμασον ὅτι κατέφαγεν μάχαιρα
τὴν σμίλακά σου. διὰ τί ἔφυγεν ὁ Ἆπις ὁ μόσχος ὁ ἐκλεκτός 15
σου οὐκ ἔμεινεν ὅτι κύριος παρέλυσεν αὐτόν. καὶ τὸ πλῆθός 16
σου ἠσθένησεν καὶ ἔπεσεν καὶ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ
ἐλάλει ἀναστῶμεν καὶ ἀναστρέψωμεν πρὸς τὸν λαὸν ἡμῶν εἰς τὴν
πατρίδα ἡμῶν ἀπὸ προσώπου μαχαίρας Ἑλληνικῆς. καλέσατε 17
τὸ ὄνομα Φαραω Νεχαω βασιλέως Αἰγύπτου Σαων-εσβι-εμωηδ.
ζῶ ἐγώ λέγει κύριος ὁ θεός ὅτι ὡς τὸ Ἰταβύριον ἐν τοῖς ὄρεσιν καὶ 18
ὡς ὁ Κάρμηλος ἐν τῇ θαλάσσῃ ἥξει. σκεύη ἀποικισμοῦ ποίησον 19

---

**v.9** ἐπιβαίνω[vdap2p] ἐπί[pa] ὁ[damp] ἵππος[nampc] παρασκευάζω[vdaa2p] ὁ[danp] ἅρμα[nanpc] ἐξέρχομαι[vdaa2p] ὁ[dnmp] μαχητής[nnmpc] Αἰθίοψ[ngmpp] καί[cc] Λίβευς[ngmpp] καθοπλίζω[vpxpnmp] ὅπλον[ndnpc] καί[cc] Λυδός[nnmpp] ἀναβαίνω[vdaa2p] ἐντείνω[vdaa2p] τόξον[nansc]. **v.10** καί[cc] ὁ[dnfs] ἡμέρα[nnfsc] ἐκεῖνος[rdnfs] κύριος[ndmsc] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpgmp] ἡμέρα[nnfsc] ἐκδίκησις[ngfsc] ὁ[dgns] ἐκδικέω[vnaa] ὁ[damp] ἐχθρός[anampn] αὐτός[rpgms] καί[cc] κατεσθίω[vifm3s] ὁ[dnfs] μάχαιρα[nnfsc] κύριος[ngmsc] καί[cc] ἐμπίπλημι[vifp3s] καί[cc] μεθύσκω[vifp3s] ἀπό[pg] ὁ[dgns] αἷμα[ngnsc] αὐτός[rpgmp] ὅτι[cs] θυσία[nnfsc] ὁ[ddms] κύριος[ndmsc] σαβαώθ[t] ἀπό[pg] γῆ[ngfsc] βορέας[ngmsc] ἐπί[pd] ποταμός[ndmsc] Εὐφράτης[ndmsp]. **v.11** ἀναβαίνω[vdaa2s] Γαλαάδ[nvmsp] καί[cc] λαμβάνω[vdaa2s] ῥητίνη[nafsc] ὁ[ddfs] παρθένος[ndfsc] θυγάτηρ[ndfsc] Αἴγυπτος[ngfsp] εἰς[pa] κενός[anansn] πληθύνω[viaa2s] ἴαμα[nanpc] σύ[rpgms] ὠφέλεια[nnfsc] οὐ[b] εἰμί[vipa3s] σύ[rpdms]. **v.12** ἀκούω[viaa3p] ἔθνος[nnnpc] φωνή[nafsc] σύ[rpgms] καί[cc] ὁ[dgfs] κραυγή[ngfsc] σύ[rpgms] πίμπλημι[viap3s] ὁ[dnfs] γῆ[nnfsc] ὅτι[cs] μαχητής[nnmsc] πρός[pa] μαχητής[namsc] ἀσθενέω[viaa3s] ἐπί[pa] ὁ[dans] αὐτός[rpans] πίπτω[viaa3p] ἀμφότεροι[adnmpn]. **v.13** ὅς[rranp] λαλέω[viaa3s] κύριος[nnmsc] ἐν[pd] χείρ[ndfsc] Ἰερεμίας[ngmsp] ὁ[dgns] ἔρχομαι[vnaa] Ναβουχοδονοσορ[namsp] ὁ[dams] βασιλεύς[namsc] Βαβυλών[ngfsp] ὁ[dgns] κόπτω[vnaa] ὁ[dafs] γῆ[nafsc] Αἴγυπτος[ngfsp]. **v.14** ἀναγγέλλω[vdaa2p] εἰς[pa] Μάγδωλος[namsp] καί[cc] παραγγέλλω[vdaa2p] εἰς[pa] Μέμφις[nafsp] λέγω[vdaa2p] ἐφίστημι[vdap2s] καί[cc] ἑτοιμάζω[vdaa2s] ὅτι[cs] κατεσθίω[viaa3s] μάχαιρα[nnfsc] ὁ[dafs] σμῖλαξ[nafsc] σύ[rpg-s]. **v.15** διά[pa] τίς[rqans] φεύγω[viaa3s] ὁ[dnms] Ἆπις[nnmsp] ὁ[dnms] μόσχος[nnmsc] ὁ[dnms] ἐκλεκτός[annmsn] σύ[rpg-s] οὐ[b] μένω[viaa3s] ὅτι[cs] κύριος[nnmsc] παραλύω[viaa3s] αὐτός[rpams]. **v.16** καί[cc] ὁ[dnns] πλῆθος[nnnsc] σύ[rpg-s] ἀσθενέω[viaa3s] καί[cc] πίπτω[viaa3s] καί[cc] ἕκαστος[ainmsn] πρός[pa] ὁ[dams] πλησίον[b] αὐτός[rpgms] λαλέω[viia3s] ἀνίστημι[vsaa1p] καί[cc] ἀναστρέφω[vsaa1p] πρός[pa] ὁ[dams] λαός[namsc] ἐγώ[rpgmp] εἰς[pa] ὁ[dafs] πατρίς[nafsc] ἐγώ[rpgmp] ἀπό[pg] πρόσωπον[ngnsc] μάχαιρα[ngfsc] Ἑλληνικός[angfsn]. **v.17** καλέω[vdaa2p] ὁ[dans] ὄνομα[nansc] Φαραώ[ngmsp] Νεχαω[ngmsp] βασιλεύς[ngmsc] Αἴγυπτος[ngfsp] Σαων-εσβι-εμωηδ[nnmsp]. **v.18** ζάω[vipa1s] ἐγώ[rpnms] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] ὡς[cs] ὁ[dnns] Ἰταβύριον[nnnsp] ἐν[pd] ὁ[ddnp] ὄρος[ndnpc] καί[cc] ὡς[cs] ὁ[dnms] Κάρμηλος[nnmsp] ἐν[pd] ὁ[ddfs] θάλασσα[ndfsc] ἥκω[vifa3s].

σεαυτῇ κατοικοῦσα θύγατερ Αἰγύπτου ὅτι Μέμφις εἰς ἀφανισμὸν
ἔσται καὶ κληθήσεται οὐαὶ διὰ τὸ μὴ ὑπάρχειν κατοικοῦντας ἐν
20 αὐτῇ. δάμαλις κεκαλλωπισμένη Αἴγυπτος ἀπόσπασμα ἀπὸ βορ-
21 ρᾶ ἦλθεν ἐπ᾽ αὐτήν. καὶ οἱ μισθωτοὶ αὐτῆς ἐν αὐτῇ ὥσπερ μόσχοι
σιτευτοὶ τρεφόμενοι ἐν αὐτῇ διότι καὶ αὐτοὶ ἀπεστράφησαν καὶ ἔ-
φυγον ὁμοθυμαδόν οὐκ ἔστησαν ὅτι ἡμέρα ἀπωλείας ἦλθεν ἐπ᾽
22 αὐτοὺς καὶ καιρὸς ἐκδικήσεως αὐτῶν. φωνὴ ὡς ὄφεως συρί-
ζοντος ὅτι ἐν ἄμμῳ πορεύσονται ἐν ἀξίναις ἥξουσιν ἐπ᾽ αὐτὴν ὡς
23 κόπτοντες ξύλα. ἐκκόψουσιν τὸν δρυμὸν αὐτῆς λέγει κύριος ὁ
θεός ὅτι οὐ μὴ εἰκασθῇ ὅτι πληθύνει ὑπὲρ ἀκρίδα καὶ οὐκ ἔστιν
24 αὐτοῖς ἀριθμός. κατῃσχύνθη θυγάτηρ Αἰγύπτου παρεδόθη εἰς
25 χεῖρας λαοῦ ἀπὸ βορρᾶ. ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν Αμων τὸν υἱὸν
27 αὐτῆς ἐπὶ Φαραω καὶ ἐπὶ τοὺς πεποιθότας ἐπ᾽ αὐτῷ. σὺ δὲ μὴ
φοβηθῇς δοῦλός μου Ιακωβ μηδὲ πτοηθῇς Ισραηλ διότι ἰδοὺ ἐγὼ
σῴζων σε μακρόθεν καὶ τὸ σπέρμα σου ἐκ τῆς αἰχμαλωσίας αὐτῶν
καὶ ἀναστρέψει Ιακωβ καὶ ἡσυχάσει καὶ ὑπνώσει καὶ οὐκ ἔσται ὁ
28 παρενοχλῶν αὐτόν. μὴ φοβοῦ παῖς μου Ιακωβ λέγει κύριος ὅτι
μετὰ σοῦ ἐγώ εἰμι ὅτι ποιήσω συντέλειαν ἐν παντὶ ἔθνει εἰς οὓς
ἐξῶσά σε ἐκεῖ σὲ δὲ οὐ μὴ ποιήσω ἐκλιπεῖν καὶ παιδεύσω σε εἰς
κρίμα καὶ ἀθῷον οὐκ ἀθῳώσω σε.
**27**, 2 λόγος κυρίου ὃν ἐλάλησεν ἐπὶ Βαβυλῶνα. ἀναγγείλατε ἐν τοῖς

---

**v.19** σκεῦος[nanpc] ἀποικισμός[ngmsc] ποιέω[vdaa2s] σεαυτοῦ[rxdfs] κατοικέω[vppavfs] θυγάτηρ[nvfsc] Αἴγυπτος[ngfsp] ὅτι[cs] Μέμφις[nnfsp] εἰς[pa] ἀφανισμός[namsc] εἰμί[vifm3s] καί[cc] καλέω[vifp3s] οὐαί[i] διά[pa] ὁ[dans] μή[x] ὑπάρχω[vnpa] κατοικέω[vppaamp] ἐν[pd] αὐτός[rpdfs]. **v.20** δάμαλις[nnfsc] καλλωπίζω[vpxpnfs] Αἴγυπτος[nnfsp] ἀπόσπασμα[nnnsc] ἀπό[pg] βορέας[ngmsc] ἔρχομαι[viaa3s] ἐπί[pa] αὐτός[rpafs]. **v.21** καί[cc] ὁ[dnmp] μισθωτός[annmpn] αὐτός[rpgfs] ἐν[pd] αὐτός[rpdfs] ὥσπερ[cs] μόσχος[nnmpc] σιτευτός[annmpn] τρέφω[vpppnmp] ἐν[pd] αὐτός[rpdfs] διότι[cs] καί[b] αὐτός[rpnmp] ἀποστρέφω[viap3p] καί[cc] φεύγω[viaa3p] ὁμοθυμαδόν[b] οὐ[b] ἵστημι[viaa3p] ὅτι[cs] ἡμέρα[nnfsc] ἀπώλεια[ngfsc] ἔρχομαι[viaa3s] ἐπί[pa] αὐτός[rpamp] καί[cc] καιρός[nnmsc] ἐκδίκησις[ngfsc] αὐτός[rpgmp]. **v.22** φωνή[nnfsc] ὡς[cs] ὄφις[ngmsc] συρίζω[vppagms] ὅτι[cs] ἐν[pd] ἄμμος[ndfsc] πορεύομαι[vifm3p] ἐν[pd] ἀξίνη[ndfpc] ἥκω[vifa3p] ἐπί[pa] αὐτός[rpafs] ὡς[cs] κόπτω[vppanmp] ξύλον[nanpc]. **v.23** ἐκκόπτω[vifa3p] ὁ[dams] δρυμός[namsc] αὐτός[rpgfs] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὅτι[cs] οὐ[b] μή[x] εἰκάζω[vsap3s] ὅτι[cs] πληθύνω[vipa3s] ὑπέρ[pa] ἀκρίς[nafsc] καί[cc] οὐ[b] εἰμί[vipa3s] αὐτός[rpdmp] ἀριθμός[nnmsc]. **v.24** καταισχύνω[viap3s] θυγάτηρ[nnfsc] Αἴγυπτος[ngfsp] παραδίδωμι[viap3s] εἰς[pa] χείρ[nafpc] λαός[ngmsc] ἀπό[pg] βορέας[ngmsc]. **v.25** ἰδού[i] ἐγώ[rpnms] ἐκδικέω[vipa1s] ὁ[dams] Αμων[namsp] ὁ[dams] υἱός[namsc] αὐτός[rpgfs] ἐπί[pa] Φαραώ[namsp] καί[cc] ἐπί[pa] ὁ[damp] πείθω[vpxaamp] ἐπί[pd] αὐτός[rpdms]. **v.27** σύ[rpnms] δέ[cc] μή[x] φοβέω[vsap2s] δοῦλος[nnmsc] ἐγώ[rpgms] Ἰακώβ[nvmsp] μηδέ[x] πτοέω[vsap2s] Ἰσραήλ[nvmsp] διότι[cs] ἰδού[i] ἐγώ[rpnms] σῴζω[vppanms] σύ[rpams] μακρόθεν[b] καί[cc] ὁ[dans] σπέρμα[nansc] σύ[rpgms] ἐκ[pg] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] αὐτός[rpgmp] καί[cc] ἀναστρέφω[vifa3s] Ἰακώβ[nnmsp] καί[cc] ἡσυχάζω[vifa3s] καί[cc] ὑπνόω[vifa3s] καί[cc] οὐ[b] εἰμί[vifm3s] ὁ[dnms] παρενοχλέω[vppanms] αὐτός[rpams]. **v.28** μή[x] φοβέω[vdpm2s] παῖς[nnmsc] ἐγώ[rpgms] Ἰακώβ[nvmsp] λέγω[vipa3s] κύριος[nnmsc] ὅτι[cs] μετά[pg] σύ[rpgms] ἐγώ[rpnms] εἰμί[vipa1s] ὅτι[cs] ποιέω[vifa1s] συντέλεια[nafsc] ἐν[pd] πᾶς[aidnsn] ἔθνος[ndnsc] εἰς[pa] ὅς[rramp] ἐξωθέω[viaa1s] σύ[rpams] ἐκεῖ[b] σύ[rpa-s] δέ[cc] οὐ[b] μή[x] ποιέω[vifa1s] ἐκλείπω[vnaa] καί[cc] παιδεύω[vifa1s] σύ[rpams] εἰς[pa] κρίμα[nansc] καί[cc] ἀθῷος[anamsn] οὐ[b] ἀθῳόω[vifa1s] σύ[rpams]. **27. v.1** λόγος[nnmsc] κύριος[ngmsc] ὅς[rrams] λαλέω[viaa3s] ἐπί[pa] Βαβυλών[nafsp].

ἔθνεσιν καὶ ἀκουστὰ ποιήσατε καὶ μὴ κρύψητε εἴπατε ἑάλωκεν
Βαβυλών κατῃσχύνθη Βῆλος ἡ ἀπτόητος ἡ τρυφερὰ παρεδόθη
Μαρωδαχ. ὅτι ἀνέβη ἐπ᾽ αὐτὴν ἔθνος ἀπὸ βορρᾶ οὗτος θήσει 3
τὴν γῆν αὐτῆς εἰς ἀφανισμόν καὶ οὐκ ἔσται ὁ κατοικῶν ἐν αὐτῇ
ἀπὸ ἀνθρώπου καὶ ἕως κτήνους. ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν 4
τῷ καιρῷ ἐκείνῳ ἥξουσιν οἱ υἱοὶ Ισραηλ αὐτοὶ καὶ οἱ υἱοὶ Ιουδα
ἐπὶ τὸ αὐτό βαδίζοντες καὶ κλαίοντες πορεύσονται τὸν κύριον θε-
ὸν αὐτῶν ζητοῦντες. ἕως Σιων ἐρωτήσουσιν τὴν ὁδόν ὧδε γὰρ τὸ 5
πρόσωπον αὐτῶν δώσουσιν καὶ ἥξουσιν καὶ καταφεύξονται πρὸς
κύριον τὸν θεόν διαθήκη γὰρ αἰώνιος οὐκ ἐπιλησθήσεται. πρό- 6
βατα ἀπολωλότα ἐγενήθη ὁ λαός μου οἱ ποιμένες αὐτῶν ἐξῶσαν
αὐτούς ἐπὶ τὰ ὄρη ἀπεπλάνησαν αὐτούς ἐξ ὄρους ἐπὶ βουνὸν ᾤ-
χοντο ἐπελάθοντο κοίτης αὐτῶν. πάντες οἱ εὑρίσκοντες αὐτοὺς 7
κατανάλισκον αὐτούς οἱ ἐχθροὶ αὐτῶν εἶπαν μὴ ἀνῶμεν αὐτούς
ἀνθ᾽ ὧν ἥμαρτον τῷ κυρίῳ νομῇ δικαιοσύνης τῷ συναγαγόντι τοὺς
πατέρας αὐτῶν. ἀπαλλοτριώθητε ἐκ μέσου Βαβυλῶνος καὶ ἀπὸ 8
γῆς Χαλδαίων καὶ ἐξέλθατε καὶ γένεσθε ὥσπερ δράκοντες κατὰ
πρόσωπον προβάτων. ὅτι ἰδοὺ ἐγὼ ἐγείρω ἐπὶ Βαβυλῶνα συνα- 9
γωγὰς ἐθνῶν ἐκ γῆς βορρᾶ καὶ παρατάξονται αὐτῇ ἐκεῖθεν ἁλώ-
σεται ὡς βολὶς μαχητοῦ συνετοῦ οὐκ ἐπιστρέψει κενή. καὶ ἔσται 10
ἡ Χαλδαία εἰς προνομήν πάντες οἱ προνομεύοντες αὐτὴν ἐμπλη-

---

**v.2** ἀναγγέλλω[vdaa2p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] καί[cc] ἀκουστός[ananpn] ποιέω[vdaa2p] καί[cc] μή[x] κρύπτω[vsaa2p] λέγω[vdaa2p] ἁλίσκομαι[vixa3s] Βαβυλών[nnfsp] καταισχύνω[viap3s] Βῆλος[nnfsp] ὁ[dnfs] ἀπτόητος[annfsn] ὁ[dnfs] τρυφερός[annfsn] παραδίδωμι[viap3s] Μαρωδαχ[nnfsp]. **v.3** ὅτι[cs] ἀναβαίνω[viaa3s] ἐπί[pa] αὐτός[rpafs] ἔθνος[nmnsc] ἀπό[pg] βορέας[ngmsc] οὗτος[rdnms] τίθημι[vifa3s] ὁ[dafs] γῆ[nafsc] αὐτός[rpgfs] εἰς[pa] ἀφανισμός[namsc] καί[cc] οὐ[b] εἰμί[vifm3s] ὁ[dnms] κατοικέω[vppanms] ἐν[pd] αὐτός[rpdfs] ἀπό[pg] ἄνθρωπος[ngmsc] καί[cc] ἕως[pg] κτῆνος[ngnsc]. **v.4** ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ἐκεῖνος[rddfp] καί[cc] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ἐκεῖνος[rddms] ἥκω[vifa3p] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] αὐτός[rpnmp] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] Ἰούδας[ngmsp] ἐπί[pa] ὁ[dans] αὐτός[rpans] βαδίζω[vppanmp] καί[cc] κλαίω[vppanmp] πορεύομαι[vifm3p] ὁ[dams] κύριος[namsc] θεός[namsc] αὐτός[rpgmp] ζητέω[vppanmp]. **v.5** ἕως[pg] Σιών[ngfsp] ἐρωτάω[vifa3p] ὁ[dafs] ὁδός[nafsc] ὧδε[b] γάρ[cc] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgmp] δίδωμι[vifa3p] καί[cc] ἥκω[vifa3p] καί[cc] καταφεύγω[vifm3p] πρός[pa] κύριος[namsc] ὁ[dams] θεός[namsc] διαθήκη[nnfsc] γάρ[cc] αἰώνιος[annfsn] οὐ[b] ἐπιλανθάνομαι[vifp3s]. **v.6** πρόβατον[nnnpc] ἀπόλλυμι[vpxannp] γίνομαι[viap3s] ὁ[dnms] λαός[nnmsc] ἐγώ[rpgms] ὁ[dnmp] ποιμήν[nnmpc] αὐτός[rpgmp] ἐξωθέω[viaa3p] αὐτός[rpamp] ἐπί[pa] ὁ[danp] ὄρος[nanpc] ἀποπλανάω[viaa3p] αὐτός[rpamp] ἐκ[pg] ὄρος[ngnsc] ἐπί[pa] βουνός[namsc] οἴχομαι[viim3p] ἐπιλανθάνομαι[viam3p] κοίτη[ngfsc] αὐτός[rpgmp]. **v.7** πᾶς[ainmpn] ὁ[dnmp] εὑρίσκω[vppanmp] αὐτός[rpamp] καταναλίσκω[viia3p] αὐτός[rpamp] ὁ[dnmp] ἐχθρός[annmpn] αὐτός[rpgmp] λέγω[viaa3p] μή[x] ἀνίημι[vsaa1p] αὐτός[rpamp] ἀντί[pg] ὅς[rrgnp] ἁμαρτάνω[viaa3p] ὁ[ddms] κύριος[ndmsc] νομή[ndfsc] δικαιοσύνη[ngfsc] ὁ[ddms] συνάγω[vpaadms] ὁ[damp] πατήρ[nampc] αὐτός[rpgmp]. **v.8** ἀπαλλοτριόω[vdap2p] ἐκ[pg] μέσος[angnsn] Βαβυλών[ngfsp] καί[cc] ἀπό[pg] γῆ[ngfsc] Χαλδαῖος[ngmpp] καί[cc] ἐξέρχομαι[vdaa2p] καί[cc] γίνομαι[vdam2p] ὥσπερ[cs] δράκων[nnmpc] κατά[pa] πρόσωπον[nansc] πρόβατον[ngnpc]. **v.9** ὅτι[cs] ἰδού[i] ἐγώ[rpnms] ἐγείρω[vipa1s] ἐπί[pa] Βαβυλών[nafsp] συναγωγή[nafpc] ἔθνος[ngnpc] ἐκ[pg] γῆ[ngfsc] βορέας[ngmsc] καί[cc] παρατάσσω[vifm3p] αὐτός[rpdfs] ἐκεῖθεν[b] ἁλίσκομαι[vifm3s] ὡς[cs] βολίς[nnfsc] μαχητής[ngmsc] συνετός[angmsn] οὐ[b] ἐπιστρέφω[vifa3s] κενός[annfsn].

11 σθήσονται. ὅτι ηὐφραίνεσθε καὶ κατεκαυχᾶσθε διαρπάζοντες
τὴν κληρονομίαν μου διότι ἐσκιρτᾶτε ὡς βοΐδια ἐν βοτάνῃ καὶ
12 ἐκερατίζετε ὡς ταῦροι. ᾐσχύνθη ἡ μήτηρ ὑμῶν σφόδρα μήτηρ
13 ἐπ᾽ ἀγαθὰ ἐσχάτη ἐθνῶν ἔρημος. ἀπὸ ὀργῆς κυρίου οὐ κατοι-
κηθήσεται καὶ ἔσται εἰς ἀφανισμὸν πᾶσα καὶ πᾶς ὁ διοδεύων διὰ
Βαβυλῶνος σκυθρωπάσει καὶ συριοῦσιν ἐπὶ πᾶσαν τὴν πληγὴν
14 αὐτῆς. παρατάξασθε ἐπὶ Βαβυλῶνα κύκλῳ πάντες τείνοντες τό-
ξον τοξεύσατε ἐπ᾽ αὐτήν μὴ φείσησθε ἐπὶ τοῖς τοξεύμασιν ὑμῶν.
15 κατακροτήσατε ἐπ᾽ αὐτήν παρελύθησαν αἱ χεῖρες αὐτῆς ἔπεσαν
αἱ ἐπάλξεις αὐτῆς καὶ κατεσκάφη τὸ τεῖχος αὐτῆς ὅτι ἐκδίκησις
παρὰ θεοῦ ἐστιν ἐκδικεῖτε ἐπ᾽ αὐτήν καθὼς ἐποίησεν ποιήσατε
16 αὐτῇ. ἐξολεθρεύσατε σπέρμα ἐκ Βαβυλῶνος κατέχοντα δρέπα-
νον ἐν καιρῷ θερισμοῦ ἀπὸ προσώπου μαχαίρας Ἑλληνικῆς ἕ-
καστος εἰς τὸν λαὸν αὐτοῦ ἀποστρέψουσιν καὶ ἕκαστος εἰς τὴν
17 γῆν αὐτοῦ φεύξεται. πρόβατον πλανώμενον Ισραηλ λέοντες ἐ-
ξῶσαν αὐτόν ὁ πρῶτος ἔφαγεν αὐτὸν βασιλεὺς Ασσουρ καὶ οὗτος
18 ὕστερον τὰ ὀστᾶ αὐτοῦ βασιλεὺς Βαβυλῶνος. διὰ τοῦτο τάδε λέ-
γει κύριος ἰδοὺ ἐγὼ ἐκδικῶ ἐπὶ τὸν βασιλέα Βαβυλῶνος καὶ ἐπὶ
19 τὴν γῆν αὐτοῦ καθὼς ἐξεδίκησα ἐπὶ τὸν βασιλέα Ασσουρ. καὶ
ἀποκαταστήσω τὸν Ισραηλ εἰς τὴν νομὴν αὐτοῦ καὶ νεμήσεται ἐν
τῷ Καρμήλῳ καὶ ἐν ὄρει Εφραιμ καὶ ἐν τῷ Γαλααδ καὶ πλησθή-

---

**v.10** καί[cc] εἰμί[vifm3s] ὁ[dnfs] Χαλδαία[nnfsp] εἰς[pa] προνομή[nafsc] πᾶς[ainmpn] ὁ[dnmp] προνομεύω[vppanmp] αὐτός[rpafs] ἐμπίπλημι[vifp3p]. **v.11** ὅτι[cs] εὐφραίνω[viim2p] καί[cc] κατακαυχάομαι[viim2p] διαρπάζω[vppanmp] ὁ[dafs] κληρονομία[nafsc] ἐγώ[rpgms] διότι[cs] σκιρτάω[viia2p] ὡς[cs] βοίδιον[nnnpc] ἐν[pd] βοτάνη[ndfsc] καί[cc] κερατίζω[viia2p] ὡς[cs] ταῦρος[nnmpc]. **v.12** αἰσχύνω[viap3s] ὁ[dnfs] μήτηρ[nnfsc] σύ[rpg-p] σφόδρα[b] μήτηρ[nnfsc] ἐπί[pa] ἀγαθός[ananpn] ἔσχατος[annfsn] ἔθνος[ngnpc] ἔρημος[annfsn]. **v.13** ἀπό[pg] ὀργή[ngfsc] κύριος[ngmsc] οὐ[b] κατοικέω[vifp3s] καί[cc] εἰμί[vifm3s] εἰς[pa] ἀφανισμός[namsc] πᾶς[ainfsn] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] διοδεύω[vppanms] διά[pg] Βαβυλών[ngfsp] σκυθρωπάζω[vifa3s] καί[cc] συρίζω[vifa3p] ἐπί[pa] πᾶς[aiafsn] ὁ[dafs] πληγή[nafsc] αὐτός[rpgfs]. **v.14** παρατάσσω[vdam2p] ἐπί[pa] Βαβυλών[nafsp] κύκλος[b] πᾶς[ainmpn] τείνω[vppanmp] τόξον[nansc] τοξεύω[vdaa2p] ἐπί[pa] αὐτός[rpafs] μή[x] φείδομαι[vsam2p] ἐπί[pd] ὁ[ddnp] τόξευμα[ndnpc] σύ[rpgmp]. **v.15** κατακροτέω[vdaa2p] ἐπί[pa] αὐτός[rpafs] παραλύω[viap3p] ὁ[dnfp] χείρ[nnfpc] αὐτός[rpgfs] πίπτω[viaa3p] ὁ[dnfp] ἔπαλξις[nnfpc] αὐτός[rpgfs] καί[cc] κατασκάπτω[viap3s] ὁ[dnns] τεῖχος[nnnsc] αὐτός[rpgfs] ὅτι[cs] ἐκδίκησις[nnfsc] παρά[pg] θεός[ngmsc] εἰμί[vipa3s] ἐκδικέω[vdpa2p] ἐπί[pa] αὐτός[rpafs] καθώς[cs] ποιέω[viaa3s] ποιέω[vdaa2p] αὐτός[rpdfs]. **v.16** ἐξολεθρεύω[vdaa2p] σπέρμα[nansc] ἐκ[pg] Βαβυλών[ngfsp] κατέχω[vppaams] δρέπανον[nansc] ἐν[pd] καιρός[ndmsc] θερισμός[ngmsc] ἀπό[pg] πρόσωπον[ngnsc] μάχαιρα[ngfsc] Ἑλληνικός[angfsn] ἕκαστος[ainmsn] εἰς[pa] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] ἀποστρέφω[vifa3p] καί[cc] ἕκαστος[ainmsn] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] αὐτός[rpgms] φεύγω[vifm3s]. **v.17** πρόβατον[nnnsc] πλανάω[vpppnns] Ἰσραήλ[nnmsp] λέων[nnmpc] ἐξωθέω[viaa3p] αὐτός[rpams] ὁ[dnms] πρῶτος[aonmsn] ἐσθίω[viaa3s] αὐτός[rpams] βασιλεύς[nnmsc] Ασσουρ[ngmsp] καί[cc] οὗτος[rdnms] ὕστερος[b] ὁ[danp] ὀστέον[nanpc] αὐτός[rpgms] βασιλεύς[nnmsc] Βαβυλών[ngfsp]. **v.18** διά[pa] οὗτος[rdans] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ἰδού[i] ἐγώ[rpnms] ἐκδικέω[vipa1s] ἐπί[pa] ὁ[dams] βασιλεύς[namsc] Βαβυλών[ngfsp] καί[cc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] αὐτός[rpgms] καθώς[cs] ἐκδικέω[viaa1s] ἐπί[pa] ὁ[dams] βασιλεύς[namsc] Ασσουρ[ngmsp].

σεται ἡ ψυχὴ αὐτοῦ. ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ 20
ἐκείνῳ ζητήσουσιν τὴν ἀδικίαν Ισραηλ καὶ οὐχ ὑπάρξει καὶ τὰς
ἁμαρτίας Ιουδα καὶ οὐ μὴ εὑρεθῶσιν ὅτι ἵλεως ἔσομαι τοῖς ὑ-
πολελειμμένοις ἐπὶ τῆς γῆς λέγει κύριος. πικρῶς ἐπίβηθι ἐπ' 21
αὐτὴν καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐπ' αὐτήν ἐκδίκησον μάχαιρα
καὶ ἀφάνισον λέγει κύριος καὶ ποίει κατὰ πάντα ὅσα ἐντέλλομαί
σοι. φωνὴ πολέμου καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων. πῶς 22, 23
συνεκλάσθη καὶ συνετρίβη ἡ σφῦρα πάσης τῆς γῆς πῶς ἐγενήθη
εἰς ἀφανισμὸν Βαβυλὼν ἐν ἔθνεσιν. ἐπιθήσονταί σοι καὶ ἁλώσῃ 24
ὦ Βαβυλών καὶ οὐ γνώσῃ εὑρέθης καὶ ἐλήμφθης ὅτι τῷ κυρίῳ
ἀντέστης. ἤνοιξεν κύριος τὸν θησαυρὸν αὐτοῦ καὶ ἐξήνεγκεν τὰ 25
σκεύη ὀργῆς αὐτοῦ ὅτι ἔργον τῷ κυρίῳ θεῷ ἐν γῇ Χαλδαίων. ὅτι 26
ἐληλύθασιν οἱ καιροὶ αὐτῆς ἀνοίξατε τὰς ἀποθήκας αὐτῆς ἐρευ-
νήσατε αὐτὴν ὡς σπήλαιον καὶ ἐξολεθρεύσατε αὐτήν μὴ γενέσθω
αὐτῆς κατάλειμμα. ἀναξηράνατε αὐτῆς πάντας τοὺς καρπούς 27
καὶ καταβήτωσαν εἰς σφαγήν οὐαὶ αὐτοῖς ὅτι ἥκει ἡ ἡμέρα αὐτῶν
καὶ καιρὸς ἐκδικήσεως αὐτῶν. φωνὴ φευγόντων καὶ ἀνασῳζο- 28
μένων ἐκ γῆς Βαβυλῶνος τοῦ ἀναγγεῖλαι εἰς Σιων τὴν ἐκδίκησιν
παρὰ κυρίου θεοῦ ἡμῶν. παραγγείλατε ἐπὶ Βαβυλῶνα πολλοῖς 29
παντὶ ἐντείνοντι τόξον παρεμβάλετε ἐπ' αὐτὴν κυκλόθεν μὴ ἔστω
αὐτῆς ἀνασῳζόμενος ἀνταπόδοτε αὐτῇ κατὰ τὰ ἔργα αὐτῆς κατὰ

---

**v.19** καί[cc] ἀποκαθιστάνω[vifa1s] ὁ[dams] Ἰσραήλ[namsp] εἰς[pa] ὁ[dafs] νομή[nafsc] αὐτός[rpgms] καί[cc] νέμω[vifm3s] ἐν[pd] ὁ[ddms] Καρμήλος[ndmsp] καί[cc] ἐν[pd] ὄρος[ndnsc] Ἐφραίμ[ngmsp] καί[cc] ἐν[pd] ὁ[ddms] Γαλαάδ[ndmsp] καί[cc] πίμπλημι[vifp3s] ὁ[dnfs] ψυχή[nnfsc] αὐτός[rpgms]. **v.20** ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ἐκεῖνος[rddfp] καί[cc] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ἐκεῖνος[rddms] ζητέω[vifa3p] ὁ[dafs] ἀδικία[nafsc] Ἰσραήλ[ngmsp] καί[cc] οὐ[b] ὑπάρχω[vifa3s] καί[cc] ὁ[dafp] ἁμαρτία[nafpc] Ἰούδας[ngmsp] καί[cc] οὐ[b] μή[x] εὑρίσκω[vsap3p] ὅτι[cs] ἵλεως[annmsn] εἰμί[vifm1s] ὁ[ddmp] ὑπολείπω[vpxpdmp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] λέγω[vipa3s] κύριος[nnmsc]. **v.21** πικρῶς[b] ἐπιβαίνω[vdaa2s] ἐπί[pa] αὐτός[rpafs] καί[cc] ἐπί[pa] ὁ[damp] κατοικέω[vppaamp] ἐπί[pa] αὐτός[rpafs] ἐκδικέω[vdaa2s] μάχαιρα[nvfsc] καί[cc] ἀφανίζω[vdaa2s] λέγω[vipa3s] κύριος[nnmsc] καί[cc] ποιέω[vdpa2s] κατά[pa] πᾶς[aianpn] ὅσος[aranpn] ἐντέλλομαι[vipm1s] σύ[rpdfs]. **v.22** φωνή[nnfsc] πόλεμος[ngmsc] καί[cc] συντριβή[nnfsc] μέγας[annfsn] ἐν[pd] γῆ[ndfsc] Χαλδαῖος[ngmpp]. **v.23** πῶς[b] συγκλάω[viap3s] καί[cc] συντρίβω[viap3s] ὁ[dnfs] σφῦρα[nnfsc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] πῶς[b] γίνομαι[viap3s] εἰς[pa] ἀφανισμός[namsc] Βαβυλών[nnfsp] ἐν[pd] ἔθνος[ndnpc]. **v.24** ἐπιτίθημι[vifm3p] σύ[rpdfs] καί[cc] ἁλίσκομαι[vifm2s] ὦ[i] Βαβυλών[nvfsp] καί[cc] οὐ[b] γινώσκω[vifm2s] εὑρίσκω[viap2s] καί[cc] λαμβάνω[viap2s] ὅτι[cs] ὁ[ddms] κύριος[ndmsc] ἀνθίστημι[viaa2s]. **v.25** ἀνοίγω[viaa3s] κύριος[nnmsc] ὁ[dams] θησαυρός[namsc] αὐτός[rpgms] καί[cc] ἐκφέρω[viaa3s] ὁ[danp] σκεῦος[nanpc] ὀργή[ngfsc] αὐτός[rpgms] ὅτι[cs] ἔργον[nnnsc] ὁ[ddms] κύριος[ndmsc] θεός[ndmsc] ἐν[pd] γῆ[ndfsc] Χαλδαῖος[ngmpp]. **v.26** ὅτι[cs] ἔρχομαι[vixa3p] ὁ[dnmp] καιρός[nnmpc] αὐτός[rpgfs] ἀνοίγω[vdaa2p] ὁ[dafp] ἀποθήκη[nafpc] αὐτός[rpgfs] ἐρευνάω[vdaa2p] αὐτός[rpafs] ὡς[cs] σπήλαιον[nansc] καί[cc] ἐξολεθρεύω[vdaa2p] αὐτός[rpafs] μή[x] γίνομαι[vdam3s] αὐτός[rpgfs] κατάλειμμα[nansc]. **v.27** ἀναξηραίνω[vdaa2p] αὐτός[rpgfs] πᾶς[aiampn] ὁ[damp] καρπός[nampc] καί[cc] καταβαίνω[vdaa3p] εἰς[pa] σφαγή[nafsc] οὐαί[i] αὐτός[rpdmp] ὅτι[cs] ἥκω[vipa3s] ὁ[dnfs] ἡμέρα[nnfsc] αὐτός[rpgmp] καί[cc] καιρός[nnmsc] ἐκδίκησις[ngfsc] αὐτός[rpgmp]. **v.28** φωνή[nnfsc] φεύγω[vppagmp] καί[cc] ἀνασῴζω[vppmgmp] ἐκ[pg] γῆ[ngfsc] Βαβυλών[ngfsp] ὁ[dgns] ἀναγγέλλω[vnaa] εἰς[pa] Σιών[nafsp] ὁ[dafs] ἐκδίκησις[nafsc] παρά[pg] κύριος[ngmsc] θεός[ngmsc] ἐγώ[rpgmp].

πάντα ὅσα ἐποίησεν ποιήσατε αὐτῇ ὅτι πρὸς τὸν κύριον ἀντέστη
30 θεὸν ἅγιον τοῦ Ισραηλ. διὰ τοῦτο πεσοῦνται οἱ νεανίσκοι αὐτῆς
ἐν ταῖς πλατείαις αὐτῆς καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ αὐτῆς
31 ῥιφήσονται εἶπεν κύριος. ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν λέγει
32 κύριος ὅτι ἥκει ἡ ἡμέρα σου καὶ ὁ καιρὸς ἐκδικήσεώς σου. καὶ
ἀσθενήσει ἡ ὕβρις σου καὶ πεσεῖται καὶ οὐκ ἔσται ὁ ἀνιστῶν αὐ-
τήν καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς καὶ καταφάγεται πάντα
33 τὰ κύκλῳ αὐτῆς. τάδε λέγει κύριος καταδεδυνάστευνται οἱ υἱοὶ
Ισραηλ καὶ οἱ υἱοὶ Ιουδα ἅμα πάντες οἱ αἰχμαλωτεύσαντες αὐτοὺς
κατεδυνάστευσαν αὐτούς ὅτι οὐκ ἠθέλησαν ἐξαποστεῖλαι αὐτούς.
34 καὶ ὁ λυτρούμενος αὐτοὺς ἰσχυρός κύριος παντοκράτωρ ὄνομα
αὐτῷ κρίσιν κρινεῖ πρὸς τοὺς ἀντιδίκους αὐτοῦ ὅπως ἐξάρῃ τὴν
35 γῆν καὶ παροξυνεῖ τοῖς κατοικοῦσι Βαβυλῶνα. μάχαιραν ἐπὶ
τοὺς Χαλδαίους καὶ ἐπὶ τοὺς κατοικοῦντας Βαβυλῶνα καὶ ἐπὶ
36 τοὺς μεγιστᾶνας αὐτῆς καὶ ἐπὶ τοὺς συνετοὺς αὐτῆς. μάχαιραν
37 ἐπὶ τοὺς μαχητὰς αὐτῆς καὶ παραλυθήσονται. μάχαιραν ἐπὶ
τοὺς ἵππους αὐτῶν καὶ ἐπὶ τὰ ἅρματα αὐτῶν μάχαιραν ἐπὶ τοὺς
μαχητὰς αὐτῶν καὶ ἐπὶ τὸν σύμμικτον τὸν ἐν μέσῳ αὐτῆς καὶ ἔ-
σονται ὡσεὶ γυναῖκες μάχαιραν ἐπὶ τοὺς θησαυροὺς αὐτῆς καὶ
38 διασκορπισθήσονται. ἐπὶ τῷ ὕδατι αὐτῆς ἐπεποίθει καὶ καται-

---

19 Μωαβ ἀνέβη εἰς σὲ λυμαινόμενος ὀχύρωμά σου. ἐφ᾽ ὁδοῦ στῆθι
καὶ ἔπιδε καθημένη ἐν Αροηρ καὶ ἐρώτησον φεύγοντα καὶ σῳ-
20 ζόμενον καὶ εἰπόν τί ἐγένετο. κατῃσχύνθη Μωαβ ὅτι συνετρίβη
ὀλόλυξον καὶ κέκραξον ἀνάγγειλον ἐν Αρνων ὅτι ὤλετο Μωαβ.
21 καὶ κρίσις ἔρχεται εἰς γῆν τοῦ Μισωρ ἐπὶ Χαιλων καὶ ἐπὶ Ιασσα
22 καὶ ἐπὶ Μωφαθ. καὶ ἐπὶ Δαιβων καὶ ἐπὶ Ναβαυ καὶ ἐπ᾽ οἶκον
23 Δεβλαθαιμ. καὶ ἐπὶ Καριαθαιμ καὶ ἐπ᾽ οἶκον Γαμωλ καὶ ἐπ᾽ οἶ-
24 κον Μαων. καὶ ἐπὶ Καριωθ καὶ ἐπὶ Βοσορ καὶ ἐπὶ πάσας τὰς
25 πόλεις Μωαβ τὰς πόρρω καὶ τὰς ἐγγύς. κατεάχθη κέρας Μωαβ
26 καὶ τὸ ἐπίχειρον αὐτοῦ συνετρίβη. μεθύσατε αὐτόν ὅτι ἐπὶ κύ-
ριον ἐμεγαλύνθη καὶ ἐπικρούσει Μωαβ ἐν χειρὶ αὐτοῦ καὶ ἔσται
27 εἰς γέλωτα καὶ αὐτός. καὶ εἰ μὴ εἰς γελοιασμὸν ἦν σοι Ισραηλ εἰ
28 ἐν κλοπαῖς σου εὑρέθη ὅτι ἐπολέμεις αὐτόν. κατέλιπον τὰς πό-
λεις καὶ ᾤκησαν ἐν πέτραις οἱ κατοικοῦντες Μωαβ ἐγενήθησαν ὡς
29 περιστεραὶ νοσσεύουσαι ἐν πέτραις στόματι βοθύνου. ἤκουσα
ὕβριν Μωαβ ὕβρισεν λίαν ὕβριν αὐτοῦ καὶ ὑπερηφανίαν αὐτοῦ
30 καὶ ὑψώθη ἡ καρδία αὐτοῦ. ἐγὼ δὲ ἔγνων ἔργα αὐτοῦ οὐχὶ τὸ ἱ-
31 κανὸν αὐτοῦ οὐχ οὕτως ἐποίησεν. διὰ τοῦτο ἐπὶ Μωαβ ὀλολύζετε
32 πάντοθεν βοήσατε ἐπ᾽ ἄνδρας Κιραδας αὐχμοῦ. ὡς κλαυθμὸν
Ιαζηρ ἀποκλαύσομαί σοι ἄμπελος Σεβημα κλήματά σου διῆλθεν
θάλασσαν Ιαζηρ ἥψαντο ἐπὶ ὀπώραν σου ἐπὶ τρυγηταῖς σου ὄλε-

---

**v.18** καταβαίνω[vdaa2s] ἀπό[pg] δόξα[ngfsc] καί[cc] καθίζω[vdaa2s] ἐν[pd] ὑγρασία[ndfsc] κάθημαι[vppmnfs] Δαιβων[nnfsp] ἐκτρίβω[vdap2p] ὅτι[cs] ὄλλυμι[viam3s] Μωαβ[nnfsp] ἀναβαίνω[viaa3s] εἰς[pa] σύ[rpa-s] λυμαίνω[vppmnms] ὀχύρωμα[nansc] σύ[rpg-s]. **v.19** ἐπί[pg] ὁδός[ngfsc] ἵστημι[vdaa2s] καί[cc] ἐφοράω[vdaa2s] κάθημαι[vppmnfs] ἐν[pd] Αροηρ[ndfsp] καί[cc] ἐρωτάω[vdaa2s] φεύγω[vppaams] καί[cc] σῴζω[vpppams] καί[cc] λέγω[vdaa2s] τίς[rqans] γίνομαι[viam3s]. **v.20** καταισχύνω[viap3s] Μωαβ[nnfsp] ὅτι[cs] συντρίβω[viap3s] ὀλολύζω[vdaa2s] καί[cc] κράζω[vdaa2s] ἀναγγέλλω[vdaa2s] ἐν[pd] Αρνων[nd-sp] ὅτι[cs] ὄλλυμι[viam3s] Μωαβ[nnfsp]. **v.21** καί[cc] κρίσις[nnfsc] ἔρχομαι[vipm3s] εἰς[pa] γῆ[nafsc] ὁ[dgms] Μισωρ[ngmsp] ἐπί[pa] Χαιλων[na-sp] καί[cc] ἐπί[pa] Ιασσα[na-sp] καί[cc] ἐπί[pa] Μωφαθ[na-sp]. **v.22** καί[cc] ἐπί[pa] Δαιβων[nafsp] καί[cc] ἐπί[pa] Ναβαυ[na-sp] καί[cc] ἐπί[pa] οἶκος[namsc] Δεβλαθαιμ[ng-sp]. **v.23** καί[cc] ἐπί[pa] Καριαθαιμ[na-sp] καί[cc] ἐπί[pa] οἶκος[namsc] Γαμωλ[ng-sp] καί[cc] ἐπί[pa] οἶκος[namsc] Μαων[ng-sp]. **v.24** καί[cc] ἐπί[pa] Καριωθ[na-sp] καί[cc] ἐπί[pa] Βοσόρ[na-sp] καί[cc] ἐπί[pa] πᾶς[aiafpn] ὁ[dafp] πόλις[nafpc] Μωαβ[ngfsp] ὁ[dafp] πόρρω[b] καί[cc] ὁ[dafp] ἐγγύς[b]. **v.25** κατάγνυμι[viap3s] κέρας[nnnsc] Μωαβ[ngfsp] καί[cc] ὁ[dnns] ἐπίχειρον[nnnsc] αὐτός[rpgms] συντρίβω[viap3s]. **v.26** μεθύσκω[vdaa2p] αὐτός[rpams] ὅτι[cs] ἐπί[pa] κύριος[namsc] μεγαλύνω[viap3s] καί[cc] ἐπικρούω[vifa3s] Μωαβ[nnmsp] ἐν[pd] χείρ[ndfsc] αὐτός[rpgms] καί[cc] εἰμί[vifm3s] εἰς[pa] γέλως[namsc] καί[b] αὐτός[rpnms]. **v.27** καί[cc] εἰ[cs] μή[x] εἰς[pa] γελοιασμός[namsc] εἰμί[viia3s] σύ[rpd-s] Ἰσραήλ[nvmsp] εἰ[cs] ἐν[pd] κλοπή[ndfpc] σύ[rpg-s] εὑρίσκω[viap3s] ὅτι[cs] πολεμέω[viia2s] αὐτός[rpams]. **v.28** καταλείπω[viaa3p] ὁ[dafp] πόλις[nafpc] καί[cc] οἰκέω[viaa3p] ἐν[pd] πέτρα[ndfpc] ὁ[dnmp] κατοικέω[vppanmp] Μωαβ[nafsp] γίνομαι[viap3p] ὡς[cs] περιστερά[nnfpc] νοσσεύω[vppanfp] ἐν[pd] πέτρα[ndfpc] στόμα[ndnsc] βόθυνος[ngmsc]. **v.29** ἀκούω[viaa1s] ὕβρις[nafsc] Μωαβ[ngmsp] ὑβρίζω[viaa3s] λίαν[b] ὕβρις[nafsc] αὐτός[rpgms] καί[cc] ὑπερηφανία[nafsc] αὐτός[rpgms] καί[cc] ὑψόω[viap3s] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgms]. **v.30** ἐγώ[rpn-s] δέ[cc] γινώσκω[viaa1s] ἔργον[nanpc] αὐτός[rpgms] οὐχί[b] ὁ[dnns] ἱκανός[annnsn] αὐτός[rpgms] οὐ[b] οὕτως[b] ποιέω[viaa3s]. **v.31** διά[pa] οὗτος[rdans] ἐπί[pa] Μωαβ[nafsp] ὀλολύζω[vdpa2p] πάντοθεν[b] βοάω[vdaa2p] ἐπί[pa] ἀνήρ[nampc] Κιραδας[ngmsp] αὐχμός[ngmsc].

θρος ἐπέπεσεν. συνεψήσθη χαρμοσύνη καὶ εὐφροσύνη ἐκ τῆς 33
Μωαβίτιδος καὶ οἶνος ἦν ἐπὶ ληνοῖς σου πρωὶ οὐκ ἐπάτησαν οὐδὲ
δείλης οὐκ ἐποίησαν αιδαδ. ἀπὸ κραυγῆς Εσεβων ἕως Ελεαλη 34
αἱ πόλεις αὐτῶν ἔδωκαν φωνὴν αὐτῶν ἀπὸ Ζογορ ἕως Ωρωναιμ
καὶ Αγλαθ-σαλισια ὅτι καὶ τὸ ὕδωρ Νεβριμ εἰς κατάκαυμα ἔσται.
καὶ ἀπολῶ τὸν Μωαβ φησὶν κύριος ἀναβαίνοντα ἐπὶ βωμὸν καὶ 35
θυμιῶντα θεοῖς αὐτοῦ. διὰ τοῦτο καρδία μου Μωαβ ὥσπερ αὐ- 36
λοὶ βομβήσουσιν καρδία μου ἐπ᾽ ἀνθρώπους Κιραδας ὥσπερ αὐ-
λὸς βομβήσει διὰ τοῦτο ἃ περιεποιήσατο ἀπώλετο ἀπὸ ἀνθρώ-
που. πᾶσαν κεφαλὴν ἐν παντὶ τόπῳ ξυρήσονται καὶ πᾶς πώγων 37
ξυρηθήσεται καὶ πᾶσαι χεῖρες κόψονται καὶ ἐπὶ πάσης ὀσφύος
σάκκος. καὶ ἐπὶ πάντων τῶν δωμάτων Μωαβ καὶ ἐπὶ πλατείαις 38
αὐτῆς ὅτι συνέτριψα τὸν Μωαβ φησὶν κύριος ὡς ἀγγεῖον οὗ οὐκ
ἔστιν χρεία αὐτοῦ. πῶς κατήλλαξεν πῶς ἔστρεψεν νῶτον Μωαβ 39
ᾐσχύνθη καὶ ἐγένετο Μωαβ εἰς γέλωτα καὶ ἐγκότημα πᾶσιν τοῖς
κύκλῳ αὐτῆς. ὅτι οὕτως εἶπεν κύριος. ἐλήμφθη Ακκαριωθ καὶ 40, 41
τὰ ὀχυρώματα συνελήμφθη. καὶ ἀπολεῖται Μωαβ ἀπὸ ὄχλου 42
ὅτι ἐπὶ τὸν κύριον ἐμεγαλύνθη. παγὶς καὶ φόβος καὶ βόθυνος 43
ἐπὶ σοί καθήμενος Μωαβ. ὁ φεύγων ἀπὸ προσώπου τοῦ φόβου 44
ἐμπεσεῖται εἰς τὸν βόθυνον καὶ ὁ ἀναβαίνων ἐκ τοῦ βοθύνου συλ-
λημφθήσεται ἐν τῇ παγίδι ὅτι ἐπάξω ταῦτα ἐπὶ Μωαβ ἐν ἐνιαυτῷ

---

**v.32** ὡς[cs] κλαυθμός[namsc] Ιαζηρ[nn-sp] ἀποκλαίω[vifm1s] σύ[rpd-s] ἄμπελος[nnfsc] Σεβημα[ng-sp] κλῆμα[nanpc] σύ[rpg-s] διέρχομαι[viaa3s] θάλασσα[nafsc] Ιαζηρ[nn-sp] ἅπτω[viam3p] ἐπί[pa] ὀπώρα[nafsc] σύ[rpg-s] ἐπί[pd] τρυγητής[ndmpc] σύ[rpg-s] ὄλεθρος[nnmsc] ἐπιπίπτω[viaa3s]. **v.33** συμψάω[viap3s] χαρμοσύνη[nnfsc] καί[cc] εὐφροσύνη[nnfsc] ἐκ[pg] ὁ[dgfs] Μωαβῖτις[ngfsp] καί[cc] οἶνος[nnmsc] εἰμί[viia3s] ἐπί[pd] ληνός[ndfpc] σύ[rpg-s] πρωΐ[b] οὐ[b] πατέω[viaa3p] οὐδέ[cc] δείλη[ngfsc] οὐ[b] ποιέω[viaa3p] αιδαδ[t]. **v.34** ἀπό[pg] κραυγή[ngfsc] Εσεβων[ngfsp] ἕως[pg] Ελεαλη[ng-sp] ὁ[dnfp] πόλις[nnfpc] αὐτός[rpgmp] δίδωμι[viaa3p] φωνή[nafsc] αὐτός[rpgmp] ἀπό[pg] Ζογορ[ng-sp] ἕως[pg] Ωρωναιμ[ng–p] καί[cc] Αγλαθ-σαλισια[ng-sp] ὅτι[cs] καί[b] ὁ[dnns] ὕδωρ[nnnsc] Νεβριμ[ng–p] εἰς[pa] κατάκαυμα[nansc] εἰμί[vifm3s]. **v.35** καί[cc] ἀπόλλυμι[vifa1s] ὁ[dams] Μωαβ[namsp] φημί[vipa3s] κύριος[nnmsc] ἀναβαίνω[vppaams] ἐπί[pa] βωμός[namsc] καί[cc] θυμιάω[vppaams] θεός[ndmpc] αὐτός[rpgms]. **v.36** διά[pa] οὗτος[rdans] καρδία[nnfsc] ἐγώ[rpgms] Μωαβ[nvfsp] ὥσπερ[cs] αὐλός[nnmpc] βομβέω[vifa3p] καρδία[nnfsc] ἐγώ[rpgms] ἐπί[pa] ἄνθρωπος[nampc] Κιραδας[ng-sp] ὥσπερ[cs] αὐλός[nnmsc] βομβέω[vifa3s] διά[pa] οὗτος[rdans] ὅς[rranp] περιποιέω[viam3s] ἀπόλλυμι[viam3s] ἀπό[pg] ἄνθρωπος[ngmsc]. **v.37** πᾶς[aiafsn] κεφαλή[nafsc] ἐν[pd] πᾶς[aidmsn] τόπος[ndmsc] ξυράω[vifm3p] καί[cc] πᾶς[ainmsn] πώγων[nnmsc] ξυράω[vifp3s] καί[cc] πᾶς[ainfpn] χείρ[nnfpc] κόπτω[vifm3p] καί[cc] ἐπί[pg] πᾶς[aigfsn] ὀσφύς[ngfsc] σάκκος[nnmsc]. **v.38** καί[cc] ἐπί[pg] πᾶς[aignpn] ὁ[dgnp] δῶμα[ngnpc] Μωαβ[ngfsp] καί[cc] ἐπί[pd] πλατύς[andfpn] αὐτός[rpgfs] ὅτι[cs] συντρίβω[viaa1s] ὁ[dams] Μωαβ[namsp] φημί[vipa3s] κύριος[nnmsc] ὡς[cs] ἀγγεῖον[nansc] ὅς[rrgns] οὐ[b] εἰμί[vipa3s] χρεία[nnfsc] αὐτός[rpgms]. **v.39** πῶς[b] καταλλάσσω[viaa3s] πῶς[b] στρέφω[viaa3s] νῶτον[nansc] Μωαβ[nnfsp] αἰσχύνω[viap3s] καί[cc] γίνομαι[viam3s] Μωαβ[nnfsp] εἰς[pa] γέλως[namsc] καί[cc] ἐγκότημα[nansc] πᾶς[aidmpn] ὁ[ddmp] κύκλος[pg] αὐτός[rpgfs]. **v.40** ὅτι[cs] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc]. **v.41** λαμβάνω[viap3s] Ακκαριωθ[nn-sp] καί[cc] ὁ[dnnp] ὀχύρωμα[nnnpc] συλλαμβάνω[viap3s]. **v.42** καί[cc] ἀπόλλυμι[vifm3s] Μωαβ[nnfsp] ἀπό[pg] ὄχλος[ngmsc] ὅτι[cs] ἐπί[pa] ὁ[dams] κύριος[namsc] μεγαλύνω[viap3s]. **v.43** παγίς[nnfsc] καί[cc] φόβος[nnmsc] καί[cc] βόθυνος[nnmsc] ἐπί[pd] σύ[rpdms] κάθημαι[vppmnms] Μωαβ[ngfsp].

13 ἐπισκέψεως αὐτῆς. ὅσα ἐπροφήτευσεν Ιερεμιας ἐπὶ πάντα τὰ
15 ἔθνη. οὕτως εἶπεν κύριος ὁ θεὸς Ισραηλ λαβὲ τὸ ποτήριον τοῦ
οἴνου τοῦ ἀκράτου τούτου ἐκ χειρός μου καὶ ποτιεῖς πάντα τὰ
16 ἔθνη πρὸς ἃ ἐγὼ ἀποστέλλω σε πρὸς αὐτούς. καὶ πίονται καὶ
ἐξεμοῦνται καὶ μανήσονται ἀπὸ προσώπου τῆς μαχαίρας ἧς ἐγὼ
17 ἀποστέλλω ἀνὰ μέσον αὐτῶν. καὶ ἔλαβον τὸ ποτήριον ἐκ χειρὸς
κυρίου καὶ ἐπότισα τὰ ἔθνη πρὸς ἃ ἀπέστειλέν με κύριος ἐπ᾽ αὐ-
18 τά. τὴν Ιερουσαλημ καὶ τὰς πόλεις Ιουδα καὶ βασιλεῖς Ιουδα καὶ
ἄρχοντας αὐτοῦ τοῦ θεῖναι αὐτὰς εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον καὶ
19 εἰς συριγμὸν. καὶ τὸν Φαραω βασιλέα Αἰγύπτου καὶ τοὺς παῖ-
δας αὐτοῦ καὶ τοὺς μεγιστᾶνας αὐτοῦ καὶ πάντα τὸν λαὸν αὐτοῦ.
20 καὶ πάντας τοὺς συμμίκτους αὐτοῦ καὶ πάντας τοὺς βασιλεῖς ἀλ-
λοφύλων τὴν Ἀσκαλῶνα καὶ τὴν Γάζαν καὶ τὴν Ακκαρων καὶ τὸ
21 ἐπίλοιπον Ἀζώτου. καὶ τὴν Ιδουμαίαν καὶ τὴν Μωαβῖτιν καὶ τοὺς
22 υἱοὺς Αμμων. καὶ πάντας βασιλεῖς Τύρου καὶ βασιλεῖς Σιδῶνος
23 καὶ βασιλεῖς τοὺς ἐν τῷ πέραν τῆς θαλάσσης. καὶ τὴν Δαιδαν καὶ
τὴν Θαιμαν καὶ τὴν Ρως καὶ πᾶν περικεκαρμένον κατὰ πρόσωπον
24 αὐτοῦ. καὶ πάντας τοὺς συμμίκτους τοὺς καταλύοντας ἐν τῇ ἐ-
25 ρήμῳ. καὶ πάντας βασιλεῖς Αιλαμ καὶ πάντας βασιλεῖς Περσῶν.
26 καὶ πάντας βασιλεῖς ἀπὸ ἀπηλιώτου τοὺς πόρρω καὶ τοὺς ἐγγύς

---

**v.44** ὁ[dnms] φεύγω[vppanms] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgms] φόβος[ngmsc] ἐμπίπτω[vifm3s] εἰς[pa] ὁ[dams] βόθυνος[namsc] καί[cc] ὁ[dnms] ἀναβαίνω[vppanms] ἐκ[pg] ὁ[dgms] βόθυνος[ngmsc] συλλαμβάνω[vifp3s] ἐν[pd] ὁ[ddfs] παγίς[ndfsc] ὅτι[cs] ἐπάγω[vifa1s] οὗτος[rdanp] ἐπί[pa] Μωαβ[nafsp] ἐν[pd] ἐνιαυτός[ndmsc] ἐπίσκεψις[ngfsc] αὐτός[rpgfs]. **v.13** ὅσος[aranpn] προφητεύω[viaa3s] Ἱερεμίας[nnmsp] ἐπί[pa] πᾶς[aianpn] ὁ[danp] ἔθνος[nanpc]. **v.15** οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] Ἰσραήλ[nnmsp] λαμβάνω[vdaa2s] ὁ[dans] ποτήριον[nansc] ὁ[dgms] οἶνος[ngmsc] ὁ[dgms] ἄκρατος[angmsn] οὗτος[rdgms] ἐκ[pg] χείρ[ngfsc] ἐγώ[rpgms] καί[cc] ποτίζω[vifa2s] πᾶς[aianpn] ὁ[danp] ἔθνος[nanpc] πρός[pa] ὅς[rranp] ἐγώ[rpnms] ἀποστέλλω[vipa1s] σύ[rpams] πρός[pa] αὐτός[rpamp]. **v.16** καί[cc] πίνω[vifm3p] καί[cc] ἐξεμέω[vipm3p] καί[cc] μαίνομαι[vifp3p] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] μάχαιρα[ngfsc] ὅς[rrgfs] ἐγώ[rpnms] ἀποστέλλω[vipa1s] ἀνά[pa] μέσος[anansn] αὐτός[rpgmp]. **v.17** καί[cc] λαμβάνω[viaa1s] ὁ[dans] ποτήριον[nansc] ἐκ[pg] χείρ[ngfsc] κύριος[ngmsc] καί[cc] ποτίζω[viaa1s] ὁ[danp] ἔθνος[nanpc] πρός[pa] ὅς[rranp] ἀποστέλλω[viaa3s] ἐγώ[rpams] κύριος[nnmsc] ἐπί[pa] αὐτός[rpanp]. **v.18** ὁ[dafs] Ἰερουσαλήμ[nafsp] καί[cc] ὁ[dafp] πόλις[nafpc] Ἰούδας[ngmsp] καί[cc] βασιλεύς[nampc] Ἰούδας[ngmsp] καί[cc] ἄρχων[nampc] αὐτός[rpgms] ὁ[dgns] τίθημι[vnaa] αὐτός[rpafp] εἰς[pa] ἐρήμωσις[nafsc] καί[cc] εἰς[pa] ἄβατος[anansn] καί[cc] εἰς[pa] συριγμός[namsc]. **v.19** καί[cc] ὁ[dams] Φαραώ[namsp] βασιλεύς[namsc] Αἴγυπτος[ngfsp] καί[cc] ὁ[damp] παῖς[nampc] αὐτός[rpgms] καί[cc] ὁ[damp] μεγιστάν[nampc] αὐτός[rpgms] καί[cc] πᾶς[aiamsn] ὁ[dams] λαός[namsc] αὐτός[rpgms]. **v.20** καί[cc] πᾶς[aiampn] ὁ[damp] σύμμικτος[anampn] αὐτός[rpgms] καί[cc] πᾶς[aiampn] ὁ[damp] βασιλεύς[nampc] ἀλλόφυλος[angmpn] ὁ[dafs] Ἀσκαλών[nafsp] καί[cc] ὁ[dafs] Γάζα[nafsp] καί[cc] ὁ[dafs] Ακκαρων[nafsp] καί[cc] ὁ[dans] ἐπίλοιπος[anansn] Ἄζωτος[ngfsp]. **v.21** καί[cc] ὁ[dafs] Ἰδουμαία[nafsp] καί[cc] ὁ[dafs] Μωαβῖτις[nafsp] καί[cc] ὁ[damp] υἱός[nampc] Αμμων[ngmsp]. **v.22** καί[cc] πᾶς[aiampn] βασιλεύς[nampc] Τύρος[ngfsp] καί[cc] βασιλεύς[nampc] Σιδών[ngfsp] καί[cc] βασιλεύς[nampc] ὁ[damp] ἐν[pd] ὁ[ddns] πέραν[b] ὁ[dgfs] θάλασσα[ngfsc]. **v.23** καί[cc] ὁ[dafs] Δαιδαν[nafsp] καί[cc] ὁ[dafs] Θαιμαν[nafsp] καί[cc] ὁ[dafs] Ρως[nafsp] καί[cc] πᾶς[aiansn] περικείρω[vpxmans] κατά[pa] πρόσωπον[nansc] αὐτός[rpgms]. **v.24** καί[cc] πᾶς[aiampn] ὁ[damp] σύμμικτος[anampn] ὁ[damp] καταλύω[vppaamp] ἐν[pd] ὁ[ddfs] ἔρημος[ndfsc]. **v.25** καί[cc] πᾶς[aiampn] βασιλεύς[nampc] Αιλαμ[ng-sp] καί[cc] πᾶς[aiampn] βασιλεύς[nampc] Πέρσης[ngmpp].

ἕκαστον πρὸς τὸν ἀδελφὸν αὐτοῦ καὶ πάσας τὰς βασιλείας τὰς ἐπὶ
προσώπου τῆς γῆς. καὶ ἐρεῖς αὐτοῖς οὕτως εἶπεν κύριος παντο- 27
κράτωρ πίετε καὶ μεθύσθητε καὶ ἐξεμέσατε καὶ πεσεῖσθε καὶ οὐ
μὴ ἀναστῆτε ἀπὸ προσώπου τῆς μαχαίρας ἧς ἐγὼ ἀποστέλλω ἀνὰ
μέσον ὑμῶν. καὶ ἔσται ὅταν μὴ βούλωνται δέξασθαι τὸ ποτήριον 28
ἐκ τῆς χειρός σου ὥστε πιεῖν καὶ ἐρεῖς οὕτως εἶπεν κύριος πιόντες
πίεσθε. ὅτι ἐν πόλει ἐν ᾗ ὠνομάσθη τὸ ὄνομά μου ἐπ᾽ αὐτήν ἐ- 29
γὼ ἄρχομαι κακῶσαι καὶ ὑμεῖς καθάρσει οὐ μὴ καθαρισθῆτε ὅτι
μάχαιραν ἐγὼ καλῶ ἐπὶ τοὺς καθημένους ἐπὶ τῆς γῆς. καὶ σὺ 30
προφητεύσεις ἐπ᾽ αὐτοὺς τοὺς λόγους τούτους καὶ ἐρεῖς κύριος
ἀφ᾽ ὑψηλοῦ χρηματιεῖ ἀπὸ τοῦ ἁγίου αὐτοῦ δώσει φωνὴν αὐτοῦ
λόγον χρηματιεῖ ἐπὶ τοῦ τόπου αὐτοῦ καὶ αιδαδ ὥσπερ τρυγῶν-
τες ἀποκριθήσονται καὶ ἐπὶ τοὺς καθημένους ἐπὶ τὴν γῆν. ἥκει 31
ὄλεθρος ἐπὶ μέρος τῆς γῆς ὅτι κρίσις τῷ κυρίῳ ἐν τοῖς ἔθνεσιν
κρίνεται αὐτὸς πρὸς πᾶσαν σάρκα οἱ δὲ ἀσεβεῖς ἐδόθησαν εἰς μά-
χαιραν λέγει κύριος. οὕτως εἶπεν κύριος ἰδοὺ κακὰ ἔρχεται ἀπὸ 32
ἔθνους ἐπὶ ἔθνος καὶ λαῖλαψ μεγάλη ἐκπορεύεται ἀπ᾽ ἐσχάτου
τῆς γῆς. καὶ ἔσονται τραυματίαι ὑπὸ κυρίου ἐν ἡμέρᾳ κυρίου 33
ἐκ μέρους τῆς γῆς καὶ ἕως εἰς μέρος τῆς γῆς οὐ μὴ κατορυγῶσιν
εἰς κόπρια ἐπὶ προσώπου τῆς γῆς ἔσονται. ἀλαλάξατε ποιμένες 34
καὶ κεκράξατε καὶ κόπτεσθε οἱ κριοὶ τῶν προβάτων ὅτι ἐπληρώ-

---

**v.26** καί[cc] πᾶς[aiampn] βασιλεύς[nampc] ἀπό[pg] ἀπηλιώτης[ngmsc] ὁ[damp] πόρρω[b] καί[cc] ὁ[damp] ἐγγύς[b] ἕκαστος[aiamsn] πρός[pa] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] καί[cc] πᾶς[aiafpn] ὁ[dafp] βασιλεία[nafpc] ὁ[dafp] ἐπί[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc]. **v.27** καί[cc] λέγω[vifa2s] αὐτός[rpdmp] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] παντοκράτωρ[nnmsc] πίνω[vdaa2p] καί[cc] μεθύσκω[vsap2p] καί[cc] ἐξεμέω[vdaa2p] καί[cc] πίπτω[vifm2p] καί[cc] οὐ[b] μή[x] ἀνίστημι[vsaa2p] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] μάχαιρα[ngfsc] ὅς[rrgfs] ἐγώ[rpnms] ἀποστέλλω[vipa1s] ἀνά[pa] μέσος[anansn] σύ[rpg-p]. **v.28** καί[cc] εἰμί[vifm3s] ὅταν[cs] μή[x] βούλομαι[vspm3p] δέχομαι[vnam] ὁ[dans] ποτήριον[nansc] ἐκ[pg] ὁ[dgfs] χείρ[ngfsc] σύ[rpgms] ὥστε[cs] πίνω[vnaa] καί[cc] λέγω[vifa2s] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] πίνω[vpaanmp] πίνω[vifm2p]. **v.29** ὅτι[cs] ἐν[pd] πόλις[ndfsc] ἐν[pd] ὅς[rrdfs] ὀνομάζω[viap3s] ὁ[dnns] ὄνομα[nnnsc] ἐγώ[rpgms] ἐπί[pa] αὐτός[rpafs] ἐγώ[rpnms] ἄρχω[vipm1s] κακόω[vnaa] καί[cc] σύ[rpn-p] κάθαρσις[ndfsc] οὐ[b] μή[x] καθαρίζω[vsap2p] ὅτι[cs] μάχαιρα[nafsc] ἐγώ[rpnms] καλέω[vipa1s] ἐπί[pa] ὁ[damp] κάθημαι[vppmamp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc]. **v.30** καί[cc] σύ[rpnms] προφητεύω[vifa2s] ἐπί[pa] αὐτός[rpamp] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] καί[cc] λέγω[vifa2s] κύριος[nnmsc] ἀπό[pg] ὑψηλός[angnsn] χρηματίζω[vifa3s] ἀπό[pg] ὁ[dgns] ἅγιος[angnsn] αὐτός[rpgms] δίδωμι[vifa3s] φωνή[nafsc] αὐτός[rpgms] λόγος[namsc] χρηματίζω[vifa3s] ἐπί[pg] ὁ[dgms] τόπος[ngmsc] αὐτός[rpgms] καί[cc] αιδαδ[t] ὥσπερ[cs] τρυγάω[vppanmp] ἀποκρίνομαι[vifp3p] καί[cc] ἐπί[pa] ὁ[damp] κάθημαι[vppmamp] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc]. **v.31** ἥκω[vipa3s] ὄλεθρος[nnmsc] ἐπί[pa] μέρος[nansc] ὁ[dgfs] γῆ[ngfsc] ὅτι[cs] κρίσις[nnfsc] ὁ[ddms] κύριος[ndmsc] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] κρίνω[vipm3s] αὐτός[rpnms] πρός[pa] πᾶς[aiafsn] σάρξ[nafsc] ὁ[dnmp] δέ[cc] ἀσεβής[annmpn] δίδωμι[viap3p] εἰς[pa] μάχαιρα[nafsc] λέγω[vipa3s] κύριος[nnmsc]. **v.32** οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ἰδού[i] κακός[annnpn] ἔρχομαι[vipm3s] ἀπό[pg] ἔθνος[ngnsc] ἐπί[pa] ἔθνος[nansc] καί[cc] λαῖλαψ[nnnsc] μέγας[annfsn] ἐκπορεύομαι[vipm3s] ἀπό[pg] ἔσχατος[angnsn] ὁ[dgfs] γῆ[ngfsc]. **v.33** καί[cc] εἰμί[vifm3p] τραυματίας[nnmpc] ὑπό[pg] κύριος[ngmsc] ἐν[pd] ἡμέρα[ndfsc] κύριος[ngmsc] ἐκ[pg] μέρος[ngnsc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἕως[b] εἰς[pa] μέρος[nansc] ὁ[dgfs] γῆ[ngfsc] οὐ[b] μή[x] κατορύσσω[vsaa3p] εἰς[pa] κόπριον[nanpc] ἐπί[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc] εἰμί[vifm3p].

θησαν αἱ ἡμέραι ὑμῶν εἰς σφαγήν καὶ πεσεῖσθε ὥσπερ οἱ κριοὶ
35 οἱ ἐκλεκτοί. καὶ ἀπολεῖται φυγὴ ἀπὸ τῶν ποιμένων καὶ σωτηρία
36 ἀπὸ τῶν κριῶν τῶν προβάτων. φωνὴ κραυγῆς τῶν ποιμένων καὶ
ἀλαλαγμὸς τῶν προβάτων καὶ τῶν κριῶν ὅτι ὠλέθρευσεν κύριος
37 τὰ βοσκήματα αὐτῶν. καὶ παύσεται τὰ κατάλοιπα τῆς εἰρήνης
38 ἀπὸ προσώπου ὀργῆς θυμοῦ μου. ἐγκατέλιπεν ὥσπερ λέων κα-
τάλυμα αὐτοῦ ὅτι ἐγενήθη ἡ γῆ αὐτῶν εἰς ἄβατον ἀπὸ προσώπου
τῆς μαχαίρας τῆς μεγάλης.

**33** ἐν ἀρχῇ βασιλέως Ιωακιμ υἱοῦ Ιωσια ἐγενήθη ὁ λόγος οὗτος
2 παρὰ κυρίου. οὕτως εἶπεν κύριος στῆθι ἐν αὐλῇ οἴκου κυρίου
καὶ χρηματιεῖς ἅπασι τοῖς Ιουδαίοις καὶ πᾶσι τοῖς ἐρχομένοις
προσκυνεῖν ἐν οἴκῳ κυρίου ἅπαντας τοὺς λόγους οὓς συνέτα-
3 ξά σοι αὐτοῖς χρηματίσαι μὴ ἀφέλῃς ῥῆμα. ἴσως ἀκούσονται
καὶ ἀποστραφήσονται ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς
καὶ παύσομαι ἀπὸ τῶν κακῶν ὧν ἐγὼ λογίζομαι τοῦ ποιῆσαι αὐ-
4 τοῖς ἕνεκεν τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν. καὶ ἐρεῖς οὕτως
εἶπεν κύριος ἐὰν μὴ ἀκούσητέ μου τοῦ πορεύεσθαι ἐν τοῖς νο-
5 μίμοις μου οἷς ἔδωκα κατὰ πρόσωπον ὑμῶν. εἰσακούειν τῶν
λόγων τῶν παίδων μου τῶν προφητῶν οὓς ἐγὼ ἀποστέλλω πρὸς
6 ὑμᾶς ὄρθρου καὶ ἀπέστειλα καὶ οὐκ εἰσηκούσατέ μου. καὶ δώσω
τὸν οἶκον τοῦτον ὥσπερ Σηλωμ καὶ τὴν πόλιν δώσω εἰς κατάραν

---

**v.34** ἀλαλάζω[vdaa2p] ποιμήν[nvmpc] καί[cc] κράζω[vdaa2p] καί[cc] κόπτω[vdpm2p] ὁ[dnmp] κριός[nnmpc] ὁ[dgnp] πρόβατον[ngnpc] ὅτι[cs] πληρόω[viap3p] ὁ[dnfp] ἡμέρα[nnfpc] σύ[rpg-p] εἰς[pa] σφαγή[nafsc] καί[cc] πίπτω[vifm2p] ὥσπερ[cs] ὁ[dnmp] κριός[nnmpc] ὁ[dnmp] ἐκλεκτός[annmpn]. **v.35** καί[cc] ἀπόλλυμι[vifm3s] φυγή[nnfsc] ἀπό[pg] ὁ[dgmp] ποιμήν[ngmpc] καί[cc] σωτηρία[nnfsc] ἀπό[pg] ὁ[dgmp] κριός[ngmpc] ὁ[dgnp] πρόβατον[ngnpc]. **v.36** φωνή[nnfsc] κραυγή[ngfsc] ὁ[dgmp] ποιμήν[ngmpc] καί[cc] ἀλαλαγμός[nnmsc] ὁ[dgnp] πρόβατον[ngnpc] καί[cc] ὁ[dgmp] κριός[ngmpc] ὅτι[cs] ὀλεθρεύω[viaa3s] κύριος[nnmsc] ὁ[danp] βόσκημα[nanpc] αὐτός[rpgmp]. **v.37** καί[cc] παύω[vifm3s] ὁ[dnnp] κατάλοιπος[annnpn] ὁ[dgfs] εἰρήνη[ngfsc] ἀπό[pg] πρόσωπον[ngnsc] ὀργή[ngfsc] θυμός[ngmsc] ἐγώ[rpgms]. **v.38** ἐγκαταλείπω[viaa3s] ὥσπερ[cs] λέων[nnmsc] κατάλυμα[nansc] αὐτός[rpgms] ὅτι[cs] γίνομαι[viap3s] ὁ[dnfs] γῆ[nnfsc] αὐτός[rpgmp] εἰς[pa] ἄβατος[anansn] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] μάχαιρα[ngfsc] ὁ[dgfs] μέγας[angfsn]. **33. v.1** ἐν[pd] ἀρχή[ndfsc] βασιλεύς[ngmsc] Ἰωακίμ[ngmsp] υἱός[ngmsc] Ιωσια[ngmsp] γίνομαι[viap3s] ὁ[dnms] λόγος[nnmsc] οὗτος[rdnms] παρά[pg] κύριος[ngmsc]. **v.2** οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ἵστημι[vdaa2s] ἐν[pd] αὐλή[ndfsc] οἶκος[ngmsc] κύριος[ngmsc] καί[cc] χρηματίζω[vifa2s] ἅπας[andmpn] ὁ[ddmp] Ἰουδαῖος[andmpn] καί[cc] πᾶς[aidmpn] ὁ[ddmp] ἔρχομαι[vppmdmp] προσκυνέω[vnpa] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc] ἅπας[anampn] ὁ[damp] λόγος[nampc] ὅς[rramp] συντάσσω[viaa1s] σύ[rpdms] αὐτός[rpdmp] χρηματίζω[vnaa] μή[x] ἀφαιρέω[vsaa2s] ῥῆμα[nansc]. **v.3** ἴσως[b] ἀκούω[vifm3p] καί[cc] ἀποστρέφω[vifp3p] ἕκαστος[ainmsn] ἀπό[pg] ὁ[dgfs] ὁδός[ngfsc] αὐτός[rpgms] ὁ[dgfs] πονηρός[angfsn] καί[cc] παύω[vifm1s] ἀπό[pg] ὁ[dgnp] κακός[angnpn] ὅς[rrgnp] ἐγώ[rpnms] λογίζομαι[vipm1s] ὁ[dgns] ποιέω[vnaa] αὐτός[rpdmp] ἕνεκα[pg] ὁ[dgnp] πονηρός[angnpn] ἐπιτήδευμα[ngnpc] αὐτός[rpgmp]. **v.4** καί[cc] λέγω[vifa2s] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ἐάν[cs] μή[x] ἀκούω[vsaa2p] ἐγώ[rpgms] ὁ[dgns] πορεύομαι[vnpm] ἐν[pd] ὁ[ddnp] νόμιμος[andnpn] ἐγώ[rpgms] ὅς[rrdnp] δίδωμι[viaa1s] κατά[pa] πρόσωπον[nansc] σύ[rpg-p]. **v.5** εἰσακούω[vnpa] ὁ[dgmp] λόγος[ngmpc] ὁ[dgmp] παῖς[ngmpc] ἐγώ[rpgms] ὁ[dgmp] προφήτης[ngmpc] ὅς[rramp] ἐγώ[rpnms] ἀποστέλλω[vipa1s] πρός[pa] σύ[rpa-p] ὄρθρος[ngmsc] καί[cc] ἀποστέλλω[viaa1s] καί[cc] οὐ[b] εἰσακούω[viaa2p] ἐγώ[rpgms].

πᾶσιν τοῖς ἔθνεσιν πάσης τῆς γῆς. καὶ ἤκουσαν οἱ ἱερεῖς καὶ 7
οἱ ψευδοπροφῆται καὶ πᾶς ὁ λαὸς τοῦ Ιερεμιου λαλοῦντος τοὺς
λόγους τούτους ἐν οἴκῳ κυρίου. καὶ ἐγένετο Ιερεμιου παυσα- 8
μένου λαλοῦντος πάντα ἃ συνέταξεν αὐτῷ κύριος λαλῆσαι παντὶ
τῷ λαῷ καὶ συνελάβοσαν αὐτὸν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται
καὶ πᾶς ὁ λαὸς λέγων θανάτῳ ἀποθανῇ. ὅτι ἐπροφήτευσας τῷ 9
ὀνόματι κυρίου λέγων ὥσπερ Σηλωμ ἔσται ὁ οἶκος οὗτος καὶ ἡ
πόλις αὕτη ἐρημωθήσεται ἀπὸ κατοικούντων καὶ ἐξεκκλησιάσθη
πᾶς ὁ λαὸς ἐπὶ Ιερεμιαν ἐν οἴκῳ κυρίου. καὶ ἤκουσαν οἱ ἄρχον- 10
τες Ιουδα τὸν λόγον τοῦτον καὶ ἀνέβησαν ἐξ οἴκου τοῦ βασιλέως
εἰς οἶκον κυρίου καὶ ἐκάθισαν ἐν προθύροις πύλης κυρίου τῆς
καινῆς. καὶ εἶπαν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται πρὸς τοὺς 11
ἄρχοντας καὶ παντὶ τῷ λαῷ κρίσις θανάτου τῷ ἀνθρώπῳ τούτῳ ὅτι
ἐπροφήτευσεν κατὰ τῆς πόλεως ταύτης καθὼς ἠκούσατε ἐν τοῖς
ὠσὶν ὑμῶν. καὶ εἶπεν Ιερεμιας πρὸς τοὺς ἄρχοντας καὶ παντὶ 12
τῷ λαῷ λέγων κύριος ἀπέστειλέν με προφητεῦσαι ἐπὶ τὸν οἶκον
τοῦτον καὶ ἐπὶ τὴν πόλιν ταύτην πάντας τοὺς λόγους τούτους οὓς
ἠκούσατε. καὶ νῦν βελτίους ποιήσατε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ 13
ἔργα ὑμῶν καὶ ἀκούσατε τῆς φωνῆς κυρίου καὶ παύσεται κύριος
ἀπὸ τῶν κακῶν ὧν ἐλάλησεν ἐφ' ὑμᾶς. καὶ ἰδοὺ ἐγὼ ἐν χερσὶν 14

---

**v.6** καί[cc] δίδωμι[vifa1s] ὁ[dams] οἶκος[namsc] οὗτος[rdams] ὥσπερ[cs] Σηλωμ[ndfsp] καί[cc] ὁ[dafs] πόλις[nafsc] δίδωμι[vifa1s] εἰς[pa] κατάρα[nafsc] πᾶς[aidnpn] ὁ[ddnp] ἔθνος[ndnpc] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc]. **v.7** καί[cc] ἀκούω[viaa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] ψευδοπροφήτης[nnmpc] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] ὁ[dgms] Ἰερεμίας[ngmsp] λαλέω[vppagms] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc]. **v.8** καί[cc] γίνομαι[viam3s] Ἰερεμίας[ngmsp] παύω[vpamgms] λαλέω[vppagms] πᾶς[aianpn] ὅς[rranp] συντάσσω[viaa3s] αὐτός[rpdms] κύριος[nnmsc] λαλέω[vnaa] πᾶς[aidmsn] ὁ[ddms] λαός[ndmsc] καί[cc] συλλαμβάνω[viaa3p] αὐτός[rpams] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] ψευδοπροφήτης[nnmpc] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] λέγω[vppanms] θάνατος[ndmsc] ἀποθνῄσκω[vifm2s]. **v.9** ὅτι[cs] προφητεύω[viaa2s] ὁ[ddns] ὄνομα[ndnsc] κύριος[ngmsc] λέγω[vppanms] ὥσπερ[cs] Σηλωμ[ndfsp] εἰμί[vifm3s] ὁ[dnms] οἶκος[nnmsc] οὗτος[rdnms] καί[cc] ὁ[dnfs] πόλις[nnfsc] οὗτος[rdnfs] ἐρημόω[vifp3s] ἀπό[pg] κατοικέω[vppagmp] καί[cc] ἐξεκκλησιάζω[viap3s] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] ἐπί[pa] Ἰερεμίας[namsp] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc]. **v.10** καί[cc] ἀκούω[viaa3p] ὁ[dnmp] ἄρχων[nnmpc] Ἰούδας[ngmsp] ὁ[dams] λόγος[namsc] οὗτος[rdams] καί[cc] ἀναβαίνω[viaa3p] ἐκ[pg] οἶκος[ngmsc] ὁ[dgms] βασιλεύς[ngmsc] εἰς[pa] οἶκος[namsc] κύριος[ngmsc] καί[cc] καθίζω[viaa3p] ἐν[pd] πρόθυρον[ndnpc] πύλη[ngfsc] κύριος[ngmsc] ὁ[dgfs] καινός[angfsn]. **v.11** καί[cc] λέγω[viaa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ὁ[dnmp] ψευδοπροφήτης[nnmpc] πρός[pa] ὁ[damp] ἄρχων[nampc] καί[cc] πᾶς[aidmsn] ὁ[ddms] λαός[ndmsc] κρίσις[nnfsc] θάνατος[ngmsc] ὁ[ddms] ἄνθρωπος[ndmsc] οὗτος[rddms] ὅτι[cs] προφητεύω[viaa3s] κατά[pg] ὁ[dgfs] πόλις[ngfsc] οὗτος[rdgfs] καθώς[cs] ἀκούω[viaa2p] ἐν[pd] ὁ[ddnp] οὖς[ndnpc] σύ[rpg-p]. **v.12** καί[cc] λέγω[viaa3s] Ἰερεμίας[nnmsp] πρός[pa] ὁ[damp] ἄρχων[nampc] καί[cc] πᾶς[aidmsn] ὁ[ddms] λαός[ndmsc] λέγω[vppanms] κύριος[nnmsc] ἀποστέλλω[viaa3s] ἐγώ[rpams] προφητεύω[vnaa] ἐπί[pa] ὁ[dams] οἶκος[namsc] οὗτος[rdams] καί[cc] ἐπί[pa] ὁ[dafs] πόλις[nafsc] οὗτος[rdafs] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] ὅς[rramp] ἀκούω[viaa2p]. **v.13** καί[cc] νῦν[b] ἀγαθός[anafpc] ποιέω[vdaa2p] ὁ[dafp] ὁδός[nafpc] σύ[rpg-p] καί[cc] ὁ[danp] ἔργον[nanpc] σύ[rpg-p] καί[cc] ἀκούω[vdaa2p] ὁ[dgfs] φωνή[ngfsc] κύριος[ngmsc] καί[cc] παύω[vifm3s] κύριος[nnmsc] ἀπό[pg] ὁ[dgnp] κακός[angnpn] ὅς[rrgnp] λαλέω[viaa3s] ἐπί[pa] σύ[rpa-p].

15 ὑμῶν ποιήσατέ μοι ὡς συμφέρει καὶ ὡς βέλτιον ὑμῖν. ἀλλ᾽ ἢ
γνόντες γνώσεσθε ὅτι εἰ ἀναιρεῖτέ με αἷμα ἀθῷον δίδοτε ἐφ᾽ ὑ-
μᾶς καὶ ἐπὶ τὴν πόλιν ταύτην καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ
ὅτι ἐν ἀληθείᾳ ἀπέσταλκέν με κύριος πρὸς ὑμᾶς λαλῆσαι εἰς τὰ
16 ὦτα ὑμῶν πάντας τοὺς λόγους τούτους. καὶ εἶπαν οἱ ἄρχοντες
καὶ πᾶς ὁ λαὸς πρὸς τοὺς ἱερεῖς καὶ πρὸς τοὺς ψευδοπροφήτας
οὐκ ἔστιν τῷ ἀνθρώπῳ τούτῳ κρίσις θανάτου ὅτι ἐπὶ τῷ ὀνόματι
17 κυρίου τοῦ θεοῦ ἡμῶν ἐλάλησεν πρὸς ἡμᾶς. καὶ ἀνέστησαν ἄν-
δρες τῶν πρεσβυτέρων τῆς γῆς καὶ εἶπαν πάσῃ τῇ συναγωγῇ τοῦ
18 λαοῦ. Μιχαιας ὁ Μωραθίτης ἦν ἐν ταῖς ἡμέραις Εζεκιου βα-
σιλέως Ιουδα καὶ εἶπεν παντὶ τῷ λαῷ Ιουδα οὕτως εἶπεν κύριος
Σιων ὡς ἀγρὸς ἀροτριαθήσεται καὶ Ιερουσαλημ εἰς ἄβατον ἔσται
19 καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ. μὴ ἀνελὼν ἀνεῖλεν αὐ-
τὸν Εζεκιας καὶ πᾶς Ιουδα οὐχὶ ὅτι ἐφοβήθησαν τὸν κύριον καὶ
ὅτι ἐδεήθησαν τοῦ προσώπου κυρίου καὶ ἐπαύσατο κύριος ἀπὸ
τῶν κακῶν ὧν ἐλάλησεν ἐπ᾽ αὐτούς καὶ ἡμεῖς ἐποιήσαμεν κα-
20 κὰ μεγάλα ἐπὶ ψυχὰς ἡμῶν. καὶ ἄνθρωπος ἦν προφητεύων τῷ
ὀνόματι κυρίου Ουριας υἱὸς Σαμαιου ἐκ Καριαθιαριμ καὶ ἐπρο-
φήτευσεν περὶ τῆς γῆς ταύτης κατὰ πάντας τοὺς λόγους Ιερεμιου.
21 καὶ ἤκουσεν ὁ βασιλεὺς Ιωακιμ καὶ πάντες οἱ ἄρχοντες πάντας
τοὺς λόγους αὐτοῦ καὶ ἐζήτουν ἀποκτεῖναι αὐτόν καὶ ἤκουσεν

---

**v.14** καί[cc] ἰδού[i] ἐγώ[rpnms] ἐν[pd] χείρ[ndfpc] σύ[rpg-p] ποιέω[vdaa2p] ἐγώ[rpdms] ὡς[cs] συμφέρω[vipa3s] καί[cc] ὡς[cs] ἀγαθός[anansc] σύ[rpd-p]. **v.15** ἀλλά[cc] ἤ[cc] γινώσκω[vpaanmp] γινώσκω[vifm2p] ὅτι[cs] εἰ[cs] ἀναιρέω[vipa2p] ἐγώ[rpams] αἷμα[nansc] ἀθῷος[anansn] δίδωμι[vipa2p] ἐπί[pa] σύ[rpa-p] καί[cc] ἐπί[pa] ὁ[dafs] πόλις[nafsc] οὗτος[rdafs] καί[cc] ἐπί[pa] ὁ[damp] κατοικέω[vppaamp] ἐν[pd] αὐτός[rpdfs] ὅτι[cs] ἐν[pd] ἀλήθεια[ndfsc] ἀποστέλλω[vixa3s] ἐγώ[rpams] κύριος[nnmsc] πρός[pa] σύ[rpa-p] λαλέω[vnaa] εἰς[pa] ὁ[danp] οὖς[nanpc] σύ[rpg-p] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp]. **v.16** καί[cc] λέγω[viaa3p] ὁ[dnmp] ἄρχων[nnmpc] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] πρός[pa] ὁ[damp] ἱερεύς[nampc] καί[cc] πρός[pa] ὁ[damp] ψευδοπροφήτης[nampc] οὐ[b] εἰμί[vipa3s] ὁ[ddms] ἄνθρωπος[ndmsc] οὗτος[rddms] κρίσις[nnfsc] θάνατος[ngmsc] ὅτι[cs] ἐπί[pd] ὁ[ddns] ὄνομα[ndnsc] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc] ἐγώ[rpg-p] λαλέω[viaa3s] πρός[pa] ἐγώ[rpa-p]. **v.17** καί[cc] ἀνίστημι[viaa3p] ἀνήρ[nnmpc] ὁ[dgmp] πρεσβύτερος[angmpc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] λέγω[viaa3p] πᾶς[aidfsn] ὁ[ddfs] συναγωγή[ndfsc] ὁ[dgms] λαός[ngmsc]. **v.18** Μιχαιας[nnmsp] ὁ[dnms] Μωραθίτης[nnmsp] εἰμί[viia3s] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] Εζεκίας[ngmsp] βασιλεύς[ngmsc] Ἰούδας[ngmsp] καί[cc] λέγω[viaa3s] πᾶς[aidmsn] ὁ[ddms] λαός[ndmsc] Ἰούδας[ngmsp] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] Σιών[nnfsp] ὡς[cs] ἀγρός[nnmsc] ἀροτριάω[vifp3s] καί[cc] Ἰερουσαλήμ[nnfsp] εἰς[pa] ἄβατος[anansn] εἰμί[vifm3s] καί[cc] ὁ[dnns] ὄρος[nnnsc] ὁ[dgms] οἶκος[ngmsc] εἰς[pa] ἄλσος[nansc] δρυμός[ngmsc]. **v.19** μή[x] ἀναιρέω[vpaanms] ἀναιρέω[viaa3s] αὐτός[rpams] Ἑζεκίας[nnmsp] καί[cc] πᾶς[ainmsn] Ἰούδας[nnmsp] οὐχί[b] ὅτι[cs] φοβέω[viap3p] ὁ[dams] κύριος[namsc] καί[cc] ὅτι[cs] δέομαι[viap3p] ὁ[dgns] πρόσωπον[ngnsc] κύριος[ngmsc] καί[cc] παύω[viam3s] κύριος[nnmsc] ἀπό[pg] ὁ[dgnp] κακός[angnpn] ὅς[rrgnp] λαλέω[viaa3s] ἐπί[pa] αὐτός[rpamp] καί[cc] ἐγώ[rpn-p] ποιέω[viaa1p] κακός[ananpn] μέγας[ananpn] ἐπί[pa] ψυχή[nafpc] ἐγώ[rpg-p]. **v.20** καί[cc] ἄνθρωπος[nnmsc] εἰμί[viia3s] προφητεύω[vppanms] ὁ[ddns] ὄνομα[ndnsc] κύριος[ngmsc] Ουριας[nnmsp] υἱός[nnmsc] Σαμαιας[ngmsp] ἐκ[pg] Καριαθιαριμ[ng-sp] καί[cc] προφητεύω[viaa3s] περί[pg] ὁ[dgfs] γῆ[ngfsc] οὗτος[rdgfs] κατά[pa] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] Ἰερεμίας[ngmsp].

Ουριας καὶ εἰσῆλθεν εἰς Αἴγυπτον. καὶ ἐξαπέστειλεν ὁ βασιλεὺς 22
ἄνδρας εἰς Αἴγυπτον. καὶ ἐξηγάγοσαν αὐτὸν ἐκεῖθεν καὶ εἰση- 23
γάγοσαν αὐτὸν πρὸς τὸν βασιλέα καὶ ἐπάταξεν αὐτὸν ἐν μαχαίρᾳ
καὶ ἔρριψεν αὐτὸν εἰς τὸ μνῆμα υἱῶν λαοῦ αὐτοῦ. πλὴν χεὶρ 24
Αχικαμ υἱοῦ Σαφαν ἦν μετὰ Ιερεμιου τοῦ μὴ παραδοῦναι αὐτὸν
εἰς χεῖρας τοῦ λαοῦ τοῦ μὴ ἀνελεῖν αὐτόν. οὕτως εἶπεν κύριος 2
ποίησον δεσμοὺς καὶ κλοιοὺς καὶ περίθου περὶ τὸν τράχηλόν
σου. καὶ ἀποστελεῖς αὐτοὺς πρὸς βασιλέα Ιδουμαίας καὶ πρὸς 3
βασιλέα Μωαβ καὶ πρὸς βασιλέα υἱῶν Αμμων καὶ πρὸς βασιλέα
Τύρου καὶ πρὸς βασιλέα Σιδῶνος ἐν χερσὶν ἀγγέλων αὐτῶν τῶν
ἐρχομένων εἰς ἀπάντησιν αὐτῶν εἰς Ιερουσαλημ πρὸς Σεδεκιαν
βασιλέα Ιουδα. καὶ συντάξεις αὐτοῖς πρὸς τοὺς κυρίους αὐτῶν 4
εἰπεῖν οὕτως εἶπεν κύριος ὁ θεὸς Ισραηλ οὕτως ἐρεῖτε πρὸς τοὺς
κυρίους ὑμῶν. ὅτι ἐγὼ ἐποίησα τὴν γῆν ἐν τῇ ἰσχύι μου τῇ μεγά- 5
λῃ καὶ ἐν τῷ ἐπιχείρῳ μου τῷ ὑψηλῷ καὶ δώσω αὐτὴν ᾧ ἐὰν δόξῃ
ἐν ὀφθαλμοῖς μου. ἔδωκα τὴν γῆν τῷ Ναβουχοδονοσορ βασιλεῖ 6
Βαβυλῶνος δουλεύειν αὐτῷ καὶ τὰ θηρία τοῦ ἀγροῦ ἐργάζεσθαι
αὐτῷ. καὶ τὸ ἔθνος καὶ ἡ βασιλεία ὅσοι ἐὰν μὴ ἐμβάλωσιν τὸν 8
τράχηλον αὐτῶν ὑπὸ τὸν ζυγὸν βασιλέως Βαβυλῶνος ἐν μαχαίρᾳ
καὶ ἐν λιμῷ ἐπισκέψομαι αὐτούς εἶπεν κύριος ἕως ἐκλίπωσιν ἐν

---

**v.21** καί[cc] ἀκούω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] Ἰωακίμ[nnmsp] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] ἄρχων[nnmpc] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] αὐτός[rpgms] καί[cc] ζητέω[viia3p] ἀποκτείνω[vnaa] αὐτός[rpams] καί[cc] ἀκούω[viaa3s] Ουριας[nnmsp] καί[cc] εἰσέρχομαι[viaa3s] εἰς[pa] Αἴγυπτος[nafsp]. **v.22** καί[cc] ἐξαποστέλλω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ἀνήρ[nampc] εἰς[pa] Αἴγυπτος[nafsp]. **v.23** καί[cc] ἐξάγω[viaa3p] αὐτός[rpams] ἐκεῖθεν[b] καί[cc] εἰσάγω[viaa3p] αὐτός[rpams] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] καί[cc] πατάσσω[viaa3s] αὐτός[rpams] ἐν[pd] μάχαιρα[ndfsc] καί[cc] ῥίπτω[viaa3s] αὐτός[rpams] εἰς[pa] ὁ[dans] μνῆμα[nansc] υἱός[ngmpc] λαός[ngmsc] αὐτός[rpgms]. **v.24** πλήν[b] χείρ[nnfsc] Αχικαμ[ngmsp] υἱός[ngmsc] Σαφαν[ngmsp] εἰμί[viia3s] μετά[pg] Ἰερεμίας[ngmsp] ὁ[dgns] μή[x] παραδίδωμι[vnaa] αὐτός[rpams] εἰς[pa] χείρ[nafpc] ὁ[dgms] λαός[ngmsc] ὁ[dgns] μή[x] ἀναιρέω[vnaa] αὐτός[rpams]. **v.2** οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ποιέω[vdaa2s] δεσμός[nampc] καί[cc] κλοιός[nampc] καί[cc] περιτίθημι[vdam2s] περί[pa] ὁ[dams] τράχηλος[namsc] σύ[rpgms]. **v.3** καί[cc] ἀποστέλλω[vifa2s] αὐτός[rpamp] πρός[pa] βασιλεύς[namsc] Ἰδουμαία[ngfsp] καί[cc] πρός[pa] βασιλεύς[namsc] Μωαβ[ngfsp] καί[cc] πρός[pa] βασιλεύς[namsc] υἱός[ngmpc] Αμμων[ngmsp] καί[cc] πρός[pa] βασιλεύς[namsc] Τύρος[ngfsp] καί[cc] πρός[pa] βασιλεύς[namsc] Σιδών[ngfsp] ἐν[pd] χείρ[ndfpc] ἄγγελος[ngmpc] αὐτός[rpgmp] ὁ[dgmp] ἔρχομαι[vppmgmp] εἰς[pa] ἀπάντησις[nafsc] αὐτός[rpgmp] εἰς[pa] Ἰερουσαλήμ[nafsp] πρός[pa] Σεδεκιας[namsp] βασιλεύς[namsc] Ἰούδας[ngmsp]. **v.4** καί[cc] συντάσσω[vifa2s] αὐτός[rpdmp] πρός[pa] ὁ[damp] κύριος[nampc] αὐτός[rpgmp] λέγω[vnaa] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] Ἰσραήλ[ngmsp] οὕτως[b] λέγω[vifa2p] πρός[pa] ὁ[damp] κύριος[nampc] σύ[rpgmp]. **v.5** ὅτι[cs] ἐγώ[rpnms] ποιέω[viaa1s] ὁ[dafs] γῆ[nafsc] ἐν[pd] ὁ[ddfs] ἰσχύς[ndfsc] ἐγώ[rpgms] ὁ[ddfs] μέγας[andfsn] καί[cc] ἐν[pd] ὁ[ddms] ἐπίχειρον[ndmsc] ἐγώ[rpgms] ὁ[ddms] ὑψηλός[andmsn] καί[cc] δίδωμι[vifa1s] αὐτός[rpafs] ὅς[rrdms] ἐάν[x] δοκέω[vsaa3s] ἐν[pd] ὀφθαλμός[ndmpc] ἐγώ[rpgms]. **v.6** δίδωμι[viaa1s] ὁ[dafs] γῆ[nafsc] ὁ[ddms] Ναβουχοδονοσορ[ndmsp] βασιλεύς[ndmsc] Βαβυλών[ngfsp] δουλεύω[vnpa] αὐτός[rpdms] καί[cc] ὁ[danp] θηρίον[nanpc] ὁ[dgms] ἀγρός[ngmsc] ἐργάζομαι[vnpm] αὐτός[rpdms].

9 χειρὶ αὐτοῦ. καὶ ὑμεῖς μὴ ἀκούετε τῶν ψευδοπροφητῶν ὑμῶν
καὶ τῶν μαντευομένων ὑμῖν καὶ τῶν ἐνυπνιαζομένων ὑμῖν καὶ τῶν
οἰωνισμάτων ὑμῶν καὶ τῶν φαρμακῶν ὑμῶν τῶν λεγόντων οὐ μὴ
10 ἐργάσησθε τῷ βασιλεῖ Βαβυλῶνος. ὅτι ψευδῆ αὐτοὶ προφητεύ-
11 ουσιν ὑμῖν πρὸς τὸ μακρῦναι ὑμᾶς ἀπὸ τῆς γῆς ὑμῶν. καὶ τὸ
ἔθνος ὃ ἐὰν εἰσαγάγῃ τὸν τράχηλον αὐτοῦ ὑπὸ τὸν ζυγὸν βασιλέως
Βαβυλῶνος καὶ ἐργάσηται αὐτῷ καὶ καταλείψω αὐτὸν ἐπὶ τῆς γῆς
12 αὐτοῦ καὶ ἐργᾶται αὐτῷ καὶ ἐνοικήσει ἐν αὐτῇ. καὶ πρὸς Σεδε-
κιαν βασιλέα Ιουδα ἐλάλησα κατὰ πάντας τοὺς λόγους τούτους
14 λέγων εἰσαγάγετε τὸν τράχηλον ὑμῶν. καὶ ἐργάσασθε τῷ βασιλεῖ
15 Βαβυλῶνος ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν. ὅτι οὐκ ἀπέ-
στειλα αὐτούς φησὶν κύριος καὶ προφητεύουσιν τῷ ὀνόματί μου
ἐπ᾽ ἀδίκῳ πρὸς τὸ ἀπολέσαι ὑμᾶς καὶ ἀπολεῖσθε ὑμεῖς καὶ οἱ προ-
16 φῆται ὑμῶν οἱ προφητεύοντες ὑμῖν ἐπ᾽ ἀδίκῳ ψευδῆ. ὑμῖν καὶ
παντὶ τῷ λαῷ τούτῳ καὶ τοῖς ἱερεῦσιν ἐλάλησα λέγων οὕτως εἶπεν
κύριος μὴ ἀκούετε τῶν λόγων τῶν προφητῶν τῶν προφητευόντων
ὑμῖν λεγόντων ἰδοὺ σκεύη οἴκου κυρίου ἐπιστρέψει ἐκ Βαβυλῶ-
νος ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν οὐκ ἀπέστειλα αὐτούς.
18 εἰ προφῆταί εἰσιν καὶ εἰ ἔστιν λόγος κυρίου ἐν αὐτοῖς ἀπαντησά-
19 τωσάν μοι. ὅτι οὕτως εἶπεν κύριος καὶ τῶν ἐπιλοίπων σκευῶν.

---

**v.8** καί[cc] ὁ[dnns] ἔθνος[nnnsc] καί[cc] ὁ[dnfs] βασιλεία[nnfsc] ὅσος[rrnmpn] ἐάν[x] μή[x] ἐμβάλλω[vsaa3p] ὁ[dams] τράχηλος[namsc] αὐτός[rpgmp] ὑπό[pa] ὁ[dams] ζυγός[namsc] βασιλεύς[ngmsc] Βαβυλών[ngfsp] ἐν[pd] μάχαιρα[ndfsc] καί[cc] ἐν[pd] λιμός[ndmsc] ἐπισκέπτομαι[vifm1s] αὐτός[rpamp] λέγω[viaa3s] κύριος[nnmsc] ἕως[cs] ἐκλείπω[vsaa3p] ἐν[pd] χείρ[ndfsc] αὐτός[rpgms]. **v.9** καί[cc] σύ[rpnmp] μή[x] ἀκούω[vdpa2p] ὁ[dgmp] ψευδοπροφήτης[ngmpc] σύ[rpgmp] καί[cc] ὁ[dgmp] μαντεύομαι[vppmgmp] σύ[rpdmp] καί[cc] ὁ[dgmp] ἐνυπνιάζομαι[vppmgmp] σύ[rpdmp] καί[cc] ὁ[dgnp] οἰώνισμα[ngnpc] σύ[rpgmp] καί[cc] ὁ[dgmp] φάρμακος[ngmpc] σύ[rpgmp] ὁ[dgmp] λέγω[vppagmp] οὐ[b] μή[x] ἐργάζομαι[vsam2p] ὁ[ddms] βασιλεύς[ndmsc] Βαβυλών[ngfsp]. **v.10** ὅτι[cs] ψευδής[ananpn] αὐτός[rpnmp] προφητεύω[vipa3p] σύ[rpdmp] πρός[pa] ὁ[dans] μακρύνω[vnaa] σύ[rpamp] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] σύ[rpgmp]. **v.11** καί[cc] ὁ[dnns] ἔθνος[nnnsc] ὅς[rrnns] ἐάν[x] εἰσάγω[vsaa3s] ὁ[dams] τράχηλος[namsc] αὐτός[rpgms] ὑπό[pa] ὁ[dams] ζυγός[namsc] βασιλεύς[ngmsc] Βαβυλών[ngfsp] καί[cc] ἐργάζομαι[vsam3s] αὐτός[rpdms] καί[cc] καταλείπω[vifa1s] αὐτός[rpams] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] αὐτός[rpgms] καί[cc] ἐργάζομαι[vifm3s] αὐτός[rpdms] καί[cc] ἐνοικέω[vifa3s] ἐν[pd] αὐτός[rpdfs]. **v.12** καί[cc] πρός[pa] Σεδεκιας[namsp] βασιλεύς[namsc] Ἰούδας[ngmsp] λαλέω[viaa1s] κατά[pa] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] λέγω[vppanms] εἰσάγω[vdaa2p] ὁ[dams] τράχηλος[namsc] σύ[rpg-p]. **v.14** καί[cc] ἐργάζομαι[vdam2p] ὁ[ddms] βασιλεύς[ndmsc] Βαβυλών[ngfsp] ὅτι[cs] ἄδικος[ananpn] αὐτός[rpnmp] προφητεύω[vipa3p] σύ[rpd-p]. **v.15** ὅτι[cs] οὐ[b] ἀποστέλλω[viaa1s] αὐτός[rpamp] φημί[vipa3s] κύριος[nnmsc] καί[cc] προφητεύω[vipa3p] ὁ[ddns] ὄνομα[ndnsc] ἐγώ[rpgms] ἐπί[pd] ἄδικος[andnsn] πρός[pa] ὁ[dans] ἀπόλλυμι[vnaa] σύ[rpa-p] καί[cc] ἀπόλλυμι[vifm2p] σύ[rpn-p] καί[cc] ὁ[dnmp] προφήτης[nnmpc] σύ[rpg-p] ὁ[dnmp] προφητεύω[vppanmp] σύ[rpd-p] ἐπί[pd] ἄδικος[andnsn] ψευδής[ananpn]. **v.16** σύ[rpd-p] καί[cc] πᾶς[aidmsn] ὁ[ddms] λαός[ndmsc] οὗτος[rddms] καί[cc] ὁ[ddmp] ἱερεύς[ndmpc] λαλέω[viaa1s] λέγω[vppanms] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] μή[x] ἀκούω[vdpa2p] ὁ[dgmp] λόγος[ngmpc] ὁ[dgmp] προφήτης[ngmpc] ὁ[dgmp] προφητεύω[vppagmp] σύ[rpd-p] λέγω[vppagmp] ἰδού[i] σκεῦος[nnnpc] οἶκος[ngmsc] κύριος[ngmsc] ἐπιστρέφω[vifa3s] ἐκ[pg] Βαβυλών[ngfsp] ὅτι[cs] ἄδικος[ananpn] αὐτός[rpnmp] προφητεύω[vipa3p] σύ[rpd-p] οὐ[b] ἀποστέλλω[viaa1s] αὐτός[rpamp]. **v.18** εἰ[cs] προφήτης[nnmpc] εἰμί[vipa3p] καί[cc] εἰ[cs] εἰμί[vipa3s] λόγος[nnmsc] κύριος[ngmsc] ἐν[pd] αὐτός[rpdmp] ἀπαντάω[vdaa3p] ἐγώ[rpdms].

ὧν οὐκ ἔλαβεν βασιλεὺς Βαβυλῶνος ὅτε ἀπῴκισεν τὸν Ιεχονιαν ἐξ 20
Ιερουσαλημ. εἰς Βαβυλῶνα εἰσελεύσεται λέγει κύριος. 22
καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει Σεδεκια βασιλέως Ιουδα ἐν μη- **35**
νὶ τῷ πέμπτῳ εἶπέν μοι Ανανιας υἱὸς Αζωρ ὁ ψευδοπροφήτης ὁ
ἀπὸ Γαβαων ἐν οἴκῳ κυρίου κατ᾽ ὀφθαλμοὺς τῶν ἱερέων καὶ παν-
τὸς τοῦ λαοῦ λέγων. οὕτως εἶπεν κύριος συνέτριψα τὸν ζυγὸν 2
τοῦ βασιλέως Βαβυλῶνος. ἔτι δύο ἔτη ἡμερῶν ἐγὼ ἀποστρέψω 3
εἰς τὸν τόπον τοῦτον τὰ σκεύη οἴκου κυρίου. καὶ Ιεχονιαν καὶ 4
τὴν ἀποικίαν Ιουδα ὅτι συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶ-
νος. καὶ εἶπεν Ιερεμιας πρὸς Ανανιαν κατ᾽ ὀφθαλμοὺς παντὸς 5
τοῦ λαοῦ καὶ κατ᾽ ὀφθαλμοὺς τῶν ἱερέων τῶν ἑστηκότων ἐν οἴκῳ
κυρίου. καὶ εἶπεν Ιερεμιας ἀληθῶς οὕτω ποιήσαι κύριος στήσαι 6
τὸν λόγον σου ὃν σὺ προφητεύεις τοῦ ἐπιστρέψαι τὰ σκεύη οἴκου
κυρίου καὶ πᾶσαν τὴν ἀποικίαν ἐκ Βαβυλῶνος εἰς τὸν τόπον τοῦ-
τον. πλὴν ἀκούσατε τὸν λόγον κυρίου ὃν ἐγὼ λέγω εἰς τὰ ὦτα 7
ὑμῶν καὶ εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ. οἱ προφῆται οἱ γεγονότες 8
πρότεροί μου καὶ πρότεροι ὑμῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἐπροφήτευ-
σαν ἐπὶ γῆς πολλῆς καὶ ἐπὶ βασιλείας μεγάλας εἰς πόλεμον. ὁ 9
προφήτης ὁ προφητεύσας εἰς εἰρήνην ἐλθόντος τοῦ λόγου γνώ-
σονται τὸν προφήτην ὃν ἀπέστειλεν αὐτοῖς κύριος ἐν πίστει. καὶ 10

---

**v.19** ὅτι[cs] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] καί[cc] ὁ[dgnp] ἐπίλοιπος[angnpn] σκεῦος[ngnpc]. **v.20** ὅς[rrgnp] οὐ[b] λαμβάνω[viaa3s] βασιλεύς[nnmsc] Βαβυλών[ngfsp] ὅτε[cs] ἀποικίζω[viaa3s] ὁ[dams] Ιεχονιας[namsp] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp]. **v.22** εἰς[pa] Βαβυλών[nafsp] εἰσέρχομαι[vifm3s] λέγω[vipa3s] κύριος[nnmsc]. **35. v.1** καί[cc] γίνομαι[viam3s] ἐν[pd] ὁ[ddns] τέταρτος[aodnsn] ἔτος[ndnsc] Σεδεκιας[ndmsp] βασιλεύς[ngmsc] Ἰούδας[ngmsp] ἐν[pd] μήν[ndmsc] ὁ[ddms] πέμπτος[aodmsn] λέγω[viaa3s] ἐγώ[rpdms] Ανανιας[nnmsp] υἱός[nnmsc] Αζωρ[ngmsp] ὁ[dnms] ψευδοπροφήτης[nnmsc] ὁ[dnms] ἀπό[pg] Γαβαων[ngfsp] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc] κατά[pa] ὀφθαλμός[nampc] ὁ[dgmp] ἱερεύς[ngmpc] καί[cc] πᾶς[aigmsn] ὁ[dgms] λαός[ngmsc] λέγω[vppanms]. **v.2** οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] συντρίβω[viaa1s] ὁ[dams] ζυγός[namsc] ὁ[dgms] βασιλεύς[ngmsc] Βαβυλών[ngfsp]. **v.3** ἔτι[b] δύο[ac—n] ἔτος[nanpc] ἡμέρα[ngfpc] ἐγώ[rpnms] ἀποστρέφω[vifa1s] εἰς[pa] ὁ[dams] τόπος[namsc] οὗτος[rdams] ὁ[danp] σκεῦος[nanpc] οἶκος[ngmsc] κύριος[ngmsc]. **v.4** καί[cc] Ιεχονιας[namsp] καί[cc] ὁ[dafs] ἀποικία[nafsc] Ἰούδας[ngmsp] ὅτι[cs] συντρίβω[vifa1s] ὁ[dams] ζυγός[namsc] βασιλεύς[ngmsc] Βαβυλών[ngfsp]. **v.5** καί[cc] λέγω[viaa3s] Ἰερεμίας[nnmsp] πρός[pa] Ανανιας[namsp] κατά[pa] ὀφθαλμός[nampc] πᾶς[aigmsn] ὁ[dgms] λαός[ngmsc] καί[cc] κατά[pa] ὀφθαλμός[nampc] ὁ[dgmp] ἱερεύς[ngmpc] ὁ[dgmp] ἵστημι[vpxagmp] ἐν[pd] οἶκος[ndmsc] κύριος[ngmsc]. **v.6** καί[cc] λέγω[viaa3s] Ἰερεμίας[nnmsp] ἀληθῶς[b] οὕτως[b] ποιέω[voaa3s] κύριος[nnmsc] ἵστημι[voaa3s] ὁ[dams] λόγος[namsc] σύ[rpgms] ὅς[rrams] σύ[rpnms] προφητεύω[vipa2s] ὁ[dgns] ἐπιστρέφω[vnaa] ὁ[danp] σκεῦος[nanpc] οἶκος[ngmsc] κύριος[ngmsc] καί[cc] πᾶς[aiafsn] ὁ[dafs] ἀποικία[nafsc] ἐκ[pg] Βαβυλών[ngfsp] εἰς[pa] ὁ[dams] τόπος[namsc] οὗτος[rdams]. **v.7** πλήν[b] ἀκούω[vdaa2p] ὁ[dams] λόγος[namsc] κύριος[ngmsc] ὅς[rrams] ἐγώ[rpnms] λέγω[vipa1s] εἰς[pa] ὁ[danp] οὖς[nanpc] σύ[rpg-p] καί[cc] εἰς[pa] ὁ[danp] οὖς[nanpc] πᾶς[aigmsn] ὁ[dgms] λαός[ngmsc]. **v.8** ὁ[dnmp] προφήτης[nnmpc] ὁ[dnmp] γίνομαι[vpxanmp] πρότερος[annmpn] ἐγώ[rpgms] καί[cc] πρότερος[annmpn] σύ[rpg-p] ἀπό[pg] ὁ[dgms] αἰών[ngmsc] καί[cc] προφητεύω[viaa3p] ἐπί[pg] γῆ[ngfsc] πολύς[angfsn] καί[cc] ἐπί[pa] βασιλεία[nafpc] μέγας[anafpn] εἰς[pa] πόλεμος[namsc]. **v.9** ὁ[dnms] προφήτης[nnmsc] ὁ[dnms] προφητεύω[vpaanms] εἰς[pa] εἰρήνη[nafsc] ἔρχομαι[vpaagms] ὁ[dgms] λόγος[ngmsc] γινώσκω[vifm3p] ὁ[dams] προφήτης[namsc] ὅς[rrams] ἀποστέλλω[viaa3s] αὐτός[rpdmp] κύριος[nnmsc] ἐν[pd] πίστις[ndfsc].

ἔλαβεν Ανανιας ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ τοὺς κλοιοὺς ἀπὸ
11 τοῦ τραχήλου Ιερεμιου καὶ συνέτριψεν αὐτούς. καὶ εἶπεν Ανα-
νιας κατ᾽ ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ λέγων οὕτως εἶπεν κύριος
οὕτως συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶνος ἀπὸ τραχήλων
12 πάντων τῶν ἐθνῶν καὶ ᾤχετο Ιερεμιας εἰς τὴν ὁδὸν αὐτοῦ. καὶ
ἐγένετο λόγος κυρίου πρὸς Ιερεμιαν μετὰ τὸ συντρῖψαι Ανανιαν
13 τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου αὐτοῦ λέγων. βάδιζε καὶ εἰπὸν
πρὸς Ανανιαν λέγων οὕτως εἶπεν κύριος κλοιοὺς ξυλίνους συνέ-
14 τριψας καὶ ποιήσω ἀντ᾽ αὐτῶν κλοιοὺς σιδηροῦς. ὅτι οὕτως εἶπεν
κύριος ζυγὸν σιδηροῦν ἔθηκα ἐπὶ τὸν τράχηλον πάντων τῶν ἐθνῶν
15 ἐργάζεσθαι τῷ βασιλεῖ Βαβυλῶνος. καὶ εἶπεν Ιερεμιας τῷ Ανα-
νια οὐκ ἀπέσταλκέν σε κύριος καὶ πεποιθέναι ἐποίησας τὸν λαὸν
16 τοῦτον ἐπ᾽ ἀδίκῳ. διὰ τοῦτο οὕτως εἶπεν κύριος ἰδοὺ ἐγὼ ἐξα-
ποστέλλω σε ἀπὸ προσώπου τῆς γῆς τούτῳ τῷ ἐνιαυτῷ ἀποθανῇ.
17 καὶ ἀπέθανεν ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ.
**36** καὶ οὗτοι οἱ λόγοι τῆς βίβλου οὓς ἀπέστειλεν Ιερεμιας ἐξ Ιε-
ρουσαλημ πρὸς τοὺς πρεσβυτέρους τῆς ἀποικίας καὶ πρὸς τοὺς
ἱερεῖς καὶ πρὸς τοὺς ψευδοπροφήτας ἐπιστολὴν εἰς Βαβυλῶνα
2 τῇ ἀποικίᾳ καὶ πρὸς ἅπαντα τὸν λαὸν. ὕστερον ἐξελθόντος Ιε-
χονιου τοῦ βασιλέως καὶ τῆς βασιλίσσης καὶ τῶν εὐνούχων καὶ
3 παντὸς ἐλευθέρου καὶ δεσμώτου καὶ τεχνίτου ἐξ Ιερουσαλημ. ἐν

---

**v.10** καί[cc] λαμβάνω[viaa3s] Ανανιας[nnmsp] ἐν[pd] ὀφθαλμός[ndmpc] πᾶς[aigmsn] ὁ[dgms] λαός[ngmsc] ὁ[damp] κλοιός[nampc] ἀπό[pg] ὁ[dgms] τράχηλος[ngmsc] Ἰερεμίας[ngmsp] καί[cc] συντρίβω[viaa3s] αὐτός[rpamp]. **v.11** καί[cc] λέγω[viaa3s] Ανανιας[nnmsp] κατά[pa] ὀφθαλμός[nampc] πᾶς[aigmsn] ὁ[dgms] λαός[ngmsc] λέγω[vppanms] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] οὕτως[b] συντρίβω[vifa1s] ὁ[dams] ζυγός[namsc] βασιλεύς[ngmsc] Βαβυλών[ngfsp] ἀπό[pg] τράχηλος[ngmpc] πᾶς[aignpn] ὁ[dgnp] ἔθνος[ngnpc] καί[cc] οἴχομαι[viim3s] Ἰερεμίας[nnmsp] εἰς[pa] ὁ[dafs] ὁδός[nafsc] αὐτός[rpgms]. **v.12** καί[cc] γίνομαι[viam3s] λόγος[nnmsc] κύριος[ngmsc] πρός[pa] Ἰερεμίας[namsp] μετά[pa] ὁ[dans] συντρίβω[vnaa] Ανανιας[namsp] ὁ[damp] κλοιός[nampc] ἀπό[pg] ὁ[dgms] τράχηλος[ngmsc] αὐτός[rpgms] λέγω[vppanms]. **v.13** βαδίζω[vdpa2s] καί[cc] λέγω[vdaa2s] πρός[pa] Ανανιας[namsp] λέγω[vppanms] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] κλοιός[nampc] ξύλινος[anampn] συντρίβω[viaa2s] καί[cc] ποιέω[vifa1s] ἀντί[pg] αὐτός[rpgmp] κλοιός[nampc] σιδηροῦς[annmsn]. **v.14** ὅτι[cs] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ζυγός[namsc] σιδηροῦς[anamsn] τίθημι[viaa1s] ἐπί[pa] ὁ[dams] τράχηλος[namsc] πᾶς[aignpn] ὁ[dgnp] ἔθνος[ngnpc] ἐργάζομαι[vnpm] ὁ[ddms] βασιλεύς[ndmsc] Βαβυλών[ngfsp]. **v.15** καί[cc] λέγω[viaa3s] Ἰερεμίας[nnmsp] ὁ[ddms] Ανανιας[ndmsp] οὐ[b] ἀποστέλλω[vixa3s] σύ[rpams] κύριος[nnmsc] καί[cc] πείθω[vnxa] ποιέω[viaa2s] ὁ[dams] λαός[namsc] οὗτος[rdams] ἐπί[pd] ἄδικος[andnsn]. **v.16** διά[pa] οὗτος[rdans] οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ἰδού[i] ἐγώ[rpnms] ἐξαποστέλλω[vipa1s] σύ[rpams] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc] οὗτος[rddms] ὁ[ddms] ἐνιαυτός[ndmsc] ἀποθνῄσκω[vifm2s]. **v.17** καί[cc] ἀποθνῄσκω[viaa3s] ἐν[pd] ὁ[ddms] μήν[ndmsc] ὁ[ddms] ἕβδομος[aodmsn]. **36. v.1** καί[cc] οὗτος[rdnmp] ὁ[dnmp] λόγος[nnmpc] ὁ[dgfs] βίβλος[ngfsc] ὅς[rramp] ἀποστέλλω[viaa3s] Ἰερεμίας[nnmsp] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp] πρός[pa] ὁ[damp] πρεσβύτερος[anampc] ὁ[dgfs] ἀποικία[ngfsc] καί[cc] πρός[pa] ὁ[damp] ἱερεύς[nampc] καί[cc] πρός[pa] ὁ[damp] ψευδοπροφήτης[nampc] ἐπιστολή[nafsc] εἰς[pa] Βαβυλών[nafsp] ὁ[ddfs] ἀποικία[ndfsc] καί[cc] πρός[pa] ἅπας[anamsn] ὁ[dams] λαός[namsc]. **v.2** ὕστερος[b] ἐξέρχομαι[vpaagms] Ιεχονιας[ngmsp] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ὁ[dgfs] βασίλισσα[ngfsc] καί[cc] ὁ[dgmp] εὐνοῦχος[ngmpc] καί[cc] πᾶς[aigmsn] ἐλεύθερος[angmsn] καί[cc] δεσμώτης[ngmsc] καί[cc] τεχνίτης[ngmsc] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp].

χειρὶ Ελεασα υἱοῦ Σαφαν καὶ Γαμαριου υἱοῦ Χελκιου ὃν ἀπέ-
στειλεν Σεδεκιας βασιλεὺς Ιουδα πρὸς βασιλέα Βαβυλῶνος εἰς
Βαβυλῶνα λέγων. οὕτως εἶπεν κύριος ὁ θεὸς Ισραηλ ἐπὶ τὴν 4
ἀποικίαν ἣν ἀπῴκισα ἀπὸ Ιερουσαλημ. οἰκοδομήσατε οἴκους 5
καὶ κατοικήσατε καὶ φυτεύσατε παραδείσους καὶ φάγετε τοὺς
καρποὺς αὐτῶν. καὶ λάβετε γυναῖκας καὶ τεκνοποιήσατε υἱοὺς 6
καὶ θυγατέρας καὶ λάβετε τοῖς υἱοῖς ὑμῶν γυναῖκας καὶ τὰς θυγα-
τέρας ὑμῶν ἀνδράσιν δότε καὶ πληθύνεσθε καὶ μὴ σμικρυνθῆτε.
καὶ ζητήσατε εἰς εἰρήνην τῆς γῆς εἰς ἣν ἀπῴκισα ὑμᾶς ἐκεῖ καὶ 7
προσεύξασθε περὶ αὐτῶν πρὸς κύριον ὅτι ἐν εἰρήνῃ αὐτῆς ἔσται
εἰρήνη ὑμῖν. ὅτι οὕτως εἶπεν κύριος μὴ ἀναπειθέτωσαν ὑμᾶς οἱ 8
ψευδοπροφῆται οἱ ἐν ὑμῖν καὶ μὴ ἀναπειθέτωσαν ὑμᾶς οἱ μάντεις
ὑμῶν καὶ μὴ ἀκούετε εἰς τὰ ἐνύπνια ὑμῶν ἃ ὑμεῖς ἐνυπνιάζεσθε.
ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν ἐπὶ τῷ ὀνόματί μου καὶ οὐκ 9
ἀπέστειλα αὐτούς. ὅτι οὕτως εἶπεν κύριος ὅταν μέλλῃ πληροῦ- 10
σθαι Βαβυλῶνι ἑβδομήκοντα ἔτη ἐπισκέψομαι ὑμᾶς καὶ ἐπιστήσω
τοὺς λόγους μου ἐφ᾽ ὑμᾶς τοῦ τὸν λαὸν ὑμῶν ἀποστρέψαι εἰς τὸν
τόπον τοῦτον. καὶ λογιοῦμαι ἐφ᾽ ὑμᾶς λογισμὸν εἰρήνης καὶ οὐ 11
κακὰ τοῦ δοῦναι ὑμῖν ταῦτα. καὶ προσεύξασθε πρός με καὶ εἰ- 12
σακούσομαι ὑμῶν. καὶ ἐκζητήσατέ με καὶ εὑρήσετέ με ὅτι ζητή- 13
σετέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν. καὶ ἐπιφανοῦμαι ὑμῖν. ὅτι εἴπατε 14, 15

---

**v.3** ἐν$^{pd}$ χείρ$^{ndfsc}$ Ελεασα$^{ngmsp}$ υἱός$^{ngmsc}$ Σαφαν$^{ngmsp}$ καί$^{cc}$ Γαμαριος$^{ngmsp}$ υἱός$^{ngmsc}$ Χελκιας$^{ngmsp}$ ὅς$^{rrams}$ ἀποστέλλω$^{viaa3s}$ Σεδεκιας$^{nnmsp}$ βασιλεύς$^{nnmsc}$ Ἰούδας$^{ngmsp}$ πρός$^{pa}$ βασιλεύς$^{namsc}$ Βαβυλών$^{ngfsp}$ εἰς$^{pa}$ Βαβυλών$^{nafsp}$ λέγω$^{vppanms}$. **v.4** οὕτως$^{b}$ λέγω$^{viaa3s}$ κύριος$^{nnmsc}$ ὁ$^{dnms}$ θεός$^{nnmsc}$ Ἰσραήλ$^{ngmsp}$ ἐπί$^{pa}$ ὁ$^{dafs}$ ἀποικία$^{nafsc}$ ὅς$^{rrafs}$ ἀποικίζω$^{viaa1s}$ ἀπό$^{pg}$ Ἰερουσαλήμ$^{ngfsp}$. **v.5** οἰκοδομέω$^{vdaa2p}$ οἶκος$^{nampc}$ καί$^{cc}$ κατοικέω$^{vdaa2p}$ καί$^{cc}$ φυτεύω$^{vdaa2p}$ παράδεισος$^{nampc}$ καί$^{cc}$ ἐσθίω$^{vifa2p}$ ὁ$^{damp}$ καρπός$^{nampc}$ αὐτός$^{rpgmp}$. **v.6** καί$^{cc}$ λαμβάνω$^{vdaa2p}$ γυνή$^{nafpc}$ καί$^{cc}$ τεκνοποιέω$^{vdaa2p}$ υἱός$^{nampc}$ καί$^{cc}$ θυγάτηρ$^{nafpc}$ καί$^{cc}$ λαμβάνω$^{vdaa2p}$ ὁ$^{ddmp}$ υἱός$^{ndmpc}$ σύ$^{rpg-p}$ γυνή$^{nafpc}$ καί$^{cc}$ ὁ$^{dafp}$ θυγάτηρ$^{nafpc}$ σύ$^{rpg-p}$ ἀνήρ$^{ndmpc}$ δίδωμι$^{vdaa2p}$ καί$^{cc}$ πληθύνω$^{vdpp2p}$ καί$^{cc}$ μή$^{x}$ σμικρύνω$^{vsap2p}$. **v.7** καί$^{cc}$ ζητέω$^{vdaa2p}$ εἰς$^{pa}$ εἰρήνη$^{nafsc}$ ὁ$^{dgfs}$ γῆ$^{ngfsc}$ εἰς$^{pa}$ ὅς$^{rrafs}$ ἀποικίζω$^{viaa1s}$ σύ$^{rpa-p}$ ἐκεῖ$^{b}$ καί$^{cc}$ προσεύχομαι$^{vdam2p}$ περί$^{pg}$ αὐτός$^{rpgmp}$ πρός$^{pa}$ κύριος$^{namsc}$ ὅτι$^{cs}$ ἐν$^{pd}$ εἰρήνη$^{ndfsc}$ αὐτός$^{rpgfs}$ εἰμί$^{vifm3s}$ εἰρήνη$^{nnfsc}$ σύ$^{rpd-p}$. **v.8** ὅτι$^{cs}$ οὕτως$^{b}$ λέγω$^{viaa3s}$ κύριος$^{nnmsc}$ μή$^{x}$ ἀναπείθω$^{vdpa3p}$ σύ$^{rpa-p}$ ὁ$^{dnmp}$ ψευδοπροφήτης$^{nnmpc}$ ὁ$^{dnmp}$ ἐν$^{pd}$ σύ$^{rpd-p}$ καί$^{cc}$ μή$^{x}$ ἀναπείθω$^{vdpa3p}$ σύ$^{rpa-p}$ ὁ$^{dnmp}$ μάντις$^{nnmpc}$ σύ$^{rpg-p}$ καί$^{cc}$ μή$^{x}$ ἀκούω$^{vdpa2p}$ εἰς$^{pa}$ ὁ$^{danp}$ ἐνύπνιον$^{nanpc}$ σύ$^{rpg-p}$ ὅς$^{rranp}$ σύ$^{rpn-p}$ ἐνυπνιάζομαι$^{vipm2p}$. **v.9** ὅτι$^{cs}$ ἄδικος$^{ananpn}$ αὐτός$^{rpnmp}$ προφητεύω$^{vipa3p}$ σύ$^{rpd-p}$ ἐπί$^{pd}$ ὁ$^{ddns}$ ὄνομα$^{ndnsc}$ ἐγώ$^{rpgms}$ καί$^{cc}$ οὐ$^{b}$ ἀποστέλλω$^{viaa1s}$ αὐτός$^{rpamp}$. **v.10** ὅτι$^{cs}$ οὕτως$^{b}$ λέγω$^{viaa3s}$ κύριος$^{nnmsc}$ ὅταν$^{cs}$ μέλλω$^{vspa3s}$ πληρόω$^{vnpp}$ Βαβυλών$^{ndfsp}$ ἑβδομήκοντα$^{ac—n}$ ἔτος$^{nnnpc}$ ἐπισκέπτομαι$^{vifm1s}$ σύ$^{rpa-p}$ καί$^{cc}$ ἐφίστημι$^{vifa1s}$ ὁ$^{damp}$ λόγος$^{nampc}$ ἐγώ$^{rpgms}$ ἐπί$^{pa}$ σύ$^{rpa-p}$ ὁ$^{dgns}$ ὁ$^{dams}$ λαός$^{namsc}$ σύ$^{rpg-p}$ ἀποστρέφω$^{vnaa}$ εἰς$^{pa}$ ὁ$^{dams}$ τόπος$^{namsc}$ οὗτος$^{rdams}$. **v.11** καί$^{cc}$ λογίζομαι$^{vifm1s}$ ἐπί$^{pa}$ σύ$^{rpa-p}$ λογισμός$^{namsc}$ εἰρήνη$^{ngfsc}$ καί$^{cc}$ οὐ$^{b}$ κακός$^{ananpn}$ ὁ$^{dgns}$ δίδωμι$^{vnaa}$ σύ$^{rpd-p}$ οὗτος$^{rdanp}$. **v.12** καί$^{cc}$ προσεύχομαι$^{vdam2p}$ πρός$^{pa}$ ἐγώ$^{rpams}$ καί$^{cc}$ εἰσακούω$^{vifm1s}$ σύ$^{rpg-p}$. **v.13** καί$^{cc}$ ἐκζητέω$^{vdaa2p}$ ἐγώ$^{rpams}$ καί$^{cc}$ εὑρίσκω$^{vifa2p}$ ἐγώ$^{rpams}$ ὅτι$^{cs}$ ζητέω$^{vifa2p}$ ἐγώ$^{rpams}$ ἐν$^{pd}$ ὅλος$^{andfsn}$ καρδία$^{ndfsc}$ σύ$^{rpg-p}$. **v.14** καί$^{cc}$ ἐπιφαίνω$^{vifm1s}$ σύ$^{rpd-p}$.

21 κατέστησεν ἡμῖν κύριος προφήτας ἐν Βαβυλῶνι. οὕτως εἶπεν
κύριος ἐπὶ Αχιαβ καὶ ἐπὶ Σεδεκιαν ἰδοὺ ἐγὼ δίδωμι αὐτοὺς εἰς
χεῖρας βασιλέως Βαβυλῶνος καὶ πατάξει αὐτοὺς κατ᾽ ὀφθαλμοὺς
22 ὑμῶν. καὶ λήμψονται ἀπ᾽ αὐτῶν κατάραν ἐν πάσῃ τῇ ἀποικίᾳ
Ιουδα ἐν Βαβυλῶνι λέγοντες ποιήσαι σε κύριος ὡς Σεδεκιαν ἐ-
ποίησεν καὶ ὡς Αχιαβ οὓς ἀπετηγάνισεν βασιλεὺς Βαβυλῶνος ἐν
23 πυρὶ δι᾽ ἣν ἐποίησαν ἀνομίαν ἐν Ισραηλ καὶ ἐμοιχῶντο τὰς γυ-
ναῖκας τῶν πολιτῶν αὐτῶν καὶ λόγον ἐχρημάτισαν ἐν τῷ ὀνόματί
24 μου ὃν οὐ συνέταξα αὐτοῖς καὶ ἐγὼ μάρτυς φησὶν κύριος. καὶ
25 πρὸς Σαμαιαν τὸν Νελαμίτην ἐρεῖς. οὐκ ἀπέστειλά σε τῷ ὀνόμα-
26 τί μου καὶ πρὸς Σοφονιαν υἱὸν Μαασαιου τὸν ἱερέα εἰπέ. κύριος
ἔδωκέν σε εἰς ἱερέα ἀντὶ Ιωδαε τοῦ ἱερέως γενέσθαι ἐπιστάτην ἐν
τῷ οἴκῳ κυρίου παντὶ ἀνθρώπῳ προφητεύοντι καὶ παντὶ ἀνθρώ-
πῳ μαινομένῳ καὶ δώσεις αὐτὸν εἰς τὸ ἀπόκλεισμα καὶ εἰς τὸν
27 καταρράκτην. καὶ νῦν διὰ τί συνελοιδορήσατε Ιερεμιαν τὸν ἐξ
28 Αναθωθ τὸν προφητεύσαντα ὑμῖν. οὐ διὰ τοῦτο ἀπέστειλεν πρὸς
ὑμᾶς εἰς Βαβυλῶνα λέγων μακράν ἐστιν οἰκοδομήσατε οἰκίας καὶ
κατοικήσατε καὶ φυτεύσατε κήπους καὶ φάγεσθε τὸν καρπὸν αὐ-
29, 30 τῶν. καὶ ἀνέγνω Σοφονιας τὸ βιβλίον εἰς τὰ ὦτα Ιερεμιου. καὶ
31 ἐγένετο λόγος κυρίου πρὸς Ιερεμιαν λέγων. ἀπόστειλον πρὸς
τὴν ἀποικίαν λέγων οὕτως εἶπεν κύριος ἐπὶ Σαμαιαν τὸν Νελαμί-
την ἐπειδὴ ἐπροφήτευσεν ὑμῖν Σαμαιας καὶ ἐγὼ οὐκ ἀπέστειλα

---

**v.15** ὅτι[cs] λέγω[viaa2p] καθίστημι[viaa3s] ἐγώ[rpd-p] κύριος[nnmsc] προφήτης[nampc] ἐν[pd] Βαβυλών[ndfsp]. **v.21** οὕτως[b] λέγω[viaa3s] κύριος[nnmsc] ἐπί[pa] Αχιαβ[namsp] καί[cc] ἐπί[pa] Σεδεκιας[namsp] ἰδού[i] ἐγώ[rpnms] δίδωμι[vipa1s] αὐτός[rpamp] εἰς[pa] χείρ[nafpc] βασιλεύς[ngmsc] Βαβυλών[ngfsp] καί[cc] πατάσσω[vifa3s] αὐτός[rpamp] κατά[pa] ὀφθαλμός[nampc] σύ[rpg-p]. **v.23** διά[pa] ὅς[rrafs] ποιέω[viaa3p] ἀνομία[nafsc] ἐν[pd] Ἰσραήλ[ndmsp] καί[cc] μοιχάομαι[viim3p] ὁ[dafp] γυνή[nafpc] ὁ[dgmp] πολίτης[ngmpc] αὐτός[rpgmp] καί[cc] λόγος[namsc] χρηματίζω[viaa3p] ἐν[pd] ὁ[ddns] ὄνομα[ndnsc] ἐγώ[rpgms] ὅς[rrams] οὐ[b] συντάσσω[viaa1s] αὐτός[rpdmp] καί[cc] ἐγώ[rpnms] μάρτυς[nnmsc] φημί[vipa3s] κύριος[nnmsc]. **v.24** καί[cc] πρός[pa] Σαμαιας[namsp] ὁ[dams] Νελαμίτης[namsp] λέγω[vifa2s]. **v.25** οὐ[b] ἀποστέλλω[viaa1s] σύ[rpams] ὁ[ddns] ὄνομα[ndnsc] ἐγώ[rpgms] καί[cc] πρός[pa] Σοφονιας[namsp] υἱός[namsc] Μαασαιας[ngmsp] ὁ[dams] ἱερεύς[namsc] λέγω[vdaa2s]. **v.26** κύριος[nnmsc] δίδωμι[viaa3s] σύ[rpams] εἰς[pa] ἱερεύς[namsc] ἀντί[pg] Ιωδαε[ngmsp] ὁ[dgms] ἱερεύς[ngmsc] γίνομαι[vnam] ἐπιστάτης[namsc] ἐν[pd] ὁ[ddms] οἶκος[ndmsc] κύριος[ngmsc] πᾶς[aidmsn] ἄνθρωπος[ndmsc] προφητεύω[vppadms] καί[cc] πᾶς[aidmsn] ἄνθρωπος[ndmsc] μαίνομαι[vpppdms] καί[cc] δίδωμι[vifa2s] αὐτός[rpams] εἰς[pa] ὁ[dans] ἀπόκλεισμα[nansc] καί[cc] εἰς[pa] ὁ[dams] καταρράκτης[namsc]. **v.27** καί[cc] νῦν[b] διά[pa] τίς[rqans] συλλοιδορέω[viaa2p] Ἰερεμίας[namsp] ὁ[dams] ἐκ[pg] Αναθωχ[ngfpp] ὁ[dams] προφητεύω[vpaaams] σύ[rpd-p]. **v.28** οὐ[b] διά[pa] οὗτος[rdans] ἀποστέλλω[viaa3s] πρός[pa] σύ[rpa-p] εἰς[pa] Βαβυλών[nafsp] λέγω[vppanms] μακράν[b] εἰμί[vipa3s] οἰκοδομέω[vdaa2p] οἰκία[ngfsc] καί[cc] κατοικέω[vdaa2p] καί[cc] φυτεύω[vdaa2p] κῆπος[nampc] καί[cc] ἐσθίω[vifm2p] ὁ[dams] καρπός[namsc] αὐτός[rpgmp]. **v.29** καί[cc] ἀναγινώσκω[viaa3s] Σοφονιας[nnmsp] ὁ[dans] βιβλίον[nansc] εἰς[pa] ὁ[danp] οὖς[nanpc] Ἰερεμίας[ngmsp]. **v.30** καί[cc] γίνομαι[viam3s] λόγος[nnmsc] κύριος[ngmsc] πρός[pa] Ἰερεμίας[namsp] λέγω[vppanms].

αὐτόν καὶ πεποιθέναι ἐποίησεν ὑμᾶς ἐπ' ἀδίκοις. διὰ τοῦτο οὕ- 32
τως εἶπεν κύριος ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ Σαμαιαν καὶ ἐπὶ τὸ
γένος αὐτοῦ καὶ οὐκ ἔσται αὐτῶν ἄνθρωπος ἐν μέσῳ ὑμῶν τοῦ
ἰδεῖν τὰ ἀγαθά ἃ ἐγὼ ποιήσω ὑμῖν οὐκ ὄψονται.
ὁ λόγος ὁ γενόμενος πρὸς Ιερεμιαν παρὰ κυρίου εἰπεῖν. οὕ- **37**, 2
τως εἶπεν κύριος ὁ θεὸς Ισραηλ λέγων γράψον πάντας τοὺς λό-
γους οὓς ἐχρημάτισα πρὸς σέ ἐπὶ βιβλίου. ὅτι ἰδοὺ ἡμέραι 3
ἔρχονται φησὶν κύριος καὶ ἀποστρέψω τὴν ἀποικίαν λαοῦ μου
Ισραηλ καὶ Ιουδα εἶπεν κύριος καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν
γῆν ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν καὶ κυριεύσουσιν αὐτῆς. καὶ 4
οὗτοι οἱ λόγοι οὓς ἐλάλησεν κύριος ἐπὶ Ισραηλ καὶ Ιουδα. οὕ- 5
τως εἶπεν κύριος φωνὴν φόβου ἀκούσεσθε φόβος καὶ οὐκ ἔστιν
εἰρήνη. ἐρωτήσατε καὶ ἴδετε εἰ ἔτεκεν ἄρσεν καὶ περὶ φόβου ἐν 6
ᾧ καθέξουσιν ὀσφὺν καὶ σωτηρίαν διότι ἑώρακα πάντα ἄνθρωπον
καὶ αἱ χεῖρες αὐτοῦ ἐπὶ τῆς ὀσφύος αὐτοῦ ἐστράφησαν πρόσωπα
εἰς ἴκτερον. ἐγενήθη ὅτι μεγάλη ἡ ἡμέρα ἐκείνη καὶ οὐκ ἔστιν 7
τοιαύτη καὶ χρόνος στενός ἐστιν τῷ Ιακωβ καὶ ἀπὸ τούτου σω-
θήσεται. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἶπεν κύριος συντρίψω τὸν ζυγὸν 8
ἀπὸ τοῦ τραχήλου αὐτῶν καὶ τοὺς δεσμοὺς αὐτῶν διαρρήξω καὶ
οὐκ ἐργῶνται αὐτοὶ ἔτι ἀλλοτρίοις. καὶ ἐργῶνται τῷ κυρίῳ θεῷ 9

---

62 ἐμοῦ. χείλη ἐπανιστανομένων μοι καὶ μελέτας αὐτῶν κατ᾽ ἐμοῦ
63 ὅλην τὴν ἡμέραν. καθέδραν αὐτῶν καὶ ἀνάστασιν αὐτῶν ἐπίβλε-
64 ψον ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτῶν. ἀποδώσεις αὐτοῖς ἀνταπόδομα
65 κύριε κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν. ἀποδώσεις αὐτοῖς ὑπερα-
66 σπισμὸν καρδίας μόχθον σου αὐτοῖς. καταδιώξεις ἐν ὀργῇ καὶ
ἐξαναλώσεις αὐτοὺς ὑποκάτω τοῦ οὐρανοῦ κύριε.

**4** πῶς ἀμαυρωθήσεται χρυσίον ἀλλοιωθήσεται τὸ ἀργύριον τὸ
2 ἀγαθόν ἐξεχύθησαν λίθοι ἅγιοι ἐπ᾽ ἀρχῆς πασῶν ἐξόδων. υἱ-
οὶ Σιων οἱ τίμιοι οἱ ἐπηρμένοι ἐν χρυσίῳ πῶς ἐλογίσθησαν εἰς
3 ἀγγεῖα ὀστράκινα ἔργα χειρῶν κεραμέως. καί γε δράκοντες ἐξέ-
δυσαν μαστούς ἐθήλασαν σκύμνοι αὐτῶν θυγατέρες λαοῦ μου εἰς
4 ἀνίατον ὡς στρουθίον ἐν ἐρήμῳ. ἐκολλήθη ἡ γλῶσσα θηλάζοντος
πρὸς τὸν φάρυγγα αὐτοῦ ἐν δίψει νήπια ᾔτησαν ἄρτον ὁ διακλῶν
5 οὐκ ἔστιν αὐτοῖς. οἱ ἔσθοντες τὰς τρυφὰς ἠφανίσθησαν ἐν ταῖς
6 ἐξόδοις οἱ τιθηνούμενοι ἐπὶ κόκκων περιεβάλοντο κοπρίας. καὶ
ἐμεγαλύνθη ἀνομία θυγατρὸς λαοῦ μου ὑπὲρ ἀνομίας Σοδομων

---

**v.57** εἰς[pa] ὁ[dafs] βοήθεια[nafsc] ἐγώ[rpg-s] ἐγγίζω[viaa2s] ἐν[pd] ὅς[rrdfs] σύ[rpa-s] ἡμέρα[ndfsc] ἐπικαλέω[viam1s] λέγω[viaa2s] ἐγώ[rpd-s] μή[x] φοβέω[vdpm2s]. **v.58** δικάζω[viaa2s] κύριος[nvmsc] ὁ[dafp] δίκη[nafpc] ὁ[dgfs] ψυχή[ngfsc] ἐγώ[rpg-s] λυτρόω[viam2s] ὁ[dafs] ζωή[nafsc] ἐγώ[rpg-s]. **v.59** ὁράω[viaa2s] κύριος[nvmsc] ὁ[dafp] ταραχή[nafpc] ἐγώ[rpg-s] κρίνω[viaa2s] ὁ[dafs] κρίσις[nafsc] ἐγώ[rpg-s]. **v.60** ὁράω[viaa2s] πᾶς[aiafsn] ὁ[dafs] ἐκδίκησις[nafsc] αὐτός[rpgmp] εἰς[pa] πᾶς[aiampn] διαλογισμός[nampc] αὐτός[rpgmp] ἐν[pd] ἐγώ[rpd-s]. **v.61** ἀκούω[viaa2s] ὁ[dams] ὀνειδισμός[namsc] αὐτός[rpgmp] πᾶς[aiampn] ὁ[damp] διαλογισμός[nampc] αὐτός[rpgmp] κατά[pg] ἐγώ[rpg-s]. **v.62** χεῖλος[nanpc] ἐπανίστημι[vppmgmp] ἐγώ[rpdms] καί[cc] μελέτη[nafpc] αὐτός[rpgmp] κατά[pg] ἐγώ[rpg-s] ὅλος[anafsn] ὁ[dafs] ἡμέρα[nafsc]. **v.63** καθέδρα[nafsc] αὐτός[rpgmp] καί[cc] ἀνάστασις[nafsc] αὐτός[rpgmp] ἐπιβλέπω[vdaa2s] ἐπί[pa] ὁ[damp] ὀφθαλμός[nampc] αὐτός[rpgmp]. **v.64** ἀποδίδωμι[vifa2s] αὐτός[rpdmp] ἀνταπόδομα[nansc] κύριος[nvmsc] κατά[pa] ὁ[danp] ἔργον[nanpc] ὁ[dgfp] χείρ[ngfpc] αὐτός[rpgmp]. **v.65** ἀποδίδωμι[vifa2s] αὐτός[rpdmp] ὑπερασπισμός[namsc] καρδία[ngfsc] μόχθος[namsc] σύ[rpg-s] αὐτός[rpdmp]. **v.66** καταδιώκω[vifa2s] ἐν[pd] ὀργή[ndfsc] καί[cc] ἐξαναλίσκω[vifa2s] αὐτός[rpamp] ὑποκάτω[pg] ὁ[dgms] οὐρανός[ngmsc] κύριος[nvmsc]. **4. v.1** πῶς[b] ἀμαυρόω[vifp3s] χρυσίον[nnnsc] ἀλλοιόω[vifp3s] ὁ[dnns] ἀργύριον[nnnsc] ὁ[dnns] ἀγαθός[annnsn] ἐκχέω[viap3p] λίθος[nnmpc] ἅγιος[annmpn] ἐπί[pg] ἀρχή[ngfsc] πᾶς[aigfpn] ἔξοδος[ngfpc]. **v.2** υἱός[nnmpc] Σιών[ngfsp] ὁ[dnmp] τίμιος[annmpn] ὁ[dnmp] ἐπαίρω[vpppnmp] ἐν[pd] χρυσίον[ndnsc] πῶς[b] λογίζομαι[viap3p] εἰς[pa] ἀγγεῖον[nanpc] ὀστράκινος[ananpn] ἔργον[nanpc] χείρ[ngfpc] κεραμεύς[ngmsc]. **v.3** καί[cc] γέ[x] δράκων[nnmpc] ἐκδύω[viaa3p] μαστός[nampc] θηλάζω[viaa3p] σκύμνος[nnmpc] αὐτός[rpgmp] θυγάτηρ[nnfpc] λαός[ngmsc] ἐγώ[rpg-s] εἰς[pa] ἀνίατος[anamsn] ὡς[cs] στρουθίον[nnnsc] ἐν[pd] ἔρημος[ndfsc]. **v.4** κολλάω[viap3s] ὁ[dnfs] γλῶσσα[nnfsc] θηλάζω[vppagms] πρός[pa] ὁ[dams] φάρυγξ[namsc] αὐτός[rpgms] ἐν[pd] δίψος[ndnsc] νήπιος[annnpn] αἰτέω[viaa3p] ἄρτος[namsc] ὁ[dnms] διακλάω[vppanms] οὐ[b] εἰμί[vipa3s] αὐτός[rpdmp]. **v.5** ὁ[dnmp] ἔσθω[vppanmp] ὁ[dafp] τρυφή[nafpc] ἀφανίζω[viap3p] ἐν[pd] ὁ[ddfp] ἔξοδος[ndfpc] ὁ[dnmp] τιθηνέω[vpppnmp] ἐπί[pg] κόκκος[ngmpc] περιβάλλω[viam3p] κοπρία[nafpc].

τῆς κατεστραμμένης ὥσπερ σπουδῇ καὶ οὐκ ἐπόνεσαν ἐν αὐτῇ
χεῖρας. ἐκαθαριώθησαν ναζιραῖοι αὐτῆς ὑπὲρ χιόνα ἔλαμψαν 7
ὑπὲρ γάλα ἐπυρρώθησαν ὑπὲρ λίθους σαπφείρου τὸ ἀπόσπασμα
αὐτῶν. ἐσκότασεν ὑπὲρ ἀσβόλην τὸ εἶδος αὐτῶν οὐκ ἐπεγνώσθη- 8
σαν ἐν ταῖς ἐξόδοις ἐπάγη δέρμα αὐτῶν ἐπὶ τὰ ὀστέα αὐτῶν ἐξη-
ράνθησαν ἐγενήθησαν ὥσπερ ξύλον. καλοὶ ἦσαν οἱ τραυματίαι 9
ῥομφαίας ἢ οἱ τραυματίαι λιμοῦ ἐπορεύθησαν ἐκκεκεντημένοι
ἀπὸ γενημάτων ἀγρῶν. χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν 10
τὰ παιδία αὐτῶν ἐγενήθησαν εἰς βρῶσιν αὐταῖς ἐν τῷ συντρίμματι
τῆς θυγατρὸς λαοῦ μου. συνετέλεσεν κύριος θυμὸν αὐτοῦ ἐξέ- 11
χεεν θυμὸν ὀργῆς αὐτοῦ καὶ ἀνῆψεν πῦρ ἐν Σιων καὶ κατέφαγεν
τὰ θεμέλια αὐτῆς. οὐκ ἐπίστευσαν βασιλεῖς γῆς πάντες οἱ κα- 12
τοικοῦντες τὴν οἰκουμένην ὅτι εἰσελεύσεται ἐχθρὸς καὶ ἐκθλίβων
διὰ τῶν πυλῶν Ιερουσαλημ. ἐξ ἁμαρτιῶν προφητῶν αὐτῆς ἀδι- 13
κιῶν ἱερέων αὐτῆς τῶν ἐκχεόντων αἷμα δίκαιον ἐν μέσῳ αὐτῆς.
ἐσαλεύθησαν ἐγρήγοροι αὐτῆς ἐν ταῖς ἐξόδοις ἐμολύνθησαν ἐν 14
αἵματι ἐν τῷ μὴ δύνασθαι αὐτοὺς ἥψαντο ἐνδυμάτων αὐτῶν. ἀ- 15
πόστητε ἀκαθάρτων καλέσατε αὐτούς ἀπόστητε ἀπόστητε μὴ ἅ-
πτεσθε ὅτι ἀνήφθησαν καί γε ἐσαλεύθησαν εἴπατε ἐν τοῖς ἔθνεσιν
οὐ μὴ προσθῶσιν τοῦ παροικεῖν. πρόσωπον κυρίου μερὶς αὐ- 16
τῶν οὐ προσθήσει ἐπιβλέψαι αὐτοῖς πρόσωπον ἱερέων οὐκ ἔλαβον

---

**v.6** καί[cc] μεγαλύνω[viap3s] ἀνομία[nnfsc] θυγάτηρ[ngfsc] λαός[ngmsc] ἐγώ[rpg-s] ὑπέρ[pg] ἀνομία[ngfsc] Σόδομα[ngnpp] ὁ[dgfs] καταστρέφω[vpxpgfs] ὥσπερ[cs] σπουδή[ndfsc] καί[cc] οὐ[b] πονέω[viaa3p] ἐν[pd] αὐτός[rpdfs] χείρ[nafpc]. **v.7** καθαριόω[viap3p] ναζιραῖος[annmpn] αὐτός[rpgfs] ὑπέρ[pa] χιών[nafsc] λάμπω[viaa3p] ὑπέρ[pa] γάλα[nansc] πυρρόομαι[viap3p] ὑπέρ[pa] λίθος[nampc] σάπφειρος[ngfsc] ὁ[dnns] ἀπόσπασμα[nnnsc] αὐτός[rpgmp]. **v.8** σκοτάζω[viaa3s] ὑπέρ[pa] ἀσβόλη[nafsc] ὁ[dnns] εἶδος[nnnsc] αὐτός[rpgmp] οὐ[b] ἐπιγινώσκω[viap3p] ἐν[pd] ὁ[ddfp] ἔξοδος[ndfpc] πήγνυμι[viap3s] δέρμα[nnnsc] αὐτός[rpgmp] ἐπί[pa] ὁ[danp] ὀστέον[nanpc] αὐτός[rpgmp] ξηραίνω[viap3p] γίνομαι[viap3p] ὥσπερ[cs] ξύλον[nnnsc]. **v.9** καλός[annmpn] εἰμί[viia3p] ὁ[dnmp] τραυματίας[nnmpc] ῥομφαία[ngfsc] ἤ[cc] ὁ[dnmp] τραυματίας[nnmpc] λιμός[ngmsc] πορεύομαι[viap3p] κεντέω[vpxpnmp] ἀπό[pg] γένημα[ngnpc] ἀγρός[ngmpc]. **v.10** χείρ[nnfpc] γυνή[ngfpc] οἰκτίρμων[angfpn] ἕψω[viaa3p] ὁ[danp] παιδίον[nanpc] αὐτός[rpgfp] γίνομαι[viap3p] εἰς[pa] βρῶσις[nafsc] αὐτός[rpdfp] ἐν[pd] ὁ[ddns] σύντριμμα[ndnsc] ὁ[dgfs] θυγάτηρ[ngfsc] λαός[ngmsc] ἐγώ[rpg-s]. **v.11** συντελέω[viaa3s] κύριος[nnmsc] θυμός[namsc] αὐτός[rpgms] ἐκχέω[viaa3s] θυμός[namsc] ὀργή[ngfsc] αὐτός[rpgms] καί[cc] ἀνάπτω[viaa3s] πῦρ[nansc] ἐν[pd] Σιών[ndfsp] καί[cc] κατεσθίω[viaa3s] ὁ[danp] θεμέλιον[nanpc] αὐτός[rpgfs]. **v.12** οὐ[b] πιστεύω[viaa3p] βασιλεύς[nnmpc] γῆ[ngfsc] πᾶς[ainmpn] ὁ[dnmp] κατοικέω[vppanmp] ὁ[dafs] οἰκουμένη[nafsc] ὅτι[cs] εἰσέρχομαι[vifm3s] ἐχθρός[annmsn] καί[cc] ἐκθλίβω[vppanms] διά[pg] ὁ[dgfp] πύλη[ngfpc] Ἰερουσαλήμ[ngfsp]. **v.13** ἐκ[pg] ἁμαρτία[ngfpc] προφήτης[ngmpc] αὐτός[rpgfs] ἀδικία[ngfpc] ἱερεύς[ngmpc] αὐτός[rpgfs] ὁ[dgmp] ἐκχέω[vppagmp] αἷμα[nansc] δίκαιος[anansn] ἐν[pd] μέσος[andnsn] αὐτός[rpgfs]. **v.14** σαλεύω[viap3p] ἐγείρω[voxa3s] αὐτός[rpgfs] ἐν[pd] ὁ[ddfp] ἔξοδος[ndfpc] μολύνω[viap3p] ἐν[pd] αἷμα[ndnsc] ἐν[pd] ὁ[ddns] μή[x] δύναμαι[vnpm] αὐτός[rpamp] ἅπτω[viam3p] ἔνδυμα[ngnpc] αὐτός[rpgmp]. **v.15** ἀφίστημι[vdaa2p] ἀκάθαρτος[angmpn] καλέω[vdaa2p] αὐτός[rpamp] ἀφίστημι[vdaa2p] ἀφίστημι[vdaa2p] μή[x] ἅπτω[vdpm2p] ὅτι[cs] ἀνάπτω[viap3p] καί[cc] γέ[x] σαλεύω[viap3p] λέγω[vdaa2p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] οὐ[b] μή[x] προστίθημι[vsaa3p] ὁ[dgns] παροικέω[vnpa].

17 πρεσβύτας οὐκ ἠλέησαν. ἔτι ὄντων ἡμῶν ἐξέλιπον οἱ ὀφθαλμοὶ
ἡμῶν εἰς τὴν βοήθειαν ἡμῶν μάταια ἀποσκοπευόντων ἡμῶν ἀπε-
18 σκοπεύσαμεν εἰς ἔθνος οὐ σῷζον. ἐθηρεύσαμεν μικροὺς ἡμῶν
τοῦ μὴ πορεύεσθαι ἐν ταῖς πλατείαις ἡμῶν ἤγγικεν ὁ καιρὸς ἡμῶν
19 ἐπληρώθησαν αἱ ἡμέραι ἡμῶν πάρεστιν ὁ καιρὸς ἡμῶν. κοῦφοι
ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ ἀετοὺς οὐρανοῦ ἐπὶ τῶν ὀρέων
20 ἐξήφθησαν ἐν ἐρήμῳ ἐνήδρευσαν ἡμᾶς. πνεῦμα προσώπου ἡ-
μῶν χριστὸς κυρίου συνελήμφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν οὗ
21 εἴπαμεν ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν. χαῖρε καὶ
εὐφραίνου θύγατερ Ιδουμαίας ἡ κατοικοῦσα ἐπὶ γῆς καί γε ἐπὶ
σὲ διελεύσεται τὸ ποτήριον κυρίου καὶ μεθυσθήσῃ καὶ ἀποχεεῖς.
22 ἐξέλιπεν ἡ ἀνομία σου θύγατερ Σιων οὐ προσθήσει ἔτι ἀποικίσαι
σε ἐπεσκέψατο ἀνομίας σου θύγατερ Εδωμ ἀπεκάλυψεν ἐπὶ τὰ
ἀσεβήματά σου.

**5** μνήσθητι κύριε ὅ τι ἐγενήθη ἡμῖν ἐπίβλεψον καὶ ἰδὲ τὸν ὀνει-
2 δισμὸν ἡμῶν. κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις οἱ οἶκοι
3 ἡμῶν ξένοις. ὀρφανοὶ ἐγενήθημεν οὐχ ὑπάρχει πατήρ μητέρες
4 ἡμῶν ὡς αἱ χῆραι. ἐξ ἡμερῶν ἡμῶν ξύλα ἡμῶν ἐν ἀλλάγματι
5 ἦλθεν. ἐπὶ τὸν τράχηλον ἡμῶν ἐδιώχθημεν ἐκοπιάσαμεν οὐκ
6 ἀνεπαύθημεν. Αἴγυπτος ἔδωκεν χεῖρα Ασσουρ εἰς πλησμονὴν
7 αὐτῶν. οἱ πατέρες ἡμῶν ἥμαρτον οὐχ ὑπάρχουσιν ἡμεῖς τὰ ἀνο-

---

**v.16** πρόσωπον[nansc] κύριος[ngmsc] μερίς[nnfsc] αὐτός[rpgmp] οὐ[b] προστίθημι[vifa3s] ἐπιβλέπω[vnaa] αὐτός[rpdmp] πρόσωπον[nansc] ἱερεύς[ngmpc] οὐ[b] λαμβάνω[viaa3p] πρεσβύτης[nampc] οὐ[b] ἐλεέω[viaa3p]. **v.17** ἔτι[b] εἰμί[vppagmp] ἐγώ[rpg-p] ἐκλείπω[viaa3p] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-p] εἰς[pa] ὁ[dafs] βοήθεια[nafsc] ἐγώ[rpg-p] μάταιος[ananpn] ἀποσκοπεύω[vppagmp] ἐγώ[rpg-p] ἀποσκοπεύω[viaa1p] εἰς[pa] ἔθνος[nansc] οὐ[b] σῴζω[vppaans]. **v.18** θηρεύω[viaa1p] μικρός[anampn] ἐγώ[rpg-p] ὁ[dgns] μή[x] πορεύομαι[vnpm] ἐν[pd] ὁ[ddfp] πλατύς[andfpn] ἐγώ[rpg-p] ἐγγίζω[vixa3s] ὁ[dnms] καιρός[nnmsc] ἐγώ[rpg-p] πληρόω[viap3p] ὁ[dnfp] ἡμέρα[nnfpc] ἐγώ[rpg-p] πάρειμι[vipa3s] ὁ[dnms] καιρός[nnmsc] ἐγώ[rpg-p]. **v.19** κοῦφος[annmpn] γίνομαι[viam3p] ὁ[dnmp] διώκω[vppanmp] ἐγώ[rpa-p] ὑπέρ[pa] ἀετός[nampc] οὐρανός[ngmsc] ἐπί[pg] ὁ[dgnp] ὄρος[ngnpc] ἐξάπτω[viap3p] ἐν[pd] ἔρημος[ndfsc] ἐνεδρεύω[viaa3p] ἐγώ[rpa-p]. **v.20** πνεῦμα[nnnsc] πρόσωπον[ngnsc] ἐγώ[rpg-p] χριστός[annmsn] κύριος[ngmsc] συλλαμβάνω[viap3s] ἐν[pd] ὁ[ddfp] διαφθορά[ndfpc] αὐτός[rpgmp] ὅς[rrgms] λέγω[viaa1p] ἐν[pd] ὁ[ddfs] σκιά[ndfsc] αὐτός[rpgms] ζάω[vifm1p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc]. **v.21** χαίρω[vdpa2s] καί[cc] εὐφραίνω[vdpm2s] θυγάτηρ[nvfsc] Ἰδουμαία[ngfsp] ὁ[dnfs] κατοικέω[vppanfs] ἐπί[pg] γῆ[ngfsc] καί[cc] γέ[x] ἐπί[pa] σύ[rpa-s] διέρχομαι[vifm3s] ὁ[dans] ποτήριον[nansc] κύριος[ngmsc] καί[cc] μεθύσκω[vifp2s] καί[cc] ἀποχέω[vifa2s]. **v.22** ἐκλείπω[viaa3s] ὁ[dnfs] ἀνομία[nnfsc] σύ[rpg-s] θυγάτηρ[nvfsc] Σιών[ngfsp] οὐ[b] προστίθημι[vifa3s] ἔτι[b] ἀποικίζω[vnaa] σύ[rpa-s] ἐπισκέπτομαι[viam3s] ἀνομία[nafpc] σύ[rpg-s] θυγάτηρ[nvfsc] Εδωμ[ngmsp] ἀποκαλύπτω[viaa3s] ἐπί[pa] ὁ[danp] ἀσέβημα[nanpc] σύ[rpg-s]. **5. v.1** μιμνῄσκομαι[vdap2s] κύριος[nvmsc] ὅς[rrans] τι-σριανς γίνομαι[viap3s] ἐγώ[rpd-p] ἐπιβλέπω[vdaa2s] καί[cc] ὁράω[vdaa2s] ὁ[dams] ὀνειδισμός[namsc] ἐγώ[rpg-p]. **v.2** κληρονομία[nnfsc] ἐγώ[rpg-p] μεταστρέφω[viap3s] ἀλλότριος[andmpn] ὁ[dnmp] οἶκος[nnmpc] ἐγώ[rpg-p] ξένος[andmpn]. **v.3** ὀρφανός[annmpn] γίνομαι[viap1p] οὐ[b] ὑπάρχω[vipa3s] πατήρ[nnmsc] μήτηρ[nnfpc] ἐγώ[rpg-p] ὡς[cs] ὁ[dnfp] χήρα[nnfpc]. **v.4** ἐκ[pg] ἡμέρα[ngfpc] ἐγώ[rpg-p] ξύλον[nnnpc] ἐγώ[rpg-p] ἐν[pd] ἄλλαγμα[ndnsc] ἔρχομαι[viaa3s]. **v.5** ἐπί[pa] ὁ[dams] τράχηλος[namsc] ἐγώ[rpg-p] διώκω[viap1p] κοπιάω[viaa1p] οὐ[b] ἀναπαύω[viap1p]. **v.6** Αἴγυπτος[nnfsp] δίδωμι[viaa3s] χείρ[nafsc] Ασσουρ[ndmsp] εἰς[pa] πλησμονή[nafsc] αὐτός[rpgfp].

μήματα αὐτῶν ὑπέσχομεν. δοῦλοι ἐκυρίευσαν ἡμῶν λυτρούμε- 8
νος οὐκ ἔστιν ἐκ τῆς χειρὸς αὐτῶν. ἐν ταῖς ψυχαῖς ἡμῶν εἰσοίσο- 9
μεν ἄρτον ἡμῶν ἀπὸ προσώπου ῥομφαίας τῆς ἐρήμου. τὸ δέρμα 10
ἡμῶν ὡς κλίβανος ἐπελειώθη συνεσπάσθησαν ἀπὸ προσώπου κα-
ταιγίδων λιμοῦ. γυναῖκας ἐν Σιων ἐταπείνωσαν παρθένους ἐν 11
πόλεσιν Ιουδα. ἄρχοντες ἐν χερσὶν αὐτῶν ἐκρεμάσθησαν πρε- 12
σβύτεροι οὐκ ἐδοξάσθησαν. ἐκλεκτοὶ κλαυθμὸν ἀνέλαβον καὶ 13
νεανίσκοι ἐν ξύλῳ ἠσθένησαν. καὶ πρεσβῦται ἀπὸ πύλης κα- 14
τέπαυσαν ἐκλεκτοὶ ἐκ ψαλμῶν αὐτῶν κατέπαυσαν. κατέλυσεν 15
χαρὰ καρδίας ἡμῶν ἐστράφη εἰς πένθος ὁ χορὸς ἡμῶν. ἔπεσεν ὁ 16
στέφανος τῆς κεφαλῆς ἡμῶν οὐαὶ δὴ ἡμῖν ὅτι ἡμάρτομεν. περὶ 17
τούτου ἐγενήθη ὀδυνηρὰ ἡ καρδία ἡμῶν περὶ τούτου ἐσκότασαν
οἱ ὀφθαλμοὶ ἡμῶν. ἐπ᾽ ὄρος Σιων ὅτι ἠφανίσθη ἀλώπεκες διῆλ- 18
θον ἐν αὐτῇ. σὺ δέ κύριε εἰς τὸν αἰῶνα κατοικήσεις ὁ θρόνος σου 19
εἰς γενεὰν καὶ γενεάν. ἵνα τί εἰς νεῖκος ἐπιλήσῃ ἡμῶν καταλεί- 20
ψεις ἡμᾶς εἰς μακρότητα ἡμερῶν. ἐπίστρεψον ἡμᾶς κύριε πρὸς 21
σέ καὶ ἐπιστραφησόμεθα καὶ ἀνακαίνισον ἡμέρας ἡμῶν καθὼς
ἔμπροσθεν. ὅτι ἀπωθούμενος ἀπώσω ἡμᾶς ὠργίσθης ἐφ᾽ ἡμᾶς 22
ἕως σφόδρα.

---

**v.7** ὁ[dnmp] πατήρ[nnmpc] ἐγώ[rpg-p] ἁμαρτάνω[viaa3p] οὐ[b] ὑπάρχω[vipa3p] ἐγώ[rpn-p] ὁ[danp] ἀνόμημα[nanpc] αὐτός[rpgmp] ὑπέχω[viaa1p]. **v.8** δοῦλος[nnmpc] κυριεύω[viaa3p] ἐγώ[rpg-p] λυτρόω[vppmnms] οὐ[b] εἰμί[vipa3s] ἐκ[pg] ὁ[dgfs] χείρ[ngfsc] αὐτός[rpgmp]. **v.9** ἐν[pd] ὁ[ddfp] ψυχή[ndfpc] ἐγώ[rpg-p] εἰσφέρω[vifa1p] ἄρτος[namsc] ἐγώ[rpg-p] ἀπό[pg] πρόσωπον[ngnsc] ῥομφαία[ngfsc] ὁ[dgfs] ἔρημος[ngfsc]. **v.10** ὁ[dnns] δέρμα[nnnsc] ἐγώ[rpg-p] ὡς[cs] κλίβανος[nnmsc] πελειόομαι[viap3s] συσπάω[viap3p] ἀπό[pg] πρόσωπον[ngnsc] καταιγίς[ngfpc] λιμός[ngmsc]. **v.11** γυνή[nafpc] ἐν[pd] Σιών[ndfsp] ταπεινόω[viaa3p] παρθένος[nafpc] ἐν[pd] πόλις[ndfpc] Ἰούδας[ngmsp]. **v.12** ἄρχων[nnmpc] ἐν[pd] χείρ[ndfpc] αὐτός[rpgmp] κρεμάννυμι[viap3p] πρεσβύτερος[annmpc] οὐ[b] δοξάζω[viap3p]. **v.13** ἐκλεκτός[annmpn] κλαυθμός[namsc] ἀναλαμβάνω[viaa3p] καί[cc] νεανίσκος[nnmpc] ἐν[pd] ξύλον[ndnsc] ἀσθενέω[viaa3p]. **v.14** καί[cc] πρεσβύτης[nnmpc] ἀπό[pg] πύλη[ngfsc] καταπαύω[viaa3p] ἐκλεκτός[annmpn] ἐκ[pg] ψαλμός[ngmpc] αὐτός[rpgmp] καταπαύω[viaa3p]. **v.15** καταλύω[viaa3s] χαρά[nnfsc] καρδία[ngfsc] ἐγώ[rpg-p] στρέφω[viap3s] εἰς[pa] πένθος[nansc] ὁ[dnms] χορός[nnmsc] ἐγώ[rpg-p]. **v.16** πίπτω[viaa3s] ὁ[dnms] στέφανος[nnmsc] ὁ[dgfs] κεφαλή[ngfsc] ἐγώ[rpg-p] οὐαί[i] δή[x] ἐγώ[rpd-p] ὅτι[cs] ἁμαρτάνω[viaa1p]. **v.17** περί[pg] οὗτος[rdgms] γίνομαι[viap3s] ὀδυνηρός[annfsn] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-p] περί[pg] οὗτος[rdgms] σκοτάζω[viaa3p] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-p]. **v.18** ἐπί[pa] ὄρος[nansc] Σιών[ngfsp] ὅτι[cs] ἀφανίζω[viap3s] ἀλώπηξ[nnfpc] διέρχομαι[viaa3p] ἐν[pd] αὐτός[rpdfs]. **v.19** σύ[rpn-s] δέ[cc] κύριος[nvmsc] εἰς[pa] ὁ[dams] αἰών[namsc] κατοικέω[vifa2s] ὁ[dnms] θρόνος[nnmsc] σύ[rpg-s] εἰς[pa] γενεά[nafsc] καί[cc] γενεά[nafsc]. **v.20** ἵνα[cs] τίς[rqnns] εἰς[pa] νεῖκος[nansc] ἐπιλανθάνομαι[vifm2s] ἐγώ[rpg-p] καταλείπω[vifa2s] ἐγώ[rpa-p] εἰς[pa] μακρότης[nafsc] ἡμέρα[ngfpc]. **v.21** ἐπιστρέφω[vdaa2s] ἐγώ[rpa-p] κύριος[nvmsc] πρός[pa] σύ[rpa-s] καί[cc] ἐπιστρέφω[vifp1p] καί[cc] ἀνακαινίζω[vdaa2s] ἡμέρα[ngfsc] ἐγώ[rpg-p] καθώς[cs] ἔμπροσθεν[b]. **v.22** ὅτι[cs] ἀπωθέω[vppmnms] ἀπωθέω[viam2s] ἐγώ[rpa-p] ὀργίζω[viap2s] ἐπί[pa] ἐγώ[rpa-p] ἕως[pp] σφόδρα[b].

# ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ

**1** διὰ τὰς ἁμαρτίας ἃς ἡμαρτήκατε ἐναντίον τοῦ θεοῦ ἀχθήσε-
σθε εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ Ναβουχοδονοσορ βασιλέως
2 τῶν Βαβυλωνίων. εἰσελθόντες οὖν εἰς Βαβυλῶνα ἔσεσθε ἐκεῖ ἔτη
πλείονα καὶ χρόνον μακρὸν ἕως γενεῶν ἑπτά μετὰ τοῦτο δὲ ἐ-
3 ξάξω ὑμᾶς ἐκεῖθεν μετ᾽ εἰρήνης. νυνὶ δὲ ὄψεσθε ἐν Βαβυλῶνι
θεοὺς ἀργυροῦς καὶ χρυσοῦς καὶ ξυλίνους ἐπ᾽ ὤμοις αἰρομένους
4 δεικνύντας φόβον τοῖς ἔθνεσιν. εὐλαβήθητε οὖν μὴ καὶ ὑμεῖς
ἀφομοιωθέντες τοῖς ἀλλοφύλοις ἀφομοιωθῆτε καὶ φόβος ὑμᾶς
5 λάβῃ ἐπ᾽ αὐτοῖς. ἰδόντας ὄχλον ἔμπροσθεν καὶ ὄπισθεν αὐτῶν
προσκυνοῦντας αὐτά εἴπατε δὲ τῇ διανοίᾳ σοὶ δεῖ προσκυνεῖν δέ-
6 σποτα. ὁ γὰρ ἄγγελός μου μεθ᾽ ὑμῶν ἐστιν αὐτός τε ἐκζητῶν
7 τὰς ψυχὰς ὑμῶν. γλῶσσα γὰρ αὐτῶν ἐστιν κατεξυσμένη ὑπὸ τέ-
κτονος αὐτά τε περίχρυσα καὶ περιάργυρα ψευδῆ δ᾽ ἐστὶν καὶ οὐ
8 δύνανται λαλεῖν. καὶ ὥσπερ παρθένῳ φιλοκόσμῳ λαμβάνοντες
χρυσίον κατασκευάζουσιν στεφάνους ἐπὶ τὰς κεφαλὰς τῶν θεῶν
9 αὐτῶν. ἔστι δὲ καὶ ὅτε ὑφαιρούμενοι οἱ ἱερεῖς ἀπὸ τῶν θεῶν αὐ-
τῶν χρυσίον καὶ ἀργύριον εἰς ἑαυτοὺς καταναλώσουσιν δώσουσιν
10 δὲ ἀπ᾽ αὐτῶν καὶ ταῖς ἐπὶ τοῦ τέγους πόρναις. κοσμοῦσί τε αὐ-

---

**1.** **v.1** διά[pa] ὁ[dafp] ἁμαρτία[nafpc] ὅς[rrafp] ἁμαρτάνω[vixa2p] ἐναντίον[pg] ὁ[dgms] θεός[ngmsc] ἄγω[vifp2p] εἰς[pa] Βαβυλών[nafsp] αἰχμάλωτος[annmpn] ὑπό[pg] Ναβουχοδονοσορ[ngmsp] βασιλεύς[ngmsc] ὁ[dgmp] Βαβυλώνιος[ngmpp]. **v.2** εἰσέρχομαι[vpaanmp] οὖν[cc] εἰς[pa] Βαβυλών[nafsp] εἰμί[vifm2p] ἐκεῖ[b] ἔτος[nanpc] πολύς[ananpc] καί[cc] χρόνος[namsc] μακρός[anamsn] ἕως[pg] γενεά[ngfpc] ἑπτά[ac—n] μετά[pa] οὗτος[rdans] δέ[cc] ἐξάγω[vifa1s] σύ[rpa-p] ἐκεῖθεν[b] μετά[pg] εἰρήνη[ngfsc]. **v.3** νυνί[b] δέ[cc] ὁράω[vifm2p] ἐν[pd] Βαβυλών[ndfsp] θεός[nampc] ἀργυροῦς[anampn] καί[cc] χρυσοῦς[anampn] καί[cc] ξύλινος[anampn] ἐπί[pd] ὦμος[ndmpc] αἴρω[vpppamp] δείκνυμι[vppaamp] φόβος[namsc] ὁ[ddnp] ἔθνος[ndnpc]. **v.4** εὐλαβέομαι[vdap2p] οὖν[cc] μή[x] καί[cc] σύ[rpn-p] ἀφομοιόω[vpapnmp] ὁ[ddmp] ἀλλόφυλος[andmpn] ἀφομοιόω[vsap2p] καί[cc] φόβος[nnmsc] σύ[rpa-p] λαμβάνω[vsaa3s] ἐπί[pd] αὐτός[rpdmp]. **v.5** ὁράω[vpaaamp] ὄχλος[namsc] ἔμπροσθεν[pg] καί[cc] ὄπισθεν[pg] αὐτός[rpgnp] προσκυνέω[vppaamp] αὐτός[rpanp] λέγω[vdaa2p] δέ[cc] ὁ[ddfs] διάνοια[ndfsc] σύ[rpd-s] δεῖ[vipa3s] προσκυνέω[vnpa] δεσπότης[nvmsc]. **v.6** ὁ[dnms] γάρ[cc] ἄγγελος[nnmsc] ἐγώ[rpg-s] μετά[pg] σύ[rpg-p] εἰμί[vipa3s] αὐτός[rpnms] τέ[cc] ἐκζητέω[vppanms] ὁ[dafp] ψυχή[nafpc] σύ[rpg-p]. **v.7** γλῶσσα[nnfsc] γάρ[cc] αὐτός[rpgnp] εἰμί[vipa3s] καταξύω[vpxpnfs] ὑπό[pg] τέκτων[ngmsc] αὐτός[rpnnp] τέ[cc] περίχρυσος[annnpn] καί[cc] περιάργυρος[annnpn] ψευδής[annnpn] δέ[cc] εἰμί[vipa3s] καί[cc] οὐ[b] δύναμαι[vipm3p] λαλέω[vnpa]. **v.8** καί[cc] ὥσπερ[cs] παρθένος[ndfsc] φιλόκοσμος[andfsn] λαμβάνω[vppanmp] χρυσίον[nansc] κατασκευάζω[vipa3p] στέφανος[nampc] ἐπί[pa] ὁ[dafp] κεφαλή[nafpc] ὁ[dgmp] θεός[ngmpc] αὐτός[rpgmp]. **v.9** εἰμί[vipa3s] δέ[cc] καί[cc] ὅτε[cs] ὑφαιρέω[vppmnmp] ὁ[dnmp] ἱερεύς[nnmpc] ἀπό[pg] ὁ[dgmp] θεός[ngmpc] αὐτός[rpgmp] χρυσίον[nansc] καί[cc] ἀργύριον[nansc] εἰς[pa] ἑαυτοῦ[rxamp] καταναλίσκω[vifa3p] δίδωμι[vifa3p] δέ[cc] ἀπό[pg] αὐτός[rpgnp] καί[cc] ὁ[ddfp] ἐπί[pg] ὁ[dgns] τέγος[ngnsc] πόρνη[ndfpc].

τοὺς ὡς ἀνθρώπους τοῖς ἐνδύμασιν θεοὺς ἀργυροῦς καὶ χρυσοῦς
καὶ ξυλίνους οὗτοι δὲ οὐ διασῴζονται ἀπὸ ἰοῦ καὶ βρωμάτων. πε- 11
ριβεβλημένων αὐτῶν ἱματισμὸν πορφυροῦν ἐκμάσσονται τὸ πρό-
σωπον αὐτῶν διὰ τὸν ἐκ τῆς οἰκίας κονιορτόν ὅς ἐστιν πλείων ἐπ'
αὐτοῖς. καὶ σκῆπτρον ἔχει ὡς ἄνθρωπος κριτὴς χώρας ὃς τὸν εἰς 12
αὐτὸν ἁμαρτάνοντα οὐκ ἀνελεῖ. ἔχει δὲ ἐγχειρίδιον ἐν δεξιᾷ καὶ 13
πέλεκυν ἑαυτὸν δὲ ἐκ πολέμου καὶ λῃστῶν οὐκ ἐξελεῖται. ὅθεν 14
γνώριμοί εἰσιν οὐκ ὄντες θεοί μὴ οὖν φοβηθῆτε αὐτούς. ὥσπερ 15
γὰρ σκεῦος ἀνθρώπου συντριβὲν ἀχρεῖον γίνεται τοιοῦτοι ὑπάρ-
χουσιν οἱ θεοὶ αὐτῶν καθιδρυμένων αὐτῶν ἐν τοῖς οἴκοις. οἱ 16
ὀφθαλμοὶ αὐτῶν πλήρεις εἰσὶν κονιορτοῦ ἀπὸ τῶν ποδῶν τῶν εἰ-
σπορευομένων. καὶ ὥσπερ τινὶ ἠδικηκότι βασιλέα περιπεφραγ- 17
μέναι εἰσὶν αἱ αὐλαὶ ὡς ἐπὶ θανάτῳ ἀπηγμένῳ τοὺς οἴκους αὐτῶν
ὀχυροῦσιν οἱ ἱερεῖς θυρώμασίν τε καὶ κλείθροις καὶ μοχλοῖς ὅπως
ὑπὸ τῶν λῃστῶν μὴ συληθῶσι. λύχνους καίουσιν καὶ πλείους ἢ 18
ἑαυτοῖς ὧν οὐδένα δύνανται ἰδεῖν. ἔστιν μὲν ὥσπερ δοκὸς τῶν 19
ἐκ τῆς οἰκίας τὰς δὲ καρδίας αὐτῶν φασιν ἐκλείχεσθαι τῶν ἀπὸ
τῆς γῆς ἑρπετῶν κατεσθόντων αὐτούς τε καὶ τὸν ἱματισμὸν αὐ-
τῶν οὐκ αἰσθάνονται. μεμελανωμένοι τὸ πρόσωπον αὐτῶν ἀπὸ 20
τοῦ καπνοῦ τοῦ ἐκ τῆς οἰκίας. ἐπὶ τὸ σῶμα αὐτῶν καὶ ἐπὶ τὴν 21
κεφαλὴν ἐφίπτανται νυκτερίδες χελιδόνες καὶ τὰ ὄρνεα ὡσαύτως

---

**v.10** κοσμέω[vipa3p] τέ[cc] αὐτός[rpamp] ὡς[cs] ἄνθρωπος[nampc] ὁ[ddnp] ἔνδυμα[ndnpc] θεός[nampc] ἀργυροῦς[anampn] καί[cc] χρυσοῦς[anampn] καί[cc] ξύλινος[anampn] οὗτος[rdnmp] δέ[cc] οὐ[b] διασῴζω[vipm3p] ἀπό[pg] ἰός[ngmsc] καί[cc] βρῶμα[ngnpc]. **v.11** περιβάλλω[vpxmgmp] αὐτός[rpgmp] ἱματισμός[namsc] πορφυροῦς[anamsn] ἐκμάσσω[vipm3p] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgmp] διά[pa] ὁ[dams] ἐκ[pg] ὁ[dgfs] οἰκία[ngfsc] κονιορτός[namsc] ὅς[rrnms] εἰμί[vipa3s] πολύς[annmsc] ἐπί[pd] αὐτός[rpdmp]. **v.12** καί[cc] σκῆπτρον[nansc] ἔχω[vipa3s] ὡς[cs] ἄνθρωπος[nnmsc] κριτής[nnmsc] χώρα[ngfsc] ὅς[rrnms] ὁ[dams] εἰς[pa] αὐτός[rpams] ἁμαρτάνω[vppaams] οὐ[b] ἀναιρέω[vifa3s]. **v.13** ἔχω[vipa3s] δέ[cc] ἐγχειρίδιον[nansc] ἐν[pd] δεξιός[andfsn] καί[cc] πέλεκυς[namsc] ἑαυτοῦ[rxams] δέ[cc] ἐκ[pg] πόλεμος[ngmsc] καί[cc] λῃστής[ngmpc] οὐ[b] ἐξαιρέω[vifm3s]. **v.14** ὅθεν[b] γνώριμος[annmpn] εἰμί[vipa3p] οὐ[b] εἰμί[vppanmp] θεός[nnmpc] μή[x] οὖν[cc] φοβέω[vsap2p] αὐτός[rpamp]. **v.15** ὥσπερ[cs] γάρ[cc] σκεῦος[nnnsc] ἄνθρωπος[ngmsc] συντρίβω[vpapnns] ἀχρεῖος[annnsn] γίνομαι[vipm3s] τοιοῦτος[adnmpn] ὑπάρχω[vipa3p] ὁ[dnmp] θεός[nnmpc] αὐτός[rpgmp] καθιδρύω[vpxpgmp] αὐτός[rpgmp] ἐν[pd] ὁ[ddmp] οἶκος[ndmpc]. **v.16** ὁ[dnmp] ὀφθαλμός[nnmpc] αὐτός[rpgmp] πλήρης[annmpn] εἰμί[vipa3p] κονιορτός[ngmsc] ἀπό[pg] ὁ[dgmp] πούς[ngmpc] ὁ[dgmp] εἰσπορεύομαι[vppmgmp]. **v.17** καί[cc] ὥσπερ[cs] τι-σριδμς ἀδικέω[vpxadms] βασιλεύς[namsc] περιφράσσω[vpxpnfp] εἰμί[vipa3p] ὁ[dnfp] αὐλή[nnfpc] ὡς[cs] ἐπί[pd] θάνατος[ndmsc] ἀπάγω[vpxpdms] ὁ[damp] οἶκος[nampc] αὐτός[rpgmp] ὀχυρόω[vipa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] θύρωμα[ndnpc] τέ[cc] καί[cc] κλεῖθρον[ndnpc] καί[cc] μοχλός[ndmpc] ὅπως[cs] ὑπό[pg] ὁ[dgmp] λῃστής[ngmpc] μή[x] συλάω[vsap3p]. **v.18** λύχνος[nampc] καίω[vipa3p] καί[cc] πολύς[anampc] ἤ[cc] ἑαυτοῦ[rxdmp] ὅς[rrgmp] οὐδείς[riams] δύναμαι[vipm3p] ὁράω[vnaa]. **v.19** εἰμί[vipa3s] μέν[x] ὥσπερ[cs] δοκός[nnfsc] ὁ[dgfp] ἐκ[pg] ὁ[dgfs] οἰκία[ngfsc] ὁ[dafp] δέ[cc] καρδία[nafpc] αὐτός[rpgmp] φημί[vipa3p] ἐκλείχω[vnpp] ὁ[dgnp] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] ἑρπετόν[ngnpc] κατέσθω[vppagnp] αὐτός[rpamp] τέ[cc] καί[cc] ὁ[dams] ἱματισμός[namsc] αὐτός[rpgmp] οὐ[b] αἰσθάνομαι[vipm3p]. **v.20** μελανόομαι[vpxpnmp] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgmp] ἀπό[pg] ὁ[dgms] καπνός[ngmsc] ὁ[dgms] ἐκ[pg] ὁ[dgfs] οἰκία[ngfsc].

22 δὲ καὶ οἱ αἴλουροι. ὅθεν γνώσεσθε ὅτι οὔκ εἰσιν θεοί μὴ οὖν
23 φοβεῖσθε αὐτά. τὸ γὰρ χρυσίον ὃ περίκεινται εἰς κάλλος ἐὰν
μή τις ἐκμάξῃ τὸν ἰόν οὐ μὴ στίλψωσιν οὐδὲ γάρ ὅτε ἐχωνεύοντο
24 ᾐσθάνοντο. ἐκ πάσης τιμῆς ἠγορασμένα ἐστίν ἐν οἷς οὐκ ἔστιν
25 πνεῦμα. ἄνευ ποδῶν ἐπ᾽ ὤμοις φέρονται ἐνδεικνύμενοι τὴν ἑαυ-
τῶν ἀτιμίαν τοῖς ἀνθρώποις αἰσχύνονταί τε καὶ οἱ θεραπεύοντες
26 αὐτὰ διὰ τό μήποτε ἐπὶ τὴν γῆν πέσῃ δι᾽ αὐτῶν ἀνίστασθαι. μήτε
ἐάν τις αὐτὸ ὀρθὸν στήσῃ δι᾽ ἑαυτοῦ κινηθήσεται μήτε ἐὰν κλιθῇ
οὐ μὴ ὀρθωθῇ ἀλλ᾽ ὥσπερ νεκροῖς τὰ δῶρα αὐτοῖς παρατίθεται.
27 τὰς δὲ θυσίας αὐτῶν ἀποδόμενοι οἱ ἱερεῖς αὐτῶν καταχρῶνται ὡ-
σαύτως δὲ καὶ αἱ γυναῖκες αὐτῶν ἀπ᾽ αὐτῶν ταριχεύουσαι οὔτε
πτωχῷ οὔτε ἀδυνάτῳ μεταδιδόασιν τῶν θυσιῶν αὐτῶν ἀποκαθη-
28 μένη καὶ λεχὼ ἅπτονται. γνόντες οὖν ἀπὸ τούτων ὅτι οὔκ εἰσιν
29 θεοί μὴ φοβηθῆτε αὐτούς. πόθεν γὰρ κληθείησαν θεοί ὅτι γυ-
ναῖκες παρατιθέασιν θεοῖς ἀργυροῖς καὶ χρυσοῖς καὶ ξυλίνοις.
30 καὶ ἐν τοῖς οἴκοις αὐτῶν οἱ ἱερεῖς διφρεύουσιν ἔχοντες τοὺς χιτῶ-
νας διερρωγότας καὶ τὰς κεφαλὰς καὶ τοὺς πώγωνας ἐξυρημένους
31 ὧν αἱ κεφαλαὶ ἀκάλυπτοί εἰσιν. ὠρύονται δὲ βοῶντες ἐναντίον
32 τῶν θεῶν αὐτῶν ὥσπερ τινὲς ἐν περιδείπνῳ νεκροῦ. ἀπὸ τοῦ
ἱματισμοῦ αὐτῶν ἀφελόμενοι οἱ ἱερεῖς ἐνδύουσιν τὰς γυναῖκας

---

**v.21** ἐπί[pa] ὁ[dans] σῶμα[nansc] αὐτός[rpgmp] καί[cc] ἐπί[pa] ὁ[dafs] κεφαλή[nafsc] ἐφίπταμαι[vipm3p] νυκτερίς[nnfpc] χελιδών[nnfpc] καί[cc] ὁ[dnnp] ὄρνεον[nnnpc] ὡσαύτως[b] δέ[cc] καί[b] ὁ[dnmp] αἴλουρος[nnmpc]. **v.22** ὅθεν[b] γινώσκω[vifm2p] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc] μή[x] οὖν[cc] φοβέω[vdpm2p] αὐτός[rpanp]. **v.23** ὁ[dans] γάρ[cc] χρυσίον[nansc] ὅς[rrans] περίκειμαι[vipp3p] εἰς[pa] κάλλος[nansc] ἐάν[cs] μή[x] τι-σ-ρινμς ἐκμάσσω[vsaa3s] ὁ[dams] ἰός[namsc] οὐ[b] μή[x] στίλβω[vsaa3p] οὐδέ[cc] γάρ[cc] ὅτε[cs] χωνεύω[viip3p] αἰσθάνομαι[viim3p]. **v.24** ἐκ[pg] πᾶς[aigfsn] τιμή[ngfsc] ἀγοράζω[vpxpnnp] εἰμί[vipa3s] ἐν[pd] ὅς[rrdnp] οὐ[b] εἰμί[vipa3s] πνεῦμα[nnnsc]. **v.25** ἄνευ[pg] πούς[ngmpc] ἐπί[pd] ὦμος[ndmpc] φέρω[vipp3p] ἐνδείκνυμι[vppmnmp] ὁ[dafs] ἑαυτοῦ[rxgmp] ἀτιμία[nafsc] ὁ[ddmp] ἄνθρωπος[ndmpc] αἰσχύνω[vipm3'pvipp3p] τέ[cc] καί[b] ὁ[dnmp] θεραπεύω[vppanmp] αὐτός[rpanp] διά[pa] ὁ[dans] μήποτε[cs] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] πίπτω[vsaa3s] διά[pg] αὐτός[rpgmp] ἀνίστημι[vnpm]. **v.26** μήτε[cc] ἐάν[cs] τι-σρινμς αὐτός[rpans] ὀρθός[anansn] ἵστημι[vsaa3s] διά[pg] ἑαυτοῦ[rxgns] κινέω[vifp3s] μήτε[cc] ἐάν[cs] κλίνω[vsap3s] οὐ[b] μή[x] ὀρθόω[vsap3s] ἀλλά[cc] ὥσπερ[cs] νεκρός[andmpn] ὁ[dnnp] δῶρον[nnnpc] αὐτός[rpdnp] παρατίθημι[vipp3s]. **v.27** ὁ[dafp] δέ[cc] θυσία[nafpc] αὐτός[rpgmp] ἀποδίδωμι[vpamnmp] ὁ[dnmp] ἱερεύς[nnmpc] αὐτός[rpgmp] καταχράομαι[vipm3p] ὡσαύτως[b] δέ[cc] καί[b] ὁ[dnfp] γυνή[nnfpc] αὐτός[rpgmp] ἀπό[pg] αὐτός[rpgfp] ταριχεύω[vppanfp] οὔτε[cc] πτωχός[andmsn] οὔτε[cc] ἀδύνατος[andmsn] μεταδίδωμι[vipa3p] ὁ[dgfp] θυσία[ngfpc] αὐτός[rpgmp] ἀποκάθημαι[vpppnfs] καί[cc] λεχώ[nnfsc] ἅπτω[vipm3p]. **v.28** γινώσκω[vpaanmp] οὖν[cc] ἀπό[pg] οὗτος[rdgnp] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc] μή[x] φοβέω[vsap2p] αὐτός[rpamp]. **v.29** πόθεν[b] γάρ[cc] καλέω[voap3p] θεός[nnmpc] ὅτι[cs] γυνή[nnfpc] παρατίθημι[vipa3p] θεός[ndmpc] ἀργυροῦς[andmpn] καί[cc] χρυσοῦς[andmpn] καί[cc] ξύλινος[andmpn]. **v.30** καί[cc] ἐν[pd] ὁ[ddmp] οἶκος[ndmpc] αὐτός[rpgmp] ὁ[dnmp] ἱερεύς[nnmpc] διφρεύω[vipa3p] ἔχω[vppanmp] ὁ[damp] χιτών[nampc] διαρρήγνυμι[vpxaamp] καί[cc] ὁ[dafp] κεφαλή[nafpc] καί[cc] ὁ[damp] πώγων[nampc] ξυράω[vpxpamp] ὅς[rrgmp] ὁ[dnfp] κεφαλή[nnfpc] ἀκάλυπτος[annfpn] εἰμί[vipa3p]. **v.31** ὠρύομαι[vipm3p] δέ[cc] βοάω[vppanmp] ἐναντίον[pg] ὁ[dgmp] θεός[ngmpc] αὐτός[rpgmp] ὥσπερ[cs] τι-σρινμπ ἐν[pd] περίδειπνον[ndnsc] νεκρός[angmsn].

αὐτῶν καὶ τὰ παιδία. οὔτε ἐὰν κακὸν πάθωσιν ὑπό τινος οὔτε 33
ἐὰν ἀγαθόν δυνήσονται ἀνταποδοῦναι οὔτε καταστῆσαι βασιλέα
δύνανται οὔτε ἀφελέσθαι. ὡσαύτως οὔτε πλοῦτον οὔτε χαλκὸν 34
οὐ μὴ δύνωνται διδόναι ἐάν τις αὐτοῖς εὐχὴν εὐξάμενος μὴ ἀπο-
δῷ οὐ μὴ ἐπιζητήσωσιν. ἐκ θανάτου ἄνθρωπον οὐ μὴ ῥύσωνται 35
οὔτε ἥττονα ἀπὸ ἰσχυροῦ οὐ μὴ ἐξέλωνται. ἄνθρωπον τυφλὸν 36
εἰς ὅρασιν οὐ μὴ περιστήσωσιν ἐν ἀνάγκῃ ἄνθρωπον ὄντα οὐ μὴ
ἐξέλωνται. χήραν οὐ μὴ ἐλεήσωσιν οὔτε ὀρφανὸν εὖ ποιήσου- 37
σιν. τοῖς ἀπὸ τοῦ ὄρους λίθοις ὡμοιωμένοι εἰσὶν τὰ ξύλινα καὶ 38
τὰ περίχρυσα καὶ τὰ περιάργυρα οἱ δὲ θεραπεύοντες αὐτὰ καται-
σχυνθήσονται. πῶς οὖν νομιστέον ἢ κλητέον αὐτοὺς ὑπάρχειν 39
θεούς. ἔτι δὲ καὶ αὐτῶν τῶν Χαλδαίων ἀτιμαζόντων αὐτά οἵ ὅταν 40
ἴδωσιν ἐνεὸν οὐ δυνάμενον λαλῆσαι προσενεγκάμενοι τὸν Βῆ-
λον ἀξιοῦσιν φωνῆσαι ὡς δυνατοῦ ὄντος αὐτοῦ αἰσθέσθαι. καὶ 41
οὐ δύνανται αὐτοὶ νοήσαντες καταλιπεῖν αὐτά αἴσθησιν γὰρ οὐκ
ἔχουσιν. αἱ δὲ γυναῖκες περιθέμεναι σχοινία ἐν ταῖς ὁδοῖς ἐγ- 42
κάθηνται θυμιῶσαι τὰ πίτυρα. ὅταν δέ τις αὐτῶν ἐφελκυσθεῖσα 43
ὑπό τινος τῶν παραπορευομένων κοιμηθῇ τὴν πλησίον ὀνειδίζει
ὅτι οὐκ ἠξίωται ὥσπερ καὶ αὐτὴ οὔτε τὸ σχοινίον αὐτῆς διερράγη.
πάντα τὰ γινόμενα αὐτοῖς ἐστιν ψευδῆ πῶς οὖν νομιστέον ἢ κλη- 44

---

**v.32** ἀπό[pg] ὁ[dgms] ἱματισμός[ngmsc] αὐτός[rpgmp] ἀφαιρέω[vpamnmp] ὁ[dnmp] ἱερεύς[nnmpc] ἐνδύω[vipa3p] ὁ[dafp] γυνή[nafpc] αὐτός[rpgmp] καί[cc] ὁ[danp] παιδίον[nanpc]. **v.33** οὔτε[cc] ἐάν[cs] κακός[anansn] πάσχω[vsaa3p] ὑπό[pg] τι-σριγμς οὔτε[cc] ἐάν[cs] ἀγαθός[anansn] δύναμαι[vifm3p] ἀνταποδίδωμι[vnaa] οὔτε[cc] καθίστημι[vnaa] βασιλεύς[namsc] δύναμαι[vipm3p] οὔτε[cc] ἀφαιρέω[vnam]. **v.34** ὡσαύτως[b] οὔτε[cc] πλοῦτος[namsc] οὔτε[cc] χαλκός[namsc] οὐ[b] μή[x] δύναμαι[vspm3p] δίδωμι[vnpa] ἐάν[cs] τι-σρινμς αὐτός[rpdmp] εὐχή[nafsc] εὔχομαι[vpamnms] μή[x] ἀποδίδωμι[vsaa3s] οὐ[b] μή[x] ἐπιζητέω[vsaa3p]. **v.35** ἐκ[pg] θάνατος[ngmsc] ἄνθρωπος[namsc] οὐ[b] μή[x] ῥύομαι[vsam3p] οὔτε[cc] ἥσσων[anamsc] ἀπό[pg] ἰσχυρός[angmsn] οὐ[b] μή[x] ἐξαιρέω[vsam3p]. **v.36** ἄνθρωπος[namsc] τυφλός[anamsn] εἰς[pa] ὅρασις[nafsc] οὐ[b] μή[x] περιΐστημι[vsaa3p] ἐν[pd] ἀνάγκη[ndfsc] ἄνθρωπος[namsc] εἰμί[vppaams] οὐ[b] μή[x] ἐξαιρέω[vsam3p]. **v.37** χήρα[nafsc] οὐ[b] μή[x] ἐλεέω[vsaa3p] οὔτε[cc] ὀρφανός[anamsn] εὖ[b] ποιέω[vifa3p]. **v.38** ὁ[ddmp] ἀπό[pg] ὁ[dgns] ὄρος[ngnsc] λίθος[ndmpc] ὁμοιόω[vpxpnmp] εἰμί[vipa3p] ὁ[dnnp] ξύλινος[annnpn] καί[cc] ὁ[dnnp] περίχρυσος[annnpn] καί[cc] ὁ[dnnp] περιάργυρος[annnpn] ὁ[dnmp] δέ[cc] θεραπεύω[vppanmp] αὐτός[rpanp] καταισχύνω[vifp3p]. **v.39** πῶς[b] οὖν[cc] νομιστέος[annnsn] ἤ[cc] κλητέος[annnsn] αὐτός[rpamp] ὑπάρχω[vnpa] θεός[nampc]. **v.40** ἔτι[b] δέ[cc] καί[b] αὐτός[rtgmp] ὁ[dgmp] Χαλδαῖος[ngmpp] ἀτιμάζω[vppagmp] αὐτός[rpanp] ὅς[rrnmp] ὅταν[cs] ὁράω[vsaa3p] ἐνεός[anamsn] οὐ[b] δύναμαι[vppmams] λαλέω[vnaa] προσφέρω[vpamnmp] ὁ[dams] Βῆλος[namsp] ἀξιόω[vipa3p] φωνέω[vnaa] ὡς[cs] δυνατός[angmsn] εἰμί[vppagms] αὐτός[rpgms] αἰσθάνομαι[vnam]. **v.41** καί[cc] οὐ[b] δύναμαι[vipm3p] αὐτός[rpnmp] νοέω[vpaanmp] καταλείπω[vnaa] αὐτός[rpanp] αἴσθησις[nafsc] γάρ[cc] οὐ[b] ἔχω[vipa3p]. **v.42** ὁ[dnfp] δέ[cc] γυνή[nnfpc] περιτίθημι[vpamnfp] σχοινίον[nanpc] ἐν[pd] ὁ[ddfp] ὁδός[ndfpc] ἐγκάθημαι[vipm3p] θυμιάω[vppanfp] ὁ[danp] πίτυρον[nanpc]. **v.43** ὅταν[cs] δέ[cc] τι-σρινφς αὐτός[rpgfp] ἐφέλκω[vpapnfs] ὑπό[pg] τι-σριγμς ὁ[dgmp] παραπορεύομαι[vppmgmp] κοιμάομαι[vsap3s] ὁ[dafs] πλησίον[b] ὀνειδίζω[vipa3s] ὅτι[cs] οὐ[b] ἀξιόω[vixp3s] ὥσπερ[cs] καί[b] αὐτός[rpnfs] οὔτε[cc] ὁ[dnns] σχοινίον[nnnsc] αὐτός[rpgfs] διαρρήγνυμι[viap3s].

45 τέον ὥστε θεοὺς αὐτοὺς ὑπάρχειν. ὑπὸ τεκτόνων καὶ χρυσοχόων
κατεσκευασμένα εἰσίν οὐθὲν ἄλλο μὴ γένωνται ἢ ὃ βούλονται οἱ
46 τεχνῖται αὐτὰ γενέσθαι. αὐτοί τε οἱ κατασκευάζοντες αὐτὰ οὐ
μὴ γένωνται πολυχρόνιοι πῶς τε δὴ μέλλει τὰ ὑπ᾽ αὐτῶν κατα-
47 σκευασθέντα εἶναι θεοί. κατέλιπον γὰρ ψεύδη καὶ ὄνειδος τοῖς
48 ἐπιγινομένοις. ὅταν γὰρ ἐπέλθῃ ἐπ᾽ αὐτὰ πόλεμος καὶ κακά
βουλεύονται πρὸς ἑαυτοὺς οἱ ἱερεῖς ποῦ συναποκρυβῶσι μετ᾽ αὐ-
49 τῶν. πῶς οὖν οὐκ ἔστιν αἰσθέσθαι ὅτι οὔκ εἰσιν θεοί οἳ οὔτε
50 σῴζουσιν ἑαυτοὺς ἐκ πολέμου οὔτε ἐκ κακῶν. ὑπάρχοντα γὰρ
ξύλινα καὶ περίχρυσα καὶ περιάργυρα γνωσθήσεται μετὰ ταῦτα
ὅτι ἐστὶν ψευδῆ τοῖς ἔθνεσι πᾶσι τοῖς τε βασιλεῦσι φανερὸν ἔσται
ὅτι οὔκ εἰσι θεοὶ ἀλλὰ ἔργα χειρῶν ἀνθρώπων καὶ οὐδὲν θεοῦ
51 ἔργον ἐν αὐτοῖς ἐστιν. τίνι οὖν γνωστέον ἐστὶν ὅτι οὔκ εἰσιν θεοί.
52 βασιλέα γὰρ χώρας οὐ μὴ ἀναστήσωσιν οὔτε ὑετὸν ἀνθρώποις οὐ
53 μὴ δῶσιν. κρίσιν τε οὐ μὴ διακρίνωσιν αὐτῶν οὐδὲ μὴ ῥύσων-
ται ἀδικούμενον ἀδύνατοι ὄντες ὥσπερ γὰρ κορῶναι ἀνὰ μέσον
54 τοῦ οὐρανοῦ καὶ τῆς γῆς. καὶ γὰρ ὅταν ἐμπέσῃ εἰς οἰκίαν θεῶν
ξυλίνων ἢ περιχρύσων ἢ περιαργύρων πῦρ οἱ μὲν ἱερεῖς αὐτῶν
φεύξονται καὶ διασωθήσονται αὐτοὶ δὲ ὥσπερ δοκοὶ μέσοι κατα-
55, 56 καυθήσονται. βασιλεῖ δὲ καὶ πολεμίοις οὐ μὴ ἀντιστῶσιν. πῶς

---

**v.44** πᾶς[ainnpn] ὁ[dnnp] γίνομαι[vppmnnp] αὐτός[rpdmp] εἰμί[vipa3s] ψευδής[annnpn] πῶς[b] οὖν[cc] νομιστέος[annnsn] ἤ[cc] κλητέος[annnsn] ὥστε[cs] θεός[nampc] αὐτός[rpamp] ὑπάρχω[vnpa]. **v.45** ὑπό[pg] τέκτων[ngmpc] καί[cc] χρυσοξόος[ngmpc] κατασκευάζω[vpxpnnp] εἰμί[vipa3p] οὐθείς[rinns] ἄλλος[rians] μή[x] γίνομαι[vsam3p] ἤ[cc] ὅς[rrans] βούλομαι[vipm3p] ὁ[dnmp] τεχνίτης[nnmpc] αὐτός[rpanp] γίνομαι[vnam]. **v.46** αὐτός[rpnmp] τέ[cc] ὁ[dnmp] κατασκευάζω[vppanmp] αὐτός[rpanp] οὐ[b] μή[x] γίνομαι[vsam3p] πολυχρόνιος[annmpn] πῶς[b] τέ[cc] δή[x] μέλλω[vipa3s] ὁ[dnnp] ὑπό[pg] αὐτός[rpgmp] κατασκευάζω[vpapnnp] εἰμί[vnpa] θεός[nnmpc]. **v.47** καταλείπω[viaa3p] γάρ[cc] ψεῦδος[nanpc] καί[cc] ὄνειδος[nansc] ὁ[ddmp] ἐπιγίνομαι[vppmdmp]. **v.48** ὅταν[cs] γάρ[cc] ἐπέρχομαι[vsaa3s] ἐπί[pa] αὐτός[rpanp] πόλεμος[nnmsc] καί[cc] κακός[annnpn] βουλεύω[vipm3p] πρός[pa] ἑαυτοῦ[rxamp] ὁ[dnmp] ἱερεύς[nnmpc] ποῦ[b] συναποκρύπτω[vsap3p] μετά[pg] αὐτός[rpgnp]. **v.49** πῶς[b] οὖν[cc] οὐ[b] εἰμί[vipa3s] αἰσθάνομαι[vnam] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc] ὅς[rrnmp] οὔτε[cc] σῴζω[vipa3p] ἑαυτοῦ[rxamp] ἐκ[pg] πόλεμος[ngmsc] οὔτε[cc] ἐκ[pg] κακός[angnpn]. **v.50** ὑπάρχω[vppannp] γάρ[cc] ξύλινος[annnpn] καί[cc] περίχρυσος[annnpn] καί[cc] περιάργυρος[annnpn] γινώσκω[vifp3s] μετά[pa] οὗτος[rdanp] ὅτι[cs] εἰμί[vipa3s] ψευδής[annnpn] ὁ[ddnp] ἔθνος[ndnpc] πᾶς[aidnpn] ὁ[ddmp] τέ[cc] βασιλεύς[ndmpc] φανερός[annnsn] εἰμί[vifm3s] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc] ἀλλά[cc] ἔργον[nnnpc] χείρ[ngfpc] ἄνθρωπος[ngmpc] καί[cc] οὐδείς[ainnsn] θεός[ngmsc] ἔργον[nnnsc] ἐν[pd] αὐτός[rpdnp] εἰμί[vipa3s]. **v.51** τίς[rqdms] οὖν[cc] γνωστέος[annnsn] εἰμί[vipa3s] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc]. **v.52** βασιλεύς[namsc] γάρ[cc] χώρα[ngfsc] οὐ[b] μή[x] ἀνίστημι[vsaa3p] οὔτε[cc] ὑετός[namsc] ἄνθρωπος[ndmpc] οὐ[b] μή[x] δίδωμι[vsaa3p]. **v.53** κρίσις[nafsc] τέ[cc] οὐ[b] μή[x] διακρίνω[vsaa3p] αὐτός[rpgmp] οὐδέ[cc] μή[x] ῥύομαι[vsam3p] ἀδικέω[vpppams] ἀδύνατος[annmpn] εἰμί[vppanmp] ὥσπερ[cs] γάρ[cc] κορώνη[nnfpc] ἀνά[pa] μέσος[anansn] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ὁ[dgfs] γῆ[ngfsc]. **v.54** καί[cc] γάρ[cc] ὅταν[cs] ἐμπίπτω[vsaa3s] εἰς[pa] οἰκία[nafsc] θεός[ngmpc] ξύλινος[angmpn] ἤ[cc] περίχρυσος[angmpn] ἤ[cc] περιάργυρος[angmpn] πῦρ[nnnsc] ὁ[dnmp] μέν[x] ἱερεύς[nnmpc] αὐτός[rpgnp] φεύγω[vifm3p] καί[cc] διασῴζω[vifp3p] αὐτός[rpnmp] δέ[cc] ὥσπερ[cs] δοκός[nnmpc] μέσος[annmpn] κατακαίω[vifp3p]. **v.55** βασιλεύς[ndmsc] δέ[cc] καί[cc] πολέμιος[andmpn] οὐ[b] μή[x] ἀνθίστημι[vsaa3p].

οὖν ἐκδεκτέον ἢ νομιστέον ὅτι εἰσὶν θεοί. οὔτε ἀπὸ κλεπτῶν 57
οὔτε ἀπὸ λῃστῶν οὐ μὴ διασωθῶσιν θεοὶ ξύλινοι καὶ περιάργυ-
ροι καὶ περίχρυσοι ὧν οἱ ἰσχύοντες περιελοῦνται τὸ χρυσίον καὶ
τὸ ἀργύριον καὶ τὸν ἱματισμὸν τὸν περικείμενον αὐτοῖς ἀπελεύ-
σονται ἔχοντες οὔτε ἑαυτοῖς οὐ μὴ βοηθήσωσιν. ὥστε κρεῖσσον 58
εἶναι βασιλέα ἐπιδεικνύμενον τὴν ἑαυτοῦ ἀνδρείαν ἢ σκεῦος ἐν
οἰκίᾳ χρήσιμον ἐφ᾽ ᾧ χρήσεται ὁ κεκτημένος ἢ οἱ ψευδεῖς θεοί
ἢ καὶ θύρα ἐν οἰκίᾳ διασῴζουσα τὰ ἐν αὐτῇ ὄντα ἢ οἱ ψευδεῖς
θεοί καὶ ξύλινος στῦλος ἐν βασιλείοις ἢ οἱ ψευδεῖς θεοί. ἥλιος 59
μὲν γὰρ καὶ σελήνη καὶ ἄστρα ὄντα λαμπρὰ καὶ ἀποστελλόμενα
ἐπὶ χρείας εὐήκοά εἰσιν. ὡσαύτως καὶ ἀστραπή ὅταν ἐπιφανῇ 60
εὔοπτός ἐστιν τὸ δ᾽ αὐτὸ καὶ πνεῦμα ἐν πάσῃ χώρᾳ πνεῖ. καὶ 61
νεφέλαις ὅταν ἐπιταγῇ ὑπὸ τοῦ θεοῦ ἐπιπορεύεσθαι ἐφ᾽ ὅλην τὴν
οἰκουμένην συντελοῦσι τὸ ταχθέν τό τε πῦρ ἐξαποσταλὲν ἄνωθεν
ἐξαναλῶσαι ὄρη καὶ δρυμοὺς ποιεῖ τὸ συνταχθέν. ταῦτα δὲ οὔτε 62
ταῖς ἰδέαις οὔτε ταῖς δυνάμεσιν αὐτῶν ἀφωμοιωμένα ἐστίν. ὅθεν 63
οὔτε νομιστέον οὔτε κλητέον ὑπάρχειν αὐτοὺς θεούς οὐ δυνα-
τῶν ὄντων αὐτῶν οὔτε κρίσιν κρῖναι οὔτε εὖ ποιεῖν ἀνθρώποις.
γνόντες οὖν ὅτι οὔκ εἰσιν θεοί μὴ φοβηθῆτε αὐτούς. οὔτε γὰρ 64, 65
βασιλεῦσιν οὐ μὴ καταράσωνται οὔτε μὴ εὐλογήσωσι. σημεῖά τε 66
ἐν ἔθνεσιν ἐν οὐρανῷ οὐ μὴ δείξωσιν οὐδὲ ὡς ὁ ἥλιος λάμψουσιν

---

**v.56** πῶς[b] οὖν[cc] ἐκδεκτέον[annnsn] ἤ[cc] νομιστέος[annnsn] ὅτι[cs] εἰμί[vipa3p] θεός[nnmpc]. **v.57** οὔτε[cc] ἀπό[pg] κλέπτης[ngmpc] οὔτε[cc] ἀπό[pg] λῃστής[ngmpc] οὐ[b] μή[x] διασῴζω[vsap3p] θεός[nnmpc] ξύλινος[annmpn] καί[cc] περιάργυρος[annmpn] καί[cc] περίχρυσος[annmpn] ὅς[rrgmp] ὁ[dnmp] ἰσχύω[vppanmp] περιαιρέω[vifm3p] ὁ[dans] χρυσίον[nansc] καί[cc] ὁ[dans] ἀργύριον[nansc] καί[cc] ὁ[dams] ἱματισμός[namsc] ὁ[dams] περίκειμαι[vpppams] αὐτός[rpdmp] ἀπέρχομαι[vifm3p] ἔχω[vppanmp] οὔτε[cc] ἑαυτοῦ[rxdmp] οὐ[b] μή[x] βοηθέω[vsaa3p]. **v.58** ὥστε[cs] ἀγαθός[annnsc] εἰμί[vnpa] βασιλεύς[namsc] ἐπιδείκνυμι[vppmams] ὁ[dafs] ἑαυτοῦ[rxgms] ἀνδρεία[nafsc] ἤ[cc] σκεῦος[nansc] ἐν[pd] οἰκία[ndfsc] χρήσιμος[anansn] ἐπί[pd] ὅς[rrdns] χράω[vifm3s] ὁ[dnms] κτάομαι[vpxmnms] ἤ[cc] ὁ[dnmp] ψευδής[annmpn] θεός[nnmpc] ἤ[cc] καί[cc] θύρα[nnfsc] ἐν[pd] οἰκία[ndfsc] διασῴζω[vppanfs] ὁ[danp] ἐν[pd] αὐτός[rpdfs] εἰμί[vppaanp] ἤ[cc] ὁ[dnmp] ψευδής[annmpn] θεός[nnmpc] καί[cc] ξύλινος[annmsn] στῦλος[nnmsc] ἐν[pd] βασίλειον[ndnpc] ἤ[cc] ὁ[dnmp] ψευδής[annmpn] θεός[nnmpc]. **v.59** ἥλιος[nnmsc] μέν[x] γάρ[cc] καί[cc] σελήνη[nnfsc] καί[cc] ἄστρον[nnnpc] εἰμί[vppannp] λαμπρός[annnpn] καί[cc] ἀποστέλλω[vpppnnp] ἐπί[pg] χρεία[ngfsc] εὐήκοος[annnpn] εἰμί[vipa3p]. **v.60** ὡσαύτως[b] καί[b] ἀστραπή[nnfsc] ὅταν[cs] ἐπιφαίνω[vsap3s] εὔοπτος[annfsn] εἰμί[vipa3s] ὁ[dans] δέ[cc] αὐτός[rpans] καί[cc] πνεῦμα[nnnsc] ἐν[pd] πᾶς[aidfsn] χώρα[ndfsc] πνέω[vipa3s]. **v.61** καί[cc] νεφέλη[ndfpc] ὅταν[cs] ἐπιτάσσω[vsap3s] ὑπό[pg] ὁ[dgms] θεός[ngmsc] ἐπιπορεύομαι[vnpm] ἐπί[pa] ὅλος[anafsn] ὁ[dafs] οἰκουμένη[nafsc] συντελέω[vipa3p] ὁ[dans] τάσσω[vpapans] ὁ[dnns] τέ[cc] πῦρ[nnnsc] ἐξαποστέλλω[vpapnns] ἄνωθεν[b] ἐξαναλίσκω[vnaa] ὄρος[nanpc] καί[cc] δρυμός[nampc] ποιέω[vipa3s] ὁ[dans] συντάσσω[vpapans]. **v.62** οὗτος[rdnnp] δέ[cc] οὔτε[cc] ὁ[ddfp] ἰδέα[ndfpc] οὔτε[cc] ὁ[ddfp] δύναμις[ndfpc] αὐτός[rpgmp] ἀφομοιόω[vpxpnnp] εἰμί[vipa3s]. **v.63** ὅθεν[b] οὔτε[cc] νομιστέος[annnsn] οὔτε[cc] κλητέος[annnsn] ὑπάρχω[vnpa] αὐτός[rpamp] θεός[nampc] οὐ[b] δυνατός[angmpn] εἰμί[vppagmp] αὐτός[rpgmp] οὔτε[cc] κρίσις[nafsc] κρίνω[vnaa] οὔτε[cc] εὖ[b] ποιέω[vnpa] ἄνθρωπος[ndmpc]. **v.64** γινώσκω[vpaanmp] οὖν[cc] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc] μή[x] φοβέω[vsap2p] αὐτός[rpamp]. **v.65** οὔτε[cc] γάρ[cc] βασιλεύς[ndmpc] οὐ[b] μή[x] καταράομαι[vsam3p] οὔτε[cc] μή[x] εὐλογέω[vsaa3p].

67 οὐδὲ φωτίσουσιν ὡς σελήνη. τὰ θηρία ἐστὶν κρείττω αὐτῶν ἃ δύ-
68 νανται ἐκφυγόντα εἰς σκέπην ἑαυτὰ ὠφελῆσαι. κατ᾽ οὐδένα οὖν
τρόπον ἐστὶν ἡμῖν φανερὸν ὅτι εἰσὶν θεοί διὸ μὴ φοβηθῆτε αὐτούς.
69 ὥσπερ γὰρ ἐν σικυηράτῳ προβασκάνιον οὐδὲν φυλάσσον οὕτως
70 οἱ θεοὶ αὐτῶν εἰσιν ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυροι. τὸν
αὐτὸν τρόπον καὶ τῇ ἐν κήπῳ ῥάμνῳ ἐφ᾽ ἧς πᾶν ὄρνεον ἐπικάθη-
ται ὡσαύτως δὲ καὶ νεκρῷ ἐρριμμένῳ ἐν σκότει ἀφωμοίωνται οἱ
71 θεοὶ αὐτῶν ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυροι. ἀπό τε τῆς
πορφύρας καὶ τῆς μαρμάρου τῆς ἐπ᾽ αὐτοῖς σηπομένης γνώσε-
σθε ὅτι οὔκ εἰσιν θεοί αὐτά τε ἐξ ὑστέρου βρωθήσονται καὶ ἔσται
72 ὄνειδος ἐν τῇ χώρᾳ. κρείσσων οὖν ἄνθρωπος δίκαιος οὐκ ἔχων
εἴδωλα ἔσται γὰρ μακρὰν ἀπὸ ὀνειδισμοῦ.

---

**v.66** σημεῖον[nanpc] τέ[cc] ἐν[pd] ἔθνος[ndnpc] ἐν[pd] οὐρανός[ndmsc] οὐ[b] μή[x] δείκνυμι[vsaa3p] οὐδέ[cc] ὡς[cs] ὁ[dnms] ἥλιος[nnmsc] λάμπω[vifa3p] οὐδέ[cc] φωτίζω[vifa3p] ὡς[cs] σελήνη[nnfsc]. **v.67** ὁ[dnnp] θηρίον[nnnpc] εἰμί[vipa3s] ἀγαθός[annnpc] αὐτός[rpgmp] ὅς[rrnnp] δύναμαι[vipm3p] ἐκφεύγω[vpaannp] εἰς[pa] σκέπη[nafsc] ἑαυτοῦ[rxanp] ὠφελέω[vnaa]. **v.68** κατά[pa] οὐδείς[aiamsn] οὖν[cc] τρόπος[namsc] εἰμί[vipa3s] ἐγώ[rpd-p] φανερός[annnsn] ὅτι[cs] εἰμί[vipa3p] θεός[nnmpc] διό[cc] μή[x] φοβέω[vsap2p] αὐτός[rpamp]. **v.69** ὥσπερ[cs] γάρ[cc] ἐν[pd] σικυήρατον[ndnsc] προβασκάνιον[nnnsc] οὐδείς[rinns] φυλάσσω[vppanns] οὕτως[b] ὁ[dnmp] θεός[nnmpc] αὐτός[rpgmp] εἰμί[vipa3p] ξύλινος[annmpn] καί[cc] περίχρυσος[annmpn] καί[cc] περιάργυρος[annmpn]. **v.70** ὁ[dams] αὐτός[atamsn] τρόπος[namsc] καί[cc] ὁ[ddfs] ἐν[pd] κῆπος[ndmsc] ῥάμνος[ndfsc] ἐπί[pg] ὅς[rrgfs] πᾶς[ainnsn] ὄρνεον[nnnsc] ἐπικάθημαι[vipm3s] ὡσαύτως[b] δέ[cc] καί[b] νεκρός[andmsn] ῥίπτω[vpxpdms] ἐν[pd] σκότος[ndnsc] ἀφομοιόω[vixp3p] ὁ[dnmp] θεός[nnmpc] αὐτός[rpgmp] ξύλινος[annmpn] καί[cc] περίχρυσος[annmpn] καί[cc] περιάργυρος[annmpn]. **v.71** ἀπό[pg] τέ[cc] ὁ[dgfs] πορφύρα[ngfsc] καί[cc] ὁ[dgfs] μάρμαρος[ngfsc] ὁ[dgfs] ἐπί[pd] αὐτός[rpdmp] σήπω[vpppgfs] γινώσκω[vifm2p] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc] αὐτός[rpnnp] τέ[cc] ἐκ[pg] ὕστερος[angnsc] βιβρώσκω[vifp3p] καί[cc] εἰμί[vifm3s] ὄνειδος[nnnsc] ἐν[pd] ὁ[ddfs] χώρα[ndfsc]. **v.72** ἀγαθός[annmsc] οὖν[cc] ἄνθρωπος[nnmsc] δίκαιος[annmsn] οὐ[b] ἔχω[vppanms] εἴδωλον[nanpc] εἰμί[vifm3s] γάρ[cc] μακράν[b] ἀπό[pg] ὀνειδισμός[ngmsc].

# ΙΕΣΕΚΙΗΛ

καὶ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει ἐν τῷ τετάρτῳ μηνὶ πέμπτῃ τοῦ 1
μηνὸς καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ
τοῦ Χοβαρ καὶ ἠνοίχθησαν οἱ οὐρανοί καὶ εἶδον ὁράσεις θεοῦ.
πέμπτῃ τοῦ μηνός τοῦτο τὸ ἔτος τὸ πέμπτον τῆς αἰχμαλωσίας τοῦ 2
βασιλέως Ιωακιμ. καὶ ἐγένετο λόγος κυρίου πρὸς Ιεζεκιηλ υἱὸν 3
Βουζι τὸν ἱερέα ἐν γῇ Χαλδαίων ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβαρ καὶ
ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ κυρίου. καὶ εἶδον καὶ ἰδοὺ πνεῦμα ἐξαῖρον 4
ἤρχετο ἀπὸ βορρᾶ καὶ νεφέλη μεγάλη ἐν αὐτῷ καὶ φέγγος κύκλῳ
αὐτοῦ καὶ πῦρ ἐξαστράπτον καὶ ἐν τῷ μέσῳ αὐτοῦ ὡς ὅρασις ἠ-
λέκτρου ἐν μέσῳ τοῦ πυρὸς καὶ φέγγος ἐν αὐτῷ. καὶ ἐν τῷ μέσῳ 5
ὡς ὁμοίωμα τεσσάρων ζῴων καὶ αὕτη ἡ ὅρασις αὐτῶν ὁμοίωμα
ἀνθρώπου ἐπ᾽ αὐτοῖς. καὶ τέσσαρα πρόσωπα τῷ ἑνί καὶ τέσσαρες 6
πτέρυγες τῷ ἑνί. καὶ τὰ σκέλη αὐτῶν ὀρθά καὶ πτερωτοὶ οἱ πό- 7
δες αὐτῶν καὶ σπινθῆρες ὡς ἐξαστράπτων χαλκός καὶ ἐλαφραὶ αἱ
πτέρυγες αὐτῶν. καὶ χεὶρ ἀνθρώπου ὑποκάτωθεν τῶν πτερύγων 8
αὐτῶν ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν καὶ τὰ πρόσωπα αὐτῶν τῶν τεσ-
σάρων. οὐκ ἐπεστρέφοντο ἐν τῷ βαδίζειν αὐτά ἕκαστον κατέναντι 9

---

**1.** **v.1** καί[cc] γίνομαι[viam3s] ἐν[pd] ὁ[ddns] τριακοστός[aodnsn] ἔτος[ndnsc] ἐν[pd] ὁ[ddms] τέταρτος[aodmsn] μήν[ndmsc] πέμπτος[aodfsn] ὁ[dgms] μήν[ngmsc] καί[cc] ἐγώ[rpn-s] εἰμί[viim1s] ἐν[pd] μέσος[andnsn] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] ἐπί[pg] ὁ[dgms] ποταμός[ngmsc] ὁ[dgms] Χοβαρ[ng-sp] καί[cc] ἀνοίγω[viap3p] ὁ[dnmp] οὐρανός[nnmpc] καί[cc] ὁράω[viaa1s] ὅρασις[nafpc] θεός[ngmsc]. **v.2** πέμπτος[aodfsn] ὁ[dgms] μήν[ngmsc] οὗτος[rdnns] ὁ[dnns] ἔτος[nnnsc] ὁ[dnns] πέμπτος[aonnsn] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] ὁ[dgms] βασιλεύς[ngmsc] Ἰωακίμ[ngmsp]. **v.3** καί[cc] γίνομαι[viam3s] λόγος[nnmsc] κύριος[ngmsc] πρός[pa] Ιεζεκιηλ[namsp] υἱός[namsc] Βουζι[ngmsp] ὁ[dams] ἱερεύς[namsc] ἐν[pd] γῆ[ndfsc] Χαλδαῖος[ngmpp] ἐπί[pg] ὁ[dgms] ποταμός[ngmsc] ὁ[dgms] Χοβαρ[ng-sp] καί[cc] γίνομαι[viam3s] ἐπί[pa] ἐγώ[rpa-s] χείρ[nnfsc] κύριος[ngmsc]. **v.4** καί[cc] ὁράω[viaa1s] καί[cc] ἰδού[i] πνεῦμα[nnnsc] ἐξαίρω[vppanns] ἔρχομαι[viim3s] ἀπό[pg] βορέας[ngmsc] καί[cc] νεφέλη[nnfsc] μέγας[annfsn] ἐν[pd] αὐτός[rpdns] καί[cc] φέγγος[nnnsc] κύκλος[pg] αὐτός[rpgns] καί[cc] πῦρ[nnnsc] ἐξαστράπτω[vppanns] καί[cc] ἐν[pd] ὁ[ddms] μέσος[andnsn] αὐτός[rpgms] ὡς[cs] ὅρασις[nnfsc] ἤλεκτρον[ngnsc] ἐν[pd] μέσος[andnsn] ὁ[dgns] πῦρ[ngnsc] καί[cc] φέγγος[nnnsc] ἐν[pd] αὐτός[rpdms]. **v.5** καί[cc] ἐν[pd] ὁ[ddns] μέσος[andnsn] ὡς[cs] ὁμοίωμα[nnnsc] τέσσαρες[acgnpn] ζῷον[ngnpc] καί[cc] οὗτος[rdnfs] ὁ[dnfs] ὅρασις[nnfsc] αὐτός[rpgnp] ὁμοίωμα[nnnsc] ἄνθρωπος[ngmsc] ἐπί[pd] αὐτός[rpdnp]. **v.6** καί[cc] τέσσαρες[acnnpn] πρόσωπον[nnnpc] ὁ[ddns] εἷς[acdnsn] καί[cc] τέσσαρες[acnfpn] πτέρυξ[nnfpc] ὁ[ddns] εἷς[acdnsn]. **v.7** καί[cc] ὁ[dnnp] σκέλος[nnnpc] αὐτός[rpgnp] ὀρθός[annnpn] καί[cc] πτερωτός[annmpn] ὁ[dnmp] πούς[nnmpc] αὐτός[rpgnp] καί[cc] σπινθήρ[nnmpc] ὡς[cs] ἐξαστράπτω[vppanms] χαλκός[nnmsc] καί[cc] ἐλαφρός[annfpn] ὁ[dnfp] πτέρυξ[nnfpc] αὐτός[rpgnp]. **v.8** καί[cc] χείρ[nnfsc] ἄνθρωπος[ngmsc] ὑποκάτωθεν[pg] ὁ[dgfp] πτέρυξ[ngfpc] αὐτός[rpgnp] ἐπί[pa] ὁ[danp] τέσσαρες[acanpn] μέρος[nanpc] αὐτός[rpgnp] καί[cc] ὁ[dnnp] πρόσωπον[nnnpc] αὐτός[rpgnp] ὁ[dgnp] τέσσαρες[acgnpn].

10 τοῦ προσώπου αὐτῶν ἐπορεύοντο. καὶ ὁμοίωσις τῶν προσώπων
αὐτῶν πρόσωπον ἀνθρώπου καὶ πρόσωπον λέοντος ἐκ δεξιῶν τοῖς
τέσσαρσιν καὶ πρόσωπον μόσχου ἐξ ἀριστερῶν τοῖς τέσσαρσιν καὶ
11 πρόσωπον ἀετοῦ τοῖς τέσσαρσιν. καὶ αἱ πτέρυγες αὐτῶν ἐκτε-
ταμέναι ἄνωθεν τοῖς τέσσαρσιν ἑκατέρῳ δύο συνεζευγμέναι πρὸς
12 ἀλλήλας καὶ δύο ἐπεκάλυπτον ἐπάνω τοῦ σώματος αὐτῶν. καὶ
ἑκάτερον κατὰ πρόσωπον αὐτοῦ ἐπορεύετο οὗ ἂν ἦν τὸ πνεῦμα
13 πορευόμενον ἐπορεύοντο καὶ οὐκ ἐπέστρεφον. καὶ ἐν μέσῳ τῶν
ζῴων ὅρασις ὡς ἀνθράκων πυρὸς καιομένων ὡς ὄψις λαμπάδων
συστρεφομένων ἀνὰ μέσον τῶν ζῴων καὶ φέγγος τοῦ πυρός καὶ
15 ἐκ τοῦ πυρὸς ἐξεπορεύετο ἀστραπή. καὶ εἶδον καὶ ἰδοὺ τροχὸς
16 εἷς ἐπὶ τῆς γῆς ἐχόμενος τῶν ζῴων τοῖς τέσσαρσιν. καὶ τὸ εἶδος
τῶν τροχῶν ὡς εἶδος θαρσις καὶ ὁμοίωμα ἓν τοῖς τέσσαρσιν καὶ τὸ
17 ἔργον αὐτῶν ἦν καθὼς ἂν εἴη τροχὸς ἐν τροχῷ. ἐπὶ τὰ τέσσαρα
μέρη αὐτῶν ἐπορεύοντο οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτὰ
18 οὐδ᾽ οἱ νῶτοι αὐτῶν καὶ ὕψος ἦν αὐτοῖς καὶ εἶδον αὐτά καὶ οἱ νῶ-
19 τοι αὐτῶν πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσιν. καὶ ἐν
τῷ πορεύεσθαι τὰ ζῷα ἐπορεύοντο οἱ τροχοὶ ἐχόμενοι αὐτῶν καὶ
20 ἐν τῷ ἐξαίρειν τὰ ζῷα ἀπὸ τῆς γῆς ἐξῄροντο οἱ τροχοί. οὗ ἂν ἦν ἡ
νεφέλη ἐκεῖ τὸ πνεῦμα τοῦ πορεύεσθαι ἐπορεύοντο τὰ ζῷα καὶ οἱ
τροχοὶ καὶ ἐξῄροντο σὺν αὐτοῖς διότι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τρο-

---

**v.9** οὐ[b] ἐπιστρέφω[viim3p] ἐν[pd] ὁ[ddns] βαδίζω[vnpa] αὐτός[rpanp] ἕκαστος[ainnsn] κατέναντι[pg] ὁ[dgns] πρόσωπον[ngnsc] αὐτός[rpgnp] πορεύομαι[viim3p]. **v.10** καί[cc] ὁμοίωσις[nnfsc] ὁ[dgnp] πρόσωπον[ngnpc] αὐτός[rpgnp] πρόσωπον[nnnsc] ἄνθρωπος[ngmsc] καί[cc] πρόσωπον[nnnsc] λέων[ngmsc] ἐκ[pg] δεξιός[angnpn] ὁ[ddnp] τέσσαρες[acdnpn] καί[cc] πρόσωπον[nnnsc] μόσχος[ngmsc] ἐκ[pg] ἀριστερός[angnpn] ὁ[ddnp] τέσσαρες[acdnpn] καί[cc] πρόσωπον[nnnsc] ἀετός[ngmsc] ὁ[ddnp] τέσσαρες[acdnpn]. **v.11** καί[cc] ὁ[dnfp] πτέρυξ[nnfpc] αὐτός[rpgnp] ἐκτείνω[vpxpnfp] ἄνωθεν[b] ὁ[ddnp] τέσσαρες[acdnpn] ἑκάτερος[addnsn] δύο[ac—n] συζεύγνυμι[vpxpnfp] πρός[pa] ἀλλήλων[reafp] καί[cc] δύο[ac—n] ἐπικαλύπτω[viia3p] ἐπάνω[pg] ὁ[dgns] σῶμα[ngnsc] αὐτός[rpgnp]. **v.12** καί[cc] ἑκάτερος[adnnsn] κατά[pa] πρόσωπον[nansc] αὐτός[rpgns] πορεύομαι[viim3s] ὅς[b] ἄν[x] εἰμί[viia3s] ὁ[dnns] πνεῦμα[nnnsc] πορεύομαι[vppmnns] πορεύομαι[viim3p] καί[cc] οὐ[b] ἐπιστρέφω[viia3p]. **v.13** καί[cc] ἐν[pd] μέσος[andnsn] ὁ[dgnp] ζῷον[ngnpc] ὅρασις[nnfsc] ὡς[cs] ἄνθραξ[ngmpc] πῦρ[ngnsc] καίω[vppmgmp] ὡς[cs] ὄψις[nnfsc] λαμπάς[ngfpc] συστρέφω[vpppgfp] ἀνά[pa] μέσος[anansn] ὁ[dgnp] ζῷον[ngnpc] καί[cc] φέγγος[nnnsc] ὁ[dgns] πῦρ[ngnsc] καί[cc] ἐκ[pg] ὁ[dgns] πῦρ[ngnsc] ἐκπορεύομαι[viim3s] ἀστραπή[nnfsc]. **v.15** καί[cc] ὁράω[viaa1s] καί[cc] ἰδού[i] τροχός[nnmsc] εἷς[acnmsn] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ἔχω[vppmnms] ὁ[dgnp] ζῷον[ngnpc] ὁ[ddnp] τέσσαρες[acdnpn]. **v.16** καί[cc] ὁ[dnns] εἶδος[nnnsc] ὁ[dgmp] τροχός[ngmpc] ὡς[cs] εἶδος[nnnsc] θαρσις[t] καί[cc] ὁμοίωμα[nnnsc] εἷς[acnnsn] ὁ[ddnp] τέσσαρες[acdnpn] καί[cc] ὁ[dnns] ἔργον[nnnsc] αὐτός[rpgmp] εἰμί[viia3s] καθώς[cs] ἄν[x] εἰμί[vopa3s] τροχός[nnmsc] ἐν[pd] τροχός[ndmsc]. **v.18** οὐδέ[cc] ὁ[dnmp] νῶτος[nnmpc] αὐτός[rpgmp] καί[cc] ὕψος[nnnsc] εἰμί[viia3s] αὐτός[rpdmp] καί[cc] ὁράω[viaa1s] αὐτός[rpanp] καί[cc] ὁ[dnmp] νῶτος[nnmpc] αὐτός[rpgmp] πλήρης[annmpn] ὀφθαλμός[ngmpc] κυκλόθεν[b] ὁ[ddmp] τέσσαρες[acdmpn]. **v.19** καί[cc] ἐν[pd] ὁ[ddns] πορεύομαι[vnpm] ὁ[danp] ζῷον[nanpc] πορεύομαι[viim3p] ὁ[dnmp] τροχός[nnmpc] ἔχω[vppmnmp] αὐτός[rpgnp] καί[cc] ἐν[pd] ὁ[ddns] ἐξαίρω[vnpa] ὁ[danp] ζῷον[nanpc] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] ἐξαίρω[viip3p] ὁ[dnmp] τροχός[nnmpc].

χοῖς. ἐν τῷ πορεύεσθαι αὐτὰ ἐπορεύοντο καὶ ἐν τῷ ἑστάναι αὐτὰ 21
εἱστήκεισαν καὶ ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς γῆς ἐξῄροντο σὺν
αὐτοῖς ὅτι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. καὶ ὁμοίωμα ὑπὲρ 22
κεφαλῆς αὐτοῖς τῶν ζῴων ὡσεὶ στερέωμα ὡς ὅρασις κρυστάλλου
ἐκτεταμένον ἐπὶ τῶν πτερύγων αὐτῶν ἐπάνωθεν. καὶ ὑποκάτω 23
τοῦ στερεώματος αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι πτερυσσόμεναι
ἑτέρα τῇ ἑτέρᾳ ἑκάστῳ δύο συνεζευγμέναι ἐπικαλύπτουσαι τὰ σώ-
ματα αὐτῶν. καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν ἐν τῷ 24
πορεύεσθαι αὐτὰ ὡς φωνὴν ὕδατος πολλοῦ καὶ ἐν τῷ ἑστάναι αὐτὰ
κατέπαυον αἱ πτέρυγες αὐτῶν. καὶ ἰδοὺ φωνὴ ὑπεράνωθεν τοῦ 25
στερεώματος τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν. ὡς ὅρασις λίθου 26
σαπφείρου ὁμοίωμα θρόνου ἐπ᾽ αὐτοῦ καὶ ἐπὶ τοῦ ὁμοιώματος
τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν. καὶ εἶδον ὡς 27
ὄψιν ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω καὶ ἀπὸ ὁράσεως
ὀσφύος καὶ ἕως κάτω εἶδον ὡς ὅρασιν πυρὸς καὶ τὸ φέγγος αὐτοῦ
κύκλῳ. ὡς ὅρασις τόξου ὅταν ᾖ ἐν τῇ νεφέλῃ ἐν ἡμέρᾳ ὑετοῦ 28
οὕτως ἡ στάσις τοῦ φέγγους κυκλόθεν αὕτη ἡ ὅρασις ὁμοιώματος
δόξης κυρίου καὶ εἶδον καὶ πίπτω ἐπὶ πρόσωπόν μου καὶ ἤκουσα
φωνὴν λαλοῦντος.
καὶ εἶπεν πρός με υἱὲ ἀνθρώπου στῆθι ἐπὶ τοὺς πόδας σου καὶ **2**

---

**v.20** ὅς[b] ἄν[x] εἰμί[viia3s] ὁ[dnfs] νεφέλη[nnfsc] ἐκεῖ[b] ὁ[dnns] πνεῦμα[nnnsc] ὁ[dgns] πορεύομαι[vnpm] πορεύομαι[viim3p] ὁ[dnnp] ζῷον[nnnpc] καί[cc] ὁ[dnmp] τροχός[nnmpc] καί[cc] ἐξαίρω[viim3p] σύν[pd] αὐτός[rpdnp] διότι[cs] πνεῦμα[nnnsc] ζωή[ngfsc] εἰμί[viia3s] ἐν[pd] ὁ[ddmp] τροχός[ndmpc]. **v.21** ἐν[pd] ὁ[ddns] πορεύομαι[vnpm] αὐτός[rpanp] πορεύομαι[viim3p] καί[cc] ἐν[pd] ὁ[ddns] ἵστημι[vnxa] αὐτός[rpanp] ἵστημι[viya3p] καί[cc] ἐν[pd] ὁ[ddns] ἐξαίρω[vnpa] αὐτός[rpanp] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] ἐξαίρω[viim3p] σύν[pd] αὐτός[rpdnp] ὅτι[cs] πνεῦμα[nnnsc] ζωή[ngfsc] εἰμί[viia3s] ἐν[pd] ὁ[ddmp] τροχός[ndmpc]. **v.22** καί[cc] ὁμοίωμα[nnnsc] ὑπέρ[pg] κεφαλή[ngfsc] αὐτός[rpdmp] ὁ[dgnp] ζῷον[ngnpc] ὡσεί[x] στερέωμα[nnnsc] ὡς[cs] ὅρασις[nnfsc] κρύσταλλος[ngmsc] ἐκτείνω[vpxpnns] ἐπί[pg] ὁ[dgfp] πτέρυξ[ngfpc] αὐτός[rpgnp] ἐπάνωθεν[b]. **v.23** καί[cc] ὑποκάτω[pg] ὁ[dgns] στερέωμα[ngnsc] ὁ[dnfp] πτέρυξ[nnfpc] αὐτός[rpgnp] ἐκτείνω[vpxpnfp] πτερύσσομαι[vppmnfp] ἕτερος[ainfsn] ὁ[ddfs] ἕτερος[aidfsn] ἕκαστος[aidnsn] δύο[ac—n] συζεύγνυμι[vpxpnfp] ἐπικαλύπτω[vppanfp] ὁ[danp] σῶμα[nanpc] αὐτός[rpgnp]. **v.24** καί[cc] ἀκούω[viia1s] ὁ[dafs] φωνή[nafsc] ὁ[dgfp] πτέρυξ[ngfpc] αὐτός[rpgnp] ἐν[pd] ὁ[ddns] πορεύομαι[vnpm] αὐτός[rpanp] ὡς[cs] φωνή[nafsc] ὕδωρ[ngnsc] πολύς[angnsn] καί[cc] ἐν[pd] ὁ[ddns] ἵστημι[vnxa] αὐτός[rpanp] καταπαύω[viia3p] ὁ[dnfp] πτέρυξ[nnfpc] αὐτός[rpgnp]. **v.25** καί[cc] ἰδού[i] φωνή[nnfsc] ὑπεράνωθεν[pg] ὁ[dgns] στερέωμα[ngnsc] ὁ[dgns] εἰμί[vppagns] ὑπέρ[pg] κεφαλή[ngfsc] αὐτός[rpgnp]. **v.26** ὡς[cs] ὅρασις[nnfsc] λίθος[ngmsc] σάπφειρος[ngfsc] ὁμοίωμα[nnnsc] θρόνος[ngmsc] ἐπί[pg] αὐτός[rpgns] καί[cc] ἐπί[pg] ὁ[dgns] ὁμοίωμα[ngnsc] ὁ[dgms] θρόνος[ngmsc] ὁμοίωμα[nnnsc] ὡς[cs] εἶδος[nnnsc] ἄνθρωπος[ngmsc] ἄνωθεν[b]. **v.27** καί[cc] ὁράω[viaa1s] ὡς[cs] ὄψις[nafsc] ἤλεκτρον[ngnsc] ἀπό[pg] ὅρασις[ngfsc] ὀσφύς[ngfsc] καί[cc] ἐπάνω[b] καί[cc] ἀπό[pg] ὅρασις[ngfsc] ὀσφύς[ngfsc] καί[cc] ἕως[pp] κάτω[b] ὁράω[viaa1s] ὡς[cs] ὅρασις[nafsc] πῦρ[ngnsc] καί[cc] ὁ[dans] φέγγος[nansc] αὐτός[rpgms] κύκλος[b]. **v.28** ὡς[cs] ὅρασις[nnfsc] τόξον[ngnsc] ὅταν[cs] εἰμί[vspa3s] ἐν[pd] ὁ[ddfs] νεφέλη[ndfsc] ἐν[pd] ἡμέρα[ndfsc] ὑετός[ngmsc] οὕτως[b] ὁ[dnfs] στάσις[nnfsc] ὁ[dgns] φέγγος[ngnsc] κυκλόθεν[b] οὗτος[rdnfs] ὁ[dnfs] ὅρασις[nnfsc] ὁμοίωμα[ngnsc] δόξα[ngfsc] κύριος[ngmsc] καί[cc] ὁράω[viaa1s] καί[cc] πίπτω[vipa1s] ἐπί[pa] πρόσωπον[nansc] ἐγώ[rpg-s] καί[cc] ἀκούω[viaa1s] φωνή[nafsc] λαλέω[vppagms].

2 λαλήσω πρός σέ. καὶ ἦλθεν ἐπ᾽ ἐμὲ πνεῦμα καὶ ἀνέλαβέν με καὶ
ἐξῆρέν με καὶ ἔστησέν με ἐπὶ τοὺς πόδας μου καὶ ἤκουον αὐτοῦ
3 λαλοῦντος πρός με. καὶ εἶπεν πρός με υἱὲ ἀνθρώπου ἐξαπο-
στέλλω ἐγώ σε πρὸς τὸν οἶκον τοῦ Ισραηλ τοὺς παραπικραίνοντάς
με οἵτινες παρεπίκρανάν με αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἕως τῆς
4, 5 σήμερον ἡμέρας. καὶ ἐρεῖς πρὸς αὐτούς τάδε λέγει κύριος. ἐ-
ὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν διότι οἶκος παραπικραίνων ἐστίν
6 καὶ γνώσονται ὅτι προφήτης εἶ σὺ ἐν μέσῳ αὐτῶν. καὶ σύ υἱὲ
ἀνθρώπου μὴ φοβηθῇς αὐτοὺς μηδὲ ἐκστῇς ἀπὸ προσώπου αὐ-
τῶν διότι παροιστρήσουσι καὶ ἐπισυστήσονται ἐπὶ σὲ κύκλῳ καὶ
ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς τοὺς λόγους αὐτῶν μὴ φοβηθῇς
καὶ ἀπὸ προσώπου αὐτῶν μὴ ἐκστῇς διότι οἶκος παραπικραίνων
7 ἐστίν. καὶ λαλήσεις τοὺς λόγους μου πρὸς αὐτούς ἐὰν ἄρα ἀ-
8 κούσωσιν ἢ πτοηθῶσιν διότι οἶκος παραπικραίνων ἐστίν. καὶ σύ
υἱὲ ἀνθρώπου ἄκουε τοῦ λαλοῦντος πρὸς σέ μὴ γίνου παραπι-
κραίνων καθὼς ὁ οἶκος ὁ παραπικραίνων χάνε τὸ στόμα σου καὶ
9 φάγε ἃ ἐγὼ δίδωμί σοι. καὶ εἶδον καὶ ἰδοὺ χεὶρ ἐκτεταμένη πρός
10 με καὶ ἐν αὐτῇ κεφαλὶς βιβλίου. καὶ ἀνείλησεν αὐτὴν ἐνώπιον
ἐμοῦ καὶ ἐν αὐτῇ γεγραμμένα ἦν τὰ ὄπισθεν καὶ τὰ ἔμπροσθεν
καὶ ἐγέγραπτο εἰς αὐτὴν θρῆνος καὶ μέλος καὶ οὐαί.

---

εἰς πᾶσαν τὴν γῆν. καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ καὶ ὁ καρπὸς 21
αὐτοῦ πολὺς καὶ τροφὴ πᾶσιν ἐν αὐτῷ ὑποκάτω αὐτοῦ κατῴκουν
τὰ θηρία τὰ ἄγρια καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν τὰ ὄρ-
νεα τοῦ οὐρανοῦ. σὺ εἶ βασιλεῦ ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας 22
καὶ ἡ μεγαλωσύνη σου ἐμεγαλύνθη καὶ ἔφθασεν εἰς τὸν οὐρανὸν
καὶ ἡ κυριεία σου εἰς τὰ πέρατα τῆς γῆς. καὶ ὅτι εἶδεν ὁ βασιλεὺς 23
ιρ καὶ ἅγιον καταβαίνοντα ἀπὸ τοῦ οὐρανοῦ καὶ εἶπεν ἐκτίλατε
τὸ δένδρον καὶ διαφθείρατε αὐτό πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ
ἐάσατε ἐν τῇ γῇ καὶ ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ καὶ ἐν τῇ χλόῃ τῇ
ἔξω καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται καὶ μετὰ θηρίων
ἀγρίων ἡ μερὶς αὐτοῦ ἕως οὗ ἑπτὰ καιροὶ ἀλλοιωθῶσιν ἐπ᾽ αὐτόν.
τοῦτο ἡ σύγκρισις αὐτοῦ βασιλεῦ καὶ σύγκριμα ὑψίστου ἐστίν ὃ 24
ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα. καὶ σὲ ἐκδιώξουσιν 25
ἀπὸ τῶν ἀνθρώπων καὶ μετὰ θηρίων ἀγρίων ἔσται ἡ κατοικία σου
καὶ χόρτον ὡς βοῦν ψωμιοῦσίν σε καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐ-
ρανοῦ αὐλισθήσῃ καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σέ ἕως οὗ
γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων καὶ ᾧ
ἂν δόξῃ δώσει αὐτήν. καὶ ὅτι εἶπαν ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν 26
τοῦ δένδρου ἡ βασιλεία σού σοι μενεῖ ἀφ᾽ ἧς ἂν γνῷς τὴν ἐξουσίαν
τὴν οὐράνιον. διὰ τοῦτο βασιλεῦ ἡ βουλή μου ἀρεσάτω σοι καὶ 27

---

**v.20** ὁ[dnns] δένδρον[nnnsc] ὅς[rrans] ὁράω[viaa2s] ὁ[dnns] μεγαλύνω[vpapnns] καί[cc] ὁ[dnns] ἰσχύω[vpxanns] ὅς[rrgns] ὁ[dnns] ὕψος[nnnsc] φθάνω[viaa3s] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dnns] κύτος[nnnsc] αὐτός[rpgns] εἰς[pa] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc]. **v.21** καί[cc] ὁ[dnnp] φύλλον[nnnpc] αὐτός[rpgns] εὐθαλής[annnpn] καί[cc] ὁ[dnms] καρπός[nnmsc] αὐτός[rpgns] πολύς[annmsn] καί[cc] τροφή[nnfsc] πᾶς[aidmpn] ἐν[pd] αὐτός[rpdns] ὑποκάτω[pg] αὐτός[rpgns] κατοικέω[viia3p] ὁ[dnnp] θηρίον[nnnpc] ὁ[dnnp] ἄγριος[annnpn] καί[cc] ἐν[pd] ὁ[ddmp] κλάδος[ndmpc] αὐτός[rpgns] κατασκηνόω[viia3p] ὁ[dnnp] ὄρνεον[nnnpc] ὁ[dgms] οὐρανός[ngmsc]. **v.22** σύ[rpn-s] εἰμί[vipa2s] βασιλεύς[nvmsc] ὅτι[cs] μεγαλύνω[viap2s] καί[cc] ἰσχύω[viaa2s] καί[cc] ὁ[dnfs] μεγαλωσύνη[nnfsc] σύ[rpg-s] μεγαλύνω[viap3s] καί[cc] φθάνω[viaa3s] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὁ[dnfs] κυριεία[nnfsc] σύ[rpg-s] εἰς[pa] ὁ[danp] πέρας[nanpc] ὁ[dgfs] γῆ[ngfsc]. **v.23** καί[cc] ὅτι[cs] ὁράω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ιρ[t] καί[cc] ἅγιος[anamsn] καταβαίνω[vppaams] ἀπό[pg] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] λέγω[viaa3s] ἐκτίλλω[vdaa2p] ὁ[dans] δένδρον[nansc] καί[cc] διαφθείρω[vdaa2p] αὐτός[rpans] πλήν[b] ὁ[dafs] φυή[nafsc] ὁ[dgfp] ῥίζα[ngfpc] αὐτός[rpgns] ἐάω[vdaa2p] ἐν[pd] ὁ[ddfs] γῆ[ndfsc] καί[cc] ἐν[pd] δεσμός[ndmsc] σιδηροῦς[andmsn] καί[cc] χαλκοῦς[andmsn] καί[cc] ἐν[pd] ὁ[ddfs] χλόη[ndfsc] ὁ[ddfs] ἔξω[b] καί[cc] ἐν[pd] ὁ[ddfs] δρόσος[ndfsc] ὁ[dgms] οὐρανός[ngmsc] αὐλίζομαι[vifp3s] καί[cc] μετά[pg] θηρίον[ngnpc] ἄγριος[angnpn] ὁ[dnfs] μερίς[nnfsc] αὐτός[rpgms] ἕως[pg] ὅς[rrgns] ἑπτά[ac—n] καιρός[nnmpc] ἀλλοιόω[vsap3p] ἐπί[pa] αὐτός[rpams]. **v.24** οὗτος[rdnns] ὁ[dnfs] σύγκρισις[nnfsc] αὐτός[rpgns] βασιλεύς[nvmsc] καί[cc] σύγκριμα[nnnsc] ὕψιστος[angmsn] εἰμί[vipa3s] ὅς[rrnns] φθάνω[viaa3s] ἐπί[pa] ὁ[dams] κύριος[namsc] ἐγώ[rpg-s] ὁ[dams] βασιλεύς[namsc]. **v.25** καί[cc] σύ[rpa-s] ἐκδιώκω[vifa3p] ἀπό[pg] ὁ[dgmp] ἄνθρωπος[ngmpc] καί[cc] μετά[pg] θηρίον[ngnpc] ἄγριος[angnpn] εἰμί[vifm3s] ὁ[dnfs] κατοικία[nnfsc] σύ[rpg-s] καί[cc] χόρτος[namsc] ὡς[cs] βοῦς[namsc] ψωμίζω[vifa3p] σύ[rpa-s] καί[cc] ἀπό[pg] ὁ[dgfs] δρόσος[ngfsc] ὁ[dgms] οὐρανός[ngmsc] αὐλίζομαι[vifp2s] καί[cc] ἑπτά[ac—n] καιρός[nnmpc] ἀλλάσσω[vifp3p] ἐπί[pa] σύ[rpa-s] ἕως[pg] ὅς[rrgns] γινώσκω[vsaa2s] ὅτι[cs] κυριεύω[vipa3s] ὁ[dnms] ὕψιστος[annmsn] ὁ[dgfs] βασιλεία[ngfsc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] καί[cc] ὅς[rrdms] ἄν[x] δοκέω[vsaa3s] δίδωμι[vifa3s] αὐτός[rpafs]. **v.26** καί[cc] ὅτι[cs] λέγω[viaa3p] ἐάω[vdaa2p] ὁ[dafs] φυή[nafsc] ὁ[dgfp] ῥίζα[ngfpc] ὁ[dgns] δένδρον[ngnsc] ὁ[dnfs] βασιλεία[nnfsc] σύ[rpg-s] σύ[rpd-s] μένω[vifa3s] ἀπό[pg] ὅς[rrgfs] ἄν[x] γινώσκω[vsaa2s] ὁ[dafs] ἐξουσία[nafsc] ὁ[dafs] οὐράνιος[anafsn].

τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου
ἐν οἰκτιρμοῖς πενήτων ἴσως ἔσται μακρόθυμος τοῖς παραπτώμα-
28 σίν σου ὁ θεός. ταῦτα πάντα ἔφθασεν ἐπὶ Ναβουχοδονοσορ τὸν
29 βασιλέα. μετὰ δωδεκάμηνον ἐπὶ τῷ ναῷ τῆς βασιλείας αὐτοῦ ἐν
30 Βαβυλῶνι περιπατῶν. ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν οὐχ αὕτη
ἐστὶν Βαβυλὼν ἡ μεγάλη ἣν ἐγὼ ᾠκοδόμησα εἰς οἶκον βασιλείας
31 ἐν τῷ κράτει τῆς ἰσχύος μου εἰς τιμὴν τῆς δόξης μου. ἔτι τοῦ
λόγου ἐν στόματι τοῦ βασιλέως ὄντος φωνὴ ἀπ᾽ οὐρανοῦ ἐγένετο
σοὶ λέγουσιν Ναβουχοδονοσορ βασιλεῦ ἡ βασιλεία παρῆλθεν ἀπὸ
32 σοῦ. καὶ ἀπὸ τῶν ἀνθρώπων σε ἐκδιώξουσιν καὶ μετὰ θηρίων ἀ-
γρίων ἡ κατοικία σου καὶ χόρτον ὡς βοῦν ψωμιοῦσίν σε καὶ ἑπτὰ
καιροὶ ἀλλαγήσονται ἐπὶ σέ ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ ὕψιστος
33 τῆς βασιλείας τῶν ἀνθρώπων καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν. αὐ-
τῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονοσορ καὶ ἀπὸ τῶν
ἀνθρώπων ἐξεδιώχθη καὶ χόρτον ὡς βοῦς ἤσθιεν καὶ ἀπὸ τῆς δρό-
σου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη ἕως οὗ αἱ τρίχες αὐτοῦ
34 ὡς λεόντων ἐμεγαλύνθησαν καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέων. καὶ
μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐγὼ Ναβουχοδονοσορ τοὺς ὀφθαλμούς
μου εἰς τὸν οὐρανὸν ἀνέλαβον καὶ αἱ φρένες μου ἐπ᾽ ἐμὲ ἐπεστρά-
φησαν καὶ τῷ ὑψίστῳ εὐλόγησα καὶ τῷ ζῶντι εἰς τὸν αἰῶνα ᾔνεσα
καὶ ἐδόξασα ὅτι ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος καὶ ἡ βασιλεία

---

**v.27** διά[pa] οὗτος[rdans] βασιλεύς[nvmsc] ὁ[dnfs] βουλή[nnfsc] ἐγώ[rpg-s] ἀρέσκω[vdaa3s] σύ[rpd-s] καί[cc] ὁ[dafp] ἁμαρτία[nafpc] σύ[rpg-s] ἐν[pd] ἐλεημοσύνη[ndfpc] λυτρόω[vdam2s] καί[cc] ὁ[dafp] ἀδικία[nafpc] σύ[rpg-s] ἐν[pd] οἰκτιρμός[ndmpc] πένης[ngmpc] ἴσως[b] εἰμί[vifm3s] μακρόθυμος[annmsn] ὁ[ddnp] παράπτωμα[ndnpc] σύ[rpg-s] ὁ[dnms] θεός[nnmsc]. **v.28** οὗτος[rdnnp] πᾶς[ainnpn] φθάνω[viaa3s] ἐπί[pa] Ναβουχοδονοσορ[namsp] ὁ[dams] βασιλεύς[namsc]. **v.29** μετά[pa] δωδεκάμηνος[nansc] ἐπί[pd] ὁ[ddms] ναός[ndmsc] ὁ[dgfs] βασιλεία[ngfsc] αὐτός[rpgms] ἐν[pd] Βαβυλών[ndfsp] περιπατέω[vppanms]. **v.30** ἀποκρίνομαι[viap3s] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] λέγω[viaa3s] οὐ[b] οὗτος[rdnfs] εἰμί[vipa3s] Βαβυλών[nnfsp] ὁ[dnfs] μέγας[annfsn] ὅς[rrafs] ἐγώ[rpn-s] οἰκοδομέω[viaa1s] εἰς[pa] οἶκος[namsc] βασιλεία[ngfsc] ἐν[pd] ὁ[ddns] κράτος[ndnsc] ὁ[dgfs] ἰσχύς[ngfsc] ἐγώ[rpg-s] εἰς[pa] τιμή[nafsc] ὁ[dgfs] δόξα[ngfsc] ἐγώ[rpg-s]. **v.31** ἔτι[b] ὁ[dgms] λόγος[ngmsc] ἐν[pd] στόμα[ndnsc] ὁ[dgms] βασιλεύς[ngmsc] εἰμί[vppagms] φωνή[nnfsc] ἀπό[pg] οὐρανός[ngmsc] γίνομαι[viam3s] σύ[rpd-s] λέγω[vipa3p] Ναβουχοδονοσορ[nvmsp] βασιλεύς[nvmsc] ὁ[dnfs] βασιλεία[nnfsc] παρέρχομαι[viaa3s] ἀπό[pg] σύ[rpg-s]. **v.32** καί[cc] ἀπό[pg] ὁ[dgmp] ἄνθρωπος[ngmpc] σύ[rpa-s] ἐκδιώκω[vifa3p] καί[cc] μετά[pg] θηρίον[ngnpc] ἄγριος[angnpn] ὁ[dnfs] κατοικία[nnfsc] σύ[rpg-s] καί[cc] χόρτος[namsc] ὡς[cs] βοῦς[namsc] ψωμίζω[vifa3p] σύ[rpa-s] καί[cc] ἑπτά[ac—n] καιρός[nnmpc] ἀλλάσσω[vifp3p] ἐπί[pa] σύ[rpa-s] ἕως[pg] ὅς[rrgns] γινώσκω[vsaa2s] ὅτι[cs] κυριεύω[vipa3s] ὁ[dnms] ὕψιστος[annmsn] ὁ[dgfs] βασιλεία[ngfsc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] καί[cc] ὅς[rrdms] ἐάν[x] δοκέω[vsaa3s] δίδωμι[vifa3s] αὐτός[rpafs]. **v.33** αὐτός[rtdfs] ὁ[ddfs] ὥρα[ndfsc] ὁ[dnms] λόγος[nnmsc] συντελέω[viap3s] ἐπί[pa] Ναβουχοδονοσορ[namsp] καί[cc] ἀπό[pg] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ἐκδιώκω[viap3s] καί[cc] χόρτος[namsc] ὡς[cs] βοῦς[nnmsc] ἐσθίω[viia3s] καί[cc] ἀπό[pg] ὁ[dgfs] δρόσος[ngfsc] ὁ[dgms] οὐρανός[ngmsc] ὁ[dnns] σῶμα[nnnsc] αὐτός[rpgms] βάπτω[viap3s] ἕως[pg] ὅς[rrgns] ὁ[dnfp] θρίξ[nnfpc] αὐτός[rpgms] ὡς[cs] λέων[ngmpc] μεγαλύνω[viap3p] καί[cc] ὁ[dnmp] ὄνυξ[nnmpc] αὐτός[rpgms] ὡς[cs] ὄρνεον[ngnpc].

αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. καὶ πάντες οἱ κατοικοῦντες τὴν 35
γῆν ὡς οὐδὲν ἐλογίσθησαν καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ
δυνάμει τοῦ οὐρανοῦ καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς καὶ οὐκ ἔστιν ὃς
ἀντιποιήσεται τῇ χειρὶ αὐτοῦ καὶ ἐρεῖ αὐτῷ τί ἐποίησας. αὐτῷ 36
τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ᾽ ἐμέ καὶ εἰς τὴν τιμὴν
τῆς βασιλείας μου ἦλθον καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ᾽ ἐμέ
καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με καὶ ἐπὶ τὴν
βασιλείαν μου ἐκραταιώθην καὶ μεγαλωσύνη περισσοτέρα προ-
σετέθη μοι. νῦν οὖν ἐγὼ Ναβουχοδονοσορ αἰνῶ καὶ ὑπερυψῶ 37
καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀ-
ληθινὰ καὶ αἱ τρίβοι αὐτοῦ κρίσις καὶ πάντας τοὺς πορευομένους
ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι.

Βαλτασαρ ὁ βασιλεὺς ἐποίησεν δεῖπνον μέγα τοῖς μεγιστᾶσιν **5**
αὐτοῦ χιλίοις καὶ κατέναντι τῶν χιλίων ὁ οἶνος καὶ πίνων. Βαλτα- 2
σαρ εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου τοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ
καὶ τὰ ἀργυρᾶ ἃ ἐξήνεγκεν Ναβουχοδονοσορ ὁ πατὴρ αὐτοῦ ἐκ
τοῦ ναοῦ τοῦ ἐν Ιερουσαλημ καὶ πιέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς
καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παράκοι-
τοι αὐτοῦ. καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ ἃ 3
ἐξήνεγκεν ἐκ τοῦ ναοῦ τοῦ θεοῦ τοῦ ἐν Ιερουσαλημ καὶ ἔπινον

---

**v.34** καί[cc] μετά[pa] ὁ[dans] τέλος[nansc] ὁ[dgfp] ἡμέρα[ngfpc] ἐγώ[rpn-s] Ναβουχοδονοσορ[nnmsp] ὁ[damp] ὀφθαλμός[nampc] ἐγώ[rpg-s] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] ἀναλαμβάνω[viaa1s] καί[cc] ὁ[dnfp] φρήν[nnfpc] ἐγώ[rpg-s] ἐπί[pa] ἐγώ[rpa-s] ἐπιστρέφω[viap3p] καί[cc] ὁ[ddms] ὕψιστος[andmsn] εὐλογέω[viaa1s] καί[cc] ὁ[ddms] ζάω[vppadms] εἰς[pa] ὁ[dams] αἰών[namsc] αἰνέω[viaa1s] καί[cc] δοξάζω[viaa1s] ὅτι[cs] ὁ[dnfs] ἐξουσία[nnfsc] αὐτός[rpgms] ἐξουσία[nnfsc] αἰώνιος[annfsn] καί[cc] ὁ[dnfs] βασιλεία[nnfsc] αὐτός[rpgms] εἰς[pa] γενεά[nafsc] καί[cc] γενεά[nafsc]. **v.35** καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] κατοικέω[vppanmp] ὁ[dafs] γῆ[nafsc] ὡς[cs] οὐδείς[rinns] λογίζομαι[viap3p] καί[cc] κατά[pa] ὁ[dans] θέλημα[nansc] αὐτός[rpgms] ποιέω[vipa3s] ἐν[pd] ὁ[ddfs] δύναμις[ndfsc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ἐν[pd] ὁ[ddfs] κατοικία[ndfsc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] οὐ[b] εἰμί[vipa3s] ὅς[rrnms] ἀντιποιέω[vifm3s] ὁ[ddfs] χείρ[ndfsc] αὐτός[rpgms] καί[cc] λέγω[vifa3s] αὐτός[rpdms] τίς[rqans] ποιέω[viaa2s]. **v.36** αὐτός[rtdms] ὁ[ddms] καιρός[ndmsc] ὁ[dnfp] φρήν[nnfpc] ἐγώ[rpg-s] ἐπιστρέφω[viap3p] ἐπί[pa] ἐγώ[rpa-s] καί[cc] εἰς[pa] ὁ[dafs] τιμή[nafsc] ὁ[dgfs] βασιλεία[ngfsc] ἐγώ[rpg-s] ἔρχομαι[viaa1s] καί[cc] ὁ[dnfs] μορφή[nnfsc] ἐγώ[rpg-s] ἐπιστρέφω[viaa3s] ἐπί[pa] ἐγώ[rpa-s] καί[cc] ὁ[dnmp] τύραννος[nnmpc] ἐγώ[rpg-s] καί[cc] ὁ[dnmp] μεγιστάν[nnmpc] ἐγώ[rpg-s] ζητέω[viia3p] ἐγώ[rpa-s] καί[cc] ἐπί[pa] ὁ[dafs] βασιλεία[nafsc] ἐγώ[rpg-s] κραταιόω[viap1s] καί[cc] μεγαλωσύνη[nnfsc] περισσός[ananpc] προστίθημι[viap3s] ἐγώ[rpd-s]. **v.37** νῦν[b] οὖν[cc] ἐγώ[rpn-s] Ναβουχοδονοσορ[nnmsp] αἰνέω[vipa1s] καί[cc] ὑπερυψόω[vipa1s] καί[cc] δοξάζω[vipa1s] ὁ[dams] βασιλεύς[namsc] ὁ[dgms] οὐρανός[ngmsc] ὅτι[cs] πᾶς[ainnpn] ὁ[dnnp] ἔργον[nnnpc] αὐτός[rpgms] ἀληθινός[annnpn] καί[cc] ὁ[dnfp] τρίβος[nnfpc] αὐτός[rpgms] κρίσις[nnfsc] καί[cc] πᾶς[aiampn] ὁ[damp] πορεύομαι[vppmamp] ἐν[pd] ὑπερηφανία[ndfsc] δύναμαι[vipm3s] ταπεινόω[vnaa]. **5. v.1** Βαλτασαρ[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] ποιέω[viaa3s] δεῖπνον[nansc] μέγας[anansn] ὁ[ddmp] μεγιστάν[ndmpc] αὐτός[rpgms] χίλιοι[acdmpn] καί[cc] κατέναντι[pg] ὁ[dgmp] χίλιοι[acgmpn] ὁ[dnms] οἶνος[nnmsc] καί[cc] πίνω[vppanms]. **v.2** Βαλτασαρ[nnmsp] λέγω[viaa3s] ἐν[pd] ὁ[ddfs] γεῦσις[ndfsc] ὁ[dgms] οἶνος[ngmsc] ὁ[dgns] φέρω[vnaa] ὁ[danp] σκεῦος[nanpc] ὁ[danp] χρυσοῦς[ananpn] καί[cc] ὁ[danp] ἀργυροῦς[ananpn] ὅς[rranp] ἐκφέρω[viaa3s] Ναβουχοδονοσορ[nnmsp] ὁ[dnms] πατήρ[nnmsc] αὐτός[rpgms] ἐκ[pg] ὁ[dgms] ναός[ngmsc] ὁ[dgms] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] καί[cc] πίνω[vdaa3p] ἐν[pd] αὐτός[rpdnp] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] ὁ[dnmp] μεγιστάν[nnmpc] αὐτός[rpgms] καί[cc] ὁ[dnfp] παλλακή[nnfpc] αὐτός[rpgms] καί[cc] ὁ[dnfp] παράκοιτος[nnfpc] αὐτός[rpgms].

ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ
4 αὐτοῦ καὶ αἱ παράκοιτοι αὐτοῦ. ἔπινον οἶνον καὶ ᾔνεσαν τοὺς
θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ
5 ξυλίνους καὶ λιθίνους. ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς
ἀνθρώπου καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα
τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς
6 ἀστραγάλους τῆς χειρὸς τῆς γραφούσης. τότε τοῦ βασιλέως ἡ
μορφὴ ἠλλοιώθη καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐ-
τόν καὶ οἱ σύνδεσμοι τῆς ὀσφύος αὐτοῦ διελύοντο καὶ τὰ γόνατα
7 αὐτοῦ συνεκροτοῦντο. καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύι τοῦ εἰ-
σαγαγεῖν μάγους Χαλδαίους γαζαρηνοὺς καὶ εἶπεν τοῖς σοφοῖς
Βαβυλῶνος ὃς ἂν ἀναγνῷ τὴν γραφὴν ταύτην καὶ τὴν σύγκρισιν
γνωρίσῃ μοι πορφύραν ἐνδύσεται καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ
8 τὸν τράχηλον αὐτοῦ καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει. καὶ
εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως καὶ οὐκ ἠδύναντο
τὴν γραφὴν ἀναγνῶναι οὐδὲ τὴν σύγκρισιν γνωρίσαι τῷ βασιλεῖ.
9 καὶ ὁ βασιλεὺς Βαλτασαρ πολὺ ἐταράχθη καὶ ἡ μορφὴ αὐτοῦ ἠλ-
10 λοιώθη ἐπ' αὐτῷ καὶ οἱ μεγιστᾶνες αὐτοῦ συνεταράσσοντο. καὶ
εἰσῆλθεν ἡ βασίλισσα εἰς τὸν οἶκον τοῦ πότου καὶ εἶπεν βασιλεῦ
εἰς τοὺς αἰῶνας ζῆθι μὴ ταρασσέτωσάν σε οἱ διαλογισμοί σου καὶ

---

**v.3** καί[cc] φέρω[viap3p] ὁ[dnnp] σκεῦος[nnnpc] ὁ[dnnp] χρυσοῦς[annnpn] καί[cc] ὁ[dnnp] ἀργυροῦς[annnpn] ὅς[rranp] ἐκφέρω[viaa3s] ἐκ[pg] ὁ[dgms] ναός[ngmsc] ὁ[dgms] θεός[ngmsc] ὁ[dgms] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] καί[cc] πίνω[viia3p] ἐν[pd] αὐτός[rpdnp] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] ὁ[dnmp] μεγιστάν[nnmpc] αὐτός[rpgms] καί[cc] ὁ[dnfp] παλλακή[nnfpc] αὐτός[rpgms] καί[cc] ὁ[dnfp] παράκοιτος[nnfpc] αὐτός[rpgms]. **v.4** πίνω[viia3p] οἶνος[namsc] καί[cc] αἰνέω[viaa3p] ὁ[damp] θεός[nampc] ὁ[damp] χρυσοῦς[anampn] καί[cc] ἀργυροῦς[anampn] καί[cc] χαλκοῦς[anampn] καί[cc] σιδηροῦς[anampn] καί[cc] ξύλινος[anampn] καί[cc] λίθινος[anampn]. **v.5** ἐν[pd] αὐτός[rtdfs] ὁ[ddfs] ὥρα[ndfsc] ἐξέρχομαι[viaa3p] δάκτυλος[nnmpc] χείρ[ngfsc] ἄνθρωπος[ngmsc] καί[cc] γράφω[viia3p] κατέναντι[pg] ὁ[dgfs] λαμπάς[ngfsc] ἐπί[pa] ὁ[dans] κονίαμα[nansc] ὁ[dgms] τοῖχος[ngmsc] ὁ[dgms] οἶκος[ngmsc] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ὁ[dnms] βασιλεύς[nnmsc] θεωρέω[viia3s] ὁ[damp] ἀστράγαλος[nampc] ὁ[dgfs] χείρ[ngfsc] ὁ[dgfs] γράφω[vppagfs]. **v.6** τότε[b] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dnfs] μορφή[nnfsc] ἀλλοιόω[viap3s] καί[cc] ὁ[dnmp] διαλογισμός[nnmpc] αὐτός[rpgms] συνταράσσω[viia3p] αὐτός[rpams] καί[cc] ὁ[dnmp] σύνδεσμος[nnmpc] ὁ[dgfs] ὀσφύς[ngfsc] αὐτός[rpgms] διαλύω[viip3p] καί[cc] ὁ[dnnp] γόνυ[nnnpc] αὐτός[rpgms] συγκροτέω[viim3p]. **v.7** καί[cc] βοάω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ἐν[pd] ἰσχύς[ndfsc] ὁ[dgns] εἰσάγω[vnaa] μάγος[nampc] Χαλδαῖος[nampp] γαζαρηνός[nampc] καί[cc] λέγω[viaa3s] ὁ[ddmp] σοφός[andmpn] Βαβυλών[ngfsp] ὅς[rrnms] ἄν[x] ἀναγινώσκω[vsaa3s] ὁ[dafs] γραφή[nafsc] οὗτος[rdafs] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] γνωρίζω[vsaa3s] ἐγώ[rpd-s] πορφύρα[nafsc] ἐνδύω[vifp3s] καί[cc] ὁ[dnms] μανιάκης[nnmsc] ὁ[dnms] χρυσοῦς[annmsn] ἐπί[pa] ὁ[dams] τράχηλος[namsc] αὐτός[rpgms] καί[cc] τρίτος[aonmsn] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc] ἐγώ[rpg-s] ἄρχω[vifa3s]. **v.8** καί[cc] εἰσπορεύομαι[viim3p] πᾶς[ainmpn] ὁ[dnmp] σοφός[annmpn] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] οὐ[b] δύναμαι[viim3p] ὁ[dafs] γραφή[nafsc] ἀναγινώσκω[vnaa] οὐδέ[cc] ὁ[dafs] σύγκρισις[nafsc] γνωρίζω[vnaa] ὁ[ddms] βασιλεύς[ndmsc]. **v.9** καί[cc] ὁ[dnms] βασιλεύς[nnmsc] Βαλτασαρ[nnmsp] πολύς[b] ταράσσω[viap3s] καί[cc] ὁ[dnfs] μορφή[nnfsc] αὐτός[rpgms] ἀλλοιόω[viap3s] ἐπί[pd] αὐτός[rpdms] καί[cc] ὁ[dnmp] μεγιστάν[nnmpc] αὐτός[rpgms] συνταράσσω[viip3p].

ἡ μορφή σου μὴ ἀλλοιούσθω. ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ σου ἐν ᾧ 11
πνεῦμα θεοῦ καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου γρηγόρησις καὶ
σύνεσις εὑρέθη ἐν αὐτῷ καὶ ὁ βασιλεὺς Ναβουχοδονοσορ ὁ πατήρ
σου ἄρχοντα ἐπαοιδῶν μάγων Χαλδαίων γαζαρηνῶν κατέστησεν
αὐτόν. ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ καὶ φρόνησις καὶ σύνεσις 12
συγκρίνων ἐνύπνια καὶ ἀναγγέλλων κρατούμενα καὶ λύων συν-
δέσμους Δανιηλ καὶ ὁ βασιλεὺς ἐπέθηκεν αὐτῷ ὄνομα Βαλτασαρ
νῦν οὖν κληθήτω καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖ σοι. τότε 13
Δανιηλ εἰσήχθη ἐνώπιον τοῦ βασιλέως καὶ εἶπεν ὁ βασιλεὺς τῷ
Δανιηλ σὺ εἶ Δανιηλ ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ιου-
δαίας ἧς ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου. ἤκουσα περὶ σοῦ ὅτι 14
πνεῦμα θεοῦ ἐν σοί καὶ γρηγόρησις καὶ σύνεσις καὶ σοφία περισ-
σὴ εὑρέθη ἐν σοί. καὶ νῦν εἰσῆλθον ἐνώπιόν μου οἱ σοφοὶ μάγοι 15
γαζαρηνοί ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσιν καὶ τὴν σύγκρισιν
αὐτῆς γνωρίσωσίν μοι καὶ οὐκ ἠδυνήθησαν ἀναγγεῖλαί μοι. καὶ 16
ἐγὼ ἤκουσα περὶ σοῦ ὅτι δύνασαι κρίματα συγκρῖναι νῦν οὖν ἐὰν
δυνηθῇς τὴν γραφὴν ἀναγνῶναι καὶ τὴν σύγκρισιν αὐτῆς γνωρί-
σαι μοι πορφύραν ἐνδύσῃ καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ
τὸν τράχηλόν σου καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξεις. τότε 17
ἀπεκρίθη Δανιηλ καὶ εἶπεν ἐνώπιον τοῦ βασιλέως τὰ δόματά σου

---

**v.10** καί[cc] εἰσέρχομαι[viaa3s] ὁ[dnfs] βασίλισσα[nnfsc] εἰς[pa] ὁ[dams] οἶκος[namsc] ὁ[dgms] πότος[ngmsc] καί[cc] λέγω[viaa3s] βασιλεύς[nvmsc] εἰς[pa] ὁ[damp] αἰών[nampc] ζάω[vdpa2s] μή[x] ταράσσω[vdpa3p] σύ[rpa-s] ὁ[dnmp] διαλογισμός[nnmpc] σύ[rpg-s] καί[cc] ὁ[dnfs] μορφή[nnfsc] σύ[rpg-s] μή[x] ἀλλοιόω[vdpp3s]. **v.11** εἰμί[vipa3s] ἀνήρ[nnmsc] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc] σύ[rpg-s] ἐν[pd] ὅς[rrdms] πνεῦμα[nnnsc] θεός[ngmsc] καί[cc] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ὁ[dgms] πατήρ[ngmsc] σύ[rpg-s] γρηγόρησις[nnfsc] καί[cc] σύνεσις[nnfsc] εὑρίσκω[viap3s] ἐν[pd] αὐτός[rpdms] καί[cc] ὁ[dnms] βασιλεύς[nnmsc] Ναβουχοδονοσορ[nnmsp] ὁ[dnms] πατήρ[nnmsc] σύ[rpg-s] ἄρχων[namsc] ἐπαοιδός[ngmpc] μάγος[ngmpc] Χαλδαῖος[ngmpp] γαζαρηνός[ngmpc] καθίστημι[viaa3s] αὐτός[rpams]. **v.12** ὅτι[cs] πνεῦμα[nnnsc] περισσός[annnsn] ἐν[pd] αὐτός[rpdms] καί[cc] φρόνησις[nnfsc] καί[cc] σύνεσις[nnfsc] συγκρίνω[vppanms] ἐνύπνιον[nanpc] καί[cc] ἀναγγέλλω[vppanms] κρατέω[vppmanp] καί[cc] λύω[vppanms] σύνδεσμος[nampc] Δανιήλ[nnmsp] καί[cc] ὁ[dnms] βασιλεύς[nnmsc] ἐπιτίθημι[viaa3s] αὐτός[rpdms] ὄνομα[nansc] Βαλτασαρ[na-sp] νῦν[b] οὖν[cc] καλέω[vdap3s] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgns] ἀναγγέλλω[vifa3s] σύ[rpd-s]. **v.13** τότε[b] Δανιήλ[nnmsp] εἰσάγω[viap3s] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[ddms] Δανιήλ[ndmsp] σύ[rpn-s] εἰμί[vipa2s] Δανιήλ[nnmsp] ὁ[dnms] ἀπό[pg] ὁ[dgmp] υἱός[ngmpc] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] ὁ[dgfs] Ἰουδαία[ngfsp] ὅς[rrgfs] ἄγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[dnms] πατήρ[nnmsc] ἐγώ[rpg-s]. **v.14** ἀκούω[viaa1s] περί[pg] σύ[rpg-s] ὅτι[cs] πνεῦμα[nnnsc] θεός[ngmsc] ἐν[pd] σύ[rpd-s] καί[cc] γρηγόρησις[nnfsc] καί[cc] σύνεσις[nnfsc] καί[cc] σοφία[nnfsc] περισσός[annfsn] εὑρίσκω[viap3s] ἐν[pd] σύ[rpd-s]. **v.15** καί[cc] νῦν[b] εἰσέρχομαι[viaa3p] ἐνώπιον[pg] ἐγώ[rpg-s] ὁ[dnmp] σοφός[annmpn] μάγος[nnmpc] γαζαρηνός[nnmpc] ἵνα[cs] ὁ[dafs] γραφή[nafsc] οὗτος[rdafs] ἀναγινώσκω[vsaa3p] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgfs] γνωρίζω[vsaa3p] ἐγώ[rpd-s] καί[cc] οὐ[b] δύναμαι[viap3p] ἀναγγέλλω[vnaa] ἐγώ[rpd-s]. **v.16** καί[cc] ἐγώ[rpn-s] ἀκούω[viaa1s] περί[pg] σύ[rpg-s] ὅτι[cs] δύναμαι[vipm2s] κρίμα[nanpc] συγκρίνω[vnaa] νῦν[b] οὖν[cc] ἐάν[cs] δύναμαι[vsap2s] ὁ[dafs] γραφή[nafsc] ἀναγινώσκω[vnaa] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgfs] γνωρίζω[vnaa] ἐγώ[rpd-s] πορφύρα[nafsc] ἐνδύω[vifm2s] καί[cc] ὁ[dnms] μανιάκης[nnmsc] ὁ[dnms] χρυσοῦς[annmsn] εἰμί[vifm3s] ἐπί[pa] ὁ[dams] τράχηλος[namsc] σύ[rpg-s] καί[cc] τρίτος[aonmsn] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc] ἐγώ[rpg-s] ἄρχω[vifa2s].

σοὶ ἔστω καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός ἐγὼ δὲ τὴν γρα-
φὴν ἀναγνώσομαι τῷ βασιλεῖ καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω
18 σοι. βασιλεῦ ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ τὴν μεγαλω-
σύνην καὶ τὴν τιμὴν καὶ τὴν δόξαν ἔδωκεν Ναβουχοδονοσορ τῷ
19 πατρί σου. καὶ ἀπὸ τῆς μεγαλωσύνης ἧς ἔδωκεν αὐτῷ πάντες οἱ
λαοί φυλαί γλῶσσαι ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσώ-
που αὐτοῦ οὓς ἠβούλετο αὐτὸς ἀνῄρει καὶ οὓς ἠβούλετο αὐτὸς
ἔτυπτεν καὶ οὓς ἠβούλετο αὐτὸς ὕψου καὶ οὓς ἠβούλετο αὐτὸς
20 ἐταπείνου. καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ καὶ τὸ πνεῦμα αὐτοῦ
ἐκραταιώθη τοῦ ὑπερηφανεύσασθαι κατηνέχθη ἀπὸ τοῦ θρόνου
21 τῆς βασιλείας αὐτοῦ καὶ ἡ τιμὴ ἀφῃρέθη ἀπ᾽ αὐτοῦ. καὶ ἀπὸ
τῶν ἀνθρώπων ἐξεδιώχθη καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων
ἐδόθη καὶ μετὰ ὀνάγρων ἡ κατοικία αὐτοῦ καὶ χόρτον ὡς βοῦν
ἐψώμιζον αὐτόν καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ
ἐβάφη ἕως οὗ ἔγνω ὅτι κυριεύει ὁ θεὸς ὁ ὕψιστος τῆς βασιλείας
22 τῶν ἀνθρώπων καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν. καὶ σὺ ὁ υἱὸς αὐ-
τοῦ Βαλτασαρ οὐκ ἐταπείνωσας τὴν καρδίαν σου κατενώπιον οὗ
23 πάντα ταῦτα ἔγνως. καὶ ἐπὶ τὸν κύριον θεὸν τοῦ οὐρανοῦ ὑ-
ψώθης καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκαν ἐνώπιόν σου καὶ
σὺ καὶ οἱ μεγιστᾶνές σου καὶ αἱ παλλακαί σου καὶ αἱ παράκοι-
τοί σου οἶνον ἐπίνετε ἐν αὐτοῖς καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ
ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους

---

**v.17** τότε[b] ἀποκρίνομαι[viap3s] Δανιήλ[nnmsp] καί[cc] λέγω[viaa3s] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dnnp] δόμα[nnnpc] σύ[rpg-s] σύ[rpd-s] εἰμί[vdpa3s] καί[cc] ὁ[dafs] δωρεά[nafsc] ὁ[dgfs] οἰκία[ngfsc] σύ[rpg-s] ἕτερος[aidmsn] δίδωμι[vdaa2s] ἐγώ[rpn-s] δέ[cc] ὁ[dafs] γραφή[nafsc] ἀναγινώσκω[vifm1s] ὁ[ddms] βασιλεύς[ndmsc] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgfs] γνωρίζω[vsaa1s] σύ[rpd-s]. **v.18** βασιλεύς[nvmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] ὕψιστος[annmsn] ὁ[dafs] βασιλεία[nafsc] καί[cc] ὁ[dafs] μεγαλωσύνη[nafsc] καί[cc] ὁ[dafs] τιμή[nafsc] καί[cc] ὁ[dafs] δόξα[nafsc] δίδωμι[viaa3s] Ναβουχοδονοσορ[ndmsp] ὁ[ddms] πατήρ[ndmsc] σύ[rpg-s]. **v.19** καί[cc] ἀπό[pg] ὁ[dgfs] μεγαλωσύνη[ngfsc] ὅς[rrgfs] δίδωμι[viaa3s] αὐτός[rpdms] πᾶς[ainmpn] ὁ[dnmp] λαός[nnmpc] φυλή[nnfpc] γλῶσσα[nnfpc] εἰμί[viia3p] τρέμω[vppanmp] καί[cc] φοβέω[vppmnmp] ἀπό[pg] πρόσωπον[ngnsc] αὐτός[rpgms] ὅς[rramp] βούλομαι[viim3s] αὐτός[rpnms] ἀναιρέω[viia3s] καί[cc] ὅς[rramp] βούλομαι[viim3s] αὐτός[rpnms] τύπτω[viia3s] καί[cc] ὅς[rramp] βούλομαι[viim3s] αὐτός[rpnms] ὑψόω[viia3s] καί[cc] ὅς[rramp] βούλομαι[viim3s] αὐτός[rpnms] ταπεινόω[viia3s]. **v.20** καί[cc] ὅτε[cs] ὑψόω[viap3s] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgms] καί[cc] ὁ[dnns] πνεῦμα[nnnsc] αὐτός[rpgms] κραταιόω[viap3s] ὁ[dgns] ὑπερηφανεύω[vnam] καταφέρω[viap3s] ἀπό[pg] ὁ[dgms] θρόνος[ngmsc] ὁ[dgfs] βασιλεία[ngfsc] αὐτός[rpgms] καί[cc] ὁ[dnfs] τιμή[nnfsc] ἀφαιρέω[viap3s] ἀπό[pg] αὐτός[rpgms]. **v.21** καί[cc] ἀπό[pg] ὁ[dgmp] ἄνθρωπος[ngmpc] ἐκδιώκω[viap3s] καί[cc] ὁ[dnfs] καρδία[nnfsc] αὐτός[rpgms] μετά[pg] ὁ[dgnp] θηρίον[ngnpc] δίδωμι[viap3s] καί[cc] μετά[pg] ὄναγρος[ngmpc] ὁ[dnfs] κατοικία[nnfsc] αὐτός[rpgms] καί[cc] χόρτος[namsc] ὡς[cs] βοῦς[namsc] ψωμίζω[viia3p] αὐτός[rpams] καί[cc] ἀπό[pg] ὁ[dgfs] δρόσος[ngfsc] ὁ[dgms] οὐρανός[ngmsc] ὁ[dnns] σῶμα[nnnsc] αὐτός[rpgms] βάπτω[viap3s] ἕως[pg] ὅς[rrgns] γινώσκω[viaa3s] ὅτι[cs] κυριεύω[vipa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dnms] ὕψιστος[annmsn] ὁ[dgfs] βασιλεία[ngfsc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] καί[cc] ὅς[rrdms] ἄν[x] δοκέω[vsaa3s] δίδωμι[vifa3s] αὐτός[rpafs]. **v.22** καί[cc] σύ[rpn-s] ὁ[dnms] υἱός[nnmsc] αὐτός[rpgms] Βαλτασαρ[nnmsp] οὐ[b] ταπεινόω[viaa2s] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] κατενώπιον[pg] ὅς[rrgms] πᾶς[aianpn] οὗτος[rdanp] γινώσκω[viaa2s].

οἳ οὐ βλέπουσιν καὶ οὐκ ἀκούουσιν καὶ οὐ γινώσκουσιν ᾔνεσας
καὶ τὸν θεόν οὗ ἡ πνοή σου ἐν χειρὶ αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοί σου
αὐτὸν οὐκ ἐδόξασας. διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη 24
ἀστράγαλος χειρὸς καὶ τὴν γραφὴν ταύτην ἐνέταξεν. καὶ αὕτη 25
ἡ γραφὴ ἡ ἐντεταγμένη μανη θεκελ φαρες. τοῦτο τὸ σύγκριμα 26
τοῦ ῥήματος μανη ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου καὶ ἐ-
πλήρωσεν αὐτήν. θεκελ ἐστάθη ἐν ζυγῷ καὶ εὑρέθη ὑστεροῦσα. 27
φαρες διῄρηται ἡ βασιλεία σου καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις. 28
καὶ εἶπεν Βαλτασαρ καὶ ἐνέδυσαν τὸν Δανιηλ πορφύραν καὶ τὸν 29
μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ καὶ
ἐκήρυξεν περὶ αὐτοῦ εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ.
ἐν αὐτῇ τῇ νυκτὶ ἀναιρέθη Βαλτασαρ ὁ βασιλεὺς ὁ Χαλδαίων. 30

καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβεν τὴν βασιλείαν ὢν ἐτῶν ἑξή- **6**
κοντα δύο. καὶ ἤρεσεν ἐνώπιον Δαρείου καὶ κατέστησεν ἐπὶ τῆς 2
βασιλείας σατράπας ἑκατὸν εἴκοσι τοῦ εἶναι αὐτοὺς ἐν ὅλῃ τῇ
βασιλείᾳ αὐτοῦ. καὶ ἐπάνω αὐτῶν τακτικοὺς τρεῖς ὧν ἦν Δανιηλ 3
εἷς ἐξ αὐτῶν τοῦ ἀποδιδόναι αὐτοῖς τοὺς σατράπας λόγον ὅπως ὁ
βασιλεὺς μὴ ἐνοχλῆται. καὶ ἦν Δανιηλ ὑπὲρ αὐτούς ὅτι πνεῦμα 4
περισσὸν ἐν αὐτῷ καὶ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ᾽ ὅλης τῆς

---

**v.23** καί[cc] ἐπί[pa] ὁ[dams] κύριος[namsc] θεός[namsc] ὁ[dgms] οὐρανός[ngmsc] ὑψόω[viap2s] καί[cc] ὁ[danp] σκεῦος[nanpc] ὁ[dgms] οἶκος[ngmsc] αὐτός[rpgms] φέρω[viaa3p] ἐνώπιον[pg] σύ[rpg-s] καί[cc] σύ[rpn-s] καί[cc] ὁ[dnmp] μεγιστάν[nnmpc] σύ[rpg-s] καί[cc] ὁ[dnfp] παλλακή[nnfpc] σύ[rpg-s] καί[cc] ὁ[dnfp] παράκοιτος[nnfpc] σύ[rpg-s] οἶνος[namsc] πίνω[viia2p] ἐν[pd] αὐτός[rpdnp] καί[cc] ὁ[damp] θεός[nampc] ὁ[damp] χρυσοῦς[anampn] καί[cc] ἀργυροῦς[anampn] καί[cc] χαλκοῦς[anampn] καί[cc] σιδηροῦς[anampn] καί[cc] ξύλινος[anampn] καί[cc] λίθινος[anampn] ὅς[rrnmp] οὐ[b] βλέπω[vipa3p] καί[cc] οὐ[b] ἀκούω[vipa3p] καί[cc] οὐ[b] γινώσκω[vipa3p] αἰνέω[viaa2s] καί[cc] ὁ[dams] θεός[namsc] ὅς[rrgms] ὁ[dnfs] πνοή[nnfsc] σύ[rpg-s] ἐν[pd] χείρ[ndfsc] αὐτός[rpgms] καί[cc] πᾶς[ainfpn] ὁ[dnfp] ὁδός[nnfpc] σύ[rpg-s] αὐτός[rpams] οὐ[b] δοξάζω[viaa2s]. **v.24** διά[pa] οὗτος[rdans] ἐκ[pg] πρόσωπον[ngnsc] αὐτός[rpgms] ἀποστέλλω[viap3s] ἀστράγαλος[nnmsc] χείρ[ngfsc] καί[cc] ὁ[dafs] γραφή[nafsc] οὗτος[rdafs] ἐντάσσω[viaa3s]. **v.25** καί[cc] οὗτος[rdnfs] ὁ[dnfs] γραφή[nnfsc] ὁ[dnfs] ἐντάσσω[vpxpnfs] μανη[t] θεκελ[t] φαρες[t]. **v.26** οὗτος[rdnns] ὁ[dnns] σύγκριμα[nnnsc] ὁ[dgns] ῥῆμα[ngnsc] μανη[t] μετρέω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dafs] βασιλεία[nafsc] σύ[rpg-s] καί[cc] πληρόω[viaa3s] αὐτός[rpafs]. **v.27** θεκελ[t] ἵστημι[viap3s] ἐν[pd] ζυγός[ndmsc] καί[cc] εὑρίσκω[viap3s] ὑστερέω[vppanfs]. **v.28** φαρες[t] διαιρέω[vixp3s] ὁ[dnfs] βασιλεία[nnfsc] σύ[rpg-s] καί[cc] δίδωμι[viap3s] Μῆδος[ndmpp] καί[cc] Πέρσης[ndmpp]. **v.29** καί[cc] λέγω[viaa3s] Βαλτασαρ[nnmsp] καί[cc] ἐνδύω[viaa3p] ὁ[dams] Δανιήλ[namsp] πορφύρα[nafsc] καί[cc] ὁ[dams] μανιάκης[namsc] ὁ[dams] χρυσοῦς[anamsn] περιτίθημι[viaa3p] περί[pa] ὁ[dams] τράχηλος[namsc] αὐτός[rpgms] καί[cc] κηρύσσω[viaa3s] περί[pg] αὐτός[rpgms] εἰμί[vnpa] αὐτός[rpams] ἄρχων[namsc] τρίτος[aoamsn] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc]. **v.30** ἐν[pd] αὐτός[rtdfs] ὁ[ddfs] νύξ[ndfsc] ἀναιρέω[viap3s] Βαλτασαρ[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[dnms] Χαλδαῖος[ngmpp]. **6. v.1** καί[cc] Δαρεῖος[nnmsp] ὁ[dnms] Μῆδος[nnmsp] παραλαμβάνω[viaa3s] ὁ[dafs] βασιλεία[nafsc] εἰμί[vppanms] ἔτος[ngnpc] ἑξήκοντα[ac—n] δύο[ac—n]. **v.2** καί[cc] ἀρέσκω[viaa3s] ἐνώπιον[pg] Δαρεῖος[ngmsp] καί[cc] καθίστημι[viaa3s] ἐπί[pg] ὁ[dgfs] βασιλεία[ngfsc] σατράπης[nampc] ἑκατόν[ac—n] εἴκοσι[ac—n] ὁ[dgns] εἰμί[vnpa] αὐτός[rpamp] ἐν[pd] ὅλος[andfsn] ὁ[ddfs] βασιλεία[ndfsc] αὐτός[rpgms]. **v.3** καί[cc] ἐπάνω[pg] αὐτός[rpgmp] τακτικός[nampc] τρεῖς[acampn] ὅς[rrgmp] εἰμί[viia3s] Δανιήλ[nnmsp] εἷς[acnmsn] ἐκ[pg] αὐτός[rpgmp] ὁ[dgns] ἀποδίδωμι[vnpa] αὐτός[rpdmp] ὁ[damp] σατράπης[nampc] λόγος[namsc] ὅπως[cs] ὁ[dnms] βασιλεύς[nnmsc] μή[x] ἐνοχλέω[vspp3s].

5 βασιλείας αὐτοῦ. καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν πρό-
φασιν εὑρεῖν κατὰ Δανιηλ καὶ πᾶσαν πρόφασιν καὶ παράπτωμα
6 καὶ ἀμβλάκημα οὐχ εὗρον κατ᾽ αὐτοῦ ὅτι πιστὸς ἦν. καὶ εἶπον
οἱ τακτικοί οὐχ εὑρήσομεν κατὰ Δανιηλ πρόφασιν εἰ μὴ ἐν νομί-
7 μοις θεοῦ αὐτοῦ. τότε οἱ τακτικοὶ καὶ οἱ σατράπαι παρέστησαν
τῷ βασιλεῖ καὶ εἶπαν αὐτῷ Δαρεῖε βασιλεῦ εἰς τοὺς αἰῶνας ζῆθι.
8 συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλείας σου στρατηγοὶ καὶ
σατράπαι ὕπατοι καὶ τοπάρχαι τοῦ στῆσαι στάσει βασιλικῇ καὶ
ἐνισχῦσαι ὁρισμόν ὅπως ὃς ἂν αἰτήσῃ αἴτημα παρὰ παντὸς θεοῦ
καὶ ἀνθρώπου ἕως ἡμερῶν τριάκοντα ἀλλ᾽ ἢ παρὰ σοῦ βασιλεῦ
9 ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων. νῦν οὖν βασιλεῦ στῆ-
σον τὸν ὁρισμὸν καὶ ἔκθες γραφήν ὅπως μὴ ἀλλοιωθῇ τὸ δόγμα
10 Μήδων καὶ Περσῶν. τότε ὁ βασιλεὺς Δαρεῖος ἐπέταξεν γραφῆναι
11 τὸ δόγμα. καὶ Δανιηλ ἡνίκα ἔγνω ὅτι ἐνετάγη τὸ δόγμα εἰσῆλ-
θεν εἰς τὸν οἶκον αὐτοῦ καὶ αἱ θυρίδες ἀνεῳγμέναι αὐτῷ ἐν τοῖς
ὑπερῴοις αὐτοῦ κατέναντι Ιερουσαλημ καὶ καιροὺς τρεῖς τῆς ἡ-
μέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ καὶ προσευχόμενος καὶ
ἐξομολογούμενος ἐναντίον τοῦ θεοῦ αὐτοῦ καθὼς ἦν ποιῶν ἔμ-
12 προσθεν. τότε οἱ ἄνδρες ἐκεῖνοι παρετήρησαν καὶ εὗρον τὸν
13 Δανιηλ ἀξιοῦντα καὶ δεόμενον τοῦ θεοῦ αὐτοῦ. καὶ προσελθόν-

---

**v.4** καί[cc] εἰμί[viia3s] Δανιήλ[nnmsp] ὑπέρ[pa] αὐτός[rpamp] ὅτι[cs] πνεῦμα[nnnsc] περισσός[annnsn] ἐν[pd] αὐτός[rpdms] καί[cc] ὁ[dnms] βασιλεύς[nnmsc] καθίστημι[viaa3s] αὐτός[rpams] ἐπί[pg] ὅλος[angfsn] ὁ[dgfs] βασιλεία[ngfsc] αὐτός[rpgms]. **v.5** καί[cc] ὁ[dnmp] τακτικός[nnmpc] καί[cc] ὁ[dnmp] σατράπης[nnmpc] ζητέω[viia3p] πρόφασις[nafsc] εὑρίσκω[vnaa] κατά[pa] Δανιήλ[namsp] καί[cc] πᾶς[aiafsn] πρόφασις[nafsc] καί[cc] παράπτωμα[nansc] καί[cc] ἀμπλάκημα[nansc] οὐ[b] εὑρίσκω[viaa3p] κατά[pg] αὐτός[rpgms] ὅτι[cs] πιστός[annmsn] εἰμί[viia3s]. **v.6** καί[cc] λέγω[viaa3p] ὁ[dnmp] τακτικός[nnmpc] οὐ[b] εὑρίσκω[vifa1p] κατά[pa] Δανιήλ[namsp] πρόφασις[nafsc] εἰ[cs] μή[x] ἐν[pd] νόμιμος[andnpn] θεός[ngmsc] αὐτός[rpgms]. **v.7** τότε[b] ὁ[dnmp] τακτικός[nnmpc] καί[cc] ὁ[dnmp] σατράπης[nnmpc] παρίστημι[viaa3p] ὁ[ddms] βασιλεύς[ndmsc] καί[cc] λέγω[viaa3p] αὐτός[rpdms] Δαρεῖος[nvmsp] βασιλεύς[nvmsc] εἰς[pa] ὁ[damp] αἰών[nampc] ζάω[vdpa2s]. **v.8** συμβουλεύω[viam3p] πᾶς[ainmpn] ὁ[dnmp] ἐπί[pg] ὁ[dgfs] βασιλεία[ngfsc] σύ[rpg-s] στρατηγός[nnmpc] καί[cc] σατράπης[nnmpc] ὕπατος[annmps] καί[cc] τοπάρχης[nnmpc] ὁ[dgns] ἵστημι[vnaa] στάσις[ndfsc] βασιλικός[andfsn] καί[cc] ἐνισχύω[vnaa] ὁρισμός[namsc] ὅπως[cs] ὅς[rrnms] ἄν[x] αἰτέω[vsaa3s] αἴτημα[nansc] παρά[pg] πᾶς[aigmsn] θεός[ngmsc] καί[cc] ἄνθρωπος[ngmsc] ἕως[pg] ἡμέρα[ngfpc] τριάκοντα[ac—n] ἀλλά[cc] ἤ[cc] παρά[pg] σύ[rpg-s] βασιλεύς[nvmsc] ἐμβάλλω[vifp3s] εἰς[pa] ὁ[dams] λάκκος[namsc] ὁ[dgmp] λέων[ngmpc]. **v.9** νῦν[b] οὖν[cc] βασιλεύς[nvmsc] ἵστημι[vdaa2s] ὁ[dams] ὁρισμός[namsc] καί[cc] ἐκτίθημι[vdaa2s] γραφή[nafsc] ὅπως[cs] μή[x] ἀλλοιόω[vsap3s] ὁ[dnns] δόγμα[nnnsc] Μῆδος[ngmpp] καί[cc] Πέρσης[ngmpp]. **v.10** τότε[b] ὁ[dnms] βασιλεύς[nnmsc] Δαρεῖος[nnmsp] ἐπιτάσσω[viaa3s] γράφω[vnap] ὁ[dans] δόγμα[nansc]. **v.11** καί[cc] Δανιήλ[nnmsp] ἡνίκα[cs] γινώσκω[viaa3s] ὅτι[cs] ἐντάσσω[viap3s] ὁ[dnns] δόγμα[nnnsc] εἰσέρχομαι[viaa3s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms] καί[cc] ὁ[dnfp] θυρίς[nnfpc] ἀνοίγω[vpxpnfp] αὐτός[rpdms] ἐν[pd] ὁ[ddnp] ὑπερῷον[ndnpc] αὐτός[rpgms] κατέναντι[pg] Ἰερουσαλήμ[ngfsp] καί[cc] καιρός[nampc] τρεῖς[acampn] ὁ[dgfs] ἡμέρα[ngfsc] εἰμί[viia3s] κάμπτω[vppanms] ἐπί[pa] ὁ[danp] γόνυ[nanpc] αὐτός[rpgms] καί[cc] προσεύχομαι[vppmnms] καί[cc] ἐξομολογέω[vppmnms] ἐναντίον[pg] ὁ[dgms] θεός[ngmsc] αὐτός[rpgms] καθώς[cs] εἰμί[viia3s] ποίεω[vppanms] ἔμπροσθεν[b]. **v.12** τότε[b] ὁ[dnmp] ἀνήρ[nnmpc] ἐκεῖνος[rdnmp] παρατηρέω[viaa3p] καί[cc] εὑρίσκω[viaa3p] ὁ[dams] Δανιήλ[namsp] ἀξιόω[vppaams] καί[cc] δέομαι[vppmams] ὁ[dgms] θεός[ngmsc] αὐτός[rpgms].

τες λέγουσιν τῷ βασιλεῖ βασιλεῦ οὐχ ὁρισμὸν ἔταξας ὅπως πᾶς
ἄνθρωπος ὃς ἂν αἰτήσῃ παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου αἴτημα
ἕως ἡμερῶν τριάκοντα ἀλλ᾽ ἢ παρὰ σοῦ βασιλεῦ ἐμβληθήσεται εἰς
τὸν λάκκον τῶν λεόντων καὶ εἶπεν ὁ βασιλεύς ἀληθινὸς ὁ λόγος
καὶ τὸ δόγμα Μήδων καὶ Περσῶν οὐ παρελεύσεται. τότε ἀπε- 14
κρίθησαν καὶ λέγουσιν ἐνώπιον τοῦ βασιλέως Δανιηλ ὁ ἀπὸ τῶν
υἱῶν τῆς αἰχμαλωσίας τῆς Ιουδαίας οὐχ ὑπετάγη τῷ δόγματί σου
περὶ τοῦ ὁρισμοῦ οὗ ἔταξας καὶ καιροὺς τρεῖς τῆς ἡμέρας αἰτεῖ
παρὰ τοῦ θεοῦ αὐτοῦ τὰ αἰτήματα αὐτοῦ. τότε ὁ βασιλεύς ὡς 15
τὸ ῥῆμα ἤκουσεν πολὺ ἐλυπήθη ἐπ᾽ αὐτῷ καὶ περὶ τοῦ Δανιηλ
ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτὸν καὶ ἕως ἑσπέρας ἦν ἀγωνιζόμενος
τοῦ ἐξελέσθαι αὐτόν. τότε οἱ ἄνδρες ἐκεῖνοι λέγουσιν τῷ βασιλεῖ 16
γνῶθι βασιλεῦ ὅτι δόγμα Μήδοις καὶ Πέρσαις τοῦ πᾶν ὁρισμὸν
καὶ στάσιν ἣν ἂν ὁ βασιλεὺς στήσῃ οὐ δεῖ παραλλάξαι. τότε ὁ 17
βασιλεὺς εἶπεν καὶ ἤγαγον τὸν Δανιηλ καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν
λάκκον τῶν λεόντων καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιηλ ὁ θεός σου
ᾧ σὺ λατρεύεις ἐνδελεχῶς αὐτὸς ἐξελεῖταί σε. καὶ ἤνεγκαν λίθον 18
καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου καὶ ἐσφραγίσατο ὁ βα-
σιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων
αὐτοῦ ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ Δανιηλ. καὶ ἀπῆλθεν 19
ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐκοιμήθη ἄδειπνος καὶ ἐδέ-

---

**v.13** καί[cc] προσέρχομαι[vpaanmp] λέγω[vipa3p] ὁ[ddms] βασιλεύς[ndmsc] βασιλεύς[nvmsc] οὐ[b] ὁρισμός[namsc] τάσσω[viaa2s] ὅπως[cs] πᾶς[ainmsn] ἄνθρωπος[nnmsc] ὅς[rrnms] ἄν[x] αἰτέω[vsaa3s] παρά[pg] πᾶς[aigmsn] θεός[ngmsc] καί[cc] ἄνθρωπος[ngmsc] αἴτημα[nansc] ἕως[pg] ἡμέρα[ngfpc] τριάκοντα[ac—n] ἀλλά[cc] ἤ[cc] παρά[pg] σύ[rpg-s] βασιλεύς[nvmsc] ἐμβάλλω[vifp3s] εἰς[pa] ὁ[dams] λάκκος[namsc] ὁ[dgmp] λέων[ngmpc] καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ἀληθινός[annmsn] ὁ[dnms] λόγος[nnmsc] καί[cc] ὁ[dnns] δόγμα[nnnsc] Μῆδος[ngmpp] καί[cc] Πέρσης[ngmpp] οὐ[b] παρέρχομαι[vifm3s]. **v.14** τότε[b] ἀποκρίνομαι[viap3p] καί[cc] λέγω[vipa3p] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] Δανιήλ[nnmsp] ὁ[dnms] ἀπό[pg] ὁ[dgmp] υἱός[ngmpc] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] ὁ[dgfs] Ἰουδαία[ngfsp] οὐ[b] ὑποτάσσω[viap3s] ὁ[ddns] δόγμα[ndnsc] σύ[rpg-s] περί[pg] ὁ[dgms] ὁρισμός[ngmsc] ὅς[rrgms] τάσσω[viaa2s] καί[cc] καιρός[nampc] τρεῖς[acampn] ὁ[dgfs] ἡμέρα[ngfsc] αἰτέω[vipa3s] παρά[pg] ὁ[dgms] θεός[ngmsc] αὐτός[rpgms] ὁ[danp] αἴτημα[nanpc] αὐτός[rpgms]. **v.15** τότε[b] ὁ[dnms] βασιλεύς[nnmsc] ὡς[cs] ὁ[dans] ῥῆμα[nansc] ἀκούω[viaa3s] πολύς[b] λυπέω[viap3s] ἐπί[pd] αὐτός[rpdms] καί[cc] περί[pg] ὁ[dgms] Δανιήλ[ngmsp] ἀγωνίζομαι[viam3s] ὁ[dgns] ἐξαιρέω[vnam] αὐτός[rpams] καί[cc] ἕως[pg] ἑσπέρα[ngfsc] εἰμί[viia3s] ἀγωνίζομαι[vppmnms] ὁ[dgns] ἐξαιρέω[vnam] αὐτός[rpams]. **v.16** τότε[b] ὁ[dnmp] ἀνήρ[nnmpc] ἐκεῖνος[rdnmp] λέγω[vipa3p] ὁ[ddms] βασιλεύς[ndmsc] γινώσκω[vdaa2s] βασιλεύς[nvmsc] ὅτι[cs] δόγμα[nnnsc] Μῆδος[ndmpp] καί[cc] Πέρσης[ndmpp] ὁ[dgns] πᾶς[aiansn] ὁρισμός[namsc] καί[cc] στάσις[nafsc] ὅς[rrafs] ἄν[x] ὁ[dnms] βασιλεύς[nnmsc] ἵστημι[vsaa3s] οὐ[b] δεῖ[vipa3s] παραλλάσσω[vnaa]. **v.17** τότε[b] ὁ[dnms] βασιλεύς[nnmsc] λέγω[viaa3s] καί[cc] ἄγω[viaa3p] ὁ[dams] Δανιήλ[namsp] καί[cc] ἐμβάλλω[viaa3p] αὐτός[rpams] εἰς[pa] ὁ[dams] λάκκος[namsc] ὁ[dgmp] λέων[ngmpc] καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[ddms] Δανιήλ[ndmsp] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] ὅς[rrdms] σύ[rpn-s] λατρεύω[vipa2s] ἐνδελεχῶς[b] αὐτός[rpnms] ἐξαιρέω[vifm3s] σύ[rpa-s]. **v.18** καί[cc] φέρω[viaa3p] λίθος[namsc] καί[cc] ἐπιτίθημι[viaa3p] ἐπί[pa] ὁ[dans] στόμα[nansc] ὁ[dgms] λάκκος[ngmsc] καί[cc] σφραγίζω[viam3s] ὁ[dnms] βασιλεύς[nnmsc] ἐν[pd] ὁ[ddms] δακτύλιος[ndmsc] αὐτός[rpgms] καί[cc] ἐν[pd] ὁ[ddms] δακτύλιος[ndmsc] ὁ[dgmp] μεγιστάν[ngmpc] αὐτός[rpgms] ὅπως[cs] μή[x] ἀλλοιόω[vsap3s] πρᾶγμα[nnnsc] ἐν[pd] ὁ[ddms] Δανιήλ[ndmsp].

σματα οὐκ εἰσήνεγκαν αὐτῷ καὶ ὁ ὕπνος ἀπέστη ἀπ᾽ αὐτοῦ καὶ
ἀπέκλεισεν ὁ θεὸς τὰ στόματα τῶν λεόντων καὶ οὐ παρηνώχλη-
20 σαν τῷ Δανιηλ. τότε ὁ βασιλεὺς ἀνέστη τὸ πρωὶ ἐν τῷ φωτὶ καὶ
21 ἐν σπουδῇ ἦλθεν ἐπὶ τὸν λάκκον τῶν λεόντων. καὶ ἐν τῷ ἐγγίζειν
αὐτὸν τῷ λάκκῳ ἐβόησεν φωνῇ ἰσχυρᾷ Δανιηλ ὁ δοῦλος τοῦ θε-
οῦ τοῦ ζῶντος ὁ θεός σου ᾧ σὺ λατρεύεις ἐνδελεχῶς εἰ ἠδυνήθη
22 ἐξελέσθαι σε ἐκ στόματος τῶν λεόντων. καὶ εἶπεν Δανιηλ τῷ βα-
23 σιλεῖ βασιλεῦ εἰς τοὺς αἰῶνας ζῆθι. ὁ θεός μου ἀπέστειλεν τὸν
ἄγγελον αὐτοῦ καὶ ἐνέφραξεν τὰ στόματα τῶν λεόντων καὶ οὐκ
ἐλυμήναντό με ὅτι κατέναντι αὐτοῦ εὐθύτης ηὑρέθη μοι καὶ ἐνώ-
24 πιον δὲ σοῦ βασιλεῦ παράπτωμα οὐκ ἐποίησα. τότε ὁ βασιλεὺς
πολὺ ἠγαθύνθη ἐπ᾽ αὐτῷ καὶ τὸν Δανιηλ εἶπεν ἀνενέγκαι ἐκ τοῦ
λάκκου καὶ ἀνηνέχθη Δανιηλ ἐκ τοῦ λάκκου καὶ πᾶσα διαφθορὰ
25 οὐχ εὑρέθη ἐν αὐτῷ ὅτι ἐπίστευσεν ἐν τῷ θεῷ αὐτοῦ. καὶ εἶπεν
ὁ βασιλεύς καὶ ἠγάγοσαν τοὺς ἄνδρας τοὺς διαβαλόντας τὸν Δα-
νιηλ καὶ εἰς τὸν λάκκον τῶν λεόντων ἐνεβλήθησαν αὐτοὶ καὶ οἱ
υἱοὶ αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ οὐκ ἔφθασαν εἰς τὸ ἔδαφος
τοῦ λάκκου ἕως οὗ ἐκυρίευσαν αὐτῶν οἱ λέοντες καὶ πάντα τὰ
26 ὀστᾶ αὐτῶν ἐλέπτυναν. τότε Δαρεῖος ὁ βασιλεὺς ἔγραψεν πᾶσι
τοῖς λαοῖς φυλαῖς γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ εἰρήνη

---

**v.19** καί[cc] ἀπέρχομαι[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] εἰς[pa] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms] καί[cc] κοιμάομαι[viap3s] ἄδειπνος[annmsn] καί[cc] ἔδεσμα[nanpc] οὐ[b] εἰσφέρω[viaa3p] αὐτός[rpdms] καί[cc] ὁ[dnms] ὕπνος[nnmsc] ἀφίστημι[viaa3s] ἀπό[pg] αὐτός[rpgms] καί[cc] ἀποκλείω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[danp] στόμα[nanpc] ὁ[dgmp] λέων[ngmpc] καί[cc] οὐ[b] παρενοχλέω[viaa3p] ὁ[ddms] Δανιήλ[ndmsp]. **v.20** τότε[b] ὁ[dnms] βασιλεύς[nnmsc] ἀνίστημι[viaa3s] ὁ[dans] πρωΐ[b] ἐν[pd] ὁ[ddns] φῶς[ndnsc] καί[cc] ἐν[pd] σπουδή[ndfsc] ἔρχομαι[viaa3s] ἐπί[pa] ὁ[dams] λάκκος[namsc] ὁ[dgmp] λέων[ngmpc]. **v.21** καί[cc] ἐν[pd] ὁ[ddns] ἐγγίζω[vnpa] αὐτός[rpams] ὁ[ddms] λάκκος[ndmsc] βοάω[viaa3s] φωνή[ndfsc] ἰσχυρός[andfsn] Δανιήλ[nvmsp] ὁ[dnms] δοῦλος[nnmsc] ὁ[dgms] θεός[ngmsc] ὁ[dgms] ζάω[vppagms] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] ὅς[rrdms] σύ[rpn-s] λατρεύω[vipa2s] ἐνδελεχῶς[b] εἰ[cs] δύναμαι[viap3s] ἐξαιρέω[vnam] σύ[rpa-s] ἐκ[pg] στόμα[ngnsc] ὁ[dgmp] λέων[ngmpc]. **v.22** καί[cc] λέγω[viaa3s] Δανιήλ[nnmsp] ὁ[ddms] βασιλεύς[ndmsc] βασιλεύς[nvmsc] εἰς[pa] ὁ[damp] αἰών[nampc] ζάω[vdpa2s]. **v.23** ὁ[dnms] θεός[nnmsc] ἐγώ[rpg-s] ἀποστέλλω[viaa3s] ὁ[dams] ἄγγελος[namsc] αὐτός[rpgms] καί[cc] ἐμφράσσω[viaa3s] ὁ[danp] στόμα[nanpc] ὁ[dgmp] λέων[ngmpc] καί[cc] οὐ[b] λυμαίνω[viam3p] ἐγώ[rpa-s] ὅτι[cs] κατέναντι[pg] αὐτός[rpgms] εὐθύτης[nnfsc] εὑρίσκω[viap3s] ἐγώ[rpd-s] καί[cc] ἐνώπιον[pg] δέ[cc] σύ[rpg-s] βασιλεύς[nvmsc] παράπτωμα[nansc] οὐ[b] ποιέω[viaa1s]. **v.24** τότε[b] ὁ[dnms] βασιλεύς[nnmsc] πολύς[b] ἀγαθύνω[viap3s] ἐπί[pd] αὐτός[rpdms] καί[cc] ὁ[dams] Δανιήλ[namsp] λέγω[viaa3s] ἀναφέρω[vnaa] ἐκ[pg] ὁ[dgms] λάκκος[ngmsc] καί[cc] ἀναφέρω[viap3s] Δανιήλ[nnmsp] ἐκ[pg] ὁ[dgms] λάκκος[ngmsc] καί[cc] πᾶς[ainfsn] διαφθορά[nnfsc] οὐ[b] εὑρίσκω[viap3s] ἐν[pd] αὐτός[rpdms] ὅτι[cs] πιστεύω[viaa3s] ἐν[pd] ὁ[ddms] θεός[ndmsc] αὐτός[rpgms]. **v.25** καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] ἄγω[viaa3p] ὁ[damp] ἀνήρ[nampc] ὁ[damp] διαβάλλω[vpaaamp] ὁ[dams] Δανιήλ[namsp] καί[cc] εἰς[pa] ὁ[dams] λάκκος[namsc] ὁ[dgmp] λέων[ngmpc] ἐμβάλλω[viap3p] αὐτός[rpnmp] καί[cc] ὁ[dnmp] υἱός[nnmpc] αὐτός[rpgmp] καί[cc] ὁ[dnfp] γυνή[nnfpc] αὐτός[rpgmp] καί[cc] οὐ[b] φθάνω[viaa3p] εἰς[pa] ὁ[dans] ἔδαφος[nansc] ὁ[dgms] λάκκος[ngmsc] ἕως[pg] ὅς[rrgns] κυριεύω[viaa3p] αὐτός[rpgmp] ὁ[dnmp] λέων[nnmpc] καί[cc] πᾶς[aianpn] ὁ[danp] ὀστέον[nanpc] αὐτός[rpgmp] λεπτύνω[viaa3p].

ὑμῖν πληθυνθείη. ἐκ προσώπου μου ἐτέθη δόγμα τοῦ ἐν πάσῃ 27
ἀρχῇ τῆς βασιλείας μου εἶναι τρέμοντας καὶ φοβουμένους ἀπὸ
προσώπου τοῦ θεοῦ Δανιηλ ὅτι αὐτός ἐστιν θεὸς ζῶν καὶ μένων
εἰς τοὺς αἰῶνας καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται καὶ ἡ
κυριεία αὐτοῦ ἕως τέλους. ἀντιλαμβάνεται καὶ ῥύεται καὶ ποιεῖ 28
σημεῖα καὶ τέρατα ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς ὅστις ἐξείλατο τὸν
Δανιηλ ἐκ χειρὸς τῶν λεόντων. καὶ Δανιηλ κατεύθυνεν ἐν τῇ 29
βασιλείᾳ Δαρείου καὶ ἐν τῇ βασιλείᾳ Κύρου τοῦ Πέρσου.
ἐν ἔτει πρώτῳ Βαλτασαρ βασιλέως Χαλδαίων Δανιηλ ἐνύπνιον **7**
εἶδεν καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ καὶ
τὸ ἐνύπνιον ἔγραψεν. ἐγὼ Δανιηλ ἐθεώρουν ἐν ὁράματί μου τῆς 2
νυκτὸς καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον
εἰς τὴν θάλασσαν τὴν μεγάλην. καὶ τέσσαρα θηρία μεγάλα ἀνέ- 3
βαινον ἐκ τῆς θαλάσσης διαφέροντα ἀλλήλων. τὸ πρῶτον ὡσεὶ 4
λέαινα καὶ πτερὰ αὐτῇ ὡσεὶ ἀετοῦ ἐθεώρουν ἕως οὗ ἐξετίλη τὰ
πτερὰ αὐτῆς καὶ ἐξήρθη ἀπὸ τῆς γῆς καὶ ἐπὶ ποδῶν ἀνθρώπου
ἐστάθη καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. καὶ ἰδοὺ θηρίον δεύ- 5
τερον ὅμοιον ἄρκῳ καὶ εἰς μέρος ἓν ἐστάθη καὶ τρία πλευρὰ ἐν τῷ
στόματι αὐτῆς ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς καὶ οὕτως ἔλεγον αὐ-
τῇ ἀνάστηθι φάγε σάρκας πολλάς. ὀπίσω τούτου ἐθεώρουν καὶ 6

---

**v.26** τότε[b] Δαρεῖος[nnmsp] ὁ[dnms] βασιλεύς[nnmsc] γράφω[viaa3s] πᾶς[aidmpn] ὁ[ddmp] λαός[ndmpc] φυλή[ndfpc] γλῶσσα[ndfpc] ὁ[ddmp] οἰκέω[vppadmp] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] γῆ[ndfsc] εἰρήνη[nnfsc] σύ[rpd-p] πληθύνω[voap3s]. **v.27** ἐκ[pg] πρόσωπον[ngnsc] ἐγώ[rpg-s] τίθημι[viap3s] δόγμα[nnnsc] ὁ[dgns] ἐν[pd] πᾶς[aidfsn] ἀρχή[ndfsc] ὁ[dgfs] βασιλεία[ngfsc] ἐγώ[rpg-s] εἰμί[vnpa] τρέμω[vppaamp] καί[cc] φοβέω[vppmamp] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgms] θεός[ngmsc] Δανιήλ[ngmsp] ὅτι[cs] αὐτός[rpnms] εἰμί[vipa3s] θεός[nnmsc] ζάω[vppanms] καί[cc] μένω[vppanms] εἰς[pa] ὁ[damp] αἰών[nampc] καί[cc] ὁ[dnfs] βασιλεία[nnfsc] αὐτός[rpgms] οὐ[b] διαφθείρω[vifp3s] καί[cc] ὁ[dnfs] κυριεία[nnfsc] αὐτός[rpgms] ἕως[pg] τέλος[ngnsc]. **v.28** ἀντιλαμβάνομαι[vipm3s] καί[cc] ῥύομαι[vipm3s] καί[cc] ποιέω[vipa3s] σημεῖον[nanpc] καί[cc] τέρας[nanpc] ἐν[pd] οὐρανός[ndmsc] καί[cc] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅστις[rrnms] ἐξαιρέω[viam3s] ὁ[dams] Δανιήλ[namsp] ἐκ[pg] χείρ[ngfsc] ὁ[dgmp] λέων[ngmpc]. **v.29** καί[cc] Δανιήλ[nnmsp] κατευθύνω[viaa3s] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc] Δαρεῖος[ngmsp] καί[cc] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc] Κῦρος[ngmsp] ὁ[dgms] Πέρσης[ngmsp]. **7. v.1** ἐν[pd] ἔτος[ndnsc] πρῶτος[aodnsn] Βαλτασαρ[ngmsp] βασιλεύς[ngmsc] Χαλδαῖος[ngmpp] Δανιήλ[nnmsp] ἐνύπνιον[nansc] ὁράω[viaa3s] καί[cc] ὁ[dnfp] ὅρασις[nnfpc] ὁ[dgfs] κεφαλή[ngfsc] αὐτός[rpgms] ἐπί[pg] ὁ[dgfs] κοίτη[ngfsc] αὐτός[rpgms] καί[cc] ὁ[dans] ἐνύπνιον[nansc] γράφω[viaa3s]. **v.2** ἐγώ[rpn-s] Δανιήλ[nnmsp] θεωρέω[viia1s] ἐν[pd] ὅραμα[ndnsc] ἐγώ[rpg-s] ὁ[dgfs] νύξ[ngfsc] καί[cc] ἰδού[i] ὁ[dnmp] τέσσαρες[acnmpn] ἄνεμος[nnmpc] ὁ[dgms] οὐρανός[ngmsc] προσβάλλω[viia3p] εἰς[pa] ὁ[dafs] θάλασσα[nafsc] ὁ[dafs] μέγας[anafsn]. **v.3** καί[cc] τέσσαρες[acnnpn] θηρίον[nnnpc] μέγας[annnpn] ἀναβαίνω[viia3p] ἐκ[pg] ὁ[dgfs] θάλασσα[ngfsc] διαφέρω[vppannp] ἀλλήλων[regnp]. **v.4** ὁ[dnns] πρῶτος[aonnsn] ὡσεί[x] λέαινα[nnfsc] καί[cc] πτερόν[nnnpc] αὐτός[rpdfs] ὡσεί[x] ἀετός[ngmsc] θεωρέω[viia1s] ἕως[pg] ὅς[rrgns] ἐκτίλλω[viap3s] ὁ[dnnp] πτερόν[nnnpc] αὐτός[rpgfs] καί[cc] ἐξαίρω[viap3s] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ἐπί[pg] πούς[ngmpc] ἄνθρωπος[ngmsc] ἵστημι[viap3s] καί[cc] καρδία[nnfsc] ἄνθρωπος[ngmsc] δίδωμι[viap3s] αὐτός[rpdfs]. **v.5** καί[cc] ἰδού[i] θηρίον[nnnsc] δεύτερος[aonnsn] ὅμοιος[annnsn] ἄρκος[ndmsc] καί[cc] εἰς[pa] μέρος[nansc] εἷς[acansn] ἵστημι[viap3s] καί[cc] τρεῖς[acnnpn] πλευρόν[nnnpc] ἐν[pd] ὁ[ddns] στόμα[ndnsc] αὐτός[rpgfs] ἀνά[pa] μέσος[anansn] ὁ[dgmp] ὀδούς[ngmpc] αὐτός[rpgfs] καί[cc] οὕτως[b] λέγω[viia3p] αὐτός[rpdfs] ἀνίστημι[vdaa2s] ἐσθίω[vdaa2s] σάρξ[nafpc] πολύς[anafpn].

ἰδοὺ ἕτερον θηρίον ὡσεὶ πάρδαλις καὶ αὐτῇ πτερὰ τέσσαρα πετει-
νοῦ ὑπεράνω αὐτῆς καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ καὶ ἐξουσία
7 ἐδόθη αὐτῇ. ὀπίσω τούτου ἐθεώρουν καὶ ἰδοὺ θηρίον τέταρτον
φοβερὸν καὶ ἔκθαμβον καὶ ἰσχυρὸν περισσῶς καὶ οἱ ὀδόντες αὐ-
τοῦ σιδηροῖ μεγάλοι ἐσθίον καὶ λεπτῦνον καὶ τὰ ἐπίλοιπα τοῖς
ποσὶν αὐτοῦ συνεπάτει καὶ αὐτὸ διάφορον περισσῶς παρὰ πάντα
8 τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ καὶ κέρατα δέκα αὐτῷ. προσε-
νόουν τοῖς κέρασιν αὐτοῦ καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβη
ἐν μέσῳ αὐτῶν καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξερριζώθη
ἀπὸ προσώπου αὐτοῦ καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλμοὶ ἀνθρώ-
9 που ἐν τῷ κέρατι τούτῳ καὶ στόμα λαλοῦν μεγάλα. ἐθεώρουν
ἕως ὅτου θρόνοι ἐτέθησαν καὶ παλαιὸς ἡμερῶν ἐκάθητο καὶ τὸ
ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν λευκόν καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ
ὡσεὶ ἔριον καθαρόν ὁ θρόνος αὐτοῦ φλὸξ πυρός οἱ τροχοὶ αὐτοῦ
10 πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ χίλιαι χι-
λιάδες ἐλειτούργουν αὐτῷ καὶ μύριαι μυριάδες παρειστήκεισαν
11 αὐτῷ κριτήριον ἐκάθισεν καὶ βίβλοι ἠνεῴχθησαν. ἐθεώρουν τότε
ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει
ἕως ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς
12 καῦσιν πυρός. καὶ τῶν λοιπῶν θηρίων ἡ ἀρχὴ μετεστάθη καὶ

---

**v.6** ὀπίσω[pg] οὗτος[rdgns] θεωρέω[viia1s] καί[cc] ἰδού[i] ἕτερος[ainnsn] θηρίον[nnnsc] ὡσεί[x] πάρδαλις[nnfsc] καί[cc] αὐτός[rpdfs] πτερόν[nnnpc] τέσσαρες[acnnpn] πετεινός[ngnsc] ὑπεράνω[pg] αὐτός[rpgfs] καί[cc] τέσσαρες[acnfpn] κεφαλή[nnfpc] ὁ[ddns] θηρίον[ndnsc] καί[cc] ἐξουσία[nnfsc] δίδωμι[viap3s] αὐτός[rpdfs]. **v.7** ὀπίσω[pg] οὗτος[rdgns] θεωρέω[viia1s] καί[cc] ἰδού[i] θηρίον[nnnsc] τέταρτος[aonnsn] φοβερός[annnsn] καί[cc] ἔκθαμβος[annnsn] καί[cc] ἰσχυρός[annnsn] περισσῶς[b] καί[cc] ὁ[dnmp] ὀδούς[nnmpc] αὐτός[rpgms] σιδηροῦς[annmpn] μέγας[annmpn] ἐσθίω[vppanns] καί[cc] λεπτύνω[vppanns] καί[cc] ὁ[danp] ἐπίλοιπος[ananpn] ὁ[ddmp] πούς[ndmpc] αὐτός[rpgns] συμπατέω[viia3s] καί[cc] αὐτός[rpnns] διάφορος[annnsn] περισσῶς[b] παρά[pa] πᾶς[aianpn] ὁ[danp] θηρίον[nanpc] ὁ[danp] ἔμπροσθεν[pg] αὐτός[rpgns] καί[cc] κέρας[nnnpc] δέκα[ac—n] αὐτός[rpdns]. **v.8** προσνοέω[viia1s] ὁ[ddnp] κέρας[ndnpc] αὐτός[rpgms] καί[cc] ἰδού[i] κέρας[nnnsc] ἕτερος[ainnsn] μικρός[annnsn] ἀναβαίνω[viaa3s] ἐν[pd] μέσος[andnsn] αὐτός[rpgnp] καί[cc] τρεῖς[acnnpn] κέρας[nnnpc] ὁ[dgnp] ἔμπροσθεν[pg] αὐτός[rpgns] ἐκριζόω[viap3s] ἀπό[pg] πρόσωπον[ngnsc] αὐτός[rpgns] καί[cc] ἰδού[i] ὀφθαλμός[nnmpc] ὡσεί[x] ὀφθαλμός[nnmpc] ἄνθρωπος[ngmsc] ἐν[pd] ὁ[ddns] κέρας[ndnsc] οὗτος[rddns] καί[cc] στόμα[nnnsc] λαλέω[vppanns] μέγας[ananpn]. **v.9** θεωρέω[viia1s] ἕως[pg] ὅστις[rrgns] θρόνος[nnmpc] τίθημι[viap3p] καί[cc] παλαιός[annmsn] ἡμέρα[ngfpc] κάθημαι[viim3s] καί[cc] ὁ[dnns] ἔνδυμα[nnnsc] αὐτός[rpgms] ὡσεί[x] χιών[nnfsc] λευκός[annnsn] καί[cc] ὁ[dnfs] θρίξ[nnfsc] ὁ[dgfs] κεφαλή[ngfsc] αὐτός[rpgms] ὡσεί[x] ἔριον[nnnsc] καθαρός[annnsn] ὁ[dnms] θρόνος[nnmsc] αὐτός[rpgms] φλόξ[nnfsc] πῦρ[ngnsc] ὁ[dnmp] τροχός[nnmpc] αὐτός[rpgms] πῦρ[nnnsc] φλέγω[vppanns]. **v.10** ποταμός[nnmsc] πῦρ[ngnsc] ἕλκω[viia3s] ἔμπροσθεν[pg] αὐτός[rpgms] χίλιοι[acnfpn] χιλιάς[nnfpc] λειτουργέω[viia3p] αὐτός[rpdms] καί[cc] μύριοι[acnfpn] μυριάς[nnfpc] παρίστημι[viya3p] αὐτός[rpdms] κριτήριον[nnnsc] καθίζω[viaa3s] καί[cc] βίβλος[nnfpc] ἀνοίγω[viap3p]. **v.11** θεωρέω[viia1s] τότε[b] ἀπό[pg] φωνή[ngfsc] ὁ[dgmp] λόγος[ngmpc] ὁ[dgmp] μέγας[angmpn] ὅς[rrgmp] ὁ[dnns] κέρας[nnnsc] ἐκεῖνος[rdnns] λαλέω[viia3s] ἕως[cs] ἀναιρέω[viap3s] ὁ[dnns] θηρίον[nnnsc] καί[cc] ἀπόλλυμι[viam3s] καί[cc] ὁ[dnns] σῶμα[nnnsc] αὐτός[rpgns] δίδωμι[viap3s] εἰς[pa] καῦσις[nafsc] πῦρ[ngnsc].

μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως καιροῦ καὶ καιροῦ. ἐθεώρουν 13
ἐν ὁράματι τῆς νυκτὸς καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ
ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμε-
ρῶν ἔφθασεν καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη. καὶ αὐτῷ ἐδόθη ἡ 14
ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία καὶ πάντες οἱ λαοί φυλαί γλῶσ-
σαι αὐτῷ δουλεύσουσιν ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος ἥτις οὐ
παρελεύσεται καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. ἔφρι- 15
ξεν τὸ πνεῦμά μου ἐν τῇ ἕξει μου ἐγὼ Δανιηλ καὶ αἱ ὁράσεις τῆς
κεφαλῆς μου ἐτάρασσόν με. καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων 16
καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ᾽ αὐτοῦ περὶ πάντων τούτων καὶ
εἶπέν μοι τὴν ἀκρίβειαν καὶ τὴν σύγκρισιν τῶν λόγων ἐγνώρισέν
μοι. ταῦτα τὰ θηρία τὰ μεγάλα τὰ τέσσαρα τέσσαρες βασιλεῖαι 17
ἀναστήσονται ἐπὶ τῆς γῆς αἳ ἀρθήσονται. καὶ παραλήμψονται 18
τὴν βασιλείαν ἅγιοι ὑψίστου καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος
τῶν αἰώνων. καὶ ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου 19
ὅτι ἦν διάφορον παρὰ πᾶν θηρίον φοβερὸν περισσῶς οἱ ὀδόντες
αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ ἐσθίον καὶ λεπτῦνον
καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. καὶ περὶ τῶν κε- 20
ράτων αὐτοῦ τῶν δέκα τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ καὶ τοῦ ἑτέρου
τοῦ ἀναβάντος καὶ ἐκτινάξαντος τῶν προτέρων τρία κέρας ἐκεῖνο
ᾧ οἱ ὀφθαλμοὶ καὶ στόμα λαλοῦν μεγάλα καὶ ἡ ὅρασις αὐτοῦ

---

**v.12** καί[cc] ὁ[dgnp] λοιπός[angnpn] θηρίον[ngnpc] ὁ[dnfs] ἀρχή[nnfsc] μεθίστημι[viap3s] καί[cc] μακρότης[nnfsc] ζωή[ngfsc] δίδωμι[viap3s] αὐτός[rpdnp] ἕως[pg] καιρός[ngmsc] καί[cc] καιρός[ngmsc]. **v.13** θεωρέω[viia1s] ἐν[pd] ὅραμα[ndnsc] ὁ[dgfs] νύξ[ngfsc] καί[cc] ἰδού[i] μετά[pg] ὁ[dgfp] νεφέλη[ngfpc] ὁ[dgms] οὐρανός[ngmsc] ὡς[cs] υἱός[nnmsc] ἄνθρωπος[ngmsc] ἔρχομαι[vppmnms] εἰμί[viia3s] καί[cc] ἕως[pg] ὁ[dgms] παλαιός[angmsn] ὁ[dgfp] ἡμέρα[ngfpc] φθάνω[viaa3s] καί[cc] ἐνώπιον[pg] αὐτός[rpgms] προσφέρω[viap3s]. **v.14** καί[cc] αὐτός[rpdms] δίδωμι[viap3s] ὁ[dnfs] ἀρχή[nnfsc] καί[cc] ὁ[dnfs] τιμή[nnfsc] καί[cc] ὁ[dnfs] βασιλεία[nnfsc] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] λαός[nnmpc] φυλή[nnfpc] γλῶσσα[nnfpc] αὐτός[rpdms] δουλεύω[vifa3p] ὁ[dnfs] ἐξουσία[nnfsc] αὐτός[rpgms] ἐξουσία[nnfsc] αἰώνιος[annfsn] ὅστις[rrnfs] οὐ[b] παρέρχομαι[vifm3s] καί[cc] ὁ[dnfs] βασιλεία[nnfsc] αὐτός[rpgms] οὐ[b] διαφθείρω[vifp3s]. **v.15** φρίσσω[viaa3s] ὁ[dnns] πνεῦμα[nnnsc] ἐγώ[rpg-s] ἐν[pd] ὁ[ddfs] ἕξις[ndfsc] ἐγώ[rpg-s] ἐγώ[rpn-s] Δανιήλ[nnmsp] καί[cc] ὁ[dnfp] ὅρασις[nnfpc] ὁ[dgfs] κεφαλή[ngfsc] ἐγώ[rpg-s] ταράσσω[viia3p] ἐγώ[rpa-s]. **v.16** καί[cc] προσέρχομαι[viaa1s] εἷς[acdmsn] ὁ[dgmp] ἵστημι[vpxagmp] καί[cc] ὁ[dafs] ἀκρίβεια[nafsc] ζητέω[viia1s] παρά[pg] αὐτός[rpgms] περί[pg] πᾶς[aignpn] οὗτος[rdgnp] καί[cc] λέγω[viaa3s] ἐγώ[rpd-s] ὁ[dafs] ἀκρίβεια[nafsc] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] ὁ[dgmp] λόγος[ngmpc] γνωρίζω[viaa3s] ἐγώ[rpd-s]. **v.17** οὗτος[rdnnp] ὁ[dnnp] θηρίον[nnnpc] ὁ[dnnp] μέγας[annnpn] ὁ[dnnp] τέσσαρες[acnnpn] τέσσαρες[acnfpn] βασιλεία[nnfpc] ἀνίστημι[vifm3p] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] ὅς[rrnfp] αἴρω[vifp3p]. **v.18** καί[cc] παραλαμβάνω[vifm3p] ὁ[dafs] βασιλεία[nafsc] ἅγιος[annmpn] ὕψιστος[angmsn] καί[cc] κατέχω[vifa3p] αὐτός[rpafs] ἕως[pg] αἰών[ngmsc] ὁ[dgmp] αἰών[ngmpc]. **v.19** καί[cc] ζητέω[viia1s] ἀκριβῶς[b] περί[pg] ὁ[dgns] θηρίον[ngnsc] ὁ[dgns] τέταρτος[aognsn] ὅτι[cs] εἰμί[viia3s] διάφορος[annnsn] παρά[pa] πᾶς[aiansn] θηρίον[nansc] φοβερός[annnsn] περισσῶς[b] ὁ[dnmp] ὀδούς[nnmpc] αὐτός[rpgns] σιδηροῦς[annmpn] καί[cc] ὁ[dnmp] ὄνυξ[nnmpc] αὐτός[rpgns] χαλκοῦς[annmpn] ἐσθίω[vppanns] καί[cc] λεπτύνω[vppanns] καί[cc] ὁ[danp] ἐπίλοιπος[ananpn] ὁ[ddmp] πούς[ndmpc] αὐτός[rpgns] συμπατέω[viia3s].

21 μείζων τῶν λοιπῶν. ἐθεώρουν καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλε-
22 μον μετὰ τῶν ἁγίων καὶ ἴσχυσεν πρὸς αὐτούς. ἕως οὗ ἦλθεν ὁ
παλαιὸς τῶν ἡμερῶν καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις ὑψίστου καὶ ὁ
23 καιρὸς ἔφθασεν καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. καὶ εἶπεν
τὸ θηρίον τὸ τέταρτον βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ ἥτις ὑπε-
ρέξει πάσας τὰς βασιλείας καὶ καταφάγεται πᾶσαν τὴν γῆν καὶ
24 συμπατήσει αὐτὴν καὶ κατακόψει. καὶ τὰ δέκα κέρατα αὐτοῦ
δέκα βασιλεῖς ἀναστήσονται καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ἕτερος
ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν καὶ τρεῖς βασιλεῖς
25 ταπεινώσει. καὶ λόγους πρὸς τὸν ὕψιστον λαλήσει καὶ τοὺς ἁ-
γίους ὑψίστου παλαιώσει καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς
καὶ νόμον καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν
26 καὶ ἥμισυ καιροῦ. καὶ τὸ κριτήριον καθίσει καὶ τὴν ἀρχὴν με-
27 ταστήσουσιν τοῦ ἀφανίσαι καὶ τοῦ ἀπολέσαι ἕως τέλους. καὶ ἡ
βασιλεία καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλωσύνη τῶν βασιλέων τῶν ὑπο-
κάτω παντὸς τοῦ οὐρανοῦ ἐδόθη ἁγίοις ὑψίστου καὶ ἡ βασιλεία
αὐτοῦ βασιλεία αἰώνιος καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύσουσιν
28 καὶ ὑπακούσονται. ἕως ὧδε τὸ πέρας τοῦ λόγου ἐγὼ Δανιηλ ἐ-
πὶ πολὺ οἱ διαλογισμοί μου συνετάρασσόν με καὶ ἡ μορφή μου

---

